AKADEMIE DER WISSENSCHAFTEN DER DDR
ZENTRALINSTITUT
FÜR ALTE GESCHICHTE UND ARCHÄOLOGIE

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA




BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

GEORGII SYNCELLI
ECLOGA CHRONOGRAPHICA

EDIDIT

ALDEN A. MOSSHAMMER



BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
1984

BIBLIOTHECAE TEVBNERIANAE
HVIVS TEMPORIS
REDACTOR: GÜNTHER CHRISTIAN HANSEN

1. Auflage

VLN 294/375/11/84 · LSV 0886

Lektor: Manfred Strümpfel

Printed in the German Democratic Republic

Gesamtherstellung: INTERDRUCK Graphischer Großbetrieb Leipzig,

Betrieb der ausgezeichneten Qualitätsarbeit, III/18/97

Bestell-Nr. 666 180 8

15000

PRAEFATIO

DE EDITIONIBVS PRIORIBVS

Opus Georgii Syncelli historicum et chronologicum, quod eclogam chronographicam uulgo nuncupamus, innotuit primum per Isaacum Casaubonum. anno 1599 ab Henrico IV curator bibliothecae regiae factus Casaubonus inter libros manuscriptos nuper Parisios aduectos codicem antiquum operibus chronographicis repletum repperit. quo de codice et praesertim de opere Georgii Syncelli in eo contento certiorem mox fecit Iosephum Scaligerum, auctorem illum clarissimum libri De emendatione temporum (Parisiis 1583) eo tempore Lugduni Batauorum degentem et in chronicis Eusebii Pamphili edendis reparandisque uersatum. nonnullis annis praeteritis post multas imprecationes in epistulis suis effusas codicem Parisinum ad se deferendum tandem impetrauit. fragmenta quae apud Georgium inuenire sperabat libri tunc deperditi prioris chronicorum Eusebii gaudens cognouit. aliis libris manuscriptis operis Georgii Syncelli integris per totam Europam frustra exquisitis, locos Georgii Syncelli ad chronica Eusebii reconstituenda pertinentes ex unico codice Parisino in lucem protulit Scaliger in editione sua Eusebii canonum chronicorum in uersione Sancti Hieronymi. haec editio sub titulo Thesaurus temporum prodiit Lugduni Batauorum anno 1601 (ed. altera postuma Amstelodami anno 1658). Scaliger eundem codicem usurpauit, qui hodie Parisiis in Bibliotheca Nationali sub numero 1711 asseruatur (**A**), ut constat ex epistula sua 163 in qua Marco Velsero codicem Casauboni his uerbis descripsit: *CCXXX folia membranacea pedali longitudine, dodrantali latitudine, praeter tria quae perierunt quibus res a Valeriano ad Probum Imperatorem continentur.*

Complures uiri docti post Scaligerum anno 1609 mortuum libros manuscriptos Georgii Syncelli alios petebant, editionem pleniorem fortasse aggressuri. sed praeter codicem Parisinum inuentum est totius operis exemplar nullum. nonnulli codices, qui postremam partem operis a Pompei Magni temporibus continebant, profecto reperti sunt, necnon alii nomen quidem Georgii Syncelli ferentes, sed opus alterius auctoris tradentes, sicut Georgii Monachi Hamartoli et eius auctoris ignoti quem uulgo Symeonem Logothetam nuncupamus. de quibus et uiris doctis et

libris manuscriptis repertis uideat lector Leonem Allatium, cuius Diatriba de Georgiis, primum apud editionem suam Georgii Acropolitae Parisiis anno 1651 prolata, hodie inveniri potest etiam in Fabricii Bibliotheca Graeca, uol. 12, p. 28 in editione noua quam G. C. Harless Hamburgi 1809 curauit (typis recusa Hildeshemii anno 1970). conferenda sunt etiam quae Fabricius et Harless ipsi scripserunt, uol. 7, p. 458.

Anno 1652 in corpore Parisino scriptorum historiae Byzantinae editionem principem totius operis Georgii Syncelli Iacobus Goar in lucem protulit (typis recusam Venetiis anno 1729), qui etiam continuationem Theophanis Confessoris anno 1655 primum edidit. eundem codicem Parisinum, quem Scaliger usurpauit, in utroque textu edendo pro fundamento adhibuit Goar, ut testatur ipse praefans. ad Georgii Syncelli postremam partem duos alios codices adhibuit, quorum unus olim Peyrezianus, deinde Naudeanus eo tempore ex libris Cardinalis Mazarini in Bibliothecam regiam transierat, alterum Cardinalis Franciscus Barberinus Goaro suppeditauit.

Hunc librum, hodie sub numero 234 in collectione Barberiniana Bibliothecae Apostolicae Vaticanae asseruatum, apographum esse codicum Vaticani 154 (**T**) et Palatini 395 (**P**) testantur notae marginibus paginarum 463, 621 et 623 appositae. descriptum esse hunc librum Barberinianum ex codice Vaticano uel manu uel iussu Lucae Holstenii conligere fortasse possumus ex quibus uerbis scripsit Labbeus in protreptico de corpore scriptorum Byzantinorum (uol. 1, p. 9). liber Peyrezianus, hodie Parisiis in Bibliotheca Nationali sub numero suppl. Grec 327 conditus, descriptus est ex codice Vaticano 979 (**Q**), ut infra monebo.

Opus magni laboris Goar perfecit et adhuc utile interpretatione Latina affixa, lectionibus uariis in marginibus adiectis, locis Eusebii conferendis dictis, annotationibus copiosis appensis, necnon canone chronico secundum Georgii Syncelli rationes exstructo. plures tamen lectiones falsas e doctrina sua palaeographica exigua patrauit Goar, plures etiam deprauauit et in locis emendatis et in rebus historicis commentatis, aliquando ob inscientiam, nonnunquam ob religiositatem nimiam.

Codicem alterum totius operis Georgii Syncelli olim integrum, postea infeliciter truncatum repperit Parisiis saeculo XVII exeunte Antonius Pouget, quem codicem in libro hodie suppl. Gr. 881 designato cum editione Goari contulit. hic codex, quamquam eum etiam Montfaucon, Bibliotheca Bibliothecarum 2, 1151 (Parisiis anno 1759) commemorauit, plerisque nihilominus ignotus manebat, donec rursus G. Bredouius eum repperit et annuntiauit epistulis suis Parisinis (Lipsiae 1812), 154.

Idem Bredouius dissertationem de Georgii Syncelli chronographia nonnullis annis antea scripserat ad contionem uirorum doctorum Parisinam, in quo opusculo complures locos editionis Goari castigauit et persaepe optime emendauit.

Cum igitur opus Georgii Syncelli ad corpus nouum scriptorum historiae Byzantinae Bonnense anno 1829 curaret Guilielmus Dindorfius, hunc codicem alterum Parisinum olim 2217, deinde 1764 numeratum (**B**) ad textum corrigendum adhibuit. minus tamen librum Georgii Syncelli denuo edidit Dindorfius quam editionem Goari redegit, lectionibus quidem codicis alterius emendatam, sed aliquatenus minori usui lectoribus factam. festinanter enim exarata haec editio Dindorfii esse uidetur, cui recentior needum successit, multis in ea latentibus cum codicum legendorum uitiis tum lectionum imprimendarum mendis, nonnunquam apparatus textui accommodandi lapsibus.

Lectionem deteriorem sine discrimine critico saepe praetulit, codicem alterum (**B**) priori (**A**) nimium anteferens, lectionem pristinam utroque codice testante saepe suppressit, cuiuspiam fontis anteponens auctoritatem. ex libris manuscriptis qui posteriorem operis partem tradunt, quos exstare haud dubium quin cognouisset complures, adhibuit Dindorfius nullum. lectiones uarias e Goari libris Peyreziano et Barberiniano modo in apparatu attulit, saepius silentio praetermisit. eodem siglo in apparatu usus est nunc falsam lectionem Goari contra **A** significans, tunc consensum Goari et **A** contra **B**, deinde consensum omnium codicum contra lectionem emendatam. commentatione noua supersedens, Scaligeri, Goari, Bredouii saltem commentarios in tomo secundo typis recusit una cum indice Goari ne numeris quidem paginarum mutatis. scholia, quae pleraque prima manu in codicum marginibus scripta sunt, aliquot in apparatu critico edidit, sed plurima, cum indolem non intellegeret, neglexit.

Textum Theophanis Confessoris denuo edidit Carolus de Boor duobus tomis doctissimis Lipsiae in Bibliotheca Teubneriana annis 1883 et 1885. editio autem noua Georgii Syncelli, quam molituros esse Henricum Gelzer et G. Reichardt eisdem fere temporibus curatores Bibliothecae Teubnerianae nuntiabant, nunquam profecta est. Gelzer enim uersabatur in magno opere suo tractando, Sextus Julius Africanus und die byzantinische Chronographie, quod tribus tomis Lipsiae annis 1880, 1885, 1898 prodiit, in quo tamen copiose de Georgio Syncello fontibusque eius disseruit. post Gelzerum librum Georgii Syncelli ut fontem usurpauerunt permulti uiri docti, sed textum pertractauit nemo.

Mihi ergo, quamquam doctrina chronographica Gelzeri carenti nec in rebus palaeographicis criticisue antea uersato, cum proposuerunt primum collegae quidam, deinde curatores Bibliothecae Teubnerianae ut librum Georgii Syncelli denuo ederem, diffidens cunctaui semel et iterum opus recusaturus, audax tandem suscepi. nam mihi persuasum erat, si Gelzerum alterum exspectaremus cui, post multos annos studiis chronographicis philologicisque dedito, editionem Georgii Syncelli prope finem uitae crederemus, iterum nos metam amissuros esse. textum ualde meliorem Goari et Dindorfii editionibus aliis codicibus prioris maiorisque

partis minime repertis etsi non excudere sperarem, editionem nihilominus utiliorem me proferre posse arbitrabar libris manuscriptis posterioris partis adhibitis omnibus, omnibus scholiis marginalibus editis, apparatu critico ampliore facto, praesertim apparatu fontium locorumque conferendorum exstructo.

DE LIBRIS MANVSCRIPTIS

Textum Georgii Syncelli edidi ex illis duobus codicibus Parisinis, in quibus totum opus olim continebatur, et nouem aliis libris manuscriptis postremam partem una cum chronographia Theophanis tradentibus.

A Codex Parisinus, Bibl. Nat. Gr. 1711, membr., alt. cm 31, lat. cm 23, ff. 1–6 + pp. 1–230 (numeris 78, 79 omissis) + ff. 231–385 (numero 301 omisso) + 366–380, 180–208 (perperam numeratis), saeculo XI medio exaratus. hunc codicem prorsus descripsit de Boor in Theophanis editione, quam uideat lector, qui plura hoc loco dictis desideret. foliis 1–6, olim ut uidetur uacuis, continetur chronographia Nicephori, manu aliquantum recentiori scripta quam ea quae per reliquum librum adhibita est. paginis 1–230 opus Georgii Syncelli exhibetur, post quod ff. 231–368^{r} chronographia Theophanis, deinde anonymi narratio de temporibus Leonis Armenii, chronographia Leonis Grammatici, uita Alexandri Magni fine mutila, denique epistolae Darii, Alexandri, Aristotelis, nonnullis foliis ad extremum amissis. aetatem scribendi satis cognouimus. prima manu sub finem chronographiae Leonis Grammatici, fol. 393^{v}, librarius notat hoc opus absolutum esse anno mundi 6521, quem annum (post Christum ex aera Byzantina 1013) toti libro assignauit Goar. hanc notam tamen descriptam esse ex exemplari ad chronographiam Leonis scribendam adhibito de Boor demonstrauit, ut post annum 1013 hunc librum exaratum esse tantum conligamus. terminum alterum habemus per notam in eadem pagina manu recentiore anno mundi 6632 (= 1124) scriptam. ante annum 1073 autem librum exaratum esse conligere possumus ex uersibus alia manu folio 374^{v} inscriptis ad Imperatorem Romanum IV Diogenem pertinentibus. plura compendia exhibet scriba quam ex usu saeculi XI medii consueta, sed conferendus est cod. Ox. Bodl. Auct. T. 4. 13, quem Nigel Wilson (MGB pl. 35) saec. XI sine dubio assignat. proveniebat Parisinus, ut apparet e notis primis paginis scriptis, e monasterio aliquo montis Athonis per Thessalonicam ad urbem Corinthum, unde emptus anno 1507 liber Parisios tandem ante annum 1599 iter perfecit.

Paginis 1–230 continetur totum opus Georgii Syncelli, folio uno

amisso, in quo textus p. 467, 3–471, 6 scriptus erat. litteris minusculis ualde exiguis cum compendiis plurimis scripsit librarius, ut uersus quadraginta et unum pagina quaeque capiat tantumque textum quantum duae paginae codicis alterius vel quinque paginae archetypi familiae librorum postremam partem continentium. scriba festinanter operabatur, inter praescriptiones et textum parum distinguens, rerum orthographicarum incuriosus, uerba uersusque saepe omittens, sed infrequenter in margine restituens, lectiones crebro deprauans raro corrigens, quorum mendorum exempla lector in apparatu critico inquirat. damnum itaque permolestum fit, ut praeter hunc codicem eiusque apographa liber manuscriptus totius operis prope integer exstet nullus.

Nam codex Barberinianus 227 non est exemplar sui iuris saec. XV ut uult Colonna (Gli Storici Bizantini, Napoli 1956, 55) uel etiam saec. XVI ut arbitratur Milik (Rev. Biblique 78, 1971, 548) ex iudicio M. Richard, sed apographum codicis Parisini saeculo XVII, fortasse ab ipso Goaro, descriptum, ut nuper monui (GRBS 21, 1980, 289). codex palimpsestus Vossianus 97 praeterea apographum cod. Paris. est, saec. XII aut XIII descriptus, ut demonstrauit de Boor, ed. Theoph.

Marginalia et huius codicis Parisini et aliorum codicum infra pertractabo.

Codex Parisinus, Bibl. Nat. Gr. 1764, membr., alt. cm 22, lat. cm 17, **B** ff. 1–143, saec. XI medio exaratus, initio et fine truncatus. continet foliis 1–5 textum Georgii Syncelli p. 56, 21–70, 17, post quae folium 6 uacuum est, foliis 7–38 textum p. 72, 22–156, 28, post quae excidit folium unum, foliis 39–44 textum p. 158, 34–172, 17, post quae excidit folium unum, foliis 45–55 textum p. 175, 8–202, 8, post quae exciderunt folia duo, foliis 56–99 textum p. 207, 6–312, 29, post quae excidit folium unum, foliis 100–103 textum p. 315, 16–324, 11, post quae excidit folium unum, et foliis 104–143 textum p. 326, 17–416, 19, quo loco explicit codex. formae litterarum compendiorumque usurae similes sunt eis codicis 1711, ita melius tamen curatae, ut codicem calligraphicum merito designare possimus. eodem fere tempore existimo, uel fortasse paululum ante codicem 1711, hunc librum exaratum esse, in eodem loco, ex eodem exemplari. longissime autem praestat codex 1764 ob fidem transcribendi, in rebus orthographicis, aliquando in ordine scribendi, praesertim in facie chronographica reddenda. habet uersus nouem et uiginti, spatio paginae non ita stipato ut in libro **A**. praescriptiones maioribus litteris sua linea stant, aliquando atramento rubro distinctae, nonnunquam litteris grandibus calligraphice scriptis, imprimis quae annos mundi praescribunt. notitiae sub titulo *σποράδην* datae et quae notitiae episcopos eorumque annos efferunt litteris erectioribus

scriptae sunt quam in textu solent. capitula in textu et interpellationes in narratione litteris maioribus incipientibus denotantur. hos duos codices Parisinos gemellos tamen esse ex eodem exemplari descriptos omni lectori liquebit praesertim ex postrema operis parte, altera familia collata. exemplum afferri potest ex p. 360, 18, quo loco uerba *Πομπήιος αὐτοκράτωρ ἀνηγορεύθη* habent **AB** et in textu et in margine, alii codices in margine tantum. in priore parte eosdem errores exhibent **AB**, exempli gratia regibus Aegyptiis regno Assyriorum perperam interpolatis p. 124, 20 et 187, 15. **A** autem non ex **B** descriptum esse e nonnullis locis apparet (e. g. 81, 2–4), in quibus **A** textum a **B** omissum tradit, et nonnullis lectionibus melioribus (e. g. 123, 17 *παρὰ τὸ πρέμνον* **A**: *παρὰ πραίμνον* **B**). eadem marginalia ac **A** habet etiam **B**, de quibus infra docebo.

E Excerpta Syncelliana codicis monasterii Vatopedii (Athoi) 645, membr., alt. cm 20, lat. cm 13, ff. 28–30, saec. XV scripta. de hoc libro foliorum 305 miscellanea continentium uideas catalogum ab S. Eustratiade et Arcadio monacho Vatopedino editum, Harvard Theological Studies 11, 1924. foliis 28–30 continentur excerpta sub titulo *ἐκ Γεωργίου μοναχοῦ συγκέλου δὲ γεγονότος Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως*. folio 28r continetur textus Georgii Syncelli p. 4, 29–5, 22, foliis 28v–30r textus p. 7, 28–8, 24 nonnullis amissis, folio 30v continentur excerpta e textu p. 11, 20–13, 18 aliquantulum mutata et 26, 26–27, 7. explicit *καὶ ταῦτα μὲν ἐκ τοῦ πρώτου βιβλίου Ἐνὼχ* (= 27, 8), sub quibus uerbis in infimo folio legimus *περὶ τῶν τὴν γῆν πρὸ τοῦ κατακλυσμοῦ κατοικησάντων ὅτι ἔξω τοῦ ὠκεανοῦ κατῴκουν*, quae uerba exhibet **A** in margine superiore paginae 10 ad textum p. 15, 21 pertinentia. haec excerpta non uidentur ex **A** descripta esse, lectionibus melioribus nonnullis exhibitis: 4, 31 *αἰγυπτίοις* **E**: *ἑβραίοις* **A**; 11, 21 *θυγατέρες* **E**: *θυγατέραις* **A**; 12, 23 *ἀστροσκοπίαν* **E**: *ἀστροκοπίαν* **A**. haud scio utrum haec excerpta ex communi exemplari **AB** descripta sint an e foliis codicis **B** hodie amissis. hunc codicem, cum ipsum in situ inspicere per infelicitates itineris non potuissem, ex pellicula phototypica in bibliotheca institutionis partriarchalis Thessalonicae asseruata contuli.

Codicem Laurae 1866, cuius monasterii libri needum phototypice expressi erant, ipse inspexi anno 1979 mense Aprili iter ad montem sacrum faciens. hic liber miscellaneus, anno 1791 scriptus, foliis 187–197 excerpta ex libro Georgii Syncelli continet. quamquam mihi per bibliothecarium uirorum doctorum peregrinorum parum patientem non licuit librum ad tempus perscrutare, haec excerpta ex editione Goari deprompta esse, ut ex anno scribendi suspicabar, facile decreui, numeris paginarum editionis in marginibus eadem manu scriptis.

In priore parte operis edenda adhibui etiam codicem Parisinum Bibl. Nat. Gr. 1712, librum incerti auctoris pseudo-Symeonis hodie nuncupati continentem, et codicem Atheniensem Bibl. Nat. 2492, in quo continentur quae ex chronographia Georgii Syncelli excerpsit Iohannes Anagnostes. de his libris, cum traditiones indirectas fortasse repraesentent, infra disseram.

Postremam operis partem libri manuscripti tradunt una cum chronographia Theophanis complures, ex quibus nouem adhibui. inter duas aut tres cateruas hi libri disponi possunt, sed ad textum Georgii Syncelli constituendum in unam familiam coeunt, cuius proauum siglo **t** designaui. antiquiores propriam familiam non constituunt. siglo **x** itaque in apparatu non archetypum designaui, sed consensum omnium antiquorum, qui sunt hi quattuor. **t** **x**

Codex Vaticanus Gr. 154, membr., alt. cm 26, lat. cm 17, foliorum 215, uersuum 37 (ff. 1–8) deinde 27, saec. XII exaratus. hunc codicem, cum pro fundamento ad textum Theophanis adhibuerit de Boor, siglo **T** designaui; pertractauit de Boor in editionibus et Theophanis et Georgii Monachi Hamartoli (Lipsiae 1904). historiam mundi totam narrare uoluit scriba, sed codicem truncatum pro fundamento adhibuit, qui postremam partem Georgii Syncelli et chronographiam Theophanis olim continebat, cuius lacunas e Georgio Monacho Hamartolo compleuit. foliis 1–77ʳ descripta est prior pars Hamartoli usque ad tempora Iulii Caesaris. folio 77ʳ inferiore sub titulo *Ἀρχὴ τῆς Ῥωμαίων βασιλείας* incipit textus Georgii Syncelli a p. 366, 3, quod opus deinde usque ad finem sine lacunis traditur foliis 78–137. foliis 138–215 continetur chronographia Theophanis usque ad p. 173 de Boor, lacuna exemplaris ex Hamartolo completa foliis 195–200. de Boor hunc codicem sui generis esse et summae auctoritatis arbitrabatur. quod ad textum Georgii Syncelli attinet, lectionem unicam satis frequenter exhibet **T**, ut sui generis quidem sit, sed non ita ut maioris auctoritatis ceteris hunc librum dicas. clare et diligenter scripsit librarius, atramento rubro in titulis notitiisque episcoporum usus scribendis, necnon litteris maioribus rubrisque interpellationes denotans. similiter sed non ita constanter descripti sunt ceteri codices antiquiores huius familiae. **T**

Codex Vaticanus Gr. 155, membr., alt. cm 28, lat. cm 19, foliorum 331, uersuum 30, saec. X uel etiam IX exaratus; descripsit de Boor. truncatus est liber, uno folio ex capite amisso, compluribus e fine. continet foliis 1–63 textum Georgii Syncelli a p. 361, 20, deinde textum Theophanis usque ad p. 461, 10 de Boor. litteris minusculis quadratisque ualde **V**

antiquis scriptus est manu quam Nigel Wilson in opusculo infra citato saec. IX assignat. folia tria exciderunt, quorum primum initium postremae partis Georgii Syncelli continebat, alterum textum p. 465, 24 – 467, 13 inter folia 57 et 58, tertium textum p. 474, 14 – 475, 24 inter folia 61 et 62. distinxit scriba inter textum et titulos potius litteris maiusculis quam atramento rubro. lectiones huius codicis aliquando **T** propinquant, saepius ceteris.

C Codex Parisinus, Bibl. Nat. Coislinianus 133, membr., alt. cm 30, lat. cm 21, foliorum 301 (12 et 17 bis), uersuum 32, saec. XII ineunte exaratus; descripsit de Boor. continet ff. 1 – 4 opusculum chronographicum Nicephori initio mutilum, ff. 4v – 58v postremam partem Georgii Syncelli sine lacunis, denique chronographiam Theophanis nonnullis foliis amissis. hic liber unicus textum huius familiae Georgii Syncelli integrum tradit. incipit folio 4v medio sub titulo *Γεωργίου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ συγκέλλου γεγονότος Ταρασίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως σύνταξις ἤτοι χρονογραφία ἐν ἐπιτόμῳ ἀπὸ τῆς βασιλείας Ἰουλίου Καίσαρος Ῥωμαίων ἔτους ἀπὸ κτίσεως κόσμου ͵ευλδʹ μέχρι τῆς βασιλείας τοῦ πρώτου ἔτους Διοκλητιανοῦ, κόσμου ἔτους ͵εψοζʹ ὁμοῦ ἔτη τμγʹ*. clare distinxit scriba titulos, notitias episcoporum, interpellationes textus eisdem fere locis ac **T**, neque autem atramento rubro ut **T** neque litteris maiusculis ut **V** sed interuallis spatii, uirgulis, et ad interpellationes litteris grandibus pinguibusque. ut ad textum Theophanis commentatus est de Boor, ita in textu Georgii Syncelli rasurae correctionesque prima manu, ut uidetur, sunt multae. lectio uera aliquando refertur, sed ex coniectura operabatur corrector, non ex altero libro collato. textus saepius **O** et recentioribus propinquat quam **T** aut **V**. frequenter autem uerba exemplaris aut praetermisit scriba aut deprauauit.

O Codex Oxoniensis Aed. Christi Wake 5, membr., alt. cm 30, lat. cm 22, foliorum 316, uersuum 30, saec. IX exaratus. hunc librum, quem non adhibuit de Boor, descripsit Nigel Wilson, Dumbarton Oaks Papers 26, 1972, 357 – 360. priscum ordinem reddens eius libri archetypi, ex quo traditio huius familiae defluxit, continet codex Oxoniensis foliis 1 – 11 opusculum chronographicum Nicephori, foliis 12 – 61 postremam partem Georgii Syncelli, ceteris foliis chronographiam Theophanis. incipit textus Georgii Syncelli *Πομπήιος πολιορκίᾳ λαβὼν τὰ Ἱεροσόλυμα* (= 360, 10), eodem loco sub eodemque titulo ac **C**. textum disponit similiter ac **V**, litteris spatio secretis nonnunquam maiusculis ad distinctiones adhibitis. folia nunc 17 et 24 numerata inter se commutata sunt. duo alia folia exciderunt inter ff. 59 et 60, textum p. 471, 18 – 475, 28

olim continentia. hic liber, quamquam omnium antiquissimus exstat, omnium tamen maxime recentioribus propinquat, ut mox docebo.

Reliqui libri manuscripti Georgii Syncelli sunt omnes chartacei saec. XVI aut XVII scripti, postremam partem tantum tradentes. hos omnes ex eodem fonte defluxisse non modo lectionibus singulis patet, sed praesertim quod omnes textum p. 373, 12–393, 6 omiserunt foliis nonnullis exemplaris amissis. quorum optimus, antiquissimus, uel etiam fortasse omnium progenitor est codex Vaticanus Palatinus 395, chart., **P** alt. cm 30, lat. cm 18, foliorum 358, uersuum 23, saec. XVI exaratus. duo folia nescio qua re antecedentia eundem textum exhibent quem folia 6 et 3 infra. denique folium hodie saltem 1 numeratum incipit eodem loco sub eodemque titulo ac **C** et **O**. insequitur textus Theophanis ff. 55–358. integer est textus postremae partis Georgii Syncelli praeter hiatum omnibus recentioribus communem et in Palatini folio 8ᵛ medio latentem, quo loco ab p. 373, 12 *ἐκδόσει* subito ad p. 393, 6 *ἐπὶ συντελείᾳ* transimus, quare exemplari nonnulla folia defuisse apparet. tituli, notitiae episcoporum et interpellationes uel atramento rubro uel alio modo distinguuntur ut in codicibus antiquioribus. e codice ualde antiquo Palatinum defluxisse docent etiam nonnullae lectiones, quae ex scriptura iam obsoleta tam seruiliter descriptae fuerunt, ut deprauarentur: p. 360, 24 legimus *ὑσαριστοβούλου* pro *υἱὸς ἀριστοβούλου* et similiter praeter alios locos p. 363, 18 *οὖς αὐτοῦ* pro *ὁ υἱὸς αὐτοῦ*. e nullo autem codicum antiquiorum adhuc extantium potest hic liber descriptus esse, nam ex unoquoque antiquiore deficiunt uerba, quae exhibet Palatinus. textum illius hiatus praeterea, qui decem fere folia compleuisset in exemplari, omnes antiquiores tradunt, quorum nulli est folium aut 373, 12 desinens aut 393, 6 incipiens. nonnullae autem lectiones propriae propinquant lectionibus Coisliniani et praesertim Oxoniensis, de qua agnatione ceteris recentioribus commemoratis disseram.

Codicem Vaticanum Vrbinatem Gr. 87 ex libro Palatino descriptum esse demonstrauit de Boor, qua re eum inspexi et consentiens non contuli. exaratus est saec. XVI exeunte manu Andreae Darmarii, ut monent Vogel et Gardthausen 26.

Codicem Taurinensem Bibl. Nat. 27 (C III 6) ex catalogo tantum cognouerat de Boor. eum igitur perscrutaui et mihi persuasi etiam hunc Taurinensem ex Palatino descriptum esse. chartaceus est foliorum 224 saec. XVI exaratus, eadem quae Palatinus continens. igni anno 1904 exarso male laesus est, omnibus marginibus combustis, foliis mediis rursum in librum anno 1966 conligatis sed ita adustis, ut aegre legi possint. apographum esse Palatini nihilominus patet ex locis Palatino propriis, quos in Taurinensi descriptos repperi. fol. 83ʳ repetuntur cum Palatino uerba *λοιπὴν ἐσθῆτα* (p. 448, 2). p. 454, 5 scripsit Palatinus perperam *ὑπετεχνάσματα* et statim correxit *ὑπε: τεχνάσματα: στέλλετο*. Taur. f. 92ʳ legimus *ὑπετεχνάσματα στέλλετο*.

Q Codex Vaticanus Gr. 979, chart., alt. cm 27, lat. cm 17, foliorum 647, uersuum 20, anno 1571 exaratus est ut docet subscriptio. hunc librum ex eodem exemplari ex quo Palatinum defluxisse arbitrabatur de Boor. mihi autem nihil uidetur obstare, quin Vaticanus ex Palatino plane descriptus sit. nulla enim in eo est lectio, aut deprauata aut melior, tali modo facta ut ex Palatino non deriuari possit. sunt praeterea multi loci peculiares, qui mihi uidentur ex lectionibus Palatino solo propriis descripti fuisse.

Pauca exempla sufficiant: 366, 12 scripsit Pal. *ὀκαταβινιανὸς* pro *Ὀκταβιανὸς*, deinde correxit **ὀκ̶α̶ταβι̶ν̶ιανος**: in Vat. legimus *ὁ καταβιανός*. p. 408, 9 omisit, deinde in margine addidit Pal. uerba *Πέτρῳ . . . παρα-*, quae omnino praetermittit Vat. p. 410, 16 *ὁμολογίαν* supra corr. *ἀπο-* **P**: *ὁμολογίαν* **Q**. p. 444, 9 post *ἥτις* repetuntur in Pal. uerba *μεγάλη . . . συνέστη*, delendi indiciis additis: repetuntur etiam in Vat. p. 451, 10 omisit, addidit in margine Pal. *βασάνοις . . . πειρωμένου*: haec uerba perperam restituit Vaticanus post uerba *οὔτε ἐπείσθη*. ne longius disseram minutias praetermittam.

Codicem Parisinum, suppl. Gr. 327, librum olim Peyrezianum, quem adhibuit Goar, ex Vaticano 979 descriptum esse recte monuit de Boor ex propriis lectionibus et ex subscriptione eadem quae in Vat. exaratus est saec. XVI exeunte manu ut uidetur Andreae Darmarii. idem scripsit codicem Scorialensem 233, quem perscrutans ex eodem Vaticano descriptum esse decreui. in titulo habet *ὁμοῦ ἔτη τμγ´* in margine cum **Q**, non in textu cum **P**. eandem subscriptionem habet in fine textus Georgii Syncelli *ἕως ὧδε συγγέλλου*. uerba quae omisit **Q** omisit etiam Scorialensis, e. g. p. 395, 9 *περὶ . . . λεγομένης* et p. 401, 1–2 *τὴν . . . προσκυνεῖσθαι*.

M Codex Monacensis 391, chart., alt. cm 30, lat. cm 21, foliorum 447, uersuum 20, saec. XVI exaratus.

R Codex Romanus Vallicellianus 92, chart., alt. cm 21, lat. cm 15, foliorum 242, uersuum 35, saec. XVI manu Ang. Vergetii exaratus. hos duos libros ex alio exemplari quam ex quo **P** et **Q** descriptos esse arbitrabatur de Boor, recentiores in duas familias disponens. mihi autem persuasi Vallicellianum e Monacensi descriptum esse et Monacensem ex Palatino.

Quae omisit Monacensis omisit etiam Vallicellianus, quamquam sunt uerba ex **R** omissa in **M** exhibita. similiter quae addidit **M** addidit **R**. in mendis compluribus congruunt. quas lectiones meliores exhibet **R** aut facile ex coniectura fieri possunt aut ex emendationibus in marginibus Monacensis notatis: e. g. *υἱὸς ἀριστοβούλου* pro *ὑσαριστοβούλου* (360, 24), *υἱὸς αὐτοῦ* pro *ὑσαυτοῦ* (371, 4), *εἰς ,βτ´* pro *εἰ σβτ´* (393, 13), quod inendum et in **PQ** latet. p. 445, 9 post *ἐξάψαντος* perperam repetuntur in **R** uerba *ἅμα τοῖς παισί*. in **M** hoc loco repetuntur *ἅμα τοῖς παισὶ καὶ τῶν κατὰ Χριστιανῶν*, quae uerba scriba statim elisit, sed ita ut uerba *ἅμα τοῖς παισὶ* elidi minus uideantur quam cetera. quae me ut conligam **M** ex **P** descriptum esse in primis hortantur sunt lectiones hae: p. 361, 14 scripsit **P** *Γαδινίου*, deinde insuper correxit *Γαβινίου* tali modo, ut hae litterae uix legi possint: in **M** legimur *Γα . . . νίου* et in **R** *Γα νίου*. p. 444, 9 in **P** repetuntur cum indiciis delendi *μεγάλη . . . συνέστη*: per confusionem ordinis legendi **M** omisit *συνέστη*, quod uerbum et ex **R** deest. p. 447, 18 **M** et **R** omiserunt *δυσμάς*, quod uerbum in **P** stat infima pagina (fol. 34[r]) textu disiunctum. p. 448, 2 inter *δὲ* et *ἐξανίστασθαι* repetuntur in **P** cum indiciis delendi *λοιπὴν ἐσθῆτα παρα-*: **M** et **R** scripserunt *δὲ παρεξανίστασθαι*. p. 451, 10, quo loco **P** uerba *βασάνοις . . . πειρωμένου* omisit


et in margine addidit, **M** et **R** uerba restituerunt perperam ante *καὶ*. oportet ergo nos **M** ex **P** deriuare et **R** ex **M**.

Ex Vallicelliano praeterea descripta sunt excerpta codicis Mediolanensis Ambrosiani 989 D 474[11], ut docet inscriptio: *il princ° della chronographia il Giorg° Singelo ch'è di ch. 32 nell'esemplare in 4° Il Vesc° di Cerigo*, nam in Vallicelliano textus Georgii Syncelli exhibetur foliis 1–32.

Codex Basiliensis 82, chart., alt. cm 30, lat. cm 21, foliorum 663, uersuum 20, saec. XVI exaratus. de hoc libro, quem non adhibuit de Boor, difficilius est iudicare. cum **M** et **R** modo consentit, modo cum **P** et **Q**. licet fortasse potius ex eodem antiquo exemplari descriptus sit atque **P**, quam ex ipso Palatino, decreui tamen et hunc librum apographum esse codicis Palatini, latentibus in eo mendis nonnullis, quae mihi uidentur ex Palatino potius quam ex antiquo exemplari in omnes recentiores transisse. **S**

p. 368, 17 in **S** ut in **Q** legimus *,ε ιγ'* ex compendio Palatini *,ε- ιγ*, quod correxerunt **MR** *,ετιγ'*. p. 370, 25 scripsit **P** *ἐπέλαβον*, deinde supra correxit *α*-, quam correctionem adoptauerunt **QMR**: in **S** legitur *ἐπέλαβον* (α supra) ita ut in **P**. p. 441, 20 post *καὶ* ad extremam lineam scripsit **P** litteram superuacaneam *τ*, quam omisit **Q**, in *τι* mutauerunt **MR**, et sic retinebat **S**. p. 448, 2 habet **S** cum **QMR** *παρεξανίστασθαι* ex eodem mendo in **P**, uerbis *λοιπὴν ἐσθῆτα παρ-* perperam repetitis. p. 451, 10, quo loco ea uerba, quae **P** praetermisit et in margine addidit, **QMR** falso restituerunt, eadem inseruit **S** post *εὐπαράγωγον* cum **MR**, sed praetermisit *καὶ* post uerba restituta. p. 459, 13 praetermisit **S** cum **Q** *πάλαι*, quod uerbum **P** ex textu omisit et super lineam inseruit. p. 468, 26 pro *ὑπείδετο* **P** scripsit *ἐπείδετο*, deinde supra correxit *υ*, quam lectionem correctam exhibet **Q**: **M** et **R** *ἐπείδετο* habent, in **S** legimus *ἐπεὶ δὲ τὸ*.

Omnes recentiores ergo mihi uidentur ex unico Palatino defluxisse, ut ad textum constituendum solum Palatinum adhibere necesse sit. ut studiis codicologicis seruiam, collationes recentiorum pleniores quam ad textum edendum postulandae essent in apparatu critico retuli. siglo **z** designaui codicem iam deperditum, ex quo **P** et eius apographa defluxerunt. an idem codex saec. X fuerit **z** ex quo fragmenta Basiliensia **z**



Theophanis quae repperit J. E. Powell (BZ 36, 1936, 5) nescio. recentiores quomodo inter se cohaereant per stemma (p. XV) facile exhiberi potest.


Restat ut de coniunctionibus inter **P** et codices antiquiores huius familiae disseram. locos ante p. 366, 3 praetermittam **T** deficiente, necnon locos inter 373, 12 et 393, 6 **P** deficiente. ex textu reliquo ita liquet **P** cum **O** et **C** maxime congruere, ut hi tres libri in unam cateruam coeant contra **T** et **V**. **P** et **O** contra ceteros congruunt uerbis *ἦν . . . προδηλοῖ* omissis p. 393, 12, *Ἴθμὸν* pro *Ἰσθμὸν* scripto p. 414, 14, *πρὸς* pro *πρὸ* lecto p. 464, 2. cum **C** congruit **P** uerbis *ἐπανέρχεται . . . ἡττηθεὶς* omissis p. 369, 7–8, quae **P** in margine restituit, p. 420, 18 *μάρτυς* uel *μάρτης* pro *μαρτυρεῖ* lecto, et p. 457, 6 *ἀνέστητος* uel *ἀνέσθητος* (**C**) pro *ἀναίσθητος* scripto. ex casu fortasse tales coniunctiones exortae sunt, sed multi sunt loci quos **C**, **O**, **P** aliter ac **TV** tradunt.

411, 9 *μόνος* **COP**: *μόναις* **TV**; 417, 21 *ἔτη ρο'* **CO**: *ἔτη ρ'* **P**: *ἔτη ρ' οὕτως* **TV**; 425, 7 *στασιάστας* **COP**: *στασιάσαντας* **TV**; 425, 16 *Πρῖμος ἔτη β'* perperam repetunt **COP**, *Ἰωάννης ἔτη β'* recte **V**, notitiam om. **T**; 426, 24 *σέκστος* **COP**: *σέκτος* **TV**, recte *Σέξτος*; 427, 21 *κατασπαρέντες κατὰ παντόθεν* **COP**: *διασπαρέντες κατὰ παντός* **TV**; 461, 4 *περισωτέρω* **COP**: *προσωτέρω* **TV**; 464, 9 *παρασφάλλονται* **COP**: *παρασφάλλομαι* **TV**; 466, 3 *ἀνανδρείᾳ* **COP**: *ἀνδρείᾳ* **T**, om. in lac. **V**; 476, 6 *δοξοποιῶν* **COP**: *δοξοκοπῶν* **TV**. his locis **T** cum **V** congruit contra **COP**.

Compluribus autem in locis **T** cum **COP** consentit contra **V** qui aut solus aut cum **A** lectionem pristinam tradit, **B** per ultimam partem deficiente.

422, 14 *εἴασεν* **AV**: *εἶπεν* **COTP**; 425, 18 *ἰωάννης* **AV**: *πρῖμος* **COP**, om. **T**; 427, 23 *βαίαις* **AV**: *βεβαίοις* **COTP**; 430, 16 *ὁ ἱερώτατος* **AV**, om. **COTP**; 448, 9 *πάντων* **AV**: *παρόντων* **COTP**; 449, 18 *τὸ πρῶτον* **AV**: *τὸ δ'* **COT**: *τὸ δῦ* **P**; 468, 17 *ἀκαλλιερήτους* Euseb.: *ἀκαλληερίτους* **V**: *καλλιερήτους* **COTP**: *καλιερήτους* **A**. nonnunquam autem **T** proprium iter perperam fecit: 366, 6 pro *φασιν* scripsit **T** *φίλον*, p. 422, 20 *ἀπολείας* pro *ἀμελείας*, p. 470, 14 *κακίαν* pro *Δακίαν*. p. 402, 3 agnationem Agrippae aliam interpolauit et compluribus in locis notitias marginales in textum transtulit (e. g. p. 431 et 460).

Nostri igitur codices huius familiae in tria genera diuidi possunt ut sic per stemma liceat exhibere.




Exemplar, ex quo **A** et **B** defluxerunt, textum aliter tradidisse ac **t** patet. multis in locis **A** uerba pristina omisit, quae **t** exhibebat. an haec menda in exemplari fuerint discernere non possumus, **B** post 416, 19 deficiente. ex ea parte textus quantulacumque, quae exstat in **A**, **B** et **t**, compluria sunt exempla traditionem bifurcam esse docentia: p. 360, 10 *οὖν* **AB**, om. **t**; 360, 10 *κάστελον* **A**: *κάτελλον* **B**: *καθ' ἕλληνα* **t**; 360, 18–19 *αὐτοκράτωρ ἀνηγορεύθη καὶ* **AB**, om. **t**; 362, 18 *ἐπῆλθεν αὐτοῖς μετὰ πλείονος προσβολῆς* **AB**: *αὐτοῖς ἠβουλήθη μετὰ πλείονος* **t**; 365, 25 *ἀπὸ κατὰ ῥώμην ἔτη* **AB**: *ἀπὸ κτίσεως ῥώμης ἔτη* **t**; 366, 16 *ἀναχθεὶς* **AB**: *ἀναδειχθεὶς* **t**; 382, 18 *ἐνανθρωπήσεως* **AB**: *σαρκώσεως* **t**; 386, 10 *γαλιλαίας* **AB**: *γαλλίας* **t**; 404, 22 *κλαύδιον* **AB**, om. **t**; 408, 2 *ἰάκωβον* **t**, om. **AB**; 410, 17 *σωτῆρος* **AB**: *πνεύματος* **t**. p. 398, 2; 400, 5; 404, 7 **AB** interpolauerunt uerba superflua in formulam *τῆς θείας σαρκώσεως*.

Hanc diuisionem ante annum 870 factam esse testantur excerpta Latine interpretata Anastasii, qui libro usus est simili nostris **O** et **C**, Nicephori chronographiam ante postremam partem Georgii Syncelli exhibenti, qui etiam lectiones **t** contra **AB** legebat, ut docet p. 66, 6 = 410, 17 *spiritu*. agnationes autem haud facile est discernere, nam de Boor diuisionem et in traditione Theophanis factam esse ante Anastasium demonstrauit, nostro Vat. 154 unum genus testante, alterum Anastasio et ceteris nostris codicibus Graecis. ostendit praeterea de Boor codicem Parisinum 1711 textum praebere deteriorem textu illius alterius generis. certe iudicari non potest. mihi tamen uidetur textum Georgii Syncelli ab ipsis temporibus Theophanis in duobus partibus circumagi. Georgium opus suum ad primum annum Diocletiani deduxisse testatur Theophanes in praefatione, ipse deinceps e materia ab Georgio relicta (*ἀφορμάς*) opus complere moliens. Georgius fortasse aut codicem unum oppleuerat, deinde in altero a temporibus Pompei Magni scribebat aut priorem partem absolutam rescripserat sed postremam inchoatam reliquerat. ex alterutra causa Theophanes librum seiunctum composuit, continuationem suam postremis Georgii laboribus adiungens. prior pars ergo in libro uno raro ob molem doctrinamque inusitatam descripto ferebatur, ulterior in altero libro continebatur saepe ad Theophanis opus uulgandum descripto.

In utroque codice Parisino, qui totum opus olim continebat, indicia exstant ex exemplari descripta, quae mihi uidentur intercapedinem magni momenti significare, quamquam res narratae uirgulam talem non requirunt. in **A** p. 168 legimus ita: *ὡς δηλωθήσεται* ∴ ÷ ∴ *πομπήιος οὖν*. similiter in **B** f. 120ʳ legimus ad finem uersus *ὡς δηλωθήσεται* : ÷ deinde nouum caput incipit *Πομπήιος οὖν*, illa littera principe *Π* ita

grandiore scripta, ut per quattuor uersus extendatur. talibus litteris grandibus interpellationes et alibi scriba denotat, sed littera tam alta tam calligraphice adornata in hoc loco solo apparet. qui exemplar scripsit, ut mihi persuasi, ex altero codice priorem partem descripsit, deinde postremam partem una cum continuatione Theophanis ex altero. inscriptionem secundam omisit et partes olim discretas iam coniunxit uerbo *οὖν* addito. ex margine in textum uerba *Πομπήιος αὐτοκράτωρ ἀνηγορεύθη* etiam transtulit. ex hac ratione stemma, quod de Boor ex textu Theophanis accurate conlegit et quod stemma ex textu Georgii apparet, hoc modo coaptari possunt.



Argumenta praeterea sunt nonnulla alia ex quibus conligamus libros inter se ita cohaerere. codices Vat. 978 et Paris. 1711 in textu Theophanis maxime congruere de Boor demonstrauit. truncatus est Vat. 978 et initio et fine, sed gaudens scripsit librarius *εὔθυμος ὤφθην τὸ μέσον βίβλον φθάσας* tali loco ut uideatur exemplar ex postrema parte Georgii Syncelli incepisse (de Boor 384). si ex eodem exemplari descriptus sit Paris. 1711, ut docet de Boor, fulcitur nostra coniectura hunc codicem gemellumque eius **B** e duobus libris olim seiunctis defluxisse. interpolationes praeterea, quas exhibere Paris. 1711 et Vat. 978 in textu Theo-

phanis de Boor demonstrauit, eiusdem modi sunt ac additamenta, quae in postrema parte Georgii **A** et **B** interpolauerunt, praesertim in formulis sacris (e. g. p. 398, 2 *τῆς θείας {καὶ ὑπερενδόξου} σαρκώσεως {τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ} ἔτη λδ'*). Paris. 1711 cum Vat. 155 et Anastasio saepe congruere ostendit de Boor (523). in textu Syncelli sunt nonnullae lectiones, quas hi tres soli recte tradunt: p. 430, 16 *ὁ ἱερώτατος* **AV**, *sacer* Anast. 69, 19: om. cett.; p. 453, 24 *σιδώνιος* **AV**, *Sidonius* Anast. 72, 35: *διονύσιος* cett. de agnatione codicis Vat. 154 tamen nostrum stemma a de Boor maxime differt. hunc librum aut solum aut cum fragmentis in Barb. V 49 asseruatis lectionem pristinam contra ceteros exhibere demonstrauit de Boor ex pluribus locis. in textu Georgii Syncelli autem, ut supra notaui, hic liber saepe cum **COz** lectionem deteriorem exhibet, quod etiam loci nuper citati docent. in stemmate itaque conieci Vaticanum 154 descriptum esse ex exemplari ad hanc quidem familiam attinente, sed ex altera praesertim in Theophanis textu emendato.

DE TRADITIONE OBLIQVA

In textu praesertim prioris partis Georgii Syncelli edendo adhibui etiam tres libros manuscriptos excerpta exhibentes, quae et inter se cohaerent et notitiis nonnullis Georgii propinquant. quorum opusculorum adhuc ineditorum maxime prodest chronicon incerti auctoris, qui per H. Gelzerum innotuit et hodie ps. Symeon plerumque nuncupatus est. liber princeps huius auctoris est codex Parisinus, B. N. Gr. 1712, liber membranaceus foliorum 422 (praeter nonnulla chartacea adiuncta), uersuum 38, alt. cm 26, lat. cm 15, saec. XIII exeunte exaratus. continet post nonnulla miscellanea f. 6[r] initium chronici Symeonis Logothetae, post quod opus subito f. 12[v] abruptum anonymi narratio de aedis Sanctae Sophiae CP exstructione sequitur. de nouo incipit f. 18[v] narratio historica sub inscriptione *ἀρχὴν μὲν ἀδὰμ ἔσχεν ἡ βίβλος καὶ τέλος τὸ πορφυρογέννητον εὐσεβὲς κράτος*. deinde f. 272[r] opus historicum Leonis Diaconi exhibetur post quod f. 322[r] chronographia Michaelis Pselli. de priore parte usque ad tempora Romana huius operis ps. Symeonis disseruit H. Gelzer, Sextus Julius Africanus tom. 2, 280–293, 357–384. hoc chronicon inter fontes Georgii Cedreni fuisse Gelzer demonstrauit, codice Parisino textum meliorem quam Cedrenus praebente. cuius auctorem praeterea docuit Gelzer ex Georgio Syncello modo hausisse, modo ex libro materiam similem exhibente, quem fortasse ipse Georgius Syncellus adhibuit. quibus de rebus ualde inuolutis neque

ps. Sym.

facile est iudicare neque proprium mihi praefanti copiose disserere praeter quae infra paucis uerbis docebo de coniunctionibus inter chronicon ps. Symeonis et notitias in codicum Syncelli marginibus exstantes. dum chronicon et ex codice Parisino et ex aliis textibus parallelis editum sit, non libet maturius disputare. uideat interim lector opusculum, quod sub titulo *Ἡ Χρονογραφία τοῦ Ψευδοσυμεὼν καὶ οἱ πηγές του* anno 1978 Ioanninae scripsit Athanasius Marcopoulos, qui etiam editionem in corpore fontium historiae Byzantinae Berolinensi molitur. locos codicis Parisini 1712, qui ad textum Georgii Syncelli aut uerbatim aut ad rem pertinent, in apparatu fontium testiumque citaui nomine Ps. Sym., quo nomine etiam in apparatu critico lectiones uarias praebui. chronicon, cum necdum editum sit, citaui numeris foliorum codicis relatis, quibus subiunxi aut locos compares editionis Cedreni Bonnensis aut paginarum numeros in quibus notitias Parisinas a Cedreno non excerptas edidit Gelzer.

Iohann. Anag.

Excerpta nonnulla, quae Parisinis propinquant, inueni in codice Atheniensi Bibl. Nat. 2492 foliis $108^{v}-116^{r}$ sub nomine Iohannis Anagnostae, ob cuius cognitionem gratias ago uiro docto Bernard Flusin, cui obuiam feliciter ueni apud sodalitatem palaeographicam (IRHT) Parisiis uere anni 1979. editionem Iohannis ex compluribus libris manuscriptis molitur B. Flusin, qui me docuit excerpta Syncelliana in codice Atheniensi solo exstare, quem librum subinde eodem anno Athenis perscrutaui. liber est membranaceus foliorum 184 male conseruatorum, exaratus ut mihi uidetur saec. XIII. excerpta Syncelliana incipiunt folio infimo 108^{v} sub titulo atramento rubro scripto: *μωυσέως χρονογράφιον· ἀφρικανοῦ ἰωσήππου εὐσεβίου τοῦ παμφίλου· ἰωάννου ἀναγνώστου κωνσταντινουπόλεως· καὶ ἄλλων τινῶν ἱστορικῶν ἐκ τοῦ βιβλίου γεωργίου συγγέλου ἐξ οὗ καὶ ἐξελεξάμην ὡς ὑποτέτακται.* sequuntur f. 109^{r} excerpta ex initio libri Georgii Syncelli eadem fere quae in codice Par. 1712 et apud Cedrenum inuenimus. continet f. 109^{v} nonnulla ex Epiphanio, deinde f. 110^{r} eandem sententiam ex Iohanne Chrysostomo quam exhibent Syncellus 2, 19 et Par. 1712 f. 21^{r} = Cedr. 12, 20. deinde f. $110^{r}-115^{v}$ excerpta uaria ad historiam sacram pertinentia sub titulo: *χρονογραφία ἰωάννου ἀναγνώστου κωνσταντινουπόλεως· εἰξ̄ ἐν περιγραφὲς εἴσταμαι τȭ· ἰδιόχειρα τοῦ συγγέλου ἐξ ὧν ἐξελεξάμην ἐν οἷς ἐστι τὸ σημεῖον τοῦτο· τῆς λεπτῆς γενήσεως.* sequuntur excerpta ex libro Iubilaeorum, quae aliter exhibet Syncellus 3, 14–16; 8, 1–6, aliter ps. Sym. f. 19^{rv} = Cedr. 9, 9–10, 10, aliter cod. Athous Koutl. f. 111^{r}. deinde sub nomine Iosephi scribuntur eadem fere de Seth quae exhibet Paris. 1712 f. 21^{v} = Cedr. 16, 12–15. habet

f. 110^{v} narrationem de mundi diuisione similem ei, quam narrat Paris. 1712 f. 24^{r}–25^{v} = Cedr. 25–26. foliis 111^{r}–115^{v} continentur excerpta uaria uel ex Syncello deprompta uel e fonte compare, quorum prope omnia etiam apud ps. Sym. inueniri possunt, ut lectori ex apparatibus meis liquebit.

Paris. 1336

Aliusmodi sunt excerpta in codice Parisino, B. N. Gr. 1336, alt. cm 25, lat. cm 19, foliorum 160, uersuum 28, membr., saec. XI exarato, fine truncato. continet ff. 143–160 excerpta chronographica sub titulo *ἐκλογὴ τῶν χρονικῶν ἀπὸ ἀδὰμ ἕως Μιχαὴλ γαμβροῦ νικηφόρου βασιλέως· ἀπὸ ἰωάννου ἀντιοχέως ἱστορικοῦ ἀπὸ ἀδὰμ ἕως βασιλείας καίσαρος· καὶ γεωργίου συγγέλλου ἀπὸ ἰουλίου καίσαρος ἕως βασιλείας διοκλητιανοῦ· καὶ θεοφάνους ἡγουμένου τοῦ ἀγροῦ ἀπὸ διοκλητιανοῦ μέχρι λέοντος τοῦ ἀρμενίου*. incipiunt f. 156^{r} excerpta Syncelliana et desinunt temporibus Traiani f. 160^{v}, quo folio deficit codex. non e nostra traditione Georgii Syncelli exstante haec excerpsit auctor, sed ex libro Syncelliano simili ac quem adhibuit ps. Sym. excerpta sunt eadem fere quae exhibent cod. Paris. 1712 et Cedrenus, easdem uarias lectiones praebentia, e. g. p. 363, 5 *καταστρεψάμενος* **ABt**: *χειρωσάμενος* ps. Sym., *ἐχειρώσατο* Paris. 1336; p. 405, 14 *διδράχμων* **A**: *διδραγμάτων* **Bt**: *δραγμῶν* ps. Sym., Paris. 1336. exhibet f. 159^{v} eandem de Titi liberalitate sententiam quam Paris. 1712 f. 78^{r} = Cedr. 380, 13, quae in codicibus nostris Syncelli non traditur. ex hoc libro descripta sunt eadem excerpta in codice Parisino 1765, saec. XVII, ff. 2–38 et iterum ff. 263–301. excerpta similia Slauice uersa in libro saec. XV exarato (Mus. Rumjanceui 1289) annuntiauit V. Istrin, Žurnal Ministerstva Narodnago Prosvěščenija 348, Moscouiae 1903, 381–404.

Quali ex libro Syncelliano hi tres auctores hauserint, nescio. liber praesertim res ad historiam sacram pertinentes narrauit, ut ex excerptis apparet, quamquam sunt etiam nonnullae notitiae profanae eis similes, quas sub uerbo *σποράδην* exhibet Georgius. huius libri auctor fortasse Syncellum et fontem eius Panodorum contaminauit, ut arbitrabatur Gelzer. mihi autem pariter uidetur ipse Georgius Syncellus illam chronographiam breuiorem composuisse quam deinde ipse adhibuit librum pleniorem operans. de hac re autem sine pluribus quam adhuc repperimus testimoniis uanum esset diuinare. certum est nihilominus eundem librum notitiis in codicum nostrorum marginibus scriptis subiacere, de quibus igitur iam disserendum est.

DE MARGINALIBVS

In marginibus omnium nostrorum codicum Georgii Syncelli antiquiorum notitiae ad textum pertinentes apparent, quae ex codice archetypo uel etiam ex codicibus duobus archetypis duarum operis partium, si recte supra decreui, defluxerunt; nam et haec marginalia alterius esse ordinis in priori parte alterius in postrema uidentur. in priori parte **A** et **B** testantibus generum trium sunt notitiae: aliae, quae raro occurrunt, ad ipsum Georgium rationesue eius libri referunt, aliae ad textus menda corrigenda, ceterae pleraeque ad res historicas in textu narratas. ex huius tertii generis notitiis frequentibus perpaucas ediderunt Goar et Dindorfius. ceteras praetermiserunt, cum eas perperam nullius momenti arbitrabantur esse uelut ex ipso codice pro indice descriptas. quarum Gelzer nonnullas cognouerat ex eodem fonte ac codicem Paris. 1712 descriptas esse, praesertim quae de Croeso et Cyro narrant, p. 277; 281; 282. multae praeterea sunt notitiae breuiores non ex textu nostro Syncelli simpliciter excerptae sed ad fontem parem referendae, ex quo etiam ps. Sym. hausit. pauca exempla hoc loco sufficiant, nam cetera lector ex apparatibus meis deducere potest. in margine ad p. 10, 9 habet **A** *ἑρμηνεύεται ὁ ἐνώς*. in Paris. 1712 f. 22ʳ = Cedr. 17, 10 legimus *ἐνὼς γὰρ ἑρμηνεύεται ἄνθρωπος*. ad p. 90, 11 habet **B**ᵐ *ὅτι καινὰν περιπατῶν εἰς τὸ πεδίον εὗρε τὴν γραφὴν κτλ.*, quam notitiam etiam ps. Sym. f. 26ʳ et Cedr. 27, 11 exhibent. ad 141, 25 **B**ᵐ notat decem plagas Aegyptiorum eisdem uerbis ac ps. Sym. f. 31ʳ = Cedr. 132, 15, quae deficiunt apud nostrum Syncellum. ad 309, 19 **A**ᵐ et **B**ᵐ habent notitiam de montis Aetnae eruptione uerbis aliis ac noster Syncellus, eisdem quibus ps. Sym. f. 55ᵛ. quas notitias marginales ex exemplari existimo descriptas esse edidi omnes infra textum. lineae numerum indicaui prope quam incipiat quaeque notitia marginalis. quae ad ps. Sym. referunt, dimidiam fere partem constituunt. si autem locum similem ps. Symeonis semel ad textum citaui, iterum ad marginalia in apparatu fontium non repetiui.

In postrema textus parte inter duas recensiones notitiae marginales se diuidunt, quarum unam omnes codices antiquiores communicant, alteram **AB** tantum. qua re in hac parte ante omnem notitiam codices eam tradentes indicaui. quae **AB** soli communicant saepe ad ps. Symeonem referunt, quae **ABt** autem raro. hanc secundam recensionem ex alterius familiae archetypo defluxisse docet Anastasius, qui duas notitias in nostrorum codicum marginibus scriptas in textu tradidit (60, 19 = 362, 11 **ABt** marg., 66, 33 = 415, 14 **At** marg.).

DE LIBRIS NON ADHIBITIS

De libris manuscriptis in catalogis cum nomine Georgii Syncelli commemoratis, quos non adhibui, oportet, praeter quae apographa supra dixi, iam breuiter docere.

Codex Bucarestiensis Acad. Roman. 268, saec. XVII, continet excerpta miscellanea e Goari editione descripta, ut apparet ex erroribus Goaro propriis et e numeris editionis paginarum in codicis marginibus scriptis.

Codex Lipsiensis Bibl. Vniuersitat. Rep. I, 49, saec. XVII, opus Georgii Monachi Hamartoli continet ex uetusto codice Bibliothecae Augustanae descriptum, ut monet inscriptio. hunc librum mutilum Augustanum commemorauit Allatius in diatriba de Georgiis (p. 26 apud Fabricium-Harless tom. 12). titulum habet quem similiter tradunt complures libri manuscripti Georgii Hamartoli: *γεωργίου καὶ λογοθέτου· χρονικὸν σύντομον ἐκ διαφόρων χρονογράφων καὶ ἐξηγητῶν συλλεγὲν καὶ συντεθὲν ὑπὸ γεωργίου μοναχοῦ καὶ συγκέλου.* quibus de libris uideat lector Carolum de Boor editioni suae Georgii Monachi praefantem (Lipsiae 1904).

Codices Londinenses B. L. Arund. 529 et Burn. 284 sub nomine Georgii Syncelli commemorauit M. E. Colonna (Storici Bizantini, Neapoli 1956), sed ex catalogis J. Forshall apparet cod. Arund. excerpta continere de rebus non a Syncello narratis et cod. Burn. ad Anastasium pertinere.

Inter codices Parisinos, B. N. suppl. Gr., sunt complures nomen Georgii Syncelli tradentes. cod. 20 (saec. XVII) continet quae de Georgio commentauit Ismael Bouillard. cod. 249 (anno 1568) continet excerpta ex uariis codicibus Parisinis descripta, inter quos cod. 1711 adhibitus est. cod. 270 (saec. XVII) continet Georgium Monachum Hamartolum. cod. 327 est liber Peyrezianus supra p. VI commemoratus. codd. 426 et 427 (saec. XVII) continent excerpta ex codd. 1711 et suppl. Gr. 327, quae descripsit et commentauit Hautin. cod. 467 (saec. XVII) continet miscellanea chronographica sub titulo *βιβλίον χρονογραφικὸν κυροῦ γεωργίου τοῦ συγγέλου καὶ ἰουστίνου καὶ εἰρηναίου τῶν παλαιῶν χρονογράφων περιέχον περὶ τοῦ πότε ἐκτίσθη ἡ ῥώμη καὶ περὶ τῶν βασιλέων αὐτῆς καὶ περὶ τῆς κωνσταντινουπόλεως πότε βασιλὶς καὶ περὶ τῆς ἁλώσεως αὐτῆς ὑπὸ τῶν ἀγαρηνῶν,* de quo libro byzantino-turco breuiter dixit Krumbacher I 400. cum Syncello uero nostro nihil agit. cod. 505 est editio Goari cum uariis lectionibus ex cod. 1764 in marginibus manu scriptis. cod. 881 (saec. XVII) continet notas et collationes in Georgii Syncelli chronicon opera D. Antonii Pouget, ut monet inscriptio, in quo libro editionem Goari cum codd. 1711 et 1764 contulit Pouget.

Codex Vaticanus Barberinianus 192 e nescio quo codice uetusto descriptus est manu Leonis Allati. continet inter alia excerpta e Georgio Monacho Hamartolo et Ioel, de quo uide ipsum Allatium breuiter dicentem in diatriba (apud Fabricium-Harless tom. 12, p. 32). de Ioeli libris manuscriptis uide O. Mazal, Jahrbuch der Österreichischen Byzantinistischen Gesellschaft 16, 1967, 128.

Codex Vaticanus Barberinianus 234 saeculo XVII descriptus est ex codicibus Vaticanis 153, qui liber textum Georgii Monachi tradit, et 154, de quo supra dixi, cuius absens initium suppletum est ex Palatino 395. hos tres libros fontes esse codicis Barberiniani docent adnotationes in marginibus eadem manu scriptae.

DE NOSTRAE EDITIONIS RATIONIBVS

Restat ut breuiter quas in textu apparatibusque constituendis secutus sim rationes exponam. chronographiam Georgii Syncelli ut ederem potius mihi proposui quam redigerem, quare lectiones codicibus traditas

non emendaui, nisi uel e disciplina critica uel e fontibus parallelis conlegi Georgium ipsum aliter scripsisse ac librarios. unumquemque a codicibus discessum in apparatu critico notaui. errores necnon emendationes ineptas Goari et Dindorfii silentio praetermisi. orthographiam Georgii restituere conatus sum uariationes minoris momenti praetermittens interpungendi, accentuum, aspirationis, necnon litterarum iota subscripti et ny mobilis. uariationes tamen inter *αι* et *ε*, inter *ι*, *η*, *υ* saepius fortasse notaui quam inter editores moris est, praesertim in nominibus propriis. semper autem in textu *Μωυσῆς* scripsi sine notationibus in apparatu, codicibus inter *Μωυσῆς* et *Μωσῆς* sine ratione vel discrimine inconstanter uacillantibus, similiter semper *Νισάν* scripsi, quod uerbum *νισσάν* plerumque **A** reddit, *νησσάν* **B**, *νησάν* **t**, *νισάν* **E**, *Nisan* Anastasius. attamen in notitiis marginalibus edendis usum codicum propius secutus sum haec uerba reddens. in numeris transcribendis usum codicum secutus sum, qui plerumque litteras potius quam uocabula adhibent. uocabula non scripsi, nisi ita in archetypo scripta esse iudicaui, sed apparatum uariationibus codicum inter litteras et uocabula non oppleui. in formula *τοῦ δὲ κόσμου ἦν ἔτος* frequenter omisit *ἦν ἔτος* **A**, quod in apparatu totiens notaui ut lector animaduertat, sed ne nimis redundet apparatus nonnunquam praetermisi et hanc et alias minimi momenti discrepantias. codices ex quibus textum edidi, cum perpauci sint, super apparatum non signaui nisi in ea pagina ubi codex aut deficit aut rursum incipit. in textus facie reconstituenda **B** pro fundamento in priori parte adhibui, consensum **COTV** in posteriori. inter titulos superscriptionesque tria genera distinxi ut in codicibus, tres modos imprimendi adhibens. tituli *ΚΟΣΜΟΥ ΕΤΗ* litteris grandibus exhibentur ita ut in **B** in priori parte. titulos ordinis secundi, sicut pro filis regnorum in priori parte et pro formula *ΚΟΣΜΟΥ ΕΤΗ* $\overline{ΕΧΠΕ}$ in posteriori, litteris maiusculis exhibui. superscriptiones tertii ordinis, ut *Εὐσεβίου πρὸς λέξιν περὶ τοῦ παρὰ Σαμαρείταις*, litteris erectis ostentaui, quibus etiam pro notitiis in codicibus atramento rubro scriptis usus sum. in textu interpellando, sententiis capitibusque secernendis codices optimos itidem secutus sum. uarias lectiones e fontibus in apparatu critico notaui, si aliquid ad textum intelligendum ualeant. litteris superscriptis nonnunquam adhibitis significo uarias lectiones in fontium codicibus, e. g., Gen.^{A} = codex Alexandrinus libri sacri Genesis.

De uita, de studiorum rationibus et de fontibus Georgii Syncelli mihi praefanti copiosissime disserere non proprium fit. tomum grandem doctissimumque hae res et ad Georgium et ad traditionem chronographicam antiquitatis exeuntis pertinentes requirunt. quibus studiis post

Gelzerum nimis neglectis et ualde iam desideratis meam editionem, qualiscumque sit iudicanda, spero prodesse. quae autem ad apparatum fontium pertineant et quae ad eum instruendum nitens crebro praeter exspectationem didicerim quam breuissime iam docebo.

Testimonia de Georgio, ex Theophane, Anastasio, Ioanne Scylitza et Cedreno petita, infra dedi, quae eum docent sub Tarasio patriarcha CP (annis 748–806) syncello quondam functum esse, fortasse honoris causa. per maiorem autem partem uitae monachus in Palaestina uersatus est, fortasse in monasterio Sancti Charitonis, ut ex scientia Georgii geographica nuper admonuit Cyril Mango, Zbornik Radova, Beogradii 1978, 9–17. post mortem Tarasii, ut uidetur, rediit in monasterium, nescio an idem quod prope Cyzicum Theophanes condiderat. opus suum ab initio mundi usque ad annum mundi 6300 extendere uolebat, ut dixit praefans (p. 2, 32 et 6, 12), et se in eo adhuc exercebat anno mundi 6302 (p. 244, 31). mortem Alexandri Magni et initium regni Philippi Arrhidaei anno 5170 assignauit (p. 241, 7; 244, 23; 315, 1), ut aera Alexandrina subiaceat et conligendum sit Georgium inter annos nostros 807 et 809 laborauisse. moriens anno fere 810, antequam ad calcem suam peruenisset, ut opus perficeret ab Theophane impetrauit, qui chronographiam deinceps ab Diocletiano usque ad Michaelem (814) produxit. quatenus Theophanes ipse res historicas inuestigauerit, quantas ab Georgio iam inchoatas susceperit nuper exquisiuit Mango in opusculo supra citato.

Ipsius Georgii opus inscriptum est uel *Ἐκλογὴ χρονογραφίας*, ut ex codice Parisino 1711 innotuit, uel *Χρονογραφία σύντομος*, ut dixit Theophanes, uel *Χρονογραφία ἐν ἐπιτόμῳ*, ut inscribuntur codices familiae t. doctrinam studiaque propria in eo fingendo Georgium minime adhibuisse Scaliger iudicabat, qui (Thes. temp. passim) eum *delirum*, *stultissimum*, *indigna dictu pleraque uomentem*, *latrantem*, *uecordem*, *plane puerilem* obtrectauit, contra quas obiurgationes agitauerunt Allatius, Goar, Bredouius, Gelzer. ipse Gelzer autem, multa utilissima de Georgio eiusque rationibus disserens, eum monachos Alexandrinos saeculi V ineuntis Annianum et Panodorum plane exscripsisse effinxit. hanc nimis simplicem opinionem negauerunt alius de aliis rebus complures uiri docti. C. de Boor, BZ 1, 1892, 13–33, fontem communem ad imperium Romanum pertinentem Georgio et Zonarae fuisse demonstrauit, alium ac Dionem Continuatum, pleniorem chronicis Eusebii, in quo res sacrae et profanae pariter narratae essent. hoc iudicium praesertim de bellis Gothicis fulsit A. Alföldi, Berytus 4, 1937, 41–68 et 5, 1938, 47–92. ex Elia Nisibeno ostendit D. Serruys, BZ 22, 1913, 1–36, Georgium regna Chaldaeorum, Assyriorum, Medorum ex Anniano

recepisse, nec ut arbitrabatur Gelzer ex Panodoro, sed canonem ecclesiasticum Babyloniorum ipsum redegisse nec ut opinabatur Gelzer ex Anniano decerpsisse. R. Laqueur, RE 4, 1931, 1388–1410, Georgium declarauit Annianum et Panodorum adhibuisse pro re nata quidem sed non pro totius operis fundamento. Cyril Mango iam admonuit doctrinam industriamque Georgii etiam Theophani subiacuisse; nuperrime de Georgii eruditione ingenioque proprio disseruit G. L. Huxley, Proc. Royal Irish Academy 81, 1981, 207–217.

Hodie igitur redimus ad sententiam de Georgio Theophanis: *ἐλλόγιμος ἀνὴρ καὶ πολυμαθέστατος ὑπάρχων, πολλούς τε χρονογράφους καὶ ἱστοριογράφους ἀναγνούς . . . καὶ ἐπιδιορθωσάμενος καὶ συστήσας ὡς οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ.* sed ut decerneremus, quos libros ad quas res narrandas Georgius ipse suis oculis legerit, facultatem nondum possidemus. inter fontes priscos, quos saepe agnoscere possumus, et libros, ex quibus Georgius ipse hausit, longum interuallum interiacet. alios forma propria adhibuit, sed alios redactos, excerptos, per epitomas inter se contaminatos ita usurpauit ut uersionem pristinam ab breuiario recentiori distinguere plerumque nequeamus. auctores permultos nomine citauit ut thesaurum fragmentorum nobis traderet, sed per maiorem operis partem res sine auctore commemorato narrat. quae cum ita sint, ad apparatum fontium instruendum nisus sum eos locos textuum exstantium ut proferrem, qui ad locum quemque Georgii proxime accedunt. de fontibus quos identidem in apparatu lector inueniat breuiter hic docebo. aliis autem opus delego ut traditionem prorsum enodarent.

Pro fundamentis satis constat Georgium biblia sacra adhibuisse et Eusebii Pamphili chronica historiamque ecclesiasticam, de quibus primum agitandum est. biblia sacra ueteris testamenti Graeca per aliquot apographa adhibuit, ut ex uariis lectionibus aliquando citatis apparet et praesertim e codice eximio Caesariensi Cappadociae a Sancto Basilio exarato, quem ad annos Phacee constituendos adhibuit p. 240, 12 Georgius. liber autem quem plerumque usurpauit similis erat nostro codici Alexandrino, ut lectori ex apparatu critico saepe apparebit, sed inprimis p. 212, 13 et 266, 30 quibus in locis Georgius et codex Alexandrinus lectiones exhibent a uersione Graeca uulgata deficientes sed apud Hebraicam exstantes. haud dubito quin idem apographum, Alexandrini instar, et ad nouum testamentum adhibuerit, quamquam locos rarius uerbatim attulit quam ut nobis decernere liceret.

Eusebii Pamphili libros chronicos ex eodem apographo adhibuit, ex quo uersio adhuc exstans Armenia interpretata est, ut conlegi ex compluribus mendis communibus.

p. 305, 22 *καὶ ἀγορᾷ ἣν ὀμηρέθησαν* codd., *und auf dem Markt wurden Gesetze genehmigt* Arm. ex *καὶ ἐν ἀγορᾷ νόμοι*: *aediles* (id est *ἀγοράνομοι* ut uult Scal.) Hieron.; 309, 13 *ἔπεισεν* **AB**, *überzeugte* Arm.: *ἐπίεσεν* legit Hieron.; 331, 23 *ἀράβων* **AB**, *Araber* Arm.: *proeliantes* Hieron. (*ἁρπάγων* coni. Helm); 445, 5 *φαβιανὸς* **t**, *φλαβιανὸς* **A**, *Phabianos* Arm.: *Fabius* Hieron.

Quae ex historicis antiquioribus ut Castore, Diodoro, Abydeno, Berosso attulit ex libro Eusebii priori pleraque deprompsit. fila regnorum autem, ut mihi uidetur, potius ex canonibus libri secundi excerpta sunt quam ex chronographia libri prioris, uel fortasse ex tali serie regum qualem noster codex Armenius exhibet (e. g. 287, 12 et passim in aliis filis). attamen fila regnorum Georgii saepissime a filis Eusebii dissident, modo per corruptelas modo per numeros consulto mutatos. regna Chaldaeorum, Assyriorum, Medorum Elias Nisibenus docet Georgium ex Anniano recepisse. ad alia fila discrepantia in apparatibus citaui uersiones ad Georgii textum proxime accedentes. Georgius praeterea chronica Eusebii ex aliis auctoribus auxisse uidetur. historiam Macedonum (p. 234 et 315 sq.) pleniorem narrat ac e Diodoro Eusebius, et praecipue de Alexandri Magni successoribus amplius dicit (319–354 passim) quam Eusebius ex Porphyrio. notitias autem, quas sub titulo *σποράδην* exhibet, ex Eusebii canonibus plerasque hausit, sed alias aliter ac Eusebius tradit, alias ex aliis fontibus deprompsit, nonnumquam eandem rem in eodem capitulo bis refert, unam notitiam ex Eusebio praebens, alteram ex alio auctore. num chronica Eusebii ab aliquo iam redacta plenioraque facta, fortasse ut uolebat Gelzer ab Anniano aut Panodoro, adhibuerit Georgius non liquet. mihi posse uidetur Georgius ipse additamenta adiecisse. nam chronica Eusebii prisca, uel potius sub eadem forma quam interpretes Syri Armeniique, usurpauit, ut apparet ex tot mendis communibus latentibus. in opusculo meo de Eusebii chronicis (Lewisburg et London 1979) affirmaui formam uersionis Armeniae ex exemplari Graeco descriptam fuisse, non ab interprete fictam. quae similiter Georgius exhibet me in hac opinione confirmant. Panodorum aut Annianum hoc exemplar Graecum finxisse eodem opusculo conieci ex temporibus ad redactionem requisitis, cui sententiae adhuc fidem tribuam. sed neque tunc neque nunc significare uolo id exemplar ab Eusebio alio modo differre ac per faciem chronographicam. quot autem et quales uersiones Eusebii chronicorum antiquitate exeunte circumuectae sint studiis propriis oportet inuestigari.

Ad historiam sacram narrandam fontes adhibuit Georgius alios complures. in posteriori parte Eusebii historiam ecclesiasticam usurpauit tali modo ut nihil mihi praefanti de hac re disserere necesse sit. ad res antiquiores autem libros adhibuit, quorum auctores rationesque agnoscere

minus facile est. notum est Georgium locos uerbatim attulisse ex libris Enoch et Iubilaeorum, quos aliter nisi per uersionem Aethiopicam non cognosceremus. saepenumero etiam librum Iubilaeorum ad res narrandas adhibuit, aliquando citatum, saepius sine nomine. aliis in locis res narrat facie similes sed apud uersionem Aethiopicam non inuentas, sicut p. 22, 13 de nuptiis Noachi filiorum, quarum notitiarum nonnullas (e. g. 11, 7) ex Anniano depromptas fuisse docet Barhebraeus. notitias alias Iosepho attribuit quas noster Iosephus non praebet, sed apud librum Iubilaeorum inueniuntur (e. g. 111, 17 et 120, 4). nonnullas notitias praeterea refert, modo sub titulo *βίος Ἀδάμ* (e. g. 5, 26), modo sine fonte nuncupato (e. g. 9, 21; 10, 14; 20, 33), quae a libro Aethiopico Iubilaeorum desunt, sed notitiis librorum Syrorum aliquantulum propinquant, sicut quas exhibent praeter Barhebraeum etiam libri *Me'ārath Gazzē* et *Debūrīthā*. hos duo libros edidit Angliceque uertit Wallis Budge, The Book of the Cave of Treasures, Londini 1927, et The Book of the Bee, Oxonii 1886. de hac traditione Graeca-Syriaca breuiter scripserunt etiam Gelzer (inprimis SJA 2, 249–297) et Charles in editione librorum pseudepigraphorum. in Palaestina igitur, ut uidetur, degens, antequam syncellus factus est, Georgius eosdem fere libros Graecos hodie deperditos usurpauit, nostro libro Iubilaeorum pleniores, quos per Syros cognouimus. pretium operae sit, si hi libri quomodo libris chronographicis Graecis coniuncti sint amplius inuestigemus. quae res cum hodie sub iudicio maneant, satis mihi ducendum erat in apparatu fontium librum deperditum *uita Adae* citare et ad Gelzerum lectorem delegare.

Praeter hos libros apocryphos et pseudepigraphos Georgius etiam priscum Iosephum, Iulium Africanum, Hippolytum adhibuit. Africani fragmenta iuxta Routh citaui, Hippolyti iuxta Frick, quorum fragmenta ceterum denuo colligenda edendaque sunt. multa etiam cum libro incerti auctoris Matritensi codice 4701 (Anon. Matr.) partitur Georgius, fortasse ex Hippolyto, sicut quae narrat de mundi diuisione (p. 46–56) necnon quae aliquando breuiter dicit, e. g. de morte Ieremiae (p. 268, 25). de Iulio Africano, ut mihi uidetur, temerius docuit Gelzer, nam Africanum suspicor ad chronographiam Byzantinam minus ualuisse et rarius subiacere quam censuit Gelzer.

Reges Aegyptiorum Georgius (p. 59–87) per duas recensiones e Manethone praebet, quarum unam Africano attribuit, alteram ex chronicis Eusebii deprompsit, quarum utramque edidit F. Jacoby, FGrHist 609 F 2–3. attamen in filis regnorum per opus dispersis duas alias tabulas exhibet. quam tabulam *βίβλος τῆς Σώθεως* (p. 41, 8) uulgo nuncupamus censuit Gelzer Panodorum ex Eusebio redegisse, recte fortasse.

edidit F. Jacoby, FGrHist 609 F 25–28. alteram tabulam regum Thebaeorum, quam Georgius ad Eratosthenem refert, Dexippo attribuit Gelzer. E. Schwartz autem (RE 1, 2859–2861) hanc tabulam proposuit deriuatam esse ex antiquo documento Aegyptiaco quod Graece interpretatum esset annis centum fere ante Christum natum. edidit F. Jacoby, FGrHist 610 F 1. quibus de rebus Aegyptiacis me confessus parum doctum esse, in apparatu fontium lectorem ad FGrHist plane delegaui.

Res profanas narrandas Georgius aliquando e Dexippo deprompsit, ut arbitrabatur Gelzer, modo nomine citato (e. g. 207, 24), modo sine nomine (e. g. 109, 24). attamen, ut mihi persuasi, Georgius permultas notitias hausit ex epitoma aliqua, cuius auctor ex libris historicis Pompei Trogi excerpsit et Graece interpretatus est. quare lector saepe in apparatu fontium Pompeium, Iustinum, Ampelium citatos inueniet. quod me inprimis ut ita censerem adduxit, nomen est *Σαφέρνους* p. 295, 17. etenim etiam Pompeius Trogus, ut docent prologus ad librum 2 et Ampelius 15, 9, in expeditione ad Marathonem narranda Tissaphernem pro Artapherne perperam dixit. alia multa in rebus Graecis narrat Georgius quae fragmentis Pompei Trogi propinquant, praesertim in narranda historia regni Macedonum (e. g. 252, 20; 313, 30) et regnorum Hellenisticorum (e. g. 320, 29; 330, 9; 332, 6). ex eadem fortasse epitoma ignoti auctoris multa Georgius deprompsit quae breuiario Eutropii propinquant. in bellis enim Pyrrhicis commemorat Georgius nomen *Κορνηλίου Τεντέλου*, fortasse e nomine *Κορνηλίου Λεντύλου* corruptum (p. 326, 27), quem consulem in rebus Pyrrhicis solus Eutropius nominat. quae alibi de rebus Romanis Georgius breuiter narrat apud Eutropium similiter dicta inuenimus, sicut p. 343–344 de bellis Hannibalicis et 354, 2–8 de Scipione. nonnulla autem, quae pariter ab Eutropio narrata non inuenimus, similiter commemorata inueniuntur in libro de Caesaribus, apud Orosium et scriptores historiae Augustae. conspicuum praeterea est nomem falsum *Κλαύδιον* (p. 376, 1), nam Festus (breuiar. 19) etiam Claudium Caesarem pro Gaio Caesare perperam praebuit.

Haec epitoma Graeca ex fontibus Latinis deriuata an eadem fuerit quam commemorat Georgius (p. 375, 1) sub uerbis *ὡς ἔν τισι Ῥωμαϊκαῖς ἐκδόσεσιν ἐμφέρεται* nescio. de Georgio, Zonara, Eutropio, scriptoribus historiae Augustae et aliis auctoribus, quomodo in bellis Gothicis Persicisque narrandis inter se coniuncti sint, disseruit Alföldi in opusculis supra citatis. similiter de talibus coniunctionibus per totam Georgii historiam profanam operae pretium sit inuestigare.

Auctores recentiores Georgius ipse legit, sicut Agathiam de nouo regno Persico (676–679) et patres quosdam ecclesiasticos interdum citatos, e.g.

Gregorium Nazianzenum (32, 25; 460, 15), de quibus non est necesse mihi hoc loco disserere. a quibus fontibus autem tabulas sacerdotum Iudaeorum episcoporumque sedium praecipuarum receperit Georgius non liquet. has tabulas, ut mihi uidetur, aliquis ex chronicis Eusebii redegit. attamen quae Georgius exhibet saepe a tabulis Eusebii differunt, et Georgius nonnunquam opinionem uariam refert. tabula sacerdotum Georgii tabulis quas exhibet Chronicon Paschale propinquat, de quibus disseruit Gelzer (SJA 2, 170–176). tabulae episcoporum similes sunt tabulis quas Nicephorus et Elias Nisibenus praebent. quas res enodare non nisus, in apparatu fontium citaui locos parallelos Eusebii notauique quomodo Georgius ab Eusebio discrepet.

Quae de fontibus supra dixi omni lectori omnia desiderata suppeditare sane nequeunt. meum autem est librum Georgii edere opemque ad eum legendum ministrare, aliorum est de rationibus fontibusque Georgii omnia omnino expedire. quorum lectorum et manibus et iudiciis hoc meum opus qualecumque sit iam absolutum mando.

scribebam in urbe Californiensi Sancti Didaci
Idibus Iuniis anni humanae salutis MCMLXXXII A. A. Mosshammer

TESTIMONIA DE GEORGIO SYNCELLO

ex praefatione Theophanis
p. 3, 9–4, 8 ed. de Boor

Ὁ μὲν μακαριώτατος ἀββᾶς Γεώργιος, ὁ καὶ σύγκελλος γεγονὼς Ταρασίου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, ἐλλόγιμος ἀνὴρ καὶ πολυμαθέστατος ὑπάρχων πολλούς τε χρονογράφους καὶ ἱστοριογράφους ἀναγνοὺς καὶ ἀκριβῶς τούτους διερευνησάμενος, σύντομον χρονογραφίαν ἀπὸ Ἀδὰμ μέχρι Διοκλητιανοῦ, τοῦ βασιλέως Ῥωμαίων καὶ διώκτου τῶν Χριστιανῶν, ἀκριβῶς συνεγράψατο, τούς τε χρόνους ἐν πολλῇ ἐξετάσει ἀκριβολογησάμενος καὶ τὰς τούτων διαφωνίας συμβιβάσας καὶ ἐπιδιορθωσάμενος καὶ συστήσας ὡς οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ, τάς τε τῶν ἀρχαίων βασιλέων παντὸς ἔθνους πολιτείας τε καὶ τοὺς χρόνους ἀναγραψάμενος καὶ κατὰ τὸ ἐφικτὸν αὐτῷ τοὺς ἀρχιερεῖς τῶν μεγάλων καὶ οἰκουμενικῶν θρόνων, Ῥώμης τε, φημί, καὶ Κωνσταντινουπόλεως, Ἀλεξανδρείας τε καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, τούς τε ὀρθοδόξως τὴν ἐκκλησίαν ποιμάναντας καὶ τοὺς ἐν αἱρέσει ληστρικῶς ἄρξαντας καὶ τοὺς τούτων χρόνους ἀκριβῶς ἐνέταξεν. ἐπεὶ δὲ τὸ τέλος τοῦ βίου τοῦτον κατέλαβε καὶ εἰς πέρας ἀγαγεῖν τὸν ἑαυτοῦ σκοπὸν οὐκ ἴσχυσεν, ἀλλά, καθὼς προέφημεν, μέχρι Διοκλητιανοῦ συγγραψάμενος τὸν τῇδε βίον κατέλιπε καὶ πρὸς κύριον ἐξεδήμησεν ἐν ὀρθοδόξῳ πίστει, ἡμῖν, ὡς γνησίοις φίλοις, τήν τε βίβλον ἣν συνέταξε καταλέλοιπε καὶ ἀφορμὰς παρέσχε τὰ ἐλλείποντα ἀναπληρῶσαι. ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀμαθίαν οὐκ ἀγνοοῦντες καὶ τὸ στενὸν τοῦ λόγου παρῃτούμεθα τοῦτο ποιῆσαι, ὡς ὑπὲρ ἡμᾶς τὴν ἐγχείρησιν οὖσαν. αὐτὸς δὲ πολλὰ παρακαλέσας ἡμᾶς μὴ ὀκνῆσαι καὶ ἀτέλεστον καταλιπεῖν τὸ ἔργον ἐβιάσατο ἐπὶ τοῦτο ἐλθεῖν. διὸ καὶ ἀναγκασθέντες διὰ τὴν τούτου ὑπακοήν, εἰς τὰ ὑπὲρ ἡμᾶς ἐγχειρήσαντες κόπον οὐ τὸν τυχόντα κατεβαλόμεθα.

[ex praefatione Anastasii Bibliothecarii*)
p. 33, 18–34, 11 ed. de Boor

Verum quia praecipue necessarium arbitror ea, quae a Theodosio principe iuniore in ecclesia gesta sunt, enarrandi, ad cuius uidelicet tempora Theodoretus Socrates et Sozomenus Eusebium Pamphili subsequentes libros ecclesiasticae historiae texuerunt, operae pretium duxi ex Georgii summatim quaedam et Theophanis chronographia plura sed succincte carpendi. quorum prior usque ad Diocletianum, posterior uero usque ad Leonem, qui post Michahelem imperauit, patrem scilicet Ignatii, qui adhuc superest habenas Constantinopolitanae tenens ecclesiae, praedicti operis sui stilum protraxit. qui autem sunt isti breuiter annotabo. horum igitur alter electa monastica uita mundoque contempto Christi se leui iugo et suaui sarcinae mancipauit; praeterea contra haereticos incessanti agone desudans multis uerberibus, mundi principibus contra ecclesiae ritum saeuientibus, diuersisque poenis affectus est. sic ergo stigmata Christi in corpore suo portans tam pro fidei suae constantia quam pro multarum uirtutum insignibus sanctae memoriae Tarasii

---

*) De hoc Anastasii testimonio, in quo res ad Georgium nostrum pertinentes cum rebus alterius Georgii propriis permiscentur, uide R. Laqueur, RE s. v. Synkellos (1931) 1389.

regiae urbis praesulis syncellus effectus est. sed, ne multa prosequar, sufficere arbitror ad praeconium eius, quod a sede approbatus sit apostolica, quando scilicet uicarii eius una cum trecentis quinquaginta patribus in Nicaea urbe secundo conuenientes uniuersalem synodum celebrarunt, siquidem et laus eius in eodem septimo et sancto concilio repperitur.

ex praefatione Ioannis Scylitzae p. 3 ed. Thurn

Σύνοψις ἱστοριῶν συγγραφεῖσα παρὰ Ἰωάννου κουροπαλάτου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλας τοῦ Σκυλίτζη. τὴν ἐπιτομὴν τῆς ἱστορίας ἄριστα μετὰ τοὺς παλαιοὺς ἐπραγματεύσαντο πρῶτον μὲν ὁ μοναχὸς Γεώργιος καὶ σύγκελλος χρηματίσας Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου, μετ' ἐκεῖνον δὲ ὁ ὁμολογητὴς Θεοφάνης καὶ τοῦ Ἀγροῦ ἡγούμενος, ἐπιστατικώτερον τὰς ἱστορικὰς ἐπιδραμόντες βίβλους καὶ συνοψίσαντες λόγῳ μὲν ἀφελεῖ καὶ ἀπεριέργῳ, μόνον οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐφαπτομένῳ τῶν πεπραγμένων. ἀλλ' ὁ μὲν Γεώργιος ἀπὸ καταβολῆς ἀρξάμενος κόσμου ἐς τοὺς τυράννους κατέληξε, Μαξιμιανόν φημι καὶ τὸν τούτου υἱὸν Μαξιμῖνον· ὁ δὲ Θεοφάνης τὸ ἐκείνου τέλος οἰκείαν ἀρχὴν ποιησάμενος καὶ τὴν ἐπίλοιπον συντεμὼν χρονογραφίαν καὶ εἰς τὴν τελευτὴν τοῦ βασιλέως Νικηφόρου τοῦ ἀπὸ γενικῶν καταντήσας ἔστη τοῦ δρόμου. μετὰ δὲ τοῦτον οὐδεὶς ἄλλος ἐπέδωκεν ἑαυτὸν τῷ τοιούτῳ σπουδάσματι.

ex praefatione Georgii Cedreni p. 3, 1–4, 2 ed. Bekker

Σύνοψις ἱστοριῶν ἀρχομένη ἀπὸ κτίσεως κόσμου καὶ μέχρι τῆς βασιλείας Ἰσαακιοῦ τοῦ Κομνήνου, συνταγεῖσα παρὰ κυροῦ Γεωργίου τοῦ Κεδρήνου ἐκ διαφόρων βιβλίων. πολλοὶ τῶν πρὸ ἡμῶν φιλοθέων ἀνδρῶν καὶ φιλιστόρων τὴν ἐπιτομὴν τῆς ἱστορίας ἐπραγματεύσαντο· ὅ τε γὰρ μοναχὸς Γεώργιος καὶ σύγκελλος ἀπὸ καταβολῆς ἀρξάμενος κόσμου εἰς Μαξιμιανὸν καὶ Μαξιμῖνον τοὺς τυράννους κατέληξε, καὶ ὁ ὁμολογητὴς Θεοφάνης τὸ ἐκείνου τέλος ἀρχὴν ποιησάμενος οἰκείαν ἄχρι τοῦ τέλους Νικηφόρου τοῦ ἀπὸ γενικοῦ κατήντησε.

CONSPECTVS LIBRORVM

Alföldi, A., Studien zur Geschichte der Weltkrise des 3. Jahrhunderts nach Christus, Darmstadt 1967 (= Berytus 4, 1937, 41–68; 5, 1938, 47–92; Cambridge Ancient History 12, 721–724)

Allacci, Leo, Diatriba de Georgiis, apud editionem Georgii Acropolitae, Paris. 1651, typis recusa apud Fabricius-Harless, Bibliotheca Graeca 12, Hamburgi 1809, 24–30

Bauer, A., Die Chronik des Hippolytus im Matritensis Graecus 121, Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur, N. F. 14, Lipsiae 1905

Bredovius, G., Epistulae Parisienses, Lipsiae 1812, 153–176

–, Dissertatio de Georgii Syncelli Chronographia, typis recusa apud Dindorfii editionem, uol. 2, 3–49

Charles, R. H., Apocrypha and Pseudepigrapha of the Old Testament, Oxonii 1913

de Boor, C., Römische Kaisergeschichte in byzantinischer Fassung, Byzantinische Zeitschrift 1, 1892, 13–33

Festugière, A.-J., La Révélation d'Hermès Trismégiste, Paris 1944

Frick, C., Chronica Minora, Lipsiae 1892, 437–455 (Hippolyti fragmenta chronologica)

Gelzer, H., Sextus Julius Africanus und die byzantinische Chronographie, Lipsiae 1880–1898

Ginzberg, L., Legends of the Jews, 7 voll., Philadelphiae 1909

Helm, R., Die Chronik des Hippolytus, Berlin 1955[2]

Huxley, G. L., On the Erudition of George the Synkellos, Proceedings of the Royal Irish Academy 81, 1981, 207–217

Jacoby, F., Die Fragmente der griechischen Historiker, Berolini et Lugduni Batauorum 1923–1958

Laqueur, R., Synkellos, Real-Encyclopaedie der classischen Altertumswissenschaft (1932) 1388–1410

Mango, C., Who wrote the Chronicle of Theophanes?, Zbornik Radova 18, Beogradii 1978, 9–17

Mommsen, Th., Chronica Minora (Monumenta Germaniae Historica, auct. ant. 9. 11, 13), Berolini 1892–1896

Müller, C., Fragmenta Historicorum Graecorum, Paris. 1841–1870

Neugebauer, O., History of Ancient Mathematical Astronomy, Noui Eboraci 1975

Routh, M. J., Reliquiae Sacrae, Oxonii 1846, II, 225–309 (Fragmenta Africani)

Serruys, D., Les Canons d'Eusèbe, d'Annianos et d'Andronicus d'après Élie de Nisibe, Byzantinische Zeitschrift 22, 1913, 1–36

Wachsmuth, C., Einleitung in das Studium der alten Geschichte, Lipsiae 1895
Westermann, A., Biographi Graeci Minores, Brunsuigae 1845

Praeter quos uiros doctos supra protuli, alios nonnumquam in apparatu critico citaui, quos omnes, si aliquid ad textum intellegendum praebeant, ex editionibus librorum in apparatu fontium commemoratorum, praesertim ex FGrHist, in apparatum criticum meum plane detuli.

CONSPECTVS NOTARVM

African. fr.	= Iulii Africani fragmenta, ed. M. J. Routh, Reliquiae Sacrae uol. II, Oxonii 1846
Anon. Matr.	= Anonymi Chronographia syntomos e codice Matritensi No. 121 [nunc 4701], ed. A. Bauer, Lipsiae 1909
	= Anonymi narratio de mundi diuisione inter Noachi filios quam ex eodem codice Matritensi ediderunt A. Bauer et R. Helm, Die Chronik des Hippolytus, Berolini 1955[2]
Astr. Can.	= Astronomicus Canon regum Babyloniorum, ed. C. Wachsmuth, Einleitung in das Studium der alten Geschichte, Lipsiae 1895, 304 – 306
Barhebr.	= The Chronography of Gregory Abû'l Faraj, commonly known as Barhebraeus, translated from the Syriac by Ernest A. Wallis Budge, Oxonii 1932
Cedr.	= Georgii Cedreni Compendium Historiarum, ed. I. Bekker, Bonnae 1838
Chron. ann. 354	= Anonymi Chronographia anno 354 absoluta, ed. Th. Mommsen, Chronica Minora I (Monumenta Germaniae Historica, auct. ant. 9), Berolini 1892
Chron. Epit.	= *χρονικὸν ἐπίτομον* codicis Vindobonensis Th. Gr. 40, ed. A. Pusch, Diss. Jenensis 1908; cf. Gelzer 2, 345 – 357
Chron. Min.	= Chronica Minora, ed. Th. Mommsen (Monumenta Germaniae Historica, auct. ant. 9, 11, 13), Berolini 1892 – 1896
Chron. Pasch.	= Chronicon Paschale, ed. L. Dindorfius, Bonnae 1832
Chron. Synt.	= Chronographeion Syntomon, ed. A. Schoene in Euseb. Chron. I, Berolini 1875, App. IV
Eccl. Can.	= Ecclesiasticus Canon regum Babyloniorum iuxta Georgium Syncellum 392 – 394
Ecl. Hist.	= Eclogae Historiarum apud Cramer, Anecdota Graeca e cod. Parisin., Oxonii 1839
Elias Nisib.	= Eliae Metropolitae Nisibeni opus chronologicum, interpretatus est E. W. Brooks (Scriptores Syri, Tomus 23), Lovanii 1954
Euseb. 1	= Eusebii Pamphili Chronographia, ed. J. Karst, Die Chronik des Eusebius aus dem Armenischen übersetzt (Eusebius Werke V), Lipsiae 1911
Euseb. 2	= Eusebii Pamphili Chronici Canones, ed. R. Helm, Die Chronik des Hieronymus (Eusebius Werke VII), Berolini 1956
Euseb. 2 Arm.	= Eusebii Pamphili Chronici Canones, ed. J. Karst, libro supra citato
Exc. Barb.	= Excerpta Barbari, ed. A. Schoene in Euseb. Chron. I, Berolini 1875, App. VI, denuo ed. C. Frick, Chronica Minora, Lipsiae 1892
Exc. Euseb.	= Excerpta Eusebiana apud Cramer, Anecdota Graeca e cod. Parisin., Oxonii 1839

CONSPECTVS NOTARVM

FGrHist	= F. Jacoby, Die Fragmente der griechischen Historiker, Berolini et Lugduni Batauorum 1923–1958
FHG	= C. Mueller, Fragmenta Historicorum Graecorum, Parisiis 1841–1870
Hippolyt. fr.	= Hippolyti fragmenta chronologica, ed. C. Frick, Chronica Minora, Lipsiae 1892
Iohann. Anag.	= Iohannis Anagnostae Chronographia inedita apud codicem Atheniensem Bibl. Nat. 2492 ff. 108^r–116^r
[Leo. Gramm.]	= Leonis Grammatici Chronographia, ed. I. Bekker, Bonnae 1842
Lib. Gen.	= Liber Generationis, ed. Th. Mommsen, Chronica Minora I (Monumenta Germaniae Historica, auct. ant. 9), Berolini 1892
Paris. 1336	= Anonymi Ecloga Chronicorum inedita apud codicem Parisinum B. N. Gr. 1336 ff. 143–160
Pomp. Trog. fr.	= Pompei Trogi Fragmenta, collegit O. Seel, Lipsiae 1956
ps. Pollux	= Iulius Pollux, Historia Physica, ed. I. Hardt, Monachii 1792
ps. Sym.	= Anonymi opus historicum ineditum apud codicem Parisinum B. N. Gr. 1712, ff. 18–271; uide H. Gelzer, Sextus Julius Africanus und die byzantinische Chronographie, tom. 2, Lipsiae 1885, 276–297, 357–384
Syn. Chron.	= Syntomon Chronographeion incerti auctoris apud codicem Parisinum Coislinianum 193 f. 242^v, ed. C. de Boor una cum opusculis Nicephori, Lipsiae 1880
Theodos. Melit.	= Theodosii Meliteni Chronographia, ed. L. Tafel, Monachii 1859

In apparatu critico litteris superioribus usus sum lectiones librorum manuscriptorum fontium indicans, e. g. Gen.^{A} = codex Alexandrinus libri sacri Genesis, Gen.^{v} = textus uulgo receptus libri sacri Genesis.

In margine textus numeros paginarum editionis Bonnensis Dindorfii adieci.

CONSPECTVS SIGLORVM

A	= cod. Paris. 1711 saec. XI
A[c]	= lectio cod. **A** post correctionem
A[m]	= scriptura marginis cod. **A** (eadem ratione in ceteris usus sum)
B	= cod. Paris. 1764 saec. XI
E	= excerpta cod. Athoni Vatoped. 645 saec. XV
C	= cod. Paris. Coisl. 133 saec. XII
O	= cod. Oxon. Aed. Christi Wake 5 saec. IX
T	= cod. Vat. 154 saec. XII
V	= cod. Vat. 155 saec. IX/X
x	= consensus codicum **C, O, T, V**
M	= cod. Monac. 391 saec. XVI
P	= cod. Vat. Palatin. 395 saec. XVI
Q	= cod. Vat. 979 anno 1571
R	= cod. Roman. Vallicell. 92 saec. XVI
S	= cod. Basil. 82 saec. XVI
z	= archetypus familiae codd. **M, P, Q, R,** et **S,** sed animaduertendum est **R** ex **M** et **M, Q, S** ex **P** descriptos esse
t	= archetypus familiae **z** et antiquiorum codicum quos siglo **x** comprehendi
Di.	= Guilielmus Dindorfius in editione Bonnae 1829
Go.	= Iacobus Goar in textu editionis Parisiis 1652
Go.[m]	= Iacobus Goar in margine editionis coniciens
Scal.	= Iosephus Scaliger in excerptis Eusebianis quae ex Georgio edidit apud Thesaurum temporum, Lugd. Bat. 1606

ΕΚΛΟΓΗ ΧΡΟΝΟΓΡΑΦΙΑΣ ΣΥΝΤΑΓΕΙΣΑ ΥΠΟ ΓΕΩΡΓΙΟΥ ΜΟΝΑΧΟΥ ΣΥΓΚΕΛΛΟΥ ΓΕΓΟΝΟΤΟΣ ΤΑΡΑΣΙΟΥ 5 ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΑΠΟ ΑΔΑΜ ΜΕΧΡΙ ΔΙΟΚΛΗΤΙΑΝΟΥ

Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀρχὴ πάσης χρονικῆς 1 Dind.
κινήσεως τῆς ὑπὸ χρόνον ὁρατῆς κτίσεώς ἐστιν. ἐν ῇ ὁ οὐρανὸς καὶ ἡ γῆ
παρὰ θεοῦ πατρὸς διὰ υἱοῦ μονογενοῦς καὶ πνεύματος ἁγίου, τῆς ἁγίας
10 *καὶ ζωαρχικῆς ὁμοουσίου τριάδος, ἐκ μὴ ὄντων εἰς τὸ εἶναι δι᾽ ἄμετρον*
ἀγαθότητα παρήχθη. ἡ ἁγία πρωτόκτιστος ἡμέρα τοῦ πρώτου μηνὸς
Νισὰν λεγομένου παρ᾽ Ἑβραίοις καὶ ταῖς θεοπνεύστοις γραφαῖς, εἰκάδι
πέμπτη τοῦ παρὰ Ῥωμαίοις Μαρτίου μηνὸς οὖσα, τοῦ δὲ παρ᾽ Αἰγυπτίοις 2
ἑβδόμου μηνὸς κθ΄. τοῦτο πᾶσιν ὁμολογούμενόν ἐστι τοῖς ἁγίοις ἡμῶν
15 *πατράσι καὶ διδασκάλοις καὶ τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.*
ἐν ταύτῃ καὶ Γαβριὴλ τὸν ἀσπασμὸν καὶ τὸ χαῖρε τῇ ἁγίᾳ παρθένῳ τῆς
θείας συλλήψεως προεφθέγξατο. ἐν ταύτῃ καὶ ὁ μονογενὴς υἱὸς τοῦ πα-
τρὸς μετὰ τὴν ἐξ αὐτῆς ἄρρητον σάρκωσιν πᾶσαν πληρώσας οἰκονομίαν
ἐκ νεκρῶν ἀνέστη, ἀρχὴν λαβόντος κατὰ τὴν αὐτὴν ἁγίαν τῆς ζωηφόρου
20 *ἀναστάσεως ἡμέραν τοῦ ,εφλδ΄ ἔτους ἀπὸ κτίσεως κόσμου. περὶ οὗ μοι*
πᾶσα σπουδὴ γέγονε τόδε τὸ χρονικὸν συντάξαι κανονικῶς τε καὶ ἐξηγητι-
κῶς, ὅπερ τοῖς πολλοῖς τῶν ἱστορικῶν οὐ συμπεφώνηται, ὅτι τε τῷ ,εφ΄
ἔτει τοῦ κόσμου ὁ κύριος ἡμῶν καὶ θεὸς ἐσαρκώθη ἐκ τῆς ἁγίας παρθένου
καὶ ὅτι τῷ ,εφλδ΄ ἔτει ἀρχομένῳ, ὡς προείρηται, τῇ πρώτῃ τοῦ Νισὰν
25 *παρ᾽ Ἑβραίοις μηνός, κε΄ τοῦ παρὰ Ῥωμαίοις Μαρτίου, παρὰ δὲ Αἰγυ-*
πτίοις Φαμενὼθ ζ΄ μηνὶ κθ΄ ἀνέστη ἐκ νεκρῶν πατήσας τὸν θάνατον.
πρόδηλον δὲ ὅτι καὶ πρῶτον κυριακὸν πάσχα τοῖς καταξιωθεῖσι τῆς θείας
χάριτος κατὰ ταύτην ἤρξατο τὴν ἁγίαν πρωτόκτιστον ἡμέραν. εὐλόγως

7 Gen. 1, 1 || **11–14** ps. Sym. f. 19r = Cedr. 7, 2–5 || **16–19** Iohann. Anag. f. 109r || **16–20** ps. Sym. f. 19r = Cedr. 7, 5–12 || **28** – p. 2, 2 Iohann. Anag. f. 109r

[A (1, 1–467, 3)] **12** *Νισὰν* Di. *νισσὰν* **A** ps. Sym. || **14** *ἑβδόμου μηνὸς*] *Φαμενὼθ* add. ps. Sym. || **16** *ταύτῃ* **A** ps. Sym. *αὐτῇ* Iohann. Anag. | *ἁγίᾳ παρθένῳ* **A** Iohann. Anag. *παναχράντῳ θεοτόκῳ* ps. Sym. || **17** *ταύτῃ* **A** ps. Sym. *αὐτῇ* Iohann. Anag. || **24** *Νισὰν* Di. *νισσᾶν* **A**

ἄρα καὶ ἐν αὐτῇ τῆς ὁρωμένης ἤρξατο δημιουργίας ἡ ἁγία καὶ παντουργὸς
3 *τριάς, ὡς προτυπούσης τὴν ἁγίαν ἀναστάσιμον ἡμέραν· οὗ χάριν καὶ*
πρώτην τοῦ πρώτου μηνὸς Νισὰν φυσικῶς αὐτὴν καὶ θεοδιδάκτως ὁ
θεόπτης Μωϋσῆς παραλαβὼν ἐξ αὐτῆς ἤρξατο τῆς συγγραφῆς λέγων
'Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.' πρόδηλον γὰρ ὅτι 5
παντὸς μηνιαίου καὶ ἐνιαυσιαίου χρόνου ἡμέρα τις προκατάρχει, καὶ ὅτι
ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ τὸ φῶς καὶ τὸ σκότος τὸ πνεῦμά τε καὶ ἡ ἄβυσσος
καὶ αὐτὸ τὸ πρωτόκτιστον νυχθήμερον ὅπερ ἀρχὴ τῆς χρονικῆς κινήσεως
πέφυκεν, ὥσπερ ἥτις μονὰς τῶν μετ' αὐτὴν ἀριθμῶν, οὐδεὶς ἀντιφράσοι
τῶν εὖ φρονούντων, οὐδ' ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ τῶν ὁρωμένων ἡ 10
σύμπηξις πρὸ τῆς πρώτης ἡμέρας, ἀλλὰ πάντως σὺν αὐτῇ καὶ κατ' αὐτὴν
παρῆκται καὶ τὴν ἀρχὴν εἴληφε. εἰ γὰρ μὴ τοῦτο δῶμεν, ἔσται μὲν ἄλλη
τις ἀρχὴ οὐρανοῦ καὶ γῆς κατὰ τὸν χρόνον πρεσβυτέρα καὶ ἄλλη νεωτέρα,
καθ' ἣν ἡ πρωτόκτιστος ἡμέρα τοῦ εἶναι ἤρξατο, ὅπερ ἐναντιοῦται ταῖς
θεοπνεύστοις φωναῖς καὶ τῇ φυσικῇ τῶν πραγμάτων ἀκολουθίᾳ. τίνι γὰρ 15
ὁ πρὸ τῆς πρωτοκτίστου ἡμέρας χρόνος κατεμετρεῖτο μήπω τῆς ἡλιακῆς
φορᾶς καὶ σεληνικῆς γενομένης μηδὲ τῆς ὁρατῆς κτίσεως, δι' ἣν καὶ ἡ τῶν
νυχθημερινῶν διαστημάτων κίνησις ὑπὸ θεοῦ σοφῶς ὥρισται; τοῖς γὰρ ἀϊ-
δίοις ἤγουν ταῖς ἀΰλοις οὐσίαις αἰών τις ἀνεπισκότιστος συμπαρεκτείνεται,
ὥσπερ ἡμῖν τοῖς ἐν γενέσει καὶ φθορᾷ ὁ χρόνος ἡλίου φορᾷ καταμετρεῖται, 20
4 *ὥς πού φησιν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος. ἀναγκαίως οὖν ἐκ πάντων*
δείκνυται χρονικὴ ἀρχή, καθ' ἣν ὁ οὐρανὸς καὶ ἡ γῆ γεγόνασιν, ἡ ἁγία αὕτη
πρωτόκτιστος ἡμέρα, ἣν ὡς θεμέλιον ἀρραγῆ καὶ βάσιν ἄσειστον πηξάμενος
τῆσδε τῆς συγγραφῆς, λιπαρῶ τὸν ἐν αὐτῇ καὶ κατ' αὐτὴν οὐ μόνον τὴν αἰ-
σθητὴν κτίσιν ὑποστησάμενον, ἀλλὰ καὶ τὴν ἐν αὐτῷ καινὴν κτίσιν Χριστὸν 25
θεὸν ἡμῶν συνεργῆσαί μοι τῷ ἀμαθεστάτῳ, ὥστε σαφῶς ἀποδεῖξαι τῷ ͵εφʹ
ἔτει τοῦ κόσμου τὴν ἔνσαρκον αὐτοῦ γεγενῆσθαι οἰκονομίαν, καὶ ὅσα ἐν τῷ
μεταξὺ χρόνῳ γέγονεν ἐπίσημα πράγματα περί τε ἔθνη καὶ βασιλείας καὶ
τῶν μετὰ ταῦτα ὀκτακοσίων δύο ἐτῶν, λγʹ μὲν ἐτῶν καὶ ἡμερῶν μʹ τῆς ἐπὶ
γῆς οἰκονομίας, ἑπτακοσίων δὲ καὶ ξςʹ καὶ μηνῶν ιʹ καὶ ἡμερῶν κʹ τῶν 30
μετὰ τὴν ἁγίαν αὐτοῦ ἀνάληψιν, τοῦτ' ἔστιν ἀπὸ τῆς πρωτοκτίστου ἡμέρας
ἕως τοῦ κοσμικοῦ καθολικοῦ ͵ςτʹ ἔτους ἰνδικτίωνος αʹ, ὡς ὑποτέτακται.

29 *ἤγουν ἕως οὗ ἐτελείωσεν οὗτος ὁ Γεώργιος, ἐπειδὴ ωʹ ἐτῶν συνεστήσατο*

3–8 Iohann. Anag. f. 109r || 21 Greg. Naz. Log. Theolog. 2, 8

2 *προτυπούσης* A   *προτυποῦσαι* Iohann. Anag. || 3 *Νισὰν* Di.   *νισσᾶν* A || 4 *λέγων* A   *οὕτως* Iohann. Anag. || 9 *ἀντιφράσοι* A   *ἀντιφράσει* Di. || 24 *αἰσθητὴν* Di. *ἐσθητὴν* A || 29 *δύο* delere maluerunt Goar et Gelzer 2, 183; defendit Laqueur 1398 ex lectione *͵ςτβʹ ἔτους* infra (244, 31)

Τὴν πρώτην ἡμέραν ὁ Ἀφρικανὸς νοητὴν λέγει διὰ τὸ ἀδιοργάνιστον εἶναι τέως τὸ πρωτόκτιστον φῶς καὶ κεχυμένον.

Ἐν τῷ πρωτοκτίστῳ νυχθημέρῳ, τῇ πρώτῃ τοῦ παρ' Ἑβραίοις πρώτου μηνὸς Νισάν, ὡς προδέδεικται, παρὰ δὲ Ῥωμαίοις κε' τοῦ Μαρτίου μηνός, 5
5 *καὶ παρ' Αἰγυπτίοις κθ' τοῦ Φαμενώθ, ἐν ἡμέρᾳ κυριακῇ, ἤτοι μιᾷ τῶν σαββάτων, ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τὸ σκότος καὶ τὰ ὕδατα, πνεῦμα καὶ φῶς καὶ νυχθήμερον, ὁμοῦ ἔργα ἑπτά. ἐν τῷ δευτέρῳ νυχθημέρῳ ἐγένετο τὸ στερέωμα, ἔργον α'. ἐν τῷ τρίτῳ νυχθημέρῳ ἐγένετο ἔργα δ', φανέρωσις γῆς καὶ ἀναξήρανσις, παράδεισος, δένδρα παντοῖα,*
10 *βοτάναι καὶ σπέρματα. τῇ δ' ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας. τῇ ε' ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὰ ἑρπετὰ καὶ τὰ νηκτὰ πάντα, κήτη καὶ ἰχθύας καὶ ὅσα ἐν τοῖς ὕδασι, ἔτι τε πετεινά, ὁμοῦ ἔργα γ'. τῇ ς' ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὰ τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς, τὰ θηρία καὶ τὸν ἄνθρωπον, ἔργα δ'. ὁμοῦ τὰ πάντα ἔργα κβ' ἰσάριθ-*
15 *μα τοῖς κβ' Ἑβραϊκοῖς γράμμασι καὶ ταῖς κβ' Ἑβραϊκαῖς βίβλοις καὶ τοῖς ἀπὸ Ἀδὰμ ἕως Ἰακὼβ εἴκοσι δύο γεναρχίαις, ὡς ἐν λεπτῇ φέρεται Γενέσει, ἣν καὶ Μωϋσέως εἶναί φασί τινες ἀποκάλυψιν. αὕτη τὰς οὐρανίους δυνάμεις τῇ πρώτῃ ἡμέρᾳ λέγει ἐκτίσθαι.*

Ὁ ἅγιος Ἰωάννης καὶ μέγας ἐν διδασκάλοις Χρυσόστομος τῇ ς' ἡμέρᾳ
20 *τῆς α' ἑβδομάδος, τοῦτ' ἔστι τῇ αὐτῇ ἡμέρᾳ τῆς πλάσεως αὐτοῦ, λέγει τὸν Ἀδὰμ ἐκβληθῆναι τοῦ παραδείσου καὶ τὴν Εὔαν, ἐν τῇ ἑρμηνείᾳ τοῦ* 6
κατὰ Ματθαῖον εὐαγγελίου, ᾧ καὶ ἡμεῖς πειθόμεθα.

Ἑβδόμη ἡμέρα σαββάτῳ, ἐν ᾗ κατέπαυσεν ὁ θεὸς ἀπὸ τῶν ἔργων, καὶ ἡγίασεν αὐτήν. τὴν μὲν ποσότητα τοῦ χρόνου τῆς ἐν τῷ παραδείσῳ διαγω-
25 *γῆς τῶν πρωτοπλάστων ἀτράνωτον ἡμῖν ὁ θεόπτης Μωϋσῆς καταλέλοιπε, καὶ χρὴ τοὺς καθ' ἡμᾶς ἀτελεῖς μὴ ζητεῖν καὶ περιεργάζεσθαι τὰ σεσιγημένα τῇ θεοπνεύστῳ γραφῇ. ὅσα γὰρ ἦν ἐπωφελῆ καὶ χωρητὰ τοῖς ἀνθρώποις, ταῦτα ἡμῖν διὰ πνεύματος ἁγίου ἐκδέδοται, καὶ οὐ χρὴ περαι-*

17 *Ση. τί λέγει τὰς οὐρανίους δυνάμεις*

1–2 Africanus fr. 1, cf. ps. Sym. f. 19^r = Cedr. 7, 20–21 || **3–7** Iohann. Anag. f. 109^r || **5–7** ps. Sym. f. 19^r = Cedr. 7, 17–20 || **6–18** Iubil. 2, 2–23, cf. ps. Sym. f. 19^r = Cedr. 8, 1–9, 14, Iohann. Anag. f. 109^r || **19–22** Iohann. Chrysost. Hom. 59 in Matth. 18, 7, cf. ps. Sym. f. 21^r = Cedr. 12, 20–13, 2, Iohann. Anag. f. 109^r || **23–24** Gen. 2, 2–3, Iohann. Anag. f. 110^r || **28**–p. 4, **2** cf. ps. Sym. f. 21^r = Cedr. 13, 3–5

1 *ἀδιοργάνιστον* **A** ps. Sym. *ἀδιάγνωστον* Cedr. || **2** *κεχυμένον* ps. Sym. *κεχυμένον* **A** || **4** *Νισὰν* Di. *νισσᾶν* **A** || **5–6** *μιᾷ τῶν σαββάτων* ps. Sym. *μιᾶς σαββάτου* **A** *μιᾷ Σα* Iohann. Anag. || **9** *παράδεισος* Di. *παράδεισσος* **A** Iohann. Anag. *παράδησος* ps. Sym. || **20** *τοῦτ' ἔστι . . . αὐτοῦ* **A** ps. Sym. *ἤγουν τῇ ἡμέρᾳ ἐν ᾗ ἐπλάσθη* Iohann. Anag. || **21–22** *ἐν τῇ . . . εὐαγγελίου* hoc loco **A**, post *Χρυσόστομος* ps. Sym. Iohann. Anag.

τέρω τῶν θείων ὅρων προβαίνειν τοὺς ὀρθῶς ἐντυγχάνοντας, ἵνα μὴ ἀντὶ
κέρδους μικροῦ μεγάλην ζημίαν ἐπισπάσωνται. ἐπειδὴ δέ τινες ἀκρατῶς
ἔχοντες περὶ τοῦ συζητεῖν, εἴτε ἐκ δοκουμένης φιλομαθίας εἴτε καὶ κενο-
δοξίᾳ νυττόμενοι, τὰ θεῖα λόγια μετὰ χεῖρας φέροντες δεικνύειν πειρῶνται
τὸν μὲν προπάτορα ἡμῶν Ἀδὰμ οὐκ εὐθὺς εἰσενηνέχθαι ἐν τῷ παραδείσῳ 5
ὑπὸ θεοῦ, ἢ καὶ εἰσελθόντα πρὸ τῆς πλάσεως τῆς γυναικὸς ὀνόματα θέσθαι
τοῖς θηρίοις καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, ὅπερ μιᾶς ἡμέρας ἔργον οὐκ
ἦν πρὸς ἀνθρωπίνην νόσον καὶ ἰσχύν, ὡς φιλονεικοῦσι, διὰ τὸ λέγειν τὴν
γραφὴν ὅτι καὶ ἐφύτευσεν ὁ θεὸς τὸν παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς
καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἐξανέτειλεν ὁ θεὸς ἐκ τῆς 10
7 γῆς ἔτι πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον
τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν κα-
λοῦ καὶ πονηροῦ. καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ
ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν
Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά. 15

Εἶτα μετὰ τοιαῦτα ἐπάγει· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.
καὶ ἐπέβαλεν κύριος ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν
τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς, καὶ τὰ ἑξῆς·
ἀναγκαίως προήχθην καὶ περὶ τούτου δηλῶσαι ἐν μέρει, ὅσα καὶ ἄλλοις
ἱστορικοῖς Ἰουδαϊκὰς ἀρχαιολογίας ἢ καὶ Χριστιανικὰς ἱστορίας γράψασι 20
περὶ τούτου εἴρηται ἐκ τῆς λεπτῆς Γενέσεως καὶ τοῦ λεγομένου βίου
Ἀδάμ, εἰ καὶ μὴ κύρια εἶναι δοκεῖ, ὡς ἂν μὴ εἰς ἀτοπωτέρας δόξας ἐκπέ-
σοιεν οἱ ταῦτα συζητοῦντες. κεῖται γοῦν ἐν τῷ λεγομένῳ βίῳ Ἀδὰμ ὁ τῶν
ἡμερῶν ἀριθμὸς τῆς τε ὀνομασίας τῶν θηρίων καὶ τῆς πλάσεως τῆς γυναι-
κὸς καὶ τῆς εἰσόδου αὐτοῦ Ἀδὰμ ἐν τῷ παραδείσῳ καὶ τῆς περὶ τοῦ ξύλου 25
τῆς βρώσεως ἐντολῆς τοῦ θεοῦ πρὸς αὐτόν, καὶ τῆς μετὰ τούτου εἰσόδου
Εὔας ἐν τῷ παραδείσῳ, τά τε τῆς παραβάσεως καὶ τὰ μετὰ τὴν παράβασιν,
ὡς ὑποτέτακται.

Τῇ πρώτῃ ἡμέρᾳ τῆς δευτέρας ἑβδομάδος, ἥτις ἦν τρίτη μὲν ἡμέρα τῆς
8 πλάσεως τοῦ Ἀδάμ, η' δὲ τοῦ πρώτου μηνὸς Νισάν, α' δὲ τοῦ Ἀπριλλίου 30
μηνός, καὶ ϛ' τοῦ παρ' Αἰγυπτίοις Φαρμουθί, ὠνόμασεν Ἀδὰμ τὰ ἄγρια
θηρία θείῳ τινὶ χαρίσματι. τῇ β' ἡμέρᾳ τῆς β' ἑβδομάδος ὠνόμασε τὰ
κτήνη. τῇ γ' ἡμέρᾳ τῆς β' ἑβδομάδος ὠνόμασε τὰ πετεινά. τῇ δ' ἡμέρᾳ

21 περὶ τοῦ βίου Ἀδάμ

5–7 Iubil. 3, 1–16 || 9–13 Gen. 2, 8–9 || 13–15 Gen. 2, 19 || 16–18 Gen. 2, 21 || 29–p. 5, 7 Iubil. 3, 1–9

[AE (4, 29–5, 22)] 2 ἐπισπάσωνται Di. ἐπισπάσονται A ἐπισπασώμεθα ps. Sym. || 17 ἐπέβαλεν Di. Gen. ἐπέβαλλεν A || 30 νισὰν E νισσᾶν A | δὲ[2] A ἡμέρα E || 31 αἰγυπτίοις E ἑβραίοις A

τῆς β' ἑβδομάδος ὠνόμασε τὰ ἑρπετά. τῇ ε' ἡμέρᾳ τῆς β' ἑβδομάδος ὠνό-
μασε τὰ νηκτά. τῇ ϛ' ἡμέρᾳ τῆς β' ἑβδομάδος, ἥτις ἦν κατὰ μὲν Ῥωμαίους
Ἀπριλλίου ϛ', κατὰ δὲ Αἰγυπτίους Φαρμουθὶ ια', λαβὼν ὁ θεὸς μέρος τι
τῆς πλευρᾶς τοῦ Ἀδὰμ ἔπλασε τὴν γυναῖκα. τῇ μϛ' ἡμέρᾳ τῆς κοσμοποιίας,
5 *δ' ἡμέρᾳ τῆς ζ' ἑβδομάδος, Παχὼν ιδ', Μαΐου θ', ἡλίου ὄντος ταύρῳ καὶ*
σελήνης σκορπίῳ κατὰ διάμετρον, ἐν τῇ τῶν Πλειάδων ἐπιτολῇ, εἰσήγαγεν
ὁ θεὸς τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ κατὰ τὴν μ' ἡμέραν τῆς πλάσεως αὐ-
τοῦ. τῇ ν' ἡμέρᾳ τῆς κοσμοποιίας, μδ' δὲ τῆς πλάσεως τοῦ Ἀδάμ, ἡμέρᾳ
κυριακῇ, Παχὼν ιη', Μαΐου ιγ', μετὰ τρεῖς ἡμέρας τῆς ἐν τῷ παρα-
10 *δείσῳ αὐτοῦ εἰσόδου, ἡλίου ὄντος ταύρῳ καὶ σελήνης αἰγοκέρωτι, ἐνετεί-*
λατο ὁ θεὸς τῷ Ἀδὰμ ἀπέχεσθαι τῆς βρώσεως τοῦ ξύλου τῆς γνώσεως.
Τῇ ϛγ' ἡμέρᾳ τῆς κτίσεως, τῇ β' ἡμέρᾳ τῆς τεσσαρεσκαιδεκάτης ἑβδο-
μάδος, κατὰ τὴν θερινὴν τροπήν, ἡλίου ὄντος καὶ σελήνης καρκίνῳ, τῇ 9
κε' τοῦ Ἰουνίου μηνός, Ἐπιφὶ πρώτῃ, εἰσήχθη ὑπὸ τοῦ θεοῦ ἐν τῷ πα-
15 *ραδείσῳ ἡ τοῦ Ἀδὰμ βοηθὸς Εὔα, ἐν τῇ π' ἡμέρᾳ τῆς πλάσεως αὐτῆς. ἣν*
ὁ Ἀδὰμ λαβὼν ὠνόμασεν Εὔαν, ὃ ἑρμηνεύεται ζωή· διὰ τοῦτο προσέταξεν
ὁ θεὸς διὰ Μωϋσέως ἐν τῷ Λευιτικῷ, ἤτοι διὰ τὰς μετὰ τὴν πλάσιν τοῦ
χωρισμοῦ αὐτῶν ἡμέρας ἐκ τοῦ παραδείσου, ἐπὶ μὲν ἀρρενογονίας ἀκάθαρ-
τον αὐτὴν εἶναι ἐπὶ μ' ἡμέρας, ἐπὶ δὲ θηλυτοκίας ἕως ἡμερῶν π'. ἐπειδὴ
20 *καὶ Ἀδὰμ τῇ μ' ἡμέρᾳ τῆς πλάσεως αὐτοῦ εἰσήχθη ἐν τῷ παραδείσῳ, οὗ*
χάριν καὶ τὰ γεννώμενα τῇ μ' ἡμέρᾳ εἰσφέρουσιν ἐν τῷ ἱερῷ κατὰ τὸν νό-
μον. ἐπὶ δὲ θήλεος ἀκάθαρτον εἶναι αὐτὴν ἐπὶ ἡμέρας π' διά τε τὴν ἐν
τῷ παραδείσῳ αὐτῆς εἴσοδον τῇ π' ἡμέρᾳ καὶ διὰ τὸ ἀκάθαρτον τοῦ θήλεος
πρὸς τὸ ἄρσεν. ἀφεδρῶς γὰρ πάλιν οὖσα οὐκ εἰσέρχεται ἕως ἑπτὰ ἡμέρας
25 *ἐν τῷ ἱερῷ κατὰ τὸν θεῖον νόμον.*
Ταῦτα ἐκ τοῦ βίου λεγομένου Ἀδὰμ φιλομαθίας χάριν ἐν συντόμῳ
ἐστοιχείωσα, ἐν τῷ πρώτῳ ἔτει τῆς πλάσεως τοῦ Ἀδάμ, ἐπ' αὐτῷ τὰ
πραχθέντα, ἐφεξῆς δὲ καὶ τὰ λοιπὰ στοιχειωθήσεται, ἕως ἐννακοσιοστοῦ
τριακοστοῦ ἔτους τῆς ζωῆς αὐτοῦ, καὶ τῶν λοιπῶν γενέσεων, ἔκ τε τῶν
30 *θεοπνεύστων γραφῶν καὶ ἐκ τῶν ἐπισημοτέρων ἱστορικῶν τῶν ταύταις*
ἐξακολουθησάντων, ἐξ ὧν καὶ τὰ πλείω λαβών, πλὴν ὀλίγων τῶν κατὰ 10

8–11 hanc sententiam nostra uersio libri Iubilaeorum Aethiopica non exhibet. Syncellus ex auctore hausit qui uersionem libri Iubilaeorum adhibuit ampliorem sub titulo *uita Adae*, ut asseruit Charles. cf. Gelzer 2, 273 ‖ **12–15** Iubil. 3, 9 ‖ **16** Gen. 3, 20, Iubil. 3, 33 ‖ **16–24** Iubil. 3, 10–12, Lev. 12, 2–5 ‖ **24–25** Lev. 15, 19

[**AE** (4, 29–5, 22)] **5** *ἡμέρᾳ* Di. *ἡμέραν* **A** *ἡμέρας* **E** | *τῆς ζ' ἑβδομάδος* **A** *τῆς ἑβδομάδος τῆς ζ'* **E** ‖ **8** *ν'* Go.[m] *ὀγδόη* **A** *η'* **E** ‖ **10** *αἰγοκέρωτι* Di. *αἰγοκέρωτος* **AE** ‖ **11** *βρώσεως* **E** *βρόσεως* **A** ‖ **21** *γεννώμενα* **A** *γεννόμενα* **E** ‖ **24** *ἀφεδρῶς* Bredov. *ἀφαιδρῶς* **A** *ἄφεδρος* **A**[m] Di. ‖ **27** *ἐστοιχείωσα ἐν* Bredov. *ἐστοιχειώσαμεν* **A** | *ἀπ' αὐτοῦ* Bredov.

τοὺς ἡμετέρους χρόνους γεγονότων, σύνοψίν τινα σπουδάσω ποιῆσαι, συν-
αφείας ἅμα καὶ ἀληθείας ἐν πᾶσι φροντίζων καὶ τῆς καταλλήλου τῶν πραγ-
μάτων ἀκολουθίας, διαφοράς φημι βασιλέων καὶ ἱερέων ἀριθμόν, προ-
φητῶν τε καὶ ἀποστόλων καὶ μαρτύρων καὶ διδασκάλων, καὶ τῶν παρ' Ἕλ-
λησιν ἢ ἄλλοις ἔθνεσιν ἐπὶ σοφίᾳ βεβοημένων ἢ ἄλλῃ τινὶ τέχνῃ ἢ ἀριστείᾳ 5
πολεμικῇ καὶ ἐπὶ μοχθηρίᾳ προδήλῳ, πάντα ὡς οἷός τε ὢν ἀναλεξάμενος
ἐκ τῶν προειρημένων ἱστορικῶν ἀνδρῶν· ἐπὶ πᾶσι τὴν κατὰ Χριστοῦ καὶ
τοῦ γένους ἡμῶν θεοβδέλυκτον διαθήκην, ἣν διέθετο τὰ σκηνώματα τῶν
Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται διώκοντες τὸν κατὰ τὸ πνεῦμα λαόν, θείοις
κρίμασι καὶ ἀποστασίαν μελετῶντες τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ὑπὸ 10
τοῦ μακαρίου Παύλου προφητευθεῖσαν, διαγράψω κατὰ δύναμιν, ἕως τοῦ
νῦν ἐνεστῶτος ,ςτ' ἔτους ἀπὸ κτίσεως κόσμου ἰνδικτίωνος α'. ἀρχὴν δὲ
παντὸς ἔτους ἐν τῷδε τῷ χρονικῷ τὴν α' τοῦ πρώτου μηνὸς τοῦ παρ' Ἑβ-
ραίοις Νισὰν πᾶς τις ἐντυγχάνων αὐτῷ λογιζέσθω, καὶ οὐ τὴν κατὰ τοὺς
Αἰγυπτίους πρώτην τοῦ Θώθ, ἢ τὴν κατὰ Ῥωμαίους πρώτην τοῦ Ἰανουα- 15
ρίου μηνός, ἢ ἄλλου τινὸς ἔθνους ἄλλοθεν ἀρχομένου. διαφόρως γὰρ παρὰ
διαφόροις ἔθνεσιν οἱ μῆνες καὶ αἱ τῶν μηνῶν καὶ ἐνιαυτῶν ἀρχαὶ συνεφω-
11 νήθησαν· ὧν ἡ ἄγνοια τοῖς βουλομένοις ἀκριβῶς περὶ ἡμερῶν ἢ μηνῶν
ἢ ἐνιαυτῶν τι ζητεῖν οὐ μικρὰν ἐμποιεῖ τὴν πλάνην. διὸ καλὸν ἡγούμενος
τὰς ἐπισημοτέρας αὐτῶν διαφορὰς τρεῖς οὔσας καὶ ταῖς πατρικαῖς δι- 20
δασκαλίαις εὐδιαγνώστους εἶναι τοῖς φιλομαθέσιν ἐκθήσομαι τὰς λοιπὰς
παρείς, ὡς ἀτρίπτους οἷον εἰπεῖν, Ἰνδῶν ἢ Χαλδαίων ἢ ἄλλων τινῶν
ἀσυνήθων. εἰσὶ δὲ αἱ τρεῖς διαφοραὶ ἥ τε παρ' Ἑβραίοις καὶ παρ' Αἰγυ-
πτίοις καὶ ἡ παρὰ Ῥωμαίοις.

Μὴν πρῶτος κατὰ τὴν τοῦ θεοῦ νομοθεσίαν ὁ παρ' Ἑβραίοις Νισὰν 25
νυχθημέρων λ' · ἀπὸ κε' Μαρτίου ἕως κγ' Ἀπριλλίου · ἀπὸ κθ' τοῦ Φα-
μενὼθ ἕως τὰς κη' τοῦ Φαρμουθί.

Δεύτερος μὴν Ἰάρης ἡμερῶν τριάκοντα · ἀπὸ κδ' Ἀπριλλίου ἕως κγ'
Μαΐου · ἀπὸ κθ' τοῦ Φαρμουθὶ ἕως τὰς κη' τοῦ Παχὼν μηνός.

Μὴν Σουϊὰν ἡμερῶν λα' · ἀπὸ κδ' Μαΐου ἕως τὰς κγ' Ἰουνίου · ὁμοῦ ϛβ' · 30
ἀπὸ τὰς κθ' τοῦ Παχὼν ἕως τὰς κθ' τοῦ Παϋνί.

Θερινὴ τροπή.

Μὴν Θαμνεὶ νυχθημέρων λ' · ἀπὸ κδ' Ἰουνίου ἕως κγ' Ἰουλίου · ἀπὸ λ'
τοῦ Παϋνὶ ἕως κθ' τοῦ Ἐπιφεί.

11 ὁ συγγραφεὺς οὗτος ὁ Γεώργιος ἕως τοῦ ,ςτ' ἔτους κόσμου ἔφθασε συγγράφων 35

11 2 Thess. 2, 3–12

14 *Νισὰν* Di. *νισσᾶν* A ‖ **25** *Νισὰν* Di. *νισσᾶν* A ‖ **30** post *ὁμοῦ* in codice nihil scriptum est. Goar et Dindorf legebant *ἐνενήκοντα δύο*, quam lectionem Goar in *ἐνενήκοντα μίαν* mutare uoluit. lacuna indicatur in codice Barb. 227 ‖ **33** *θαμνεὶ* A *Θαμνὶ* Di. ‖ **34** *ἐπὶ φεὶ* A *Ἐπιφί* Di.

Πέμπτος μὴν Ἀρεὶ ἡμερῶν λ΄· ἀπὸ κδ΄ τοῦ Ἰουλίου ἕως τὰς κβ΄ τοῦ 12
Αὐγούστου· ἀπὸ λ΄ τοῦ Ἐπιφεὶ ἕως τὰς κθ΄ τοῦ Μεσορή.
Ἕκτος μὴν Εἰλοῦ ἡμερῶν λα΄· ἀπὸ τὰς κγ΄ τοῦ Αὐγούστου ἕως τὰς
κβ΄ τοῦ Σεπτεμβρίου, ὁμοῦ ρπβ΄ ἡμέραι· ἀπὸ τὰς λ΄ τοῦ Μεσορή, καὶ
5 αἱ ἐπαγόμεναι, ἕως τὰς κε΄ τοῦ Θώθ· ἀπὸ τὰς κδ΄ τοῦ Αὐγούστου ἕως
τὰς κη΄. ἡ γὰρ ἀρχὴ τοῦ Θὼθ ἀπὸ τὰς κθ΄ Αὐγούστου ἐστὶ ἐπιπενθήμερος
λ΄ Αὐγούστου, ἐπὶ δὲ ἑξημέρου λα΄ Αὐγούστου.
Φθινόπωρον.
Μὴν ἕβδομος Θεελεὶφ ἡμερῶν λ΄· ἀπὸ κγ΄ Σεπτεμβρίου ἕως τὰς κβ΄
10 Ὀκτωβρίου· ἀπὸ τὰς κς΄ τοῦ πρώτου μηνὸς Θὼθ κατὰ Αἰγυπτίους ἕως
κε΄ τοῦ Φαωφί.
Ὄγδοος μὴν Μερσουὰν νυχθημέρων λ΄· ἀπὸ τὰς κγ΄ Ὀκτωβρίου ἕως
κα΄ Νοεμβρίου· ἀπὸ τὰς κς΄ τοῦ Φαωφὶ ἕως κε΄ τοῦ Ἀθύρ.
Ἔνατος μὴν Χασσαλεὺ ἡμερῶν τριάκοντα μιᾶς. ὁμοῦ σογ΄· ἀπὸ κβ΄ 13
15 Νοεμβρίου ἕως κβ΄ Δεκεμβρίου· ἀπὸ κς΄ τοῦ Ἀθὺρ ἕως κς΄ τοῦ Χοιάκ.
Χειμερινὴ τροπή.
Δέκατος μὴν Τυβὴθ ἡμέρας λ΄· ἀπὸ κγ΄ Δεκεμβρίου ἕως κα΄ Ἰανουα-
ρίου· ἀπὸ κζ΄ τοῦ Χοιὰκ ἕως κς΄ τοῦ Τυβῆτ.
Ἑνδέκατος μὴν Σαββὰτ ἡμερῶν λ΄· ἀπὸ κβ΄ τοῦ Ἰανουαρίου ἕως κ΄
20 τοῦ Φευρουαρίου· ἀπὸ κζ΄ τοῦ Τυβῆτ ἕως τὰς κς΄ τοῦ Μεχείρ.
Δωδέκατος μὴν Ἀδὰρ ἡμερῶν τριάκοντα δύο· ἀπὸ κα΄ Φευρουαρίου
ἕως κδ΄ Μαρτίου· ἀπὸ κζ΄ τοῦ Μεχεὶρ ἕως κη΄ τοῦ Φαμενώθ. μετὰ δὲ
τῆς πενθημέρου.
Ταῦτα ὡς ἐν συνόψει ἐστοιχειώθη περὶ τῆς ὡς ἐπὶ τὸ πλεῖστον ἐν
25 χρήσει τριττῆς διαφορᾶς τῶν μηνῶν. ἀρκτέον δὲ λοιπὸν καὶ ἀπὸ τοῦ
πρώτου ἔτους Ἀδὰμ καὶ καθεξῆς.
Γενέσεως κόσμου ἔτη. πρῶτον.

Ἐκ τῶν λεπτῶν Γενέσεως

Τῷ ζ΄ ἔτει παρέβη καὶ τῷ η΄ ἐξερρίφησαν τοῦ παραδείσου, ὥς φασι,
30 μετὰ με΄ ἡμέρας τῆς παραβάσεως, ἐν τῇ ἐπιτολῇ τῶν Πλειάδων.
Ἐποίησε δὲ ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἑβδομάδα ἡμερῶν τξε΄. καὶ ἐξε- 14
βλήθη σὺν τῇ γυναικὶ Εὔᾳ διὰ τὴν παράβασιν τῇ ι΄ τοῦ Μαΐου μηνός.

32 ι΄ τοῦ Μαίου μηνὸς ἐξεβλήθη ἐκ τοῦ παραδείσου

29–32 Iubil. 3, 17. 32

[AE (7, 28–8, 24)] 4 κβ΄ Di. κα΄ A || 17 τυβὴθ A Τηβὴθ Di. || 18 et 20 τυ-βῆτ A Τυβὶ Di. || 20 et 21 φευρουαρίου A Φεβρουαρίου Di. || 21 Ἀδὰρ Di. α΄ δὰρ A || 24 τῆς Di. τῆς τῶν A || 29 φασι E φησι A

Τὰ θηρία καὶ τὰ τετράποδα καὶ τὰ ἑρπετά φησιν ὁ Ἰώσηππος καὶ ἡ λεπτὴ Γένεσις ὁμόφωνα εἶναι πρὸ τῆς παραβάσεως τοῖς πρωτοπλάστοις· διότι, φησίν, ὁ ὄφις ἀνθρωπίνῃ φωνῇ ἐλάλησε τῇ Εὔᾳ, ὅπερ ἀδύνατον εἶναι δοκεῖ. πᾶσα γὰρ λογικὴ φύσις κατ' εἰκόνα θεοῦ ἐστι, ταῦτα δὲ οὐκ εἰσὶ κατ' εἰκόνα θεοῦ. τὸν γὰρ ὄφιν ὁμολογοῦμεν λελαληκέναι τῇ Εὔᾳ, 5
στόμα γενόμενον τῷ νοῒ τῷ ὄφει. ἐν ᾧ ἐνεργήσας ἀσυνήθει ὄντι τῷ ἀνθρώπῳ παρὰ τὰ λοιπὰ θηρία, δι' αὐτοῦ ἠπάτησε τοὺς προπάτορας, ὁ μετὰ τοῦτο καὶ ἐν ἀψύχοις εἰδώλοις λαλήσας τοῖς ὑπ' αὐτοῦ δελεασθεῖσι πολυτρόπως εἰδωλολάτραις. τὸ δὲ εἶναι τὸν ὄφιν τετράπουν τὸ πρὶν καὶ μετὰ τὴν πονηρὰν εἰσήγησιν ἑρπηστικὸν οὐκ ἀπιστοῦμεν. 10

Τῷ νε' ἔτει, φησίν, ἔγνω ὁ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ.

Τῷ ο' ἔτει ἐγεννήθη αὐτοῖς πρωτοτόκος υἱὸς ὁ Κάιν.

Τῷ οζ' ἔτει φασὶ γεγενῆσθαι τὸν δίκαιον Ἄβελ.

Τῷ πε' ἔτει ἐγεννήθη αὐτοῖς θυγάτηρ, καὶ ὠνόμασαν αὐτὴν Ἀσουάμ.

Τῷ ϛζ' ἔτει προσήνεγκε Κάιν. 15

Τῷ ϛθ' ἔτει Ἄβελ ἀνήνεγκε θυσίαν τῷ θεῷ κβ' ἔτος ἄγων, κατὰ τὴν πανσέληνον τοῦ ζ' μηνὸς παρ' Ἑβραίοις, ἤγουν ἐν τῇ σκηνοπηγίᾳ.

15 *Σημειωτέον ὅτι τὴν Κάιν καρποφορίαν θυσίαν καλεῖ ἡ γραφή, τὰ δὲ τοῦ Ἄβελ δῶρα, δηλοῦσα τὸν τρόπον ἑκατέρου.*

Τῷ αὐτῷ θ' ἔτει ἀνεῖλεν ὁ Κάιν τὸν Ἄβελ, καὶ ἐπένθησαν αὐτὸν οἱ 20
πρωτόπλαστοι ἑβδομαδικοὺς δ', ἤγουν ἔτη κη'.

Τῷ ρκζ' ἔτει ὁ Ἀδὰμ καὶ ἡ Εὔα ἀπέθεντο τὸ πένθος.

Τῷ ρλε' ἔτει ἔλαβεν ὁ Κάιν τὴν ἰδίαν ἀδελφὴν Ἀσαυνᾶν οὖσαν ἐτῶν ν'. αὐτὸς δὲ ἦν ἐτῶν ξε'.

Τῆς θείας γραφῆς περὶ τοῦ γένους Κάιν 25

Καὶ ἔγνω Κάιν τὴν γυναῖκα αὐτοῦ καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ. καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ. ἐγεννήθη δὲ τῷ Ἐνὼχ Γαϊδάδ· καὶ Γαϊδὰδ ἐγέννησε τὸν

3 *πῶς ἐλάλησεν ὁ ὄφις τῇ Εὔᾳ*

1–10 ps. Sym. f. 19v = Cedr. 9, 22–10, 10 || **1–2** Iubil. 3, 28, Ioseph. A. I. 1, 50 || **9–10** Iubil. 3, 23 (lacunosus; cf. Ioseph. A. I. 1, 50 et cod. Koutl. 178 f. 11r: *τὸν δὲ ὄφιν τετράπουν ὄντα τὸ πρῶτον, ἕρπτον ἔκτοτε*) || **11–17** Iubil. 3, 34–4, 2, cf. Iohann. Anag. f. 114v || **18** Gen. 4, 4, cf. ps. Sym. f. 21r = [Leo. Gr.] 6, 1–21, Iohann. Anag. f. 114v || **20** Iubil. 4, 2 || **20–22** Iubil. 4, 7 || **23** Iubil. 4, 9, cf. Iohann. Anag. f. 114v || **26**–p. 9, 2 Gen. 4, 17–18

[AE (7, 28–8, 24)] **5** *τὸν γὰρ* ps. Sym. *τὸν* AE || **6** *τῷ νοῒ τῷ* A *τῷ νοητῷ* E ps. Sym. | *ἀσυνήθει* AE *ὡς συνήθει* ps. Sym. || **11** *νε'* Iohann. Anag. *η'* AE *post primum iubilaeum* Iubil. || **23** *Ἀσαυνᾶν* AE *σαῦαν* Iohann. Anag. || **28** *Γαϊδάδ* Di. *γαιδᾶμ* A

Μαλελεήλ· καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα· καὶ Μαθουσάλα
ἐγέννησε τὸν Λάμεχ. οὗτος ὁ Λάμεχ ἕκτος ὢν ἀπὸ Κάιν, ⟨ὃς⟩ πρῶτος ἐν
ἀνθρώποις φονεὺς ἐγένετο, ἔλαβε δύο γυναῖκας καὶ δεύτερον φόνον ἐποίησε.
Κάιν οὖν πρῶτος φονεὺς Ἄβελ τοῦ δικαίου τύπον φέρει τοῦ διαβόλου, ὡς
5 *ἐφευρετὴς τοῦ κακοῦ καὶ ἀμεταμέλητος ἐν ἀρχῇ τῆς κοσμογονίας φανείς,*
Λάμεχ δὲ τύπον φέρει τοῦ Ἰουδαϊκοῦ κυριοκτόνου λαοῦ κατὰ τὸν ς′ αἰῶνα 16
μεσοῦντα σταυρώσαντος τὸν σωτῆρα, οὗ καὶ πολλαπλασίως ἡ ἁμαρτία καὶ
ἡ ἐκδίκησις. ἀλλὰ καὶ ὁ κύριος οζ′ ἀπὸ Ἀδάμ.
Τῷ ρϛϛ′ ἔτει ἐγεννήθη τῷ Κάιν ὁ Ἐνώχ. οὗτος πρῶτος ἄροτρον εὗρεν.
10 *Τῷ ρϛζ′ ἔτει Κάιν ἔκτισε πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνώχ·*
Ἄβελ δὲ δικαιοσύνης ἐφρόντιζεν. ὁ Κάιν μετὰ τὴν καταδίκην ἅρπαξ καὶ
πλεονέκτης μᾶλλον ἐγένετο μέτρα καὶ σταθμία καὶ ὅρους γῆς πρῶτος
ἐπινοήσας. τοὺς δὲ οἰκείους εἰς ἓν συναγαγὼν ἐν πολέμοις ἀσχολεῖσθαι
ἐδίδασκεν. οὗτος χθαμαλὸς ἦν ἀπὸ τῆς κατάρας τοῦ θεοῦ καὶ πάντες οἱ
15 *ἐξ αὐτοῦ γεννώμενοι. ᾤκει δὲ τὴν γῆν ἥτις ἐστὶ τρέμουσα, χαμηλὴ οὖσα,*
κεχωρισμένος ὑπάρχων ἐκ τοῦ Σήθ, κατὰ πρόσταξιν τοῦ Ἀδάμ. οἱ ἐκ τοῦ
Σὴθ υἱοὶ θεοῦ λεγόμενοι καὶ ἐγρήγοροι τὴν ὑψηλοτέραν γῆν τῆς Ἐδὲμ
πλησίον τοῦ παραδείσου κατῴκουν.
Τῷ σλ′ ἔτει Ἀδάμ, ἐν ᾧ ὁ Σὴθ ἐγεννήθη, ρξ′ ἔτος ὑπῆρχε τοῦ Κάιν.
20 *Τῷ δὲ σλδ′ ἔτει ἐγέννησε θυγατέρα, ἣν ὠνόμασεν Ἀζουράν.*
Τῷ σμγ′ ἔτει τοῦ Ἀδὰμ ἀπεγαλακτίσθη ὁ Σήθ.
Τῷ σο′ ἔτει τοῦ Ἀδὰμ ὁ Σὴθ ἁρπαγεὶς ὑπὸ ἀγγέλων ἐμυήθη τὰ περὶ
τῆς παραβάσεως μέλλοντα ἔσεσθαι τῶν ἐγρηγόρων, καὶ τὰ περὶ τοῦ 17
κατακλυσμοῦ τοῦ ὕδατος ἐσομένου καὶ τὰ περὶ τῆς παρουσίας τοῦ σωτῆρος.
25 *καὶ γενόμενος ἄφαντος ἡμέρας μ′ ἐλθὼν ἐξηγήσατο τοῖς πρωτοπλάστοις*
ὅσα ἐμυήθη δι᾽ ἀγγέλων. ἦν δὲ τότε ἐτῶν μ′. ὁ Σὴθ εὐσεβὴς ἦν καὶ εὐδιά-
πλαστος σφόδρα καὶ οἱ ἐξ αὐτοῦ πάντες εὐσεβεῖς καὶ ὡραῖοι ἦσαν. οὗτοι
κατὰ πρόσταγμα τοῦ Ἀδὰμ τὴν ὑψηλοτέραν γῆν ᾤκουν τῆς Ἐδέμ, κατ-
έναντι τοῦ παραδείσου, ἀγγελικῶς βιοῦντες, ἕως τοῦ χιλιοστοῦ κοσμικοῦ
30 *ἔτους. τούτων τὴν ἐνάρετον πολιτείαν μὴ φέρων ὁ ἀρχέκακος βλέπειν,*
εἰς τὴν ὡραιότητα τῶν τότε θυγατέρων τῶν ἀνθρώπων αὐτοὺς ἔτρωσε,

2–8 cf. ps. Sym. f. 21v, Cedr. 15, 9 (solum **2–3**) || **8** Luc. 3, 23–38 || **9–11** Iubil. 4, 9, cf. ps. Sym. f. 21v = Cedr. 15, 16 || **11–14** Ioseph. A. I. 1, 61 || **14–18** ps. Sym. f. 21v = Cedr. 15, 20 || **16–18** cf. infra 19, 22 = Africanus fr. 7 || **19–31** ps. Sym. f. 21v = Cedr. 16, 16–17, 8 || **19** Gen. 5, 3 || **20** Iubil. 4, 8 || **21**–p. 10, **2** ex libro deperdito *uita Adae*; uide Gelzer 2, 265–273 || **22–26** cf. Iohann. Anag. f. 114v || **29** cf. Annianum apud Barhebraeum 4

[**AE** (9, 9–14; 19–26)] **2** *ὃς* addidit Di. || **3** *ἐγένετο* addidi ex ps. Sym. || **5** *ἀμετάβλητος* ps. Sym. || **15** *χαμηλὴ* **A** *χθαμαλὴ* ps. Sym. || **23** *μέλλοντα* **A** *μελλούσης* Bredov. | *τοῦ* **E** om. **A** || **26** *εὐσεβὴς* **A** ps. Sym. *εὐειδὴς* Cedr.

περὶ ὧν φησι καὶ ὁ θεῖος Μωϋσῆς ὅτι ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἐξ αὐτῶν.

Τῷ υκε΄ ἔτει ὁ Σὴθ ἔλαβε γυναῖκα Ἀζουρὰν τὴν ἰδίαν ἀδελφήν. ἦν δὲ Σὴθ ἐτῶν ρςε΄, Ἀζουρὰ δὲ ἐτῶν ρςα΄.

Τῷ υλε΄ ἔτει ἐγεννήθη τῷ Σὴθ ὁ Ἐνώς. οὗτος γενόμενος ἐτῶν ἑκατὸν 5
ἐνενήκοντα ἐγέννησε τὸν Καϊνᾶν τῷ χκε΄ ἔτει.

Ἀπὸ Ἀδὰμ ἕως γεννήσεως Ἐνὼς ἔτη τετρακόσια τριάκοντα πέντε, δηλούσης τῆς γραφῆς· Ἐνὼς ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ πρῶτος, τοῦτ᾽ ἔστι προσαγορεύεσθαι ὀνόματι θεοῦ. ἑρμηνεύεται γὰρ
18 *ὁ Ἐνὼς ὡσανεὶ ἄνθρωπος κατὰ τὸν Ἑβραϊκὸν νοῦν. οὕτω δὲ καὶ ὁ σωτὴρ* 10
υἱὸς τοῦ ὄντος ἀνθρώπου, κατὰ τὸν φυσικὸν λόγον Ἀφρικανοῦ.

Πρώτη περίοδος τῶν φλβ΄ ἐτῶν τούτῳ τῷ ἔτει ἐπληρώθη. ἦν δὲ τοῦ μὲν Σὴθ τβ΄, τοῦ δὲ Ἐνὼς ςη΄.

Τῷ χ΄ ἔτει μετανοήσας ὁ Ἀδὰμ ἔγνω δι᾽ ἀποκαλύψεως τὰ περὶ τῶν ἐγρηγόρων καὶ τοῦ κατακλυσμοῦ καὶ τὰ περὶ τῆς μετανοίας καὶ τῆς θείας 15
σαρκώσεως καὶ τὰ περὶ τῶν καθ᾽ ἑκάστην ὥραν ἡμερινὴν καὶ νυκτερινὴν ἀναπεμπομένων εὐχῶν τῷ θεῷ ἐξ ὅλων τῶν κτισμάτων διὰ Οὐριὴλ τοῦ ἐπὶ τῆς μετανοίας ἀρχαγγέλου οὕτως. ⟨ὥρα πρώτη ἡμερινῇ πρώτη εὐχὴ ἐπιτελεῖται ἐν τῷ οὐρανῷ, β΄ εὐχὴ ἀγγέλων, γ΄ εὐχὴ πτηνῶν, δ΄ εὐχὴ κτηνῶν, ε΄ εὐχὴ θηρίων, ς΄ ἀγγέλων παράστασις καὶ διάκρισις πάσης τῆς 20
κτίσεως, ζ΄ ἀγγέλων εἴσοδος πρὸς θεὸν καὶ ἔξοδος ἀγγέλων, η΄ αἴνεσις καὶ θυσίαι ἀγγέλων, θ΄ δέησις καὶ λατρεία ἀνθρώπων, ι΄ ἐπισκοπαὶ ὑδάτων καὶ δεήσεις οὐρανίων καὶ ἐπιγείων, ια΄ ἀνθομολόγησις καὶ ἀγαλλίασις πάντων, ιβ΄ ἔντευξις ἀνθρώπων εἰς εὐδοκίαν.⟩

Τῷ χκε΄ ἔτει Καϊνᾶν ἐγεννήθη τῷ Ἐνώς. οὗτος γενόμενος ἐτῶν ρο΄ 25
ἐγέννησε τὸν Μαλελεήλ.

Τῷ ψς΄ ἔτει ἀπὸ Ἀδὰμ Καϊνᾶν ἔλαβεν εἰς γυναῖκα τὴν Μαλέθ.

Τῷ ψςε΄ ἔτει ἐγέννησε Καϊνᾶν τὸν Μαλελεὴλ ὢν ἐτῶν ρο΄. Μαλελεὴλ γενόμενος ἐτῶν ρξε΄ ἐγέννησε τὸν Ἰάρεδ, τῷ ϡξ΄ ἔτει τοῦ κόσμου.

9 *ἑρμηνεύεται ὁ Ἐνώς* 30

1 Gen. 7, 2 || **3–4** Iubil. 4, 10–11 || **7–9** Iubil. 4, 12, Gen. 4, 26 || **9–11** ps. Sym. f. 22r = Cedr. 17, 9–12 | **11** Africanus fr. 3 || **12** ex Anniano; cf. infra 35, 26 || **14–18** cf. Iohann. Anag. f. 114v || **14–24** ps. Sym. f. 22r = Cedr. 17, 15–18, 7; ex *uita Adae* ut uult Gelzer 2, 265 || **25** Iubil. 4, 13 || **26** Gen. 5, 12 || **27** Iubil. 4, 14 || **28** Gen. 5, 12 || **29** Gen. 5, 15

[**AE** (10, 3–5; 9–11; 14–18)] **11** *τοῦ ὄντος* **AE** *ὄντως* ps. Sym. || **15** *τῆς*[1] **E** om. **A** ps. Sym. || **16** *τὰ περὶ τῶν*] *τῶν περὶ τῶν* **E** *τῶν περὶ* **A** *περὶ τῶν* ps. Sym. || **18–24** haec uerba praetermissa in textu addita sunt in margine, sed ita est folium laceratum ut legi non possint. restitui ex ps. Sym. et Cedr. || **19** *ἀγγέλων* Cedr. *ἀγγέλου* ps. Sym. || **20** *τῆς* ps. Sym. om. Cedr. || **22** *λατρεία* Cedr. *λατρεῖαι* ps. Sym. | *ἀνθρώπων* ps. Sym. *ἀνθρώπου* Cedr. || **24** *εὐδοκίαν* ps. Sym. *εὐδοκίας* Cedr. || **27** *ψς΄* Di. *ψςε΄* **A** | *ἀπὸ Ἀδὰμ* om. **A**. add. **A**m

Τῷ ϡλʹ ἔτει Ἀδὰμ ἐκοιμήθη, καταλείψας ἄρρενας υἱοὺς λγʹ καὶ θυγατέρας κζʹ. οὗτος ἡγεμόνευσε τοῦ γένους τῶν ἀνθρώπων τὰ ὅλα τῆς ζωῆς αὐτοῦ ἔτη.

Τῷ αὐτῷ ϡλʹ ἔτει καὶ Κάιν ἀπέθανεν, ἐμπεσόντος ἐπ' αὐτὸν τοῦ οἴκου. 19
5 *λίθοις γὰρ καὶ αὐτὸς τὸν Ἄβελ ἀνεῖλε. πληρωθέντος οὖν ἐνιαυτοῦ μετὰ θάνατον τοῦ Ἀδὰμ τέθνηκεν.*

Σὴθ ἡγεμόνευσε μετὰ τὸν Ἀδὰμ τῶν τηνικαῦτα ἀνθρώπων. οἱ δὲ ἐκ γένους αὐτοῦ διακόσιοι ἐγρήγοροι τῷ ͵α τῆς κοσμογονίας ἔτει, τεσσαρακοστοῦ ὄντος τοῦ Ἰάρεδ, αὐτοῦ δὲ τοῦ Σὴθ ψοʹ, πλανηθέντες κατέβησαν,
10 *καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας ἐκ τῶν θυγατέρων τῶν ἀνθρώπων, καὶ ἐγέννησαν τοὺς γίγαντας τοὺς ὀνομαστούς, ὥς φησιν ἡ γραφή. ἐπειδὴ δέ τινες ἀντιλέγουσι περὶ τούτων, συνεῖδον ἐφεξῆς ὀλίγα τινὰ καὶ περὶ αὐτῶν παραθέσθαι, ἔκ τε τοῦ αʹ βιβλίου τοῦ Ἐνὼχ καὶ αὐτοῦ Μωυσέως καὶ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων.*

15 *Τῷ ϡξʹ ἔτει ἐγέννησε Μαλελεὴλ τὸν Ἰάρεδ.*

Ἰάρεδ γενόμενος ἐτῶν ρξβʹ ἐγέννησε τὸν Ἐνὼχ τῷ ͵αρκβʹ ἔτει τοῦ κόσμου.

{Ἔτος ⟨μʹ⟩ Ἰάρεδ τῷ ͵α τοῦ κόσμου.}

Ἐκ τοῦ πρώτου βιβλίου Ἐνὼχ περὶ τῶν ἐγρηγόρων 20

20 *Καὶ ἐγένετο ὅτε ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων ἐγεννήθησαν αὐτοῖς θυγατέρες ὡραῖαι, καὶ ἐπεθύμησαν αὐτὰς οἱ ἐγρήγοροι καὶ ἀπεπλανήθησαν ὀπίσω αὐτῶν. καὶ εἶπον πρὸς ἀλλήλους· ἐκλεξώμεθα ἑαυτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέρων τῶν ἀνθρώπων τῆς γῆς. καὶ εἶπε Σεμιαζᾶς ὁ ἄρχων αὐτῶν πρὸς αὐτούς· φοβοῦμαι μὴ οὐ θελήσητε ποιῆσαι τὸ πρᾶγμα*
25 *τοῦτο καὶ ἔσομαι ἐγὼ μόνος ὀφειλέτης ἁμαρτίας μεγάλης. καὶ ἀπεκρίθησαν αὐτῷ πάντες καὶ εἶπον· ὀμόσωμεν ἅπαντες ὅρκῳ καὶ ἀναθεματίσωμεν ἀλλήλους τοῦ μὴ ἀποστρέψαι τὴν γνώμην ταύτην μέχρις οὗ ἀποτελέσωμεν αὐτήν. τότε πάντες ὤμοσαν ὁμοῦ καὶ ἀνεθεμάτισαν ἀλλήλους. ἦσαν δὲ οὗτοι σʹ οἱ καταβάντες ἐν ταῖς ἡμέραις Ἰάρεδ εἰς τὴν κορυφὴν τοῦ Ἑρμο-*

1 Gen. 5, 5 || **1–3** ps. Sym. f. 22ᵛ = Cedr. 18, 7; ex *uita Adae*; Gelzer 2, 270 || **4** Iubil. 4, 31; cf. ps. Sym. f. 22ᵛ, Cedr. 16, 2; 18, 13; Iohann. Anag. f. 110ʳ || **7–11** ps. Sym. f. 22ᵛ = Cedr. 18, 15–20; ex *uita Adae*; cf. Annianum apud Barhebraeum 4; Gelzer 2, 289 || **15** Gen. 5, 15 || **16** Gen. 5, 18 || **18** cf. Annianum apud Barhebraeum 4 || **19**–p. 13, **19** 1 Enoch 6–10; cf. fragmenta Graeca codicis Panopolitani (Cairensis 10759) Gizeh ut solet designati || **19**–p. 12, **7** 1 Enoch 6 || **28**–p. 12, **2** cf. ps. Sym. f. 22ᵛ = Cedr. 19, 12

[AE (11, 4–5; 11, 19–13, 18)] **10** *ἑαυτοῖς* ps. Sym. *ἑαυτοὺς* A || **18** ex margine in textum illatum || **20** *ὅτε* AE *οὗ ἂν* Giz. || **21** *θυγατέρες* E *θυγατέραις* A || **27** *οὗ ἀποτελέσωμεν* AE *οὗ ἂν τελέσωμεν* Giz. || **28** *αὐτὴν* A *αὐταῖς* E

νιεὶμ ὄρους καὶ ἐκάλεσαν τὸ ὄρος Ἑρμώμ, καθότι ὤμοσαν καὶ ἀνεθεμάτισαν ἀλλήλους ἐν αὐτῷ.

Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων αὐτῶν· Σεμιαζᾶς ὁ ἄρχων αὐτῶν, β' Ἀταρκούφ, γ' Ἀρακιήλ, δ' Χωβαβιήλ, ε' Ὀραμμαμή, ϛ' Ῥαμιήλ, ζ' 21 *Σαμψίχ, η' Ζακιήλ, θ' Βαλκιήλ, ι' Ἀζαζήλ, ια' Φαρμαρός, ιβ' Ἀμαριήλ,* 5 *ιγ' Ἀναγημάς, ιδ' Θαυσαήλ, ιε' Σαμιήλ, ιϛ' Σαρινᾶς, ιζ' Εὐμιήλ, ιη' Τυριήλ, ιθ' Ἰουμιήλ, κ' Σαριήλ.*

Οὗτοι καὶ οἱ λοιποὶ πάντες ἐν τῷ ͵αρο' ἔτει τοῦ κόσμου ἔλαβον ἑαυτοῖς γυναῖκας καὶ ἤρξαντο μιαίνεσθαι ἐν αὐταῖς ἕως τοῦ κατακλυσμοῦ. καὶ ἔτεκον αὐτοῖς γένη τρία· α' γίγαντας μεγάλους. οἱ δὲ γίγαντες ἐτέκνωσαν 10 *Ναφηλείμ, καὶ τοῖς Ναφηλεὶμ ἐγεννήθησαν Ἐλιούδ. καὶ ἦσαν αὐξανόμενοι κατὰ τὴν μεγαλειότητα αὐτῶν, καὶ ἐδίδαξαν ἑαυτοὺς καὶ τὰς γυναῖκας ἑαυτῶν φαρμακείας καὶ ἐπαοιδίας. πρῶτος Ἀζαὴλ ὁ δέκατος τῶν ἀρχόντων ἐδίδαξε ποιεῖν μαχαίρας καὶ θώρακας καὶ πᾶν σκεῦος πολεμικὸν καὶ τὰ μέταλλα τῆς γῆς καὶ τὸ χρυσίον πῶς ἐργάσωνται, καὶ ποιήσωσιν αὐτὰ* 15 *κόσμια ταῖς γυναιξί, καὶ τὸν ἄργυρον. ἔδειξε δὲ αὐτοῖς καὶ τὸ στίλβειν καὶ τὸ καλλωπίζειν καὶ τοὺς ἐκλέκτους λίθους καὶ τὰ βαφικά. καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ταῖς θυγατράσιν αὐτῶν καὶ παρέβησαν καὶ ἐπλάνησαν τοὺς ἁγίους, καὶ ἐγένετο ἀσέβεια πολλὴ ἐπὶ τῆς γῆς· καὶ ἠφάνισαν τὰς ὁδοὺς αὐτῶν. ἔτι δὲ καὶ ὁ πρώταρχος αὐτῶν Σεμιαζᾶς* 20 22 *ἐδίδαξεν εἶναι ὀργὰς κατὰ τοῦ νοός, καὶ ῥίζας βοτανῶν τῆς γῆς. ὁ δὲ ια' Φαρμαρὸς ἐδίδαξε φαρμακείας, ἐπαοιδίας, σοφίας καὶ ἐπαοιδῶν λυτήρια. ὁ θ' ἐδίδαξεν ἀστροσκοπίαν. ὁ δὲ δ' ἐδίδαξεν ἀστρολογίαν. ὁ δὲ η' ἐδίδαξεν ἀεροσκοπίαν. ὁ δὲ γ' ἐδίδαξε τὰ σημεῖα τῆς γῆς. ὁ δὲ ζ' ἐδίδαξε τὰ σημεῖα τοῦ ἡλίου. ὁ δὲ κ' ἐδίδαξε τὰ σημεῖα τῆς σελήνης. πάντες δὲ οὗτοι ἤρξαντο* 25

8 *τῷ ͵α' ἔτει παρέβησαν καὶ τῷ ͵αρο' ἔτει ἐνέφαγον*

8–13 1 Enoch 7; cf. Iubil. 7, 21; de anno uide Gelzer 2, 260 || 13–25 1 Enoch 8, 1–3; cf. ps. Sym. f. 22ʳ = Cedr. 19, 6 || 25–p. 13, 2 1 Enoch 7, 4–6

3 *Σεμιαζᾶς*] *Σεμιαζᾶ* Giz. *Samīazāz* Eth. || 4 *Ἀταρκούφ*] *Ἀραθάκ* Giz. *Arākība* Eth. | *Ἀρακιήλ*] *Ῥακειήλ* Giz. *Rāmēēl* Eth. | *Χωβαβιήλ*] *Χωχαριήλ* Giz. *Kōkabīēl* Eth. | *Ὀραμμαμή*] *Σαμμανή* Giz. om. ut uidetur Eth., undeviginti nominibus adhibitis | *Ῥαμιήλ* Giz. *Rāmīēl* Eth. || 5 *Σαμψίχ*] *Σεμιήλ* Giz. *Sampsāpēēl* Eth. | *Ζακιήλ*] *Ἐζεκιήλ* Giz. *Ēzēqēēl* Eth. | *Βαλκιήλ*] *Βατριήλ* Giz. *Barāqījal* Eth. | *ἀζαζήλ* E *ἀζαλζήλ* A *Ἀσέαλ* Giz. *Asāēl* Eth. | *Φαρμαρός*] *Ἀρεαρώς* Giz. *Armārōs* Eth. | *Ἀμαριήλ*] *Βαρακιήλ* Giz. *Batārēl* Eth. || 6 *Ἀναγημάς*] *Ἀνανθνά* Giz. *Anānēl* Eth. | *Θαυσαήλ*] *Θωνιήλ* Giz. *Zaqīēl* Eth. | *Σαμιήλ*] *Ταμιήλ* Giz. *Tāmīēl* Eth. | *Σαρινᾶς*] *Σαθιήλ* Giz. *Satarēl* Eth. | *εὐμιήλ* E *ὁ εὐμιήλ* A *Δανειήλ* Giz. *Dānēl* Eth. || 7 *Τυριήλ*] *Τουριήλ* Giz. *Tūrēl* Eth. | *Ἰουμιήλ*] *Ἰωμειήλ* Giz. *Jōmjāēl* Eth. | *Σαριήλ*] *Ἀτριήλ* Giz. *Sariēl* Eth. || 10–11 om. Giz., Eth. cf. Iubil. 7, 22 (*Naphīl, Eljō*) || 11 *Ναφηλείμ*[1] Di. *ἀφηλείμ* AE || 16 *τὸ στίλβειν*] *στίβεις* Giz. || 17 *καλλωπίζειν*] *καλλιβλέφαρον* Giz. || 21 *εἶναι ὀργὰς*] *ἐπαοιδὰς* Giz. || 23 *ἀστροσκοπίαν* E *ἀστροκοπίαν* A || 25 *δὲ*[2] E om. A

ἀνακαλύπτειν τὰ μυστήρια ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέκνοις αὐτῶν.
μετὰ δὲ ταῦτα ἤρξαντο οἱ γίγαντες κατεσθίειν τὰς σάρκας τῶν ἀνθρώπων·
καὶ ἤρξαντο οἱ ἄνθρωποι ἐλαττοῦσθαι ἐπὶ τῆς γῆς. οἱ δὲ λοιποὶ ἐβόησαν
εἰς τὸν οὐρανὸν περὶ τῆς κακώσεως αὐτῶν λέγοντες εἰσενεχθῆναι τὸ μνη-
5 μόσυνον αὐτῶν ἐνώπιον κυρίου. καὶ ἀκούσαντες οἱ δ' μεγάλοι ἀρχάγγελοι
Μιχαὴλ καὶ Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριὴλ παρέκυψαν ἐπὶ τὴν γῆν ἐκ
τῶν ἁγίων τοῦ οὐρανοῦ· καὶ θεασάμενοι αἷμα πολὺ ἐκκεχυμένον ἐπὶ τῆς
γῆς καὶ πᾶσαν ἀσέβειαν καὶ ἀνομίαν γενομένην ἐπ' αὐτῆς, εἰσελθόντες εἶπον
πρὸς ἀλλήλους ὅτι τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων στενάζουσιν
10 ἐντυγχάνοντα καὶ λέγοντα ὅτι εἰσαγάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν
ὕψιστον, καὶ τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον τῆς δόξης τῆς μεγαλωσύνης,
ἐνώπιον τοῦ κυρίου τῶν κυρίων πάντων τῇ μεγαλωσύνῃ. καὶ εἶπον τῷ κυ-
ρίῳ τῶν αἰώνων· σὺ εἶ ὁ θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ ὁ
βασιλεὺς τῶν βασιλευόντων καὶ θεὸς τῶν αἰώνων, καὶ ὁ θρόνος τῆς δόξης 23
15 σου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων, καὶ τὸ ὄνομά σου τὸ ἅγιον καὶ
εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας, καὶ τὰ ἑξῆς. τότε ὁ ὕψιστος ἐκέλευσε
τοῖς ἁγίοις ἀρχαγγέλοις, καὶ ἔδησαν τοὺς ἐξάρχους αὐτῶν καὶ ἔβαλον αὐ-
τοὺς εἰς τὴν ἄβυσσον, ἕως τῆς κρίσεως, καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν ὁ
Ἐνὼχ μαρτυρεῖ.

20 Ὁ δὲ θεόπτης Μωυσῆς ἐν τῇ Γενέσει φησί· 'καὶ ἐγένετο ἡνίκα ἤρξαντο
οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐ-
τοῖς. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί
εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο.' εἶτα 'καὶ μετ'
ἐκεῖνο ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώ-
25 πων καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, ἄνθρω-
ποι οἱ ὀνομαστοί' καὶ τὰ ἑξῆς.

Ὁ δὲ κορυφαῖος καὶ ἀπόστολος Πέτρος ἐν ἐπιστολῇ δευτέρᾳ περὶ αὐτῶν
οὕτω φησίν· 'εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ
σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν κολαζομένους τηρεῖν,
30 καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ' ὄγδοον Νῶε δικαιοσύνης κήρυκα
ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας.'

3–5 1 Enoch 8, 4 || 5–16 1 Enoch 9, 1–4; cf. infra 24, 12 || 16–19 1 Enoch 10; cf. infra 25, 9 || 20 Gen. 6, 1–2 || 23 Gen. 6, 4 || 27 2 Petr. 2, 4–5

[AE (11, 20–13, 18)] 6 *παρέκυψαν* E *καὶ παρέκυψαν* A || 7 *ἐκκεχυμένον* E *ἐκκεχυμμένον* A *ἐκχυννόμενον* Giz. || 9. 10 *στενάζουσιν ἐντυγχάνοντα*] *ἐντυγχάνουσι στενάζοντα* infra || 10 *κρίσιν*] *δέησιν* infra || 14 *αἰώνων*] *ἀνθρώπων* infra || 15 *τὸ*[2] E Giz. om. A || 16 *εὐλογητὸν* Giz. || 17 *ἔβαλον* Di. *ἔβαλλον* AE || 19 *μαρτυρεῖ*] dehinc ad 14, 3.4 *ἐν τῷ θ'* textum non exscripsit E, sed summatim excerpsit || 21 *ἐγεννήθησαν* A Gen.[E] *ἐγενήθησαν* Gen.[v] || 22 *υἱοὶ*] *ἄγγελοι* Gen.[A] || 25 *οἱ ἄνθρωποι* Gen. || 29 *κολαζομένους τηρεῖν* A 2 Petr. 2, 9 *τηρουμένους* 2 Petr. 2, 4

Ταῦτά τοι πρὸς ὠφέλειαν τῶν βουλομένων ἐκ τῶν θείων γραφῶν παρατέθεικα. ἄξιον δὲ καὶ Ζωσίμου τοῦ Πανοπολίτου φιλοσόφου χρῆσίν τινα 24 παραθέσθαι περὶ αὐτῶν ἐκ τῶν γεγραμμένων αὐτῷ πρὸς Θεοσέβειαν ἐν τῷ θʹ τῆς Ἰμοὺθ βίβλῳ, ἔχουσαν ὧδε· ‘φάσκουσιν αἱ ἱεραὶ γραφαὶ ἤτοι βίβλοι, ὦ γύναι, ὅτι ἔστι τι δαιμόνων γένος ὃ χρῆται γυναιξίν. ἐμνημόνευσε 5 δὲ καὶ Ἑρμῆς ἐν τοῖς φυσικοῖς, καὶ σχεδὸν ἅπας λόγος φανερὸς καὶ ἀπόκρυφος τοῦτο ἐμνημόνευσε. τοῦτο οὖν ἔφασαν αἱ ἀρχαῖαι καὶ θεῖαι γραφαί, ὅτι ἄγγελοί τινες ἐπεθύμησαν τῶν γυναικῶν καὶ κατελθόντες ἐδίδαξαν αὐτὰς πάντα τὰ τῆς φύσεως ἔργα, ὧν χάριν, φησί, προσκρούσαντες ἔξω τοῦ οὐρανοῦ ἔμειναν, ὅτι πάντα τὰ πονηρὰ καὶ μηδὲν ὠφελοῦντα τὴν 10 ψυχὴν ἐδίδαξαν τοὺς ἀνθρώπους. ἐξ αὐτῶν φάσκουσιν αἱ αὐταὶ γραφαὶ καὶ τοὺς γίγαντας γεγενῆσθαι. ἔστιν οὖν αὐτῶν ἡ πρώτη παράδοσις Χημεῦ περὶ τούτων τῶν τεχνῶν. ἐκάλεσε δὲ ταύτην τὴν βίβλον Χημεῦ, ἔνθεν καὶ ἡ τέχνη χημεία καλεῖται’ καὶ τὰ ἑξῆς.

Τούτων οὕτως ἐχόντων περὶ τῶν ἐκ τοῦ Σὴθ ἐγρηγόρων δέον γινώσκειν 15 ὅτι παρὰ μὲν τῇ θεοπνεύστῳ γραφῇ πρὸ τοῦ κατακλυσμοῦ περὶ βασιλείας τῆς οἱασοῦν οὐ φέρεται· δῆλον γὰρ ὡς οἱ τοῦ γένους προπάτορες Ἀδάμ τε καὶ Σὴθ καὶ Ἐνὼς καὶ οἱ ἀμφ' αὐτοὺς ἐπισημότεροι, οὗτοι ἐξῆρχον τῶν πολλῶν ἕως τελείας κατακρατήσεως τῶν γιγάντων, οὓς νομίζομεν τυραννεῖν τῶν ἀσθενεστέρων ἀνθρώπων, οἵτινες οὐκ ἦσαν αὐτοῖς ὅμοιοι, 20 25 μέχρι τοῦ ἐπὶ Νῶε κατακλυσμοῦ, δι' οὓς καὶ ἐφθάρη ἡ γῆ.

Ἐπειδὴ δὲ Βήρωσσος ὁ τῆς Χαλδαϊκῆς ἀρχαιολογίας συγγραφεὺς ἀκμάσας κατὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὥς φησι, καὶ εὑρὼν ἐν Βαβυλῶνι πολλῶν ἀναγραφὰς φυλασσομένας ἐπιμελῶς, αἳ περιεῖχον ἐτῶν μυριάδας που ιεʹ καὶ μικρὸν πρός, ἱστορίας τινὰς περὶ οὐρανοῦ τε καὶ 25 γῆς καὶ θαλάσσης καὶ βασιλέων ἀρχαιότητος καὶ τῶν πράξεων αὐτῶν, περί τε θέσεως τῆς Βαβυλωνίας γῆς καὶ καρποφορίας αὐτῆς καὶ ζῴων τινῶν ἐκ τῆς ἐρυθρᾶς θαλάσσης φανέντων παρὰ φύσιν τῷ εἴδει, καὶ ἄλλα τινὰ μυθώδη, ταῦτα κομπολογίᾳ τινὶ συνέγραψεν, ἅτινα πάντα κατὰ τὸν ἀληθῆ λόγον πλάσματα δαιμόνων εἶναι δοκεῖ, ἀναγκαῖον ἡγοῦμαι καὶ τού- 30 των τὸν χρόνον ἐν κανονίῳ παραθέσθαι ἀπὸ τοῦ ͵ανθʹ ἔτους τοῦ κόσμου ὄντα, καίπερ πληροφορούμενος ὅτι δοξάσαι θέλων τὸ τῶν Χαλδαίων

13 πόθεν ἡ χήμευσις

2 de Zosimo philosopho (non eodem ac historico) cf. Phot. Bibl. 170; W. Scott, Hermetica 4, Oxon. 1936, 150 n. 1 || 17–21 ex *uita Adae*; uide Gelzer 2, 270 || 22–29 Berossus FGrHist 680 T 1 || 31 cf. infra 17, 7; 33, 16; 42, 18, Chron. Barberin. 40, Gelzer 2, 199

[AE (14, 4–14)] 19 τελείας Di. τελείας καὶ A | νομίζομεν Di. νομιζομένους A || 25 μυριάδας Di. μυριάδων A || 28 φανέντων Bredov. θανέντων A

ἔθνος καὶ δεῖξαι πάντων τῶν ἐθνῶν ἀρχαιότερον ὁ Βήρωσσος καὶ οἱ
κατ' αὐτόν, ὁ Ἀλέξανδρος, φημί, ὁ Πολυίστωρ λεγόμενος καὶ Ἀβυδηνός,
ταῦτα γεγράφασι. τὸ γὰρ τὴν καθ' ἡμᾶς οἰκουμένην πρὸ τοῦ κατακλυσμοῦ
μᾶλλον ἀοίκητον ἡγεῖσθαι, ἐν ᾗ τῶν Βαβυλωνίων ἡ χώρα καὶ ἡ Αἴγυπτος
5 κεῖται, καταλληλότερον εἶναι δοκεῖ ἔκ τε τῆς θείας γραφῆς καὶ ἔκ τινων
πατρικῶν μαρτυριῶν καὶ τῆς φυσικῆς τῶν πραγμάτων ἀκολουθίας· καὶ 26
ἐκ μὲν τῆς γραφῆς οὕτω λεγούσης· 'καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ κατῴκισεν
αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς'. ἡ δὲ Βαβυλωνίων γῆ καὶ ἡ
καθ' ἡμᾶς οἰκουμένη πᾶσα πόρρω που κεῖται ἀπὸ τῆς κατ' ἀνατολὰς
10 Ἐδέμ, ἔνθα τὸν παράδεισον κεῖσθαι φαμέν. καὶ ἵνα τῷ τοιούτῳ λόγῳ μάρ-
τυρά τινα θεοφόρον διδάσκαλον παραστήσωμεν, παρέστω ἡμῖν ὁ θεῖος
Ἐφραΐμ, ἡ ὠκεανόβρυτος γλῶσσα, φάσκων ἐν τοῖς εἰς τὸν παράδεισον
δογματικοῖς αὐτοῦ λόγοις οὕτως· 'πάντων τῶν ὑψωμάτων τῶν ὡραίων
ὑψηλότερος ὁ παράδεισος. ὁ δὲ κατακλυσμὸς πρὸς τὰ ἴχνη αὐτοῦ ἔφθασεν.
15 οἱ δὲ πρὸ τοῦ κατακλυσμοῦ ἄνθρωποι ἀνὰ μέσον τοῦ ὠκεανοῦ καὶ τοῦ παρα-
δείσου ᾤκησαν, ἡ δὲ γενεὰ τοῦ Κάιν εἰς γῆν καλουμένην Ὀδ, ἥτις μεθερ-
μηνεύεται τρέμουσα, οἱ δὲ τοῦ Σὴθ εἰς τὴν ὑψηλοτέραν ἐντεταλμένοι ὑπὸ
τοῦ Ἀδὰμ μὴ συμμίγνυσθαι εἰς τὴν γενεὰν τοῦ Κάιν τοῦ ἀδελφοκτόνου.
ἦν δὲ ἡ γενεὰ αὐτοῦ χθαμαλοὶ τῇ ἡλικίᾳ διὰ τὴν κατάραν Κάιν· οἱ δὲ τοῦ
20 Σὴθ γίγαντες καὶ ὡς ἄγγελοι θεοῦ ἐν τῇ ὑψηλῇ χώρᾳ. ἐλθοῦσαι δὲ αἱ
θυγατέρες τοῦ Κάιν διὰ μουσικῶν αὐλῶν καὶ κινυρῶν κατήγαγον αὐτοὺς
ἐκ τῆς χώρας αὐτῶν, καὶ ἔσχον αὐτάς, καὶ πληθυνθείσης τῆς ἀνομίας αὐ-
τῶν γέγονεν ὁ κατακλυσμός. καὶ ἐξήγαγεν ὁ θεὸς τὴν κιβωτὸν Νῶε εἰς
ὄρος Ἀραράτ. καὶ ἔκτοτε ᾤκησαν οἱ ἄνθρωποι εἰς τὴν γῆν ταύτην. τοῦτο 27
25 δηλοῖ ὅτι ἡ νῦν οἰκοῦσα γῆ τότε ἀοίκητος ἦν. διὰ γὰρ τῆς εὐσπλαγχνίας
τοῦ θεοῦ ᾤκησαν οἱ πρὸ τοῦ κατακλυσμοῦ εἰς τὰ πλησίον τοῦ παραδείσου,
ἀνὰ μέσον ὠκεανοῦ καὶ τοῦ παραδείσου. τὸ δὲ σκότος τὸ ἐξώτερον, περὶ
οὗ εἶπεν ὁ Χριστός, ἔσωθεν τοῦ παραδείσου ἐστίν· ὁ δὲ παράδεισος σὺν
τῷ ὠκεανῷ τὸν κόσμον κυκλοῖ· ἡ δὲ Ἐδὲμ κατὰ ἀνατολάς ἐστιν· οἱ δὲ
30 φωστῆρες ἡλίου καὶ σελήνης ἔσωθεν τοῦ παραδείσου ἀνατέλλουσιν, ἔξω-
θεν δὲ δύνουσιν παρερχόμενοι δι' αὐτοῦ' καὶ τὰ ἑξῆς.

21 *περὶ τῶν τὴν γῆν πρὸ τοῦ κατακλυσμοῦ κατοικησάντων ὅτι ἔξω τοῦ ὠκεανοῦ κατῴκουν*

2 Alex. Pol. FGrHist 273 F 79 | Abydenus FGrHist 685 F 2 || 7 Gen. 3, 24 || 12–31 Ephraim Syrus de Paradiso 1, 10–11

7 *ἐξέβαλε* Gen. Di. *ἐξέβαλλεν* A | *κατῴκισεν* Gen. Di. *κατῴκησεν* A || 9 *ἀπὸ* Bredov. *ποῦ* A || 16 *ᾤκησαν* Di. *οἰκοῦσαν* A || 21 *θυγατέρες* Di. *θυγατέραις* A || 26 *ᾤκησαν* Di. *οἰκοῦσαν* A || 28 *ἔξωθεν* Niebuhr || 33 lemma exhibet etiam E f. 30v post 27, 8 in fine excerptorum Syncellianorum

Τοῖς μὲν οὖν εὐπειθέσιν ἀρκεῖν οἶμαι ταῦτα πρὸς πᾶσαν πληροφορίαν, ὅτι οἱ πρὸ τοῦ κατακλυσμοῦ ἄνθρωποι τὴν μεταξὺ ὠκεανοῦ καὶ τοῦ παραδείσου γῆν ᾤκουν, καὶ οὔτε Βαβυλὼν ἦν ἐπὶ τῆς γῆς οὔτε Χαλδαίων βασιλεία, ὡς τῷ Βηρώσσῳ καὶ τοῖς ἑπομένοις αὐτῷ δοκεῖ πρὸς ἀνατροπὴν τῶν θείων γραφῶν, οὔτε Αἰγυπτίων δυναστεία, ὡς τῷ Μανεθῷ ψευδομένῳ καὶ μεγαλύνοντι τὸ τῶν Αἰγυπτίων ἔθνος ἔδοξε γράφειν. εἰ δέ τις οὐκ ἀρκεῖται τοῖς προτεθεῖσι, τελείως πειθέσθω δι' ὧν ὑποκατιὼν ὁ θεόπτης Μωϋσῆς ἐν τοῖς μετὰ τὸν κατακλυσμὸν οὕτω φησί· 'Χοὺς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἔναντι κυρίου. διὰ τοῦτο ἐροῦσιν· ὡς Νεβρὼδ γίγας. καὶ ἐγένετο ἡ ἀρχὴ τῆς 10
28 *βασιλείας αὐτοῦ Βαβυλών, Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάνη ἐν τῇ γῇ Σενaάρ. ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ἀσούρ, καὶ ᾠκοδόμησε τὴν Νινευὴ καὶ τὴν Ῥοβὼθ πόλιν καὶ τὴν Χαλάχ. αὕτη ἡ πόλις ἡ μεγάλη.' φανερὸν δὲ ἐκ τούτων ὅτι ἡ ἀρχὴ τῆς τῶν Βαβυλωνίων βασιλείας ἤτοι Χαλδαίων ἀπὸ Νεβρὼδ τοῦ μετὰ τὸν κατακλυσμὸν εἰς ἔτη χλ' ἀκμάσαντος γέγονε. καὶ* 15 *χρὴ πᾶσαν ἱστορίαν Χαλδαϊκὴν ἢ Αἰγυπτιακὴν πρὸ τοῦ κατακλυσμοῦ τῇ γραφῇ ἀπαγγελλομένην μὴ ἀποδέχεσθαι τοὺς προσέχοντας ὀρθῶς ταῖς θείαις γραφαῖς, εἰ καί τινα περὶ κατακλυσμοῦ καὶ λάρνακος ἤτοι κιβωτοῦ κλέψαντες ἐκ τῶν θεοπνεύστων γραφῶν ἰδιοποιήσαντο, δι' ὧν οἱ ἁπλούστεροι καὶ τοῖς λοιποῖς ληρήμασι προσέχοντες εὐχερῶς βλάπτονται, λέγω δὲ* 20 *περὶ μυριάδων ἐτῶν διὰ σάρων καὶ νήρων καὶ σώσσων καταλεγομένων. ἐν οἷς καὶ περὶ ἀννιδοτίων φάσκουσι ζῴων τινῶν ἰχθυομόρφων ἐν μέρει καὶ ἀνθρωπομόρφων, ἡμέρας μὲν ἐν τῇ γῇ διαιτωμένων καὶ μηδεμίαν τροφὴν προσφερομένων, νυκτὸς δὲ ἐν τῷ πελάγει καταδυνόντων, παραδιδόντων τε τοῖς ἀνθρώποις γράμματα καὶ μαθημάτων καὶ τεχνῶν ἐμπειρίας καὶ* 25 *πόλεων συνοικισμοὺς καὶ ἱερῶν ἱδρύσεις καὶ νόμων εἰσηγήσεις σπερμάτων*
29 *τε συναγωγάς· καὶ ἀπὸ τότε φασὶ χρόνους μηδὲν παρὰ ἀνθρώποις ἐφευρεθῆναι. ἅτινα πάντα καὶ ἄλλα πλεῖστα πολλῆς ἀδολεσχίας γέμοντα ὁρῶντες καὶ ταῖς θείαις ἡμῶν γραφαῖς ἀνακόλουθα οἱ τὰς Χριστιανικὰς ἱστορίας συγγράψαντες, θαυμάζω πῶς κατεδέξαντο ὅλως κανονικῇ στοιχειώσει* 30 *ὑποβαλεῖν ἀνάξια πάσης ὄντα μνήμης, οὓς κατ' ὄνομα λέγειν περισσὸν ἡγοῦμαι αἰδοῖ τῶν ἀνδρῶν, δι' οὓς ἀναγκάζομαι κἀγὼ τῇ αὐτῇ στοιχειώσει χρήσασθαι, ἵνα μὴ δόξῃ ἀτελὲς εἶναι τὸ πόνημα. τῆς οὖν Χαλδαϊκῆς ἀρχῆς*

3–6 cf. ps. Sym. f. 22v = Cedr. 20, 2 || 8 Gen. 10, 8–12 || 15 cf. infra 101, 22; ps. Sym. f. 22v = Cedr. 20, 5 || 19–20 ps. Sym. f. 22v = Cedr. 20, 8

10 *Νεβρὼδ* Di. *νεβρὼδ ὡς* A || 13 *ῥοβὼθ* A *Ῥοωβὼθ* Gen.[E] *Ῥοωβὼς* Gen.[v] | inter *Χαλάχ* et *αὕτη* habet Gen. *καὶ τὴν Δάσεμ ἀνὰ μέσον Νινευὴ καὶ ἀνὰ μέσον Χαλάχ* || 17 *προσέχοντας* Di. *μὴ προσέχοντας* A || 21 *διὰ σάρων* Di. *δι' ἃς ἄρων* A | *νήρων* Di. *νείρων* A || 26 *συνοικισμοὺς* Di. *συνῳκισμοὺς* A

ἀπὸ Νεβρὼδ ἀποδεδειγμένης συναποδέδεικται δηλονότι καὶ τὰ περὶ τῶν Αἰγυπτιακῶν δυναστειῶν ὑπὸ Μανεθῶ τοῦ Σεβεννύτου πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον συγγεγραμμένα πλήρη ψεύδους καὶ κατὰ μίμησιν Βηρώσσου πεπλασμένα κατὰ τοὺς αὐτοὺς σχεδόν που χρόνους ἢ μικρὸν ὕστερον· 5 πλὴν καὶ αὐτὰ ἀνωφελῆ ὄντα στοιχειωθήσεται ἐκ τῶν παρὰ πολλοῖς ἱστορικοῖς κανονισθέντων.

Τῷ ͵ανη′ ἔτει τοῦ κόσμου οἱ ἐγρήγοροι κατῆλθον καὶ διήρκεσαν ἐν τῇ παραβάσει ἕως τοῦ κατακλυσμοῦ.

Ὁ δεύτερος κύκλος τῶν φλβ′ ἐτῶν ἐπληρώθη, καὶ ἤρξατο ὁ τρίτος τῷ 10 ͵αξε′ ἔτει τοῦ κόσμου, σο′ τοῦ Μαλελεήλ.

Ὁ ἀκριβῶς ἐφιστάνων τοῖς ὑποκειμένοις δυσὶ κανονίοις αὐτόθεν ἕξει 30 *πᾶσαν πληροφορίαν ὅτι ἐπίπλαστός ἐστιν ἡ τούτων ἐπίνοια ἀμφοτέρων, ὡς προείρηται, τοῦ τε Βηρώσσου καὶ τοῦ Μανεθῶ τὸ ἴδιον ἔθνος θέλοντος δοξάσαι, τοῦ μὲν τὸ τῶν Χαλδαίων, τοῦ δὲ τὸ τῶν Αἰγυπτίων. θαυμαζέτω 15 δὲ πῶς οὐκ ᾐσχύνθησαν ἀφ᾿ ἑνὸς καὶ τοῦ αὐτοῦ ἔτους ἀρχὴν θέσθαι ταῖς τερατώδεσιν αὐτῶν συγγραφαῖς, ἀλλ᾿ ὁ μὲν Βήρωσσος διὰ σάρων καὶ νήρων καὶ σώσσων ἀνεγράψατο, ὧν ὁ μὲν σάρος ͵γχ′ ἐτῶν χρόνον σημαίνει, ὁ δὲ νῆρος ἐτῶν χ′, ὁ δὲ σῶσσος ξ′. καὶ συνῆξε σάρους ρκ′ διὰ βασιλέων δέκα, ἤτοι χρόνον ἐτῶν μυριάδων μγ′ καὶ ͵β. ταῦτα δὲ ἔτη τινὲς τῶν 20 καθ᾿ ἡμᾶς ἱστορικῶν ἡμέρας ἐλογίσαντο στοχαστικῶς μεμψάμενοι τὸν Παμφίλου Εὐσέβιον, ὡς μὴ νοήσαντα τὰ ἔτη τῶν σάρων ἡμέρας. μάτην δὲ αὐτὸν ἐν τούτῳ μέμφονται. πῶς γὰρ τὸ μὴ ὂν εἶχε νοῆσαι πολυμαθὴς ὢν καὶ εἰδὼς τὴν Ἑλληνικὴν δόξαν πολλοὺς αἰῶνας ὁμολογοῦσαν, ἤτοι μυριάδας ἐτῶν παρεληλυθέναι ἀπὸ τῆς κοσμικῆς γενέσεως κατὰ τὴν 25 παρ᾿ αὐτοῖς μυθικὴν τοῦ ζωδιακοῦ ἐπὶ τὰ ἐναντία κίνησιν ἀπὸ τῆς ἀρχῆς τοῦ κριοῦ καὶ πάλιν εἰς αὐτὴν ἀποκατάστασιν; ποίαν δὲ αὐτοὶ ἀνάγκην εἶχον συμβιβάζειν τὸ ψεῦδος τῇ ἀληθείᾳ;*

Ἀφρικανοῦ περὶ τῆς τῶν Αἰγυπτίων καὶ Χαλδαίων μυθώδους χρονολογίας 31

30 *Αἰγύπτιοι μὲν οὖν ἐπὶ τὸ κομπωδέστερον χρόνων περιττὰς περιόδους καὶ μυριάδας ἐτῶν κατὰ θέσιν τινὰ τῶν παρ᾿ αὐτοῖς ἀστρολογουμένων ἐξέθεντο· ἅς τινες τῶν ταῦτα ἀκριβοῦν δοξάντων συστέλλοντες σεληνιαίους εἶπον*

2 Manetho FGrHist 609 T 11c || 3 Berossus FGrHist 680 T 10 || 7 Panodorus; cf. infra 33, 15; 42, 18 || 9 Annianus; cf. infra 35, 26; 382, 1 || 16 Berossus FGr Hist 680 F 3; Euseb. 1, 4, 20 || 19 Annianus et Panodorus; infra 36, 5 || 28 – p. 18, 10 Africanus fr. 10

9 *ὁ δεύτερος κύκλος* Bredov. *δύο κύκλους* A || 16 *σάρων* Di. *ἀσάρων* A || 18 *σῶσσος* Di. *σώσσων* A || 30 *τὸ* Scal. *τῶν* A | *περιττὰς* Scal. *περὶ τὰς* A || 31 *κατὰ θέσιν* Scal. *κατάθεσιν* A

ἐνιαυτούς, οὐδὲν ἔλαττον ἐπὶ τὸ μυθῶδες ἀπονενευκότες συμπίπτουσι ταῖς ὀκτὼ καὶ ἐννέα χιλιάσιν ἐτῶν, ἃς Αἰγυπτίων οἱ παρὰ Πλάτωνι ἱερεῖς εἰς Σόλωνα καταριθμοῦντες οὐκ ἀληθεύουσιν. καὶ μετ' ὀλίγα· *τὰ γὰρ Φοινίκων τρισμύρια ἔτη ἢ τὸν τῶν Χαλδαίων λῆρον, τὸ τῶν μη' μυριάδων, τί δεῖ καὶ λέγειν; ἐκ τούτων γὰρ Ἰουδαῖοι τὸ ἀνέκαθεν γεγονότες ἀπὸ Ἀβραὰμ* 5 *ἀρξάμενοι ἀτυφότερόν τε καὶ ἀνθρωπίνως μετὰ τοῦ ἀληθοῦς διὰ τοῦ Μωυσέως πνεύματος διδαχθέντες, ἔκ τε τῶν λοιπῶν Ἑβραϊκῶν ἱστοριῶν, ἀριθμὸν ἐτῶν πεντακισχιλίων πεντακοσίων εἰς τὴν ἐπιφάνειαν τοῦ σωτηρίου λόγου τὴν ἐπὶ τῆς μοναρχίας τῶν Καισάρων κηρυσσομένην παραδεδώκασιν.* 10

Χαλδαίων α' ἐβασίλευσεν Ἄλωρος σάρους ι'.
Χαλδαίων β' ἐβασίλευσεν Ἀλάσπαρος σάρους γ'.
32 *Χαλδαίων γ' ἐβασίλευσεν Ἀμηλὼν σάρους ιγ'.*
Χαλδαίων δ' ἐβασίλευσεν Ἀμενὼν σάρους ιβ'.
Χαλδαίων ε' ἐβασίλευσε Μετάλαρος σάρους ιη'. 15
Χαλδαίων ϛ' ἐβασίλευσε Δάωνος ἔτη ϛθ'.
Χαλδαίων ζ' ἐβασίλευσεν Εὐεδώραχος σάρους ιη'.
Χαλδαίων η' ἐβασίλευσεν Ἀμφὶς σάρους ι'.
Χαλδαίων θ' ἐβασίλευσεν Ὀτιάρτης σάρους η'.
Χαλδαίων ι' ἐβασίλευσε Ξίσουθρος σάρους ⟨ιη'⟩. 20

Περὶ τῆς τῶν Αἰγυπτίων ἀρχαιολογίας

Μανεθῶ ὁ Σεβεννύτης ἀρχιερεὺς τῶν ἐν Αἰγύπτῳ μιαρῶν ἱερῶν μετὰ Βήρωσσον γενόμενος ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου γράφει τῷ αὐτῷ Πτολεμαίῳ, ψευδηγορῶν καὶ αὐτὸς ὡς ὁ Βήρωσσος, περὶ δυναστειῶν ϛ', ἤτοι θεῶν τῶν μηδέποτε γεγονότων ϛ', οἵ, φησί, διαγεγόνασιν ἐπὶ ἔτη 25 *α' ͵αϡπε'. ὧν πρῶτος, φησί, θεὸς Ἥφαιστος ἔτη ͵θ ἐβασίλευσε. ταῦτα τὰ ͵θ ἔτη πάλιν τινὲς τῶν καθ' ἡμᾶς ἱστορικῶν ἀντὶ μηνῶν σεληνιακῶν λογισάμενοι καὶ μερίσαντες τὸ τῶν ἡμερῶν πλῆθος τῶν αὐτῶν ͵θ σεληνίων παρὰ* 33 *τὰς τξε' ἡμέρας τοῦ ἐνιαυτοῦ συνῆξαν ἔτη ψκζ∠δ', ξένον τι δοκοῦντες κατωρθωκέναι, γελοίων δὲ μᾶλλον εἰπεῖν ἄξιον τὸ ψεῦδος τῇ ἀληθείᾳ συμβιβάζοντες.* 30

11–20 Berossus FGrHist 680 F 3 = Euseb. 1,5; cf. infra 40,6 || **22** Manetho FGrHist 609 T 11b || **24** ps. Manetho (Sothis) FGrHist 609 F 27 || **27** Panodorus infra 41, 30

12 *ἀλάσπαρος* A *Ἀλάπαρος* infra et Euseb. || **13** *ἀμηλὼν* A *Almelon* Euseb. || **14** *ἀμενὼν* A *Ἀμμενὼν* infra et Euseb. || **15** *μετάλαρος* A *Μεγάλαρος* infra *Amegalaros* Euseb. || **16** *ἔτη ϛθ'* A *ἔτη ϛθ' σάρους ι'* infra et Euseb. || **18** *ἀμφὶς* A *Ἀμεμψινὸς* infra *Amenpsinos* Euseb. || **19** *ὀτιάρτης* A *Ὠτιάρτης* infra || **20** *ιη'* addidi ex infra et Euseb. || **24–25** *ϛ' . . . ϛ'* infra *ϛ' . . . ζ'* hoc loco A || **26** *α' ͵αϡπε'* Di. *͵αϡπε'* A *α' ͵αϡπη'* infra | *τὰ* om. A || **29** *συνῆξαν* infra *συνήξας* A

Πρώτη δυναστεία

Αἰγυπτίων α' ἐβασίλευσεν Ἥφαιστος, πρώτη δυναστεία, ἔτη ψκζ' ◡δ'.
Αἰγυπτίων β' ἐβασίλευσεν Ἥλιος Ἡφαίστου ἔτη π' ◡ς'.
Αἰγυπτίων γ' ἐβασίλευσεν Ἀγαθοδαίμων ἔτη νς' ◡ιβ'.
5 *Αἰγυπτίων δ' ἐβασίλευσε Κρόνος ἔτη μ' ◡.*
Αἰγυπτίων ε' ἐβασίλευσεν Ὄσιρις καὶ Ἶσις ἔτη λε'.
Αἰγυπτίων ς' ἐβασίλευσεν ⟨******⟩
Αἰγυπτίων ζ' ἐβασίλευσε Τύφων ἔτη κθ'.
Αἰγυπτίων η' ἐβασίλευσεν Ὧρος ἡμίθεος ἔτη κε'.
10 *Αἰγυπτίων θ' ἐβασίλευσεν Ἄρης ἡμίθεος ἔτη κγ'.*
Αἰγυπτίων ι' ἐβασίλευσεν Ἄνουβις ἡμίθεος ἔτη ιζ'.
Αἰγυπτίων ια' ἐβασίλευσεν Ἡρακλῆς ἡμίθεος ἔτη ιε'.
Αἰγυπτίων ιβ' ἐβασίλευσεν Ἀπολῶ ἡμίθεος ἔτη κε'.
Αἰγυπτίων ιγ' ἐβασίλευσεν Ἀμμὼν ἡμίθεος ἔτη λ'.
15 *Αἰγυπτίων ιδ' ἐβασίλευσε Τιθόης ἡμίθεος ἔτη κζ'.*
Αἰγυπτίων ιε' ἐβασίλευσε Σῶσος ἡμίθεος ἔτη λβ'. 34
Αἰγυπτίων ις' ἐβασίλευσε Ζεὺς ἡμίθεος ἔτη κ'.

Γενέσεως κόσμου ἔτη καὶ ἐγρηγόρων παράβασις

Τῷ ͵αρκβ' ἔτει τοῦ κόσμου ἐγέννησεν Ἰάρεδ τὸν Ἐνώχ. Ἐνὼχ γενόμενος 20 *ἐτῶν ἑκατὸν ἑξήκοντα πέντε ἐγέννησε τὸν Μαθουσάλα τῷ ͵ασπζ' ἔτει τοῦ κόσμου. τῷ ͵αμβ' ἔτει τοῦ κόσμου Σὴθ ἀπέθανε. τῷ ͵αροζ' ἔτει τοῦ κόσμου οἱ ἐγρήγοροι φανερῶς ἐμοίχευσαν.*

Ἀφρικανοῦ περὶ τῶν ἐγρηγόρων

Πλήθους ἀνθρώπων γενομένου ἐπὶ τῆς γῆς ἄγγελοι τοῦ οὐρανοῦ θυ- 25 *γατράσιν ἀνθρώπων συνῆλθον. ἐν ἐνίοις ἀντιγράφοις εὗρον· οἱ υἱοὶ τοῦ θεοῦ. μυθεύεται δέ, ὡς οἶμαι, ἀπὸ τοῦ Σὴθ ὑπὸ τοῦ πνεύματος οἱ υἱοὶ θεοῦ προσαγορεύονται διὰ τοὺς ἀπ' αὐτοῦ γενεαλογουμένους δικαίους τε καὶ πατριάρχας ἄχρι τοῦ σωτῆρος. τοὺς δ' ἀπὸ Κάιν ἀνθρώπων ἀποκαλεῖ σποράν, ὡς οὐδέ τι θεῖον ἐσχηκότας διὰ πονηρίαν γένους καὶ διὰ τὸ τῆς* 30 *φύσεως ἀνόμοιον, ἐπιμιχθέντων αὐτῶν τὴν ἀγανάκτησιν ποιήσασθαι τὸν θεόν. εἰ δὲ ἐπ' ἀγγέλων νοοῖτο ἔχειν τούτους, τῶν περὶ μαγείας καὶ* 35

2 ps. Manetho (Sothis) FGrHist 609 F 27 || **19** Gen. 5, 8–21 || **21** cf. supra 12, 8 || **23** Africanus fr. 7, cf. Theodos. Melit. 15, 8; Gelzer 1, 63

2 *ψκζ'◡δ'* Jac. *ψκδ'◡δ'* A || **3** *π' ς'* Di. *πς'* A || **7** uersum secl. Jac. || **8** et infra *ζ' . . . ις'* A *ς' . . . ιε'* Jac. || **21** *͵αροζ'* A *͵αρο'* supra 12, 8; corruptionem alterutrius suspicabatur Gelzer 2, 260, nam neutrius ratio liquet. forsitan dissensio annorum septem inter Panodorum et alios (infra (378, 8)) subiaceat || **24** *πλήθους* Go.[m] *πλῆθος* A || **28** *ἀποκαλεῖ* Go.[m] *ἀποκαλεῖν* A

γοητείας, ἔτι δὲ ἀριθμῶν κινήσεως τῶν μετεώρων ταῖς γυναιξὶ τὴν γνῶσιν παραδεδωκέναι, ἀφ' ὧν ἐποιήσαντο παῖδας τοὺς γίγαντας, δι' οὓς τῆς κακίας ἐπιγενομένης ἔγνω πᾶν ἀφανίσαι ζῴων γένος ὁ θεὸς ἐν κατακλυσμῷ ἄπιστον.

Τῷ ,ασοζ' ἔτει ἐγέννησεν Ἐνὼχ τὸν Μαθουσάλα. Μαθουσάλα γενόμενος ρξζ' ἐτῶν ἐγέννησε τὸν Λάμεχ. 5

Τῷ ,αυνδ' ἔτει τοῦ κόσμου, τινὰ δὲ τῶν ἀντιγράφων τῷ ρπζ' ἔτει αὐτοῦ Μαθουσάλα φέρουσι τὴν γέννησιν Λάμεχ· οἷς καὶ ὁ Ἀφρικανὸς ἀκολουθήσας τῷ ,βσξβ' ἔτει τοῦ κόσμου τὸν ἐπὶ Νῶε κατακλυσμὸν ἐστοιχείωσεν, ὅπερ οὐ δοκεῖ ἡμῖν ὑγιῶς ἔχειν. δοκεῖ δέ μοι ὁ Ἀφρικανὸς τῷ ,βσξβ' ἔτει τοῦ κόσμου τὸν κατακλυσμὸν στοιχειῶσαι διὰ τὸ τοὺς ϡξθ' χρόνους τῆς ζωῆς Μαθουσάλα ἀρχομένους ἀπὸ τοῦ ,ασπζ' ἔτους τοῦ κόσμου λήγειν εἰς τὸ ,βσνς' ἔτος τοῦ κόσμου ἐντὸς τῶν ,βσξβ' ἐτῶν. 10

Ὁ δὲ Εὐσέβιος περὶ τοῦ Μαθουσάλα φησὶν ὅτι τοῦτον ὑπερβῆναι τὸν κατακλυσμὸν ὁ τῆς ζωῆς αὐτοῦ ἀριθμὸς παρίστησιν. εἴδομεν δέ τινα τῶν ἀντιγράφων ἔχειν· ἐπέζησε δὲ ἔτη ψπβ'. κατὰ τόνδε τρόπον οὐκ εἶδε τὸν κατακλυσμόν. καὶ ταῦτα μὲν ὁ Εὐσέβιος· ὅπερ ἐάν τις ἀληθὲς εἶναι δῷ, εὑρεθήσεται ὁ Μαθουσάλα ϡμθ' ἐτῶν τελευτήσας, καὶ ἔσται ὁ Ἰάρεδ ὁ τούτου πάππος πολυχρονιώτερος αὐτοῦ ζήσας ἔτη ϡξβ'. ὁμολογούμενον δέ ἐστι πᾶσιν ὅτι πάντων ἀνθρώπων μακροβιώτατος ὢν ὁ Μαθουσάλα καὶ ὅτι ἐν τῷ κατακλυσμῷ τέθνηκε. διὸ μᾶλλον ἄν τις τῷ ργγ' ἔτει τοῦ Ἐνὼχ ὑπολάβοι τὸν Μαθουσάλα γεννηθῆναι, τοῦτ' ἔστι τῷ ,ασογ' ἔτει τοῦ κόσμου. τούτοις γὰρ προστιθέμενα τὰ ϡξθ' ἔτη τῆς τοῦ Μαθουσάλα ζωῆς ποιεῖ ,βσμβ', οἷς καὶ ὁ κατακλυσμὸς συντρέχει, καθ' ὃν τέθνηκεν ὁ Μαθουσάλα. 15 (36) 20 25

Τῷ ,ατμ' ἔτει Ἐνὼς ἀπέθανεν.
Τῷ ,αυκγ' ἔτει ἀπεκαλύφθη τῷ Ἐνὼχ τὰ περὶ τοῦ κατακλυσμοῦ.
Τῷ ,αυλη' ἔτει ἔλαβε Μαθουσάλα γυναῖκα.
Τῷ ,αυνδ' Λάμεχ ἐγεννήθη τῷ Μαθουσάλα.

Λάμεχ γενόμενος ἐτῶν ρπη' γεννᾷ τὸν Νῶε τῷ ,αχμβ' ἔτει τοῦ κόσμου. ἔζησε δὲ Λάμεχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Νῶε ἔτη φξε' καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἔτη ψνγ'. καὶ ἀπέθανε τῷ ,βσζ' ἔτει τοῦ κόσμου πρὸ λε' ἐτῶν τοῦ κατακλυσμοῦ. οὗτος ὀλιγοχρονιώτατος πάντων τῶν πρὸ τοῦ κατακλυσμοῦ γέγονε πλὴν Ἄβελ τοῦ δικαίου. καὶ πρῶτος 30

5 Gen. 5, 21–25 || 7 Africanus fr. 5–6, cf. infra 94, 7 || 14 Euseb. 1, 38, 22 || 26 Gen. 5, 11 || 27 cf. 1 Enoch 54, 7 || 28 cf. Iubil. 4, 27 || 29 Gen. 5, 25; Iubil. 4, 27 || 30 Gen. 5, 28–31 || 33 ex *uita Adae* ut uult Gelzer 2, 265

12 *,ασπζ'* Go.m *,ασπξ'* **A** || 13 *ἔτος* Go.m *ἔτους* **A**

τελευτᾷ πρὸ τοῦ ἰδίου πατρὸς Μαθουσάλα. ὁ γὰρ Μαθουσάλα ἐν τῷ **37**
κατακλυσμῷ τέθνηκε, περὶ οὗ Ἀφρικανός· οὗτος ἁπάντων πλείονα χρόνον
βιοῖ, τῶν τε πρὸ αὐτοῦ καὶ τῶν ἑξῆς εἰς ἡμᾶς, εἰς ἔτη τὰ σύμπαντα
϶ξθʹ. τάχα τι σημαίνει τὸ πολυχρόνιον αὐτοῦ διὰ τὴν ὑπερκόσμιον ὀγδοάδα
5 *κυριακὴν ἡμέραν. ὄγδοος γὰρ ἀπὸ τοῦ αʹ τυγχάνει. ὃ δ᾽ ὑστερεῖ, τοῦτο*
πρὸς ἀναπλήρωσιν τῆς χιλιάδος, πρῶτον ὑπάρχον πλήρωμα, ἀνεπλήρωσεν
ὁ σωτήρ. εἶτά φησιν· εἰσὶ τρεῖς ὁμωνυμίαι πως ἀπὸ Κάιν τοῖς ἀπὸ Σήθ,
ὡς Ἐνὼχ καὶ Μαθουσάλα καὶ Λάμεχ.

Τῷ ͵αυπηʹ ἔτει Ἐνὼχ μετετέθη ἐν τῷ παραδείσῳ, καθὼς καὶ ἡ θεία
10 *φάσκει γραφή, ὅτι 'ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼχ ἔτη τξεʹ, καὶ εὐηρέστη-*
σεν Ἐνὼχ τῷ θεῷ καὶ οὐχ ηὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ θεός.'

Τῷ ͵αφλεʹ ἔτει Καϊνᾶν ἀπέθανεν.
Τῷ ͵αχλʹ ⟨ἔτει⟩ Λάμεχ ἔλαβε γυναῖκα.
Τῷ ͵αχμβʹ ἔτει Νῶε ἐγεννήθη τῷ Λάμεχ.
15 *Τῷ ͵αχϛʹ ἔτει Μαλελεὴλ ἀπέθανεν.*
Τῷ ͵α϶κεʹ ἔτει Ἰάρεδ ἀπέθανεν.
Τῷ ͵βρκαʹ ἔτει τοῦ κόσμου ἐγρηγόρων ἀπόφασις.
Τῷ ͵βρκθʹ ἔτει Νῶε ἔλαβε γυναῖκα.
Τῷ ͵βρμʹ ἔτει ἐντολὴ τοῦ θεοῦ πρὸς Νῶε περὶ κατασκευῆς τῆς κιβωτοῦ.

20 *Τῷ ͵βρμαʹ ἔτει τοῦ κόσμου Νῶε ἦν ἐτῶν φʹ. καὶ ἐγέννησε τρεῖς υἱούς.* **38**
τῷ αὐτῷ ἔτει Σὴμ ἐγεννήθη τῷ Νῶε.
Τῷ ͵βρμδʹ ἔτει Χὰμ ἐγεννήθη.
Τῷ ͵βρμζʹ ἔτει Ἰάφεθ ἐγεννήθη. εἶτά φησιν ἡ γραφή· 'καὶ εἶπε κύριος
ὁ θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν
25 *αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ρκʹ ἔτη.'*

⟨Ἀφρικανοῦ⟩

Ἔγνω πᾶν ὁ θεὸς ἀφανίσαι ζώων γένος ἐν κατακλυσμῷ, ἀπειλήσας ρκʹ
ἔτη οὐχ ὑπερβήσεσθαι τοὺς ἀνθρώπους. μηδὲ νομιζέσθω ζήτημα διὰ τὸ
πλείονα χρόνον τινὰς ὕστερον βιῶναι· τὸ γὰρ διάστημα τοῦ χρόνου γέγονεν

30 **18** *πότε ἔλαβε τὴν ἐντολὴν ὁ Νῶε ὅτι τὸ λαβεῖν γυναῖκα καὶ περὶ κατασκευῆς τῆς κιβωτοῦ* || **26** *Ἀφρικανοῦ* || **29** *Ση. ἑρμηνείαν περὶ τῶν ρκʹ ἐτῶν γνῶθι*

2 Africanus fr. 5 || **9–11** cf. Gen. 5, 23, ps. Sym. f. 22ᵛ = Cedr. 20, 12 || **12** Gen. 5, 14 || **13** Iubil. 4, 28 || **14** Gen. 5, 28 || **15** Gen. 5, 17 || **16** Gen. 5, 20 || **17** annis 120 ante diluuium; cf. Gen. 6, 3, Iubil. 5, 8 || **18** Iubil. 4, 33 || **19** cf. 1 Enoch 60, 1 (ex libro Noachi deperdito; cf. Iubil. 21, 10) || **20** Gen. 5, 32; 10, 21 || **21–23** cf. Iubil. 4, 33 || **23** Gen. 6, 3 || **27** Africanus fr. 7

1 *Μαθουσάλα ἐν* Di. *μαθουσάλας ἐν* A || **12** *Καινᾶν* infra 130, 7–9 *κάιν* A || **13** *ἔτει* Di. om. A || **26** *Ἀφρικανοῦ* in textu Di. in margine A

ἑκατὸν ἔτη μέχρι τοῦ κατακλυσμοῦ κατὰ τῶν ἁμαρτωλῶν τῶν τότε·
ἦσαν γὰρ εἰκοσαετεῖς. τῷ Νῶε διὰ δικαιοσύνην εὐαρεστήσαντι κιβωτὸν
ὑπέθετο κατασκευάσαι θεός· καὶ γενομένης εἰσῆλθον εἰς αὐτὴν αὐτός τε
Νῶε καὶ οἱ υἱοί, ἡ γυνὴ καὶ αἱ νύμφαι, καὶ ἀπὸ παντὸς ζῴου ἀπαρχὴ εἰς
διαμονὴν τοῦ γένους. ἦν δὲ ἐτῶν ἑξακοσίων ὁ Νῶε, ὅτε ὁ κατακλυσμὸς 5
ἐγένετο. ὡς δὲ ἔληξε τὸ ὕδωρ, ἡ κιβωτὸς ἱδρύθη ἐπὶ τὰ ὄρη Ἀραράτ, ἅτινα
39 ἴσμεν ἐν Παρθίᾳ, τινὲς δὲ ἐν Κελαιναῖς τῆς Φρυγίας εἶναί φασιν· εἶδον δὲ
τὸν τόπον ἑκάτερον. ἐπεκράτησε δὲ ὁ κατακλυσμὸς ἐνιαυτόν· καὶ τότε
ἐξηράνθη ἡ γῆ. οἱ δὲ ἐξῆλθον τῆς κιβωτοῦ κατὰ συζυγίας, ὡς ἔστιν εὑρεῖν,
καὶ οὐχ ὃν εἰσῆλθον τρόπον κατὰ γένη, εὐλογοῦνταί τε πρὸς τοῦ θεοῦ. 10
τούτων μὲν οὖν ἕκαστον τῶν διαφερόντων τι σημαίνει.

Τῷ ,βσς' ἔτει τοῦ κόσμου Λάμεχ ἐτελεύτησεν.
Τῷ ,βσκη' ἔτει Σὴμ ἔλαβε γυναῖκα ἑαυτῷ.
Τῷ ,βσλγ' Χὰμ ἔλαβεν ἑαυτῷ γυναῖκα.
Τῷ ,βσλς' Μαθουσάλα ἐτελεύτησεν. 15
Τῷ ,βσλζ' Ἰάφεθ ἔλαβεν ἑαυτῷ γυναῖκα. ἡ κιβωτὸς ἐπληρώθη τῷ
,βσμα' ἔτει τοῦ κόσμου.

Τούτῳ τῷ ,βσμα' ἔτει ὄντι ἀπὸ τοῦ Ἀδὰμ καὶ τῆς ὅλης κοσμογονίας,
φ' δὲ καὶ ϛθ' τῆς ζωῆς Νῶε τοῦ δικαίου, ἐτελειώθη ἡ κιβωτὸς ἐν ὅλοις
ἔτεσιν ρ' κατασκευασθεῖσα ὑπ' αὐτοῦ θείῳ προστάγματι, περὶ ἧς μόνος 20
πρὸ πάντων ἀνθρώπων ὁ θεόπτης Μωυσῆς ἐκ θεοῦ μυηθεὶς ἀκριβῶς
ἔγραψε τήν τε ἡμέραν τοῦ μηνὸς καὶ ἐνιαυτοῦ καθ' ὃν εἰσελθὼν Νῶε ἐν
αὐτῇ πανοικί, σὺν πάσῃ γενέσει τῶν ζῴων, μόνος σὺν τοῖς μετ' αὐτοῦ
διεσώθη, ὡς μόνος εὐαρεστῶν τῷ θεῷ ἐν τῇ γενεᾷ αὐτοῦ· τοῦτ' ἔστι τῷ
,βσμβ' ἔτει τοῦ κόσμου, χ' δὲ τῆς ζωῆς Νῶε, τῇ κζ' τοῦ β' μηνὸς Ἴαρ 25
40 παρ' Ἑβραίοις καλουμένου, παρὰ δὲ Αἰγυπτίοις Παχὼν κε', ἤτοι τοῦ
παρὰ Ῥωμαίοις Μαΐου κ' ἡμέρᾳ, α' τῆς ἑβδομάδος, ὥς τισιν ἔδοξε, σελή-
νης δὲ κζ'. ἐν ᾗ ἔκλεισεν ὁ θεὸς τὴν κιβωτὸν ἔξωθεν, ὡς τὰ ἱερὰ λόγια
φάσκει, καὶ ἀνεῴχθησαν οἱ καταρράκται τοῦ οὐρανοῦ καὶ αἱ πηγαὶ τῆς

7 ποῦ ἱδρύθη ἡ κιβωτός || 9 κατὰ συζυγίας ἤγουν ἐπὶ γένη ἦσαν || 25 ὅτι Μαΐου 30
μηνὸς εἰσῆλθον εἰς τὴν κιβωτόν

3–5 Gen. 7,6–16 || 6 Gen. 8,4 || 6–7 ps. Sym. f. 22v = Cedr. 20,18 || 8–10 Gen. 8,13–19 || 12 Gen. 5,31 || 13. 14. 16 praetermittit Iub. nuptias filiorum Noachi; uxores autem ante diluuium duxisse ex Gen. 6, 18 liquet || 15 2236 = 1287 + 949; cf. infra 131,5 et Chron. Pasch. 36, 10 || 18 Gen. 7, 6; 1 Enoch 60, 3; cf. ps. Sym. f. 22v = Cedr. 20,20 || 21 Gen. 7,11–13 || 25 – p. 23, 30 Gen. 7,11–8,14; Iubil. 5, 22–6, 1 || 27 ps. Sym. f. 22v = Cedr. 20, 21

6 et 30 ἱδρύθη Di. ἡδρύνθη A || 12 ,βσς' A ,βσζ' supra 20, 32 || 27 παρὰ Ῥωμαίοις scripsi κατὰ ῥωμαίοις A κατὰ Ῥωμαίους Di. et similiter infra p. 23, 2 παρ' Ἑβραίοις et 8 παρ' Αἰγυπτίοις

ἀβύσσου ἐρράγησαν ἐπὶ ἡμέρας μ', ἤγουν μέχρι τῆς ε' τοῦ δ' μηνὸς
παρ' Ἑβραίοις Θαμνεί, τῷ Ἐπιφεὶ κατ' Αἰγυπτίους μηνὶ ια', ζ' δὲ παρὰ
Ῥωμαίοις, τῷ καὶ Ἰουλίῳ, ε' φασὶν ἡμέρᾳ τῆς ἑβδομάδος, κατὰ δὲ σελή-
νην ζ'· ὃ καὶ παραδοξότατον ἦν, ἐν ἀκμῇ τῆς θερινῆς ὥρας τοιούτους
5 ὄμβρους ὑπερφυῶς ἐπιρραγῆναι τῷ κόσμῳ δι' ὑπερβολὴν ἁμαρτίας. πνεύ-
ματος δὲ τῇ γῇ κατὰ θείαν ἐπιπνεύσαντος πρόσταξιν μετὰ τὰς ρν' ἡμέρας
ἤρξατο ἐλαττοῦσθαι τὸ ὕδωρ ἀπὸ κδ' τοῦ παρ' Ἑβραίοις ζ' μηνὸς Θεελείφ,
β' δὲ παρ' Αἰγυπτίοις Φαωφὶ ιθ', ἤτοι κατὰ Ῥωμαίους ι' μηνὶ Ὀκτωβρίῳ,
γ' τῆς ἑβδομάδος ἡμέρᾳ, σελήνης, ὥς φασί, νεομηνίᾳ, ἕως ια' Ἑβραϊκοῦ
10 μηνὸς Σαβὰτ τῆς νεομηνίας, ἤτοι κε' τοῦ Τυβίτ, τοῦ καὶ Ἰανουαρίου μηνὸς
πρώτου κατὰ Ῥωμαίους, ἡμέρᾳ β' τῆς ἑβδομάδος, σελήνης ι', ἐκάθισεν
ἡ κιβωτὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ, τοῦτ' ἔστι τῆς Ἀρμενίας. καὶ ὤφθησαν
αἱ κεφαλαὶ τῶν ὀρέων, καὶ μεθ' ἡμέρας μ' ἐξαπέστειλε Νῶε διὰ θυρίδος
τῆς κιβωτοῦ τὸν κόρακα ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ, τῇ ια' τοῦ δω- 41
15 δεκάτου μηνὸς Ἀδάρ, ε' τοῦ Φαμενώθ, ἐν ἀρχῇ τοῦ Μαρτίου κατὰ Ῥω-
μαίους γ' μηνός, ἡμέρᾳ τῆς ἑβδομάδος ζ', κατὰ δὲ σελήνην κ'· καὶ ἀπελ-
θὼν οὐχ ὑπέστρεψεν ὁ κόραξ. καὶ μεθ' ἡμέρας ζ' ἀπέστειλε τὴν περι-
στεράν, καὶ μὴ εὑροῦσα ἀνάπαυσιν ὑπέστρεψε πρὸς αὐτόν· καὶ μετ' ἄλλας
ζ' ἡμέρας, τῇ ιη' τοῦ μηνὸς Ἀδάρ, ιβ' τοῦ Φαμενώθ, Μαρτίου δὲ αὖθις
20 ἀπέστειλε αὐτὴν ἐκ τῆς κιβωτοῦ, καὶ ὑπέστρεψε πρὸς ἑσπέραν ἔχουσα
φύλλον ἐλαίας ἐν τῷ στόματι ἐν ἡμέρᾳ ἑβδομάδος ζ', σελήνης δὲ κβ'.
μετὰ δὲ ἄλλας ἑπτὰ ἡμέρας πάλιν ἀπέλυσε τὴν περιστερὰν τῇ κε' τοῦ
αὐτοῦ ιβ' παρ' Ἑβραίοις μηνὸς Ἀδάρ, ἤτοι τῇ κα' τοῦ Φαμενώθ, Μαρτίου
δὲ ιη', καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι.

25 Κατὰ δὲ τὴν ἀρχὴν τοῦ κοσμικοῦ ‚βσμγ' ἔτους, τῷ χα' ἔτει τῆς ζωῆς
Νῶε, τῇ νεομηνίᾳ τοῦ πρώτου μηνὸς Νισάν, ἤτοι τῇ κθ' τοῦ κατ' Αἰγυπ-
τίους ζ' μηνὸς Φαμενώθ, Μαρτίου κε', ἐν ἡμέρᾳ α' τῆς ἑβδομάδος, κατὰ
σελήνην ιβ', ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· ἐν δὲ τῷ β' μηνὶ Ἰὰρ κζ', ἤτοι
Παχὼν κε', ἐξηράνθη ἡ γῆ· καὶ ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ Νῶε καὶ οἱ σὺν
30 αὐτῷ, ἐν ἡμέρᾳ α' τῆς ἑβδομάδος. τούτων ἡμῖν ἐκ τῶν διὰ Μωυσέως 42
θεοπνεύστων γραφῶν κατειλημμένων περιττὸν ἂν εἴη προσέχειν Χαλ-
δαϊκαῖς καὶ Αἰγυπτιακαῖς ἱστορίαις τοὺς ἀδιστάκτως πιστεύοντας ὅτι ὁ κο-
σμικὸς ἐπὶ Νῶε κατακλυσμὸς γέγονε τῷ ‚βσμβ' ἔτει τοῦ κόσμου. αὗται
γὰρ χρόνων ἀπείρους εἰσάγουσαι μυριάδας πρὸς ἀνατροπὴν τῆς ἀληθείας
35 πάντα κατασκευάζουσιν, εἰ καὶ δοκοῦσιν ἐν μέρει περί τε κατακλυσμοῦ
καὶ γιγάντων καὶ αὐτοῦ Νῶε, τοῦ καὶ Ξισούθρου λεγομένου παρ' αὐτοῖς,

33 ὅτι τῷ ‚βσμβ' ἔτει τοῦ κόσμου γέγονε ὁ κατακλυσμός

25 ps. Sym. f. 23r = Cedr. 21, 5 || 36 ps. Sym. f. 23r = Cedr. 21, 9

16 σελήνην Go.m σελήνης A || 28 μηνὶ Ἰὰρ Go. μηνὶ ἄρ A

συμφωνεῖν τῇ θεοπνεύστῳ γραφῇ, ἐξ ὧν καὶ ἐσφετερίσαντο πᾶν νόημα χρηστὸν οἱ ταῦτα συντάξαντες. ἀλλ' ἐπειδὰν καὶ τὰ δηλητήρια ἀγνοούμενα θάνατον οἶδε πολλάκις τοῖς ἀπείροις αὐτῶν μετέχουσι προξενεῖν, ἀναγκαῖον ἡγοῦμαι μικρὰς χρήσεις παραθέσθαι ἐκ παραλλήλου τῶν ἐγκειμένων ἡμῖν ἀπὸ τῶν θείων γραφῶν, οὐ πρὸς πίστωσιν αὐτῶν, μὴ γένοιτο, πρὸς ἔλεγχον δὲ τῆς ἐκείνων ψευδηγορίας. πρὸ δὲ τούτων ἡ περὶ τῶν ἐγρηγόρων ἀκόλουθος ἱστορία ἐκ τοῦ α' λόγου Ἐνὼχ ὡς καὶ συγγενεστέρα ταῖς ἡμετέραις γραφαῖς ἐκτεθήσεται, εἰ καὶ ἀπόκρυφός ἐστι καὶ ἔν τισιν ἀμφίβολος, ἔχουσά πως ὧδε.

Ἐκ τοῦ λόγου Ἐνὼχ
Τὰ λοιπὰ περὶ ἐγρηγόρων

43 *Τότε ἐβόησαν οἱ ἄνθρωποι εἰς τὸν οὐρανόν, λέγοντες· εἰσαγάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕψιστον, καὶ τὴν ἀπώλειαν ἡμῶν ἐνώπιον τῆς δόξης τῆς μεγάλης, ἐνώπιον τοῦ κυρίου τῶν κυρίων πάντων τῇ μεγαλωσύνῃ.*

Καὶ ἀκούσαντες οἱ δ' μεγάλοι ἀρχάγγελοι Μιχαὴλ καὶ Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ Γαβριὴλ παρέκυψαν οἱ δ' ἐπὶ τὴν γῆν ἐκ τῶν ἁγίων τοῦ οὐρανοῦ. καὶ θεασάμενοι αἷμα πολὺ ἐκκεχυμένον ἐπὶ τῆς γῆς καὶ πᾶσαν ἀνομίαν καὶ ἀσέβειαν γινομένην ἐπ' αὐτῆς, εἰσελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι τὰ πνεύματα καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων ἐντυγχάνουσι στενάζοντα καὶ λέγοντα· εἰσαγάγετε τὴν δέησιν ἡμῶν πρὸς τὸν ὕψιστον. καὶ προσελθόντες οἱ τέσσαρες ἀρχάγγελοι εἶπον τῷ κυρίῳ· σὺ εἶ θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων καὶ βασιλεὺς τῶν βασιλευόντων καὶ θεὸς τῶν ἀνθρώπων, καὶ ὁ θρόνος τῆς δόξης σου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων, καὶ τὸ ὄνομά σου ἅγιον καὶ εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας· σὺ γὰρ εἶ ὁ ποιήσας τὰ πάντα καὶ πάντων τὴν ἐξουσίαν ἔχων, καὶ πάντα ἐνώπιόν σου φανερὰ καὶ ἀκάλυπτα, καὶ πάντα ὁρᾷς, καὶ οὐκ ἔστιν ὃ κρυβῆναί σε δύναται. ὁρᾷς ὅσα ἐποίησεν Ἀζαήλ, ὅσα εἰσήνεγκεν καὶ ὅσα ἐδίδαξεν, ἀδικίας καὶ ἁμαρτίας ἐπὶ τῆς γῆς, καὶ πάντα δόλον ἐπὶ τῆς ξηρᾶς. ἐδίδαξε γὰρ τὰ μυστήρια καὶ ἀπεκάλυψε τῷ αἰῶνι τὰ ἐν οὐρανῷ. ἐπιτηδεύουσι δὲ τὰ ἐπιτηδεύματα αὐτοῦ, εἰδέναι τὰ μυστήρια οἱ υἱοὶ τῶν ἀνθρώπων. τῷ Σεμιαζᾷ τὴν ἐξουσίαν ἔδωκας ἔχειν τῶν σὺν αὐτῷ ἅμα ὄντων, καὶ ἐπορεύθησαν πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων τῆς γῆς καὶ συνεκοιμήθησαν 44 *μετ' αὐτῶν καὶ ἐν ταῖς θηλείαις ἐμιάνθησαν καὶ ἐδήλωσαν αὐταῖς πάσας*

12 – p. 26, 25 1 Enoch 8, 4 – 10, 14; 15, 8 – 16, 1; cf. fragmenta Graeca codicis Panopolitani (Cairensis 10759) Gizeh ut solet designati ‖ 12 – 14 1 Enoch 8, 4, cf. supra 13, 3 – 5 ‖ 15 – p. 25, 8 1 Enoch 9, cf. supra 13, 5 – 16

1 *συμφωνεῖν* Di. *συμφωνεῖ* A ‖ 16 *οἱ δ'* del. Di. ‖ 17 *ἐκχυννόμενον* Giz. ‖ 18 *γενομένην* supra ‖ 19 *ἐντυγχάνουσι στενάζοντα*] *στενάζουσι ἐντυγχάνοντα* supra ‖ 23 *ἀνθρώπων*] *αἰώνων* supra ‖ 24 *εὐλογητὸν* Giz. ‖ 25 *πάντων*] *πᾶσαν* Giz.

τὰς ἁμαρτίας, καὶ ἐδίδαξαν αὐτὰς μίσητρα ποιεῖν, καὶ νῦν ἰδοὺ αἱ θυγατέρες τῶν ἀνθρώπων ἔτεκον ἐξ αὐτῶν υἱοὺς γίγαντας. κίβδηλα ἐπὶ τῆς γῆς τῶν ἀνθρώπων ἐκκέχυται, καὶ ὅλη ἡ γῆ ἐπλήσθη ἀδικίας. καὶ νῦν ἰδοὺ τὰ πνεύματα τῶν ψυχῶν τῶν ἀποθανόντων ἀνθρώπων ἐντυγχάνουσι,
5 *καὶ μέχρι τῶν πυλῶν τοῦ οὐρανοῦ ἀνέβη ὁ στεναγμὸς αὐτῶν, καὶ οὐ δύναται ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινομένων ἀδικημάτων. καὶ σὺ αὐτὰ οἶδας πρὸ τοῦ αὐτὰ γενέσθαι καὶ ὁρᾷς αὐτοὺς καὶ ἐᾷς αὐτούς, καὶ οὐδὲν λέγεις. τί δεῖ ποιῆσαι αὐτοὺς περὶ τούτου;*

Τότε ὁ ὕψιστος εἶπε καὶ ὁ ἅγιος ὁ μέγας ἐλάλησε, καὶ ἔπεμψε τὸν
10 *Οὐριὴλ πρὸς τὸν υἱὸν Λάμεχ λέγων· πορεύου πρὸς τὸν Νῶε καὶ εἰπὸν αὐτῷ· τῷ ἐμῷ ὀνόματι κρύψον σεαυτόν, καὶ δήλωσον αὐτῷ τέλος ἐπερχόμενον, ὅτι ἡ γῆ ἀπόλλυται πᾶσα. καὶ εἰπὸν αὐτῷ ὅτι κατακλυσμὸς μέλλει γίνεσθαι πάσης τῆς γῆς, ἀπολέσαι πάντα ἀπὸ προσώπου τῆς γῆς. δίδαξον τὸν δίκαιον τί ποιήσει, τὸν υἱὸν Λάμεχ, καὶ τὴν ψυχὴν αὐτοῦ εἰς ζωὴν συν-*
15 *τηρήσει καὶ ἐκφεύξεται δι᾽ αἰῶνος καὶ ἐξ αὐτοῦ φυτευθήσεται φύτευμα καὶ σταθήσεται πάσας τὰς γενεὰς τοῦ αἰῶνος. καὶ τῷ Ῥαφαὴλ εἶπε· πορεύου, Ῥαφαήλ, καὶ δῆσον τὸν Ἀζαήλ, χερσὶ καὶ ποσὶ συμπόδισον αὐτόν, καὶ ἔμβαλε αὐτὸν εἰς τὸ σκότος, καὶ ἄνοιξον τὴν ἔρημον τὴν οὖσαν ἐν τῇ* 45 *ἐρήμῳ Δουδαήλ, καὶ ἐκεῖ πορευθεὶς βάλε αὐτόν· καὶ ὑπόθες αὐτῷ λίθους*
20 *ὀξεῖς καὶ λίθους τραχεῖς, καὶ ἐπικάλυψον αὐτῷ σκότος, καὶ οἰκησάτω ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ τὴν ὄψιν αὐτοῦ πώμασον, καὶ φῶς μὴ θεωρείτω· καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀπαχθήσεται εἰς τὸν ἐμπυρισμὸν τοῦ πυρός· καὶ ἴασαι τὴν γῆν ἣν ἠφάνισαν οἱ ἐγρήγοροι, καὶ τὴν ἴασιν τῆς πληγῆς δήλωσον, ἵνα ἰάσωνται τὴν πληγὴν καὶ μὴ ἀπόλωνται πάντες οἱ υἱοὶ τῶν*
25 *ἀνθρώπων ἐν τῷ μυστηρίῳ ὃ εἶπον οἱ ἐγρήγοροι καὶ ἐδίδαξαν τοὺς υἱοὺς αὐτῶν, καὶ ἠρημώθη πᾶσα ἡ γῆ ἐν τοῖς ἔργοις τῆς διδασκαλίας Ἀζαήλ· καὶ ἐπ᾽ αὐτῇ γράψον πάσας τὰς ἁμαρτίας. καὶ τῷ Γαβριὴλ εἶπε· πορεύου, Γαβριήλ, ἐπὶ τοὺς γίγαντας, ἐπὶ τοὺς κιβδήλους, ἐπὶ τοὺς υἱοὺς τῆς πορνείας, καὶ ἀπόλεσον τοὺς υἱοὺς τῶν ἐγρηγόρων ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώ-*
30 *πων. πέμψον αὐτοὺς εἰς ἀλλήλους, ἐξ αὐτῶν εἰς αὐτούς, ἐν πολέμῳ καὶ ἐν ἀπωλείᾳ, καὶ μακρότης ἡμερῶν οὐκ ἔσται αὐτοῖς, καὶ πᾶσα ἐρώτησις οὐκ ἔστι τοῖς πατράσιν αὐτῶν, ὅτι ἐλπίζουσι ζῆσαι ζωὴν αἰώνιον, καὶ ὅτι ζήσεται ἕκαστος αὐτῶν ἔτη φ᾽. καὶ τῷ Μιχαὴλ εἶπε· πορεύου, Μιχαήλ, δῆσον Σεμιαζᾶν καὶ τοὺς ἄλλους σὺν αὐτῷ, τοὺς συμμιγέντας ταῖς θυγα-*

9 — p. 26, 8 1 Enoch 10

1 *μίσητρα* Go.[m] *μίσιτρα* **A** *μισητίαν* coni. Charles || **10** *Οὐριήλ*] *Ἰστραὴλ* Giz. || **20** *οἰκησάτω* Giz. *οἰκεισάτω* **A** || **23** *πληγῆς* recte **A** *γῆς* Giz. Eth. || **24** *ἀπόλωνται* Giz. *ἀπόλλωνται* **A** || **26** *ἠρημώθη* Giz. *ἐρημώθη* **A** || **27** *τῷ* Giz. *τὸν* **A** || **33** *τῷ* Di. *τὸν* **A** om. Giz. || **34** *δῆσον* recte **A** *δήλωσον* Giz. Eth.

τράσι τῶν ἀνθρώπων τοῦ μιανθῆναι ἐν αὐταῖς ἐν τῇ ἀκαθαρσίᾳ αὐτῶν.
καὶ ὅταν κατασφαγῶσιν οἱ υἱοὶ αὐτῶν καὶ ἴδωσι τὴν ἀπώλειαν τῶν ἀγαπη-
46 *τῶν αὐτῶν, δῆσον αὐτοὺς ἐπὶ ο΄ γενεὰς εἰς τὰς νάπας τῆς γῆς, μέχρι ἡμέρας*
κρίσεως αὐτῶν, μέχρι ἡμέρας τελειώσεως τελεσμοῦ, ἕως συντελεσθῇ
κρίμα τοῦ αἰῶνος τῶν αἰώνων. τότε ἀπενεχθήσονται εἰς τὸ χάος τοῦ πυρὸς 5
καὶ εἰς τὴν βάσανον καὶ εἰς τὸ δεσμωτήριον τῆς συγκλείσεως τοῦ αἰῶνος.
καὶ ὃς ἂν κατακριθῇ καὶ ἀφανισθῇ ἀπὸ τοῦ νῦν, μετ᾽ αὐτῶν δεθήσεται
μέχρι τελειώσεως γενεᾶς αὐτῶν.

Καὶ μεθ᾽ ἕτερα· *καὶ νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ πνευμάτων καὶ*
σαρκὸς πνεύματα πονηρὰ ἐπὶ τῆς γῆς καλέσουσιν αὐτούς, ὅτι ἡ κατοίκησις 10
αὐτῶν ἔσται ἐπὶ τῆς γῆς. πνεύματα πονηρὰ ἔσονται, τὰ πνεύματα ἐξελη-
λυθότα ἀπὸ τοῦ σώματος τῆς σαρκὸς αὐτῶν, διότι ἀπὸ τῶν ἀνθρώπων
ἐγένοντο, καὶ ἐκ τῶν ἁγίων τῶν ἐγρηγόρων ἡ ἀρχὴ τῆς κτίσεως αὐτῶν καὶ
ἀρχὴ θεμελίου. πνεύματα πονηρὰ ἐπὶ τῆς γῆς ἔσονται, τὰ πνεύματα τῶν
γιγάντων νεμόμενα, ἀδικοῦντα, ἀφανίζοντα, ἐμπίπτοντα καὶ συμπαλαίοντα 15
καὶ ῥιπτοῦντα ἐπὶ τῆς γῆς καὶ δρόμους ποιοῦντα καὶ μηδὲν ἐσθίοντα,
ἀλλ᾽ ἀσιτοῦντα καὶ φάσματα ποιοῦντα καὶ διψῶντα καὶ προσκόπτοντα. καὶ
ἐξαναστήσονται τὰ πνεύματα ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων καὶ τῶν γυ-
ναικῶν, ὅτι ἐξ αὐτῶν ἐξεληλύθασι.

Καὶ ἀπὸ ἡμέρας καιροῦ σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου τῶν γιγάν- 20
των Ναφιλείμ, οἱ ἰσχυροὶ τῆς γῆς, οἱ μεγάλοι ὀνομαστοί, τὰ πνεύματα τὰ
ἐκπορευόμενα ἀπὸ τῆς ψυχῆς αὐτῶν, ὡς ἐκ τῆς σαρκὸς ἔσονται, ἀφανί-
ζοντα χωρὶς κρίσεως, οὕτως ἀφανίσουσι μέχρις ἡμέρας τῆς τελειώσεως,
47 *ἕως τῆς κρίσεως τῆς μεγάλης, ἐν ᾗ ὁ αἰὼν ὁ μέγας τελεσθήσεται, ἐφ᾽ ἅπαξ*
ὁμοῦ τελεσθήσεται. 25

Καὶ αὖθις· *παρὰ δὲ τοῦ ὄρους ἐν ᾧ ὤμοσαν καὶ ἀνεθεμάτισαν πρὸς*
τὸν πλησίον αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ᾽ αὐτοῦ ψῦχος καὶ
χιὼν καὶ πάχνη καὶ δρόσος οὐ μὴ καταβῇ εἰς αὐτό, εἰ μὴ εἰς κατάραν
καταβήσεται ἐπ᾽ αὐτό, μέχρις ἡμέρας κρίσεως τῆς μεγάλης. ἐν τῷ καιρῷ
ἐκείνῳ κατακαυθήσεται καὶ ταπεινωθήσεται καὶ ἔσται κατακαιόμενον 30
καὶ τηκόμενον ὡς κηρὸς ἀπὸ πυρός, οὕτως κατακαήσεται περὶ πάντων
τῶν ἔργων αὐτοῦ. καὶ νῦν ἐγὼ λέγω ὑμῖν υἱοῖς ἀνθρώπων· ὀργὴ μεγάλη

9–19 1 Enoch 15, 8–12 || **20–25** 1 Enoch 16, 1 || **26–p. 27, 7** hoc capitulum neque uersio Aethiopica neque fragmentum Panopolitanum exhibet; interpolatum esse ex libro Noachi suspicatur Charles

[**AE** (26, 26–27, 8)] **5** *ἀπαχθήσονται* Giz. || **7** *κατακριθῇ* recte **A** *κατακαυσθῇ* Giz. Eth. || **15** *νεμόμενα* recte **A** *νεφέλας* Giz. Eth. || **16** *δρόμους* **A** Giz. *τρόμους* coni. Charles || **17** *ἀλλ᾽ ἀσιτοῦντα* Giz. *ἀλλὰ σιτοῦντα* **A** || **18** *καὶ τῶν γυναικῶν* **A** Giz. *and against the women* Eth. || **22** *ἔσονται ἀφανίζοντα* **A** *ὥσπερ ἔσται ἀφανίζοντα* **A**[m] *ἔσται ἀφανίζοντα* Giz. || **24** *ᾗ* Giz. *ᾧ* **A**

καθ' ὑμῶν, κατὰ τῶν υἱῶν ὑμῶν, καὶ οὐ παύσεται ἡ ὀργὴ αὕτη ἀφ' ὑμῶν μέχρι καιροῦ σφαγῆς τῶν υἱῶν ὑμῶν. καὶ ἀπολοῦνται οἱ ἀγαπητοὶ ὑμῶν καὶ ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν ἀπὸ πάσης τῆς γῆς, ὅτι πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ νῦν οὐ μὴ ἔσονται πλείω τῶν ρκ' ἐτῶν. καὶ μὴ
5 *δόξητε ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη· οὐ γάρ ἐστιν ἐπ' αὐτοῖς πᾶσα ὁδὸς ἐκφεύξεως ἀπὸ τοῦ νῦν διὰ τὴν ὀργήν, ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς πάντων τῶν αἰώνων· μὴ νομίσητε ὅτι ἐκφεύξεσθε ταῦτα.*

Καὶ ταῦτα μὲν ἐκ τοῦ πρώτου βιβλίου Ἐνὼχ περὶ τῶν ἐγρηγόρων, εἰ καὶ μὴ τελείως χρὴ προσέχειν ἀποκρύφοις μάλιστα τοὺς ἁπλουστέρους διά τε
10 *τὸ περιττά τινα καὶ ἀτριβῆ τῆς ἐκκλησιαστικῆς παραδόσεως ἔχειν καὶ* 48
διὰ τὸ νενοθεῦσθαι αὐτὰ ὑπὸ Ἰουδαίων καὶ αἱρετικῶν. πλὴν καὶ ὁ μακάριος Παῦλος σπανίως ἐχρήσατό τισιν ἐξ ἀποκρύφων χρήσεσιν, ὡς ὅταν φησὶν ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ· 'ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη' καὶ τὰ ἑξῆς Ἠλία
15 *ἀποκρύφων. καὶ πάλιν ἐν τῇ πρὸς Γαλάτας ἐκ τῆς Μωυσέως ἀποκαλύψεως· 'οὔτε περιτομή τι ἐστὶν οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις.' καὶ ἐν τῇ πρὸς Ἐφεσίους ἐκ τῶν Ἱερεμίου λεγομένων ἀποκρύφων· 'ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.' ταῦτα δὲ ἡμῖν εἴρηται οὐ πρὸς ἄδειαν τῶν βουλομένων ἀδιαφόρως αὐτοῖς ἐντυγχά-*
20 *νειν· μὴ γένοιτο· πολλοὶ γὰρ ἐβλάβησαν ἐν πᾶσιν αὐτοῖς πιστεύσαντες, ὅθεν καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία καὶ ὁ χορὸς τῶν θεοφόρων ἡμῶν πατέρων ἐκώλυσεν ἐντυγχάνειν αὐτοῖς ὥσπερ τῇ θείᾳ λοιπῇ γραφῇ· καὶ ἡμεῖς τὰς προγραφείσας χρήσεις ὑπὲρ τοῦ δεῖξαι μόνον τὴν τῶν ἐγρηγόρων παράβασιν καὶ τὴν τῶν γιγάντων ἀσέβειαν, περὶ ἧς καὶ ὁ θεῖος Μωυσῆς*
25 *μέμνηται, καὶ ὅτι δι' αὐτοὺς ὁ κοσμικὸς γέγονε κατακλυσμὸς παρεθέμεθα, καὶ ὥστε τοὺς τὰς Χαλδαϊκὰς καὶ Αἰγυπτιακὰς ἀρχαιολογίας γράψαντας μὴ δεῖν Χριστιανῶν ὑπολαμβάνειν, ὅτι ἀπὸ ἐνδιαθέτων ἢ ἀποκρύφων βιβλίων ἔσχον οἱανδηποτοῦν ἀφορμὴν τῆς οἰκείας ψευδηγορίας καὶ τῶν ἀπείρων ἐτῶν τὸν ἐξελεγμὸν συγγράψαι καὶ τὰς παρ' αὐτοῖς φημιζομένας* 49
30 *βασιλείας καὶ δυναστείας, ἀλλ' ἵνα καὶ τὰς περὶ τούτων βίβλους ἀποκρύφους ζητῶν ἀρκῆται ταῖς προκειμέναις ἐξ αὐτῶν χρήσεσιν ἐνταῦθα, καὶ μὴ τὰς καθόλου πραγματείας ἀσκόπως ἀναγινώσκων τοῦ ὀρθοῦ καὶ ἀληθοῦς ἀποπέσοι σκοποῦ· καὶ γὰρ καὶ ἐν τῇ Μωυσέως λεγομένῃ ἀποκαλύψει*

8 *Ση. νόει τί λέγει περὶ τῶν ἀποκρύφων* || 15 *διὰ τί εἶναι ἀπόβλητα νόθια*

13 1 Cor. 2, 9 || 15 Gal. 5, 6 || 17 Eph. 5, 14 || 33 cf. Iubil. 10, 1–10

[AE (26, 26–27, 8)] 1 *καὶ . . . ὑμῶν* om. AE add. A^m || 3 *ἀπὸ πάσης τῆς γῆς* om. E || 4–7 *καὶ . . . ταῦτα* om. E || 21 *χορὸς* Go.^m *χωρὸς* A || 31 *ἀρκῆται* Di. *ἀρκεῖται* A || 34 *εἶναι*] *ἔνια* coni. Go. Di.

φέρεται περὶ αὐτῶν, ὅτι μετὰ τὸν κατακλυσμὸν τῷ ͵βφπβʹ ἔτει τοῦ κόσμου φθόνῳ κινούμενοι μετὰ θάνατον ἐπλάνησαν τοὺς υἱοὺς Νῶε· καὶ εὐξαμένου τοῦ Νῶε ἵνα ἀποστῶσιν ἀπ᾿ αὐτῶν, ὁ κύριος ἐκέλευσε τῷ ἀρχαγγέλῳ Μιχαὴλ βαλεῖν αὐτοὺς εἰς τὴν ἄβυσσον ἄχρι ἡμέρας τῆς κρίσεως· ὁ δὲ διάβολος ᾐτήσατο λαβεῖν μοῖραν ἀπ᾿ αὐτῶν πρὸς πειρασμὸν τῶν ἀνθρώπων 5 *καὶ ἐδόθη αὐτῷ τὸ δέκατον αὐτῶν κατὰ πρόσταξιν θείαν, ὥστε πειράζειν τοὺς ἀνθρώπους πρὸς δοκιμὴν τῆς ἑκάστου πρὸς θεὸν προαιρέσεως, τὰ δὲ λοιπὰ θʹ μέρη ἐβλήθη εἰς τὴν ἄβυσσον. ἡμῖν δὲ ἀσύμφωνον εἶναι τοῦτο δοκεῖ, ἄνθρωπον ζῶντα ὑπὸ τῆς τοῦ τεθνεῶτος ψυχῆς πειράζεσθαι. διὸ παραινοῦμεν καὶ ἡμεῖς τοὺς ἐντυγχάνοντας ἢ ἐνταῦθα ἢ ἀλλαχοῦ τοῖς* 10 *ἀποκρύφοις μὴ ἐν πᾶσιν ἕπεσθαι ταῖς ἐννοίαις ταῖς φερομέναις ἐν αὐταῖς. λοιπὸν δέ ἐστι μετὰ ταῦτα, καθὼς καὶ ἐπηγγειλάμεθα, μικρὰς χρήσεις τῶν τὰς Χαλδαϊκὰς καὶ Αἰγυπτιακὰς ἱστορίας γραψάντων παραθέσθαι, δι᾿ ὧν πρόδηλος ἡ τούτων ἀσυμφωνία πρός τε ἀλλήλους καὶ τὴν θείαν γραφὴν τοῖς πιστοῖς ἔσται καὶ ἀνατροπὴ τῆς τερατώδους αὐτῶν ἐρεσχε-* 15 *λίας.*

50 Ἐκ τοῦ Ἀλεξάνδρου τοῦ Πολυΐστορος περὶ τῶν πρὸ τοῦ κατακλυσμοῦ βασιλευσάντων ιʹ βασιλέων τῶν Χαλδαίων καὶ αὐτοῦ τοῦ κατακλυσμοῦ, καὶ περὶ τοῦ Νῶε καὶ τῆς κιβωτοῦ, ἐν οἷς καί τινα διὰ μέσου τερατώδη φάσκει, ὡς τῷ Βηρώσσῳ γεγραμμένα. 20

Βήρωσσος δὲ ἐν τῇ πρώτῃ τῶν Βαβυλωνιακῶν φησι γενέσθαι μὲν αὐτὸν κατὰ Ἀλέξανδρον τὸν Φιλίππου τὴν ἡλικίαν. ἀναγραφὰς δὲ πολλῶν ἐν Βαβυλῶνι φυλάσσεσθαι μετὰ πολλῆς ἐπιμελείας ἀπὸ ἐτῶν που ὑπὲρ μυριάδων ιεʹ περιεχούσας χρόνον· περιέχειν δὲ τὰς ἀναγραφὰς ἱστορίας περὶ τοῦ οὐρανοῦ καὶ θαλάσσης καὶ πρωτογονίας καὶ βασιλέων καὶ τῶν 25 *κατ᾿ αὐτοὺς πράξεων. καὶ πρῶτον μὲν τὴν Βαβυλωνίων γῆν φησι κεῖσθαι ἐπὶ τοῦ Τίγριδος καὶ Εὐφράτου ποταμοῦ μέσην. φύειν δὲ αὐτὴν πυροὺς ἀγρίους καὶ κριθὰς καὶ ὦχρον καὶ σήσαμον καὶ τὰς ἐν τοῖς ἕλεσι φυομένας ῥίζας ἐσθίεσθαι· ὀνομάζεσθαι αὐτὰς γόγγας· ἰσοδυναμεῖν δὲ τὰς ῥίζας ταύτας κριθαῖς. γίνεσθαι δὲ φοίνικας καὶ μῆλα καὶ τὰ λοιπὰ ἀκρόδρυα καὶ* 30 *ἰχθύας καὶ ὄρνεα χερσαῖά τε καὶ λιμναῖα. εἶναι δὲ αὐτῆς τὰ μὲν κατὰ τὴν Ἀραβίαν μέρη ἄνυδρά τε καὶ ἄκαρπα, τὰ δὲ ἀντικείμενα τῇ Ἀραβίᾳ ὀρεινά*

17 – p. 30, 21 Alex. Pol. FGrHist 273 F 79 = Berossus FGrHist 680 F 1 = Euseb. 1, 6, 8 – 9, 2 || 17 – p. 29, 3 Euseb. 1, 6, 8 – 7, 3

6 *τὸ δέκατον*] *τὸ ιʹ* A || 15 *ἐρεσχελίας* Go.[m] *αἰρεσχελίας* A || 24 *ιεʹ*] *215* Euseb. || 28 *ὦχρον* Di. *ὄχρον* A || 29 *ἐσθίεσθαι* Scal. *ἐσθίεσθον* A

τε καὶ εὔφορα. ἐν δὲ τῇ Βαβυλῶνι πολὺ πλῆθος ἀνθρώπων γενέσθαι ἀλλοεθνῶν κατοικησάντων τὴν Χαλδαίαν· ζῆν δὲ αὐτοὺς ἀτάκτως ὥσπερ τὰ θηρία. 51

Ἐν δὲ τῷ πρώτῳ ἐνιαυτῷ φανῆναι ἐκ τῆς ἐρυθρᾶς θαλάσσης κατὰ τὸν 5 ὁμοροῦντα τόπον τῇ Βαβυλωνίᾳ ζῷον ἄφρενον ὀνόματι Ὠάννην, καθὼς καὶ Ἀπολλόδωρος ἱστόρησε, τὸ μὲν ὅλον σῶμα ἔχον ἰχθύος, ὑπὸ δὲ τὴν κεφαλὴν παραπεφυκυῖαν ἄλλην κεφαλὴν ὑποκάτω τῆς τοῦ ἰχθύος κεφαλῆς, καὶ πόδας ὁμοίως ἀνθρώπου, παραπεφυκότας δὲ ἐκ τῆς οὐρᾶς τοῦ ἰχθύος· εἶναι δὲ αὐτῷ φωνὴν ἀνθρώπου, τὴν δὲ εἰκόνα αὐτοῦ ἔτι καὶ νῦν διαφυλάσ- 10 σεσθαι· τοῦτο δέ φησι τὸ ζῷον, τὴν μὲν ἡμέραν διατρίβειν μετὰ τῶν ἀνθρώπων, οὐδεμίαν τροφὴν προσφερόμενον, παραδιδόναι τε τοῖς ἀνθρώποις γραμμάτων καὶ μαθημάτων καὶ τεχνῶν παντοδαπῶν ἐμπειρίαν, καὶ πόλεων συνοικισμοὺς καὶ ἱερῶν ἱδρύσεις καὶ νόμων εἰσηγήσεις καὶ γεωμετρίαν διδάσκειν, καὶ σπέρματα καὶ καρπῶν συναγωγὰς ὑποδεικνύ- 15 ναι, καὶ συνόλως πάντα τὰ πρὸς ἡμέρωσιν ἀνήκοντα βίου παραδιδόναι τοῖς ἀνθρώποις. ἀπὸ δὲ τοῦ χρόνου ἐκείνου οὐδὲν ἄλλο περισσὸν εὑρεθῆναι. τοῦ δὲ ἡλίου δύνοντος τὸ ζῷον τουτονὶ Ὠάννην δῦναι πάλιν εἰς τὴν θάλασσαν, καὶ τὰς νύκτας ἐν τῷ πελάγει διαιτᾶσθαι· εἶναι γὰρ αὐτὸ ἀμφίβιον. ὕστερον δὲ φανῆναι καὶ ἕτερα ζῷα ὅμοια τούτῳ, περὶ ὧν ἐν τῇ τῶν βασι- 20 λέων ἀναγραφῇ φησι δηλώσειν. τὸν δὲ Ὠάννην περὶ γενεᾶς καὶ πολιτείας γράψαι καὶ παραδοῦναι τόνδε τὸν λόγον τοῖς ἀνθρώποις.

Γενέσθαι φησὶ χρόνον, ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ εἶναι, καὶ ἐν τούτῳ 52 ζῷα τερατώδη, καὶ εἰδιφυεῖς τὰς ἰδέας ἔχοντα ζωογονεῖσθαι. ἀνθρώπους γὰρ διπτέρους γεννηθῆναι, ἐνίους δὲ καὶ τετραπτέρους καὶ διπροσώπους· 25 καὶ σῶμα μὲν ἔχοντας ἕν, κεφαλὰς δὲ β′, ἀνδρείαν τε καὶ γυναικείαν, καὶ αἰδοῖα δὲ δισσά, ἄρρεν καὶ θῆλυ· καὶ ἑτέρους ἀνθρώπους τοὺς μὲν αἰγῶν σκέλη καὶ κέρατα ἔχοντας, τοὺς δὲ ἱππόποδας, τοὺς δὲ τὰ ὀπίσω μὲν μέρη ἵππων, τὰ δὲ ἔμπροσθεν ἀνθρώπων, οὓς ἱπποκενταύρους τὴν ἰδέαν εἶναι. ζωογονηθῆναι δὲ καὶ ταύρους ἀνθρώπων κεφαλὰς ἔχοντας καὶ κύνας 30 τετρασωμάτους, οὐρὰς ἰχθύος ἐκ τῶν ὄπισθεν μερῶν ἔχοντας, καὶ ἵππους κυνοκεφάλους καὶ ἀνθρώπους καὶ ἕτερα ζῷα κεφαλὰς μὲν καὶ σώματα

4–21 Euseb. 1, 7, 5–28 || **6** ps. Apollodorus FGrHist 244 F 84 || **22**–p. 30, **6** Euseb. 1, 7, 29–8, 12

1 *εὔφορα* A Go. *ἄφορα* Di. *fruchtbare* Euseb. || **5** *ἄφρενον*] *ἀφραῖνον* pro genuino *ἔμφρον* v. Gutschmid *furchtbares* Euseb. | *ὠάννην* A *ὠάννης* A[m] *Ὦην* Phot. Bibl. 279, 535a 35 *Ōan* Euseb. || **6** *ἔχων* A || **7** *ἄλλην*] *ἀνθρωπίνην* v. Gutschmid *ein anderer* Euseb. || **8** *δὲ* secl. Jac. || **13** *συνοικισμοὺς* Go.[m] *συνῳκισμοὺς* A || **17** *δύνοντος* Jac. *δύναντος* A *bei Sonnenuntergang* Euseb. | *τουτονὶ*] *τοῦτο* uel *τουτὶ* maluit Di. || **22** *τούτῳ* Jac. *τούτοις* A || **23** *εἰδιφυεῖς*] *ἰδιοφυεῖς* Richter Jac. *διφυεῖς* Scal. *αὐτοφυεῖς* Mai *selbsterzeugte* Euseb. | *ἔχοντα* Go.[m] *ἔχοντας* A || **26** *δὲ* v. Gutschmid Jac. *τε* A || **30** *ἰχθύος* Di. *ἰχθύας* A

ἵππων ἔχοντα, οὐρὰς δὲ ἰχθύων, καὶ ἄλλα δὲ ζῷα παντοδαπῶν θηρίων
μορφὰς ἔχοντα, πρὸς δὲ τούτοις ἰχθύας καὶ ἑρπετὰ καὶ ὄφεις καὶ ἄλλα
ζῷα πλείονα θαυμαστὰ καὶ παρηλλαγμένας τὰς ὄψεις ἀλλήλων ἔχοντα·
ὧν καὶ τὰς εἰκόνας ἐν τῷ τοῦ Βήλου ναῷ ἀνακεῖσθαι. ἄρχειν δὲ τούτων
πάντων γυναῖκα ᾗ ὄνομα Ὁμόρωκα· εἶναι δὲ τοῦτο Χαλδαϊστὶ μὲν Θαλάτθ, 5
Ἑλληνιστὶ δὲ μεθερμηνεύεσθαι θάλασσα, κατὰ δὲ ἰσόψηφον σελήνη.

Οὕτως δὲ τῶν ὅλων συνεστηκότων ἐπανελθόντα Βῆλον σχίσαι τὴν
53 γυναῖκα μέσην, καὶ τὸ μὲν ἥμισυ αὐτῆς ποιῆσαι γῆν, τὸ δὲ ἄλλο ἥμισυ
οὐρανόν, καὶ τὰ ἐν αὐτῇ ζῷα ἀφανίσαι. ἀλληγορικῶς δέ φησι τοῦτο πε-
φυσιολογῆσθαι. ὑγροῦ γὰρ ὄντος τοῦ παντὸς καὶ ζῴων ἐν αὐτῷ γεγεννη- 10
μένων, τοῦτον τὸν θεὸν ἀφελεῖν τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὸ ῥυὲν αἷμα τοὺς
ἄλλους θεοὺς φυρᾶσαι τῇ γῇ, καὶ διαπλάσαι τοὺς ἀνθρώπους· δι᾽ ὃ νοερούς
τε εἶναι καὶ φρονήσεως θείας μετέχειν.

Τὸν δὲ Βῆλον, ὃν Δία μεθερμηνεύουσι, μέσον τεμόντα τὸ σκότος χω-
ρίσαι γῆν καὶ οὐρανὸν ἀπ᾽ ἀλλήλων, καὶ διατάξαι τὸν κόσμον· τὰ δὲ ζῷα 15
οὐκ ἐνεγκόντα τὴν τοῦ φωτὸς δύναμιν φθαρῆναι. ἰδόντα δὲ τὸν Βῆλον
χώραν ἔρημον καὶ ἀκαρποφόρον κελεῦσαι ἑνὶ τῶν θεῶν τὴν κεφαλὴν
ἀφελόντι ἑαυτοῦ τῷ ἀπορρυέντι αἵματι φυρᾶσαι τὴν γῆν καὶ διαπλάσαι
ἀνθρώπους καὶ θηρία τὰ δυνάμενα τὸν ἀέρα φέρειν· ἀποτελέσαι δὲ τὸν
Βῆλον καὶ ἄστρα καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς πέντε πλανήτας. ταῦτά 20
φησιν ὁ Πολυΐστωρ Ἀλέξανδρος τὸν Βήρωσσον ἐν τῇ πρώτῃ φάσκειν.

Ἐν δὲ τῇ δευτέρᾳ τοὺς ι′ βασιλεῖς τῶν Χαλδαίων καὶ τὸν χρόνον τῆς
βασιλείας αὐτῶν, σάρους ρκ′, ἤτοι ἐτῶν μυριάδας μγ′ καὶ ͵β′, ἕως τοῦ
κατακλυσμοῦ· λέγει γὰρ ὁ αὐτὸς Ἀλέξανδρος ὡς ἀπὸ τῆς γραφῆς τῶν
Χαλδαίων αὖθις παρακατιὼν ἀπὸ τοῦ θ′ βασιλέως Ἀρδάτου ἐπὶ τὸν ι′ 25
54 λεγόμενον παρ᾽ αὐτοῖς Ξίσουθρον οὕτως· Ἀρδάτου δὲ τελευτήσαντος τὸν
υἱὸν αὐτοῦ Ξίσουθρον βασιλεῦσαι σάρους ιη′· ἐπὶ τούτου μέγαν κατα-
κλυσμὸν γενέσθαι. ἀναγεγράφθαι δὲ τὸν λόγον οὕτως· τὸν Κρόνον αὐτῷ
κατὰ τὸν ὕπνον ἐπιστάντα φάναι μηνὸς Δεσίου ιε′ τοὺς ἀνθρώπους ὑπὸ
κατακλυσμοῦ φθαρήσεσθαι. κελεῦσαι οὖν διὰ γραμμάτων πάντων ἀρχὰς 30

7–13 Euseb. 1, 8, 13–24 || 14–21 Euseb. 1, 8, 25–35 || 22–p. 32, 3 Alex. Pol. FGrHist 273 F 79 = Berossus FGrHist 680 F 4 = Euseb. 1, 10, 17–12, 16 || 22–p. 31, 8 Euseb. 1, 10, 17–11, 5

1 ἔχοντα Go.[m] ἔχοντας A || 3 παρηλλαγμένας v. Gutschmid Jac. παρηλλαγμένα A || 5 Ὁμόρωκα] Ὁμόρκα (70 + 40 + 70 + 100 + 20 + 1 = 301) Scal. Jac. *Markaye* Euseb. | τοῦτο Go.[m] τούτῳ A || 6 μεθερμηνεύεσθαι Scal. μεθερμηνεύεται A | κατὰ δὲ ἰσόψηφον σελήνη (200 + 5 + 30 + 8 + 50 + 8 = 301) om. Euseb., secl. Jac. || 9 πεφυσιολογῆσθαι Di. πεφυσιλογεῖσθαι A || 17 ἀκαρποφόρον Gunkel Jac. καρποφόρον A || 27 καὶ ἐπὶ Go.[m] Jac. || 29 Δεσίου Go.[m] et A infra 39, 18 = Euseb. P. E. 9, 12, 1 δαισίου hoc loco A *Desios* hic et infra Euseb. 1 || 30 φθαρήσεσθαι A Go. διαφθαρήσεσθαι Di. | διὰ secl. Jac.

καὶ μέσα καὶ τελευτὰς ὀρύξαντα θεῖναι ἐν πόλει ἡλίου Σισπάροις, καὶ ναυπηγησάμενον σκάφος ἐμβῆναι μετὰ τῶν συγγενῶν καὶ ἀναγκαίων φίλων· ἐνθέσθαι δὲ βρώματα καὶ πόματα, ἐμβαλεῖν δὲ καὶ ζῷα πτηνὰ καὶ τετράποδα, καὶ πάντα εὐτρεπισάμενον πλεῖν· ἐρωτώμενον δὲ ποῦ πλεῖ,
5 *φάναι· πρὸς τοὺς θεούς, εὐξάμενον ἀνθρώποις ἀγαθὰ γενέσθαι. τὸν δ᾿ οὐ παρακούσαντα ναυπηγήσαντα σκάφος τὸ μὲν μῆκος σταδίων πέντε, τὸ δὲ πλάτος σταδίων δύο, τὰ δὲ συνταχθέντα πάντα συνθέσθαι, καὶ γυναῖκα καὶ τέκνα καὶ τοὺς ἀναγκαίους φίλους ἐμβιβάσαι.*

Γενομένου δὲ τοῦ κατακλυσμοῦ καὶ εὐθέως λήξαντος τῶν ὀρνέων τινὰ
10 *τὸν Ξίσουθρον ἀφιέναι. τὰ δὲ οὔτε τροφὴν εὑρόντα οὔτε τόπον ὅπου καθίσαι πάλιν ἐλθεῖν εἰς τὸ πλοῖον. τὸν δὲ Ξίσουθρον πάλιν μετά τινας ἡμέρας ἀφιέναι τὰ ὄρνεα· ταῦτα δὲ πάλιν εἰς τὴν ναῦν ἐλθεῖν τοὺς πόδας πεπηλωμένους ἔχοντα. τὸ δὲ τρίτον ἀφεθέντα οὐκέτι ἐλθεῖν εἰς τὸ πλοῖον. τὸν δὲ* 55 *Ξίσουθρον ἐννοηθῆναι γῆν ἀναπεφηνέναι, διελόντα τε τῶν τοῦ πλοίου*
15 *ῥαφῶν μέρος τι καὶ ἰδόντα προσοκεῖλαν τὸ πλοῖον ὄρει τινὶ ἐκβῆναι μετὰ τῆς γυναικὸς καὶ τῆς θυγατρὸς καὶ τοῦ κυβερνήτου, προσκυνήσαντα ⟨δὲ⟩ τὴν γῆν καὶ βωμὸν ἱδρυσάμενον καὶ θυσιάσαντα τοῖς θεοῖς γενέσθαι μετὰ τῶν ἐκβάντων τοῦ πλοίου ἀφανῆ. τοὺς δὲ ὑπομείναντας ἐν τῷ πλοίῳ μὴ εἰσπορευομένων τῶν περὶ τὸν Ξίσουθρον ἐκβάντας ζητεῖν αὐτὸν ἐπὶ ὀνόματος*
20 *βοῶντας, τὸν δὲ Ξίσουθρον αὐτὸν μὲν αὐτοῖς οὐκέτι ὀφθῆναι, φωνὴν δὲ ἐκ τοῦ ἀέρος γενέσθαι κελεύουσαν ὡς δέον αὐτοὺς εἶναι θεοσεβεῖς. καὶ γὰρ αὐτὸν διὰ τὴν εὐσέβειαν πορεύεσθαι μετὰ τῶν θεῶν οἰκήσοντα. τῆς δὲ αὐτῆς τιμῆς καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὴν θυγατέρα καὶ τὸν κυβερνήτην μετεσχηκέναι. εἶπέ τε αὐτοῖς ὅτι ἐλεύσονται πάλιν εἰς Βαβυλῶνα, καὶ*
25 *ὡς εἵμαρται αὐτοῖς Σισπάρων ἀνελομένοις τὰ γράμματα διαδοῦναι τοῖς ἀνθρώποις, καὶ ὅτι ὅπου εἰσὶν ἡ χώρα Ἀρμενίας ἐστί. τοὺς δὲ ἀκούσαντας ταῦτα θῦσαί τε τοῖς θεοῖς καὶ πεζῇ πορευθῆναι εἰς Βαβυλῶνα.*

Τοῦ δὲ πλοίου τούτου κατακλιθέντος ἐν τῇ Ἀρμενίᾳ ἔτι μέρος τι ἐν τοῖς Κορδυραίων ὄρεσι τῆς Ἀρμενίας διαμένειν, καί τινας ἀπὸ τοῦ πλοίου
30 *κομίζειν ἀποξύοντας ἄσφαλτον, χρᾶσθαι δὲ αὐτῇ πρὸς τοὺς ἀποτροπιασ-*

9–27 Euseb. 1, 11, 6–33 || **28**–p. 32, 3 Euseb. 1, 11, 34–12, 5

1 *Σιπάροις* Jac. *Σιππάροις* Scal. *Siparer* Euseb. || **4** *πλεῖν* Scal. *πλήν* **A** || **5** *εὐξόμενον* v. Gutschmid Jac. || **6** *ναυπηγήσασθαι* v. Gutschmid *ναυπηγῆσαι τὸ* coni. Jac. | *δέκα πέντε* v. Gutschmid *fünfzehn* Euseb. || **7** *συναχθέντα* coni. Jac. || **10** *οὔτε*[1] Jac. *οὐ* **A** || **13** *τὸ δὲ τρίτον*] *τὰ δὲ τὸ τρίτον* Schnabel || **14** *τε*] *δὲ* maluit Jac. || **15** *προσοκεῖλαν* Go.[m] *προσωκεῖλαν* **A** || **16** *προσκυνήσαντα δὲ*] *προσκυνήσαντα* **A** *προσκυνήσαντά τε* v. Gutschmid *προσκυνῆσαί τε* coni. Jac. || **20** *βοῶντας* Go.[m] *βοῶντος* **A** || **21** *γὰρ* v. Gutschmid Jac. *παρ᾿* **A** || **25** *Σισπάρων*] *Siparer* Euseb. || **27** *πεζῇ* Müller Jac. *περιζὶ* **A** *περιξὶ* Go. *πέριξ* Scal. Di. *zu Fuss* Euseb. || **28** *κατακλιθέντος* Scal. *κατακληθέντος* **A** || **29** *κορκυραίων* **A** *Κορδυαίων* Müller Jac. *Korduaeergebirge* Euseb. || **30** *αὐτῇ* Müller Jac. *αὐτὴν* **A**

56 *μούς. ἐλθόντας οὖν τούτους εἰς Βαβυλῶνα τά τε ἐκ Σισπάρων γράμματα ἀνορύξαι καὶ πόλεις πολλὰς κτίζοντας καὶ ἱερὰ ἀνιδρυσαμένους πάλιν ἐπικτίσαι τὴν Βαβυλῶνα.*

Τούτων δὴ ἀπὸ Ἀλεξάνδρου τοῦ Πολυίστορος, ὡς ἀπὸ Βηρώσσου τοῦ τὰ Χαλδαϊκὰ ψευδηγοροῦντος, προκειμένων ἔξεστι τοῖς ὀρθῶς ἐπιβάλλειν 5 *βουλομένοις τῇ τῆς Γενέσεως θείᾳ γραφῇ καὶ τῇ προκειμένῃ Χαλδαϊκῇ τερατολογίᾳ πόσον ἀλλήλων διενηνόχασι, πῶς τε ἐν τοῖς πλείοσιν ἀντιπίπτειν τοῖς θεοπνεύστοις ῥητοῖς, ἐξ αὐτῶν λαβοῦσα τὰς ὅλας ἀφορμάς, καὶ διὰ τῆς τοῦ ψεύδους ἐπιμιξίας εἰδωλολατρίαν καὶ τῆς κοσμικῆς δημιουργίας ἄλλην τινὰ κατὰ τὸν χρόνον καὶ τὸν τρόπον δύναμιν παρεισάγειν* 10 *ἐπείγεται. φεύγουσα γὰρ εἰπεῖν ὅτι ἐκ τῶν Μωυσαϊκῶν γραφῶν κέκλοφε τὰς ἀρχὰς τῆς συγγραφῆς τὸν Ὠάννην τὸ θαλάττιον ζῷον προβάλλεται, ὅπερ οὐδὲ γέγονέ ποτε οὐδ' ὤφθη τινὶ οὐδ' ὑφέστηκε, καθάπερ οὐδὲ σκίνδαψοι καὶ τραγέλαφοι· καὶ τοῦτό φησι παραδοῦναι τοῖς ἀνθρώποις, γενέσθαι πω χρόνον ἐν ᾧ τὸ πᾶν σκότος καὶ ὕδωρ ἦν. ἐπεὶ γὰρ οὐκ ἴσχυσε* 15 *προφανῶς εἰπεῖν τὰ τοῦ θεόπτου ῥήματα λέγοντα 'καὶ σκότος ἐπάνω τῆς ἀβύσσου', μετέπλασε μὲν τοὺς λόγους, οὐ μὴν δὲ τοὺς ἐχέφρονας ἔλαθεν,*
57 *εἰ καὶ ἐπάγει λέγων καὶ τούτοις ζῷα τερατώδη καὶ τὰ ἑξῆς, συγχέαι τὸν ἀκροατὴν σπουδάζουσα καὶ πρὸ τῆς οὐρανοῦ καὶ γῆς δημιουργίας τὸ σκότος καὶ τὸ ὕδωρ καὶ τῶν ἀνυποστάτων ζῴων ὑποτιθέμενος τὴν εἰδωλομα-* 20 *νεστάτην καὶ ἀνύπαρκτον ὕπαρξιν, ὧν τὰς εἰκόνας φησὶν ἐν τῷ τοῦ Βήλου ναῷ σῴζεσθαι.*

Ὁμοίως δὲ καὶ τὰ λοιπὰ περί τε θαλάττης καὶ οὐρανοῦ καὶ γῆς καὶ διαπλάσεως ἀνθρώπων δαιμονικοῖς εὑρήμασι σκοτεινοῖς καὶ διανοίας κακοδαίμονος ἀναπλάσμασι, κατὰ τὸν θεῖον Γρηγόριον, μυθικῶς δῆθεν 25 *συγκαλύπτουσα παρατίθεται, πολύθεον τοῖς πειθομένοις αὐτῇ πλάνην εἰσάγουσα καὶ ἐκ προϋποκειμένης ὕλης δεῖξαι σπουδάζουσα τῆς ὑγρᾶς οὐσίας τὴν τῶν ὄντων ὕπαρξιν.*

Διὸ καὶ περὶ τῶν ἀπείρων ἐτῶν καὶ τῶν δέκα βασιλέων τῶν πρὸ τοῦ κατακλυσμοῦ καὶ ὅσα ἄλλα ἄτοπα ἐν αὐτῇ λέλεκται ἀπαγορεύων μηδὲν εἶναι 30 *ἀληθές, οὐδὲ τὴν τῶν ἐτῶν εἰς ἀνάλυσιν ἡμερῶν ἢ μερισμὸν ἀποδέχομαι, οὐδὲ τοὺς ταῦτα ἀλληγορήσαντας καὶ εἰπόντας τὸν ἐνιαυτὸν ἡμέραν λο-*

31 *ΛΕΙΠΕΙ*

16 Gen. 1. 2 || 25 Greg. Naz. Orat. theol. 2, 14 || 32 – p. 33, 23 reprehendit Syncellus Panodorum; cf. infra 35, 7; 41, 30 et Chron. Barberin. apud Gelzer 2, 199

1 *Σισπάρων*] *Siparer* Euseb. || 2 *κτίζοντας* Scal. *σκοτίζοντας* **A** *gebaut* Euseb. | *ἀνιδρυομένους* v. Gutschmid || 6 *Γενέσεως* Go.[m] *γεννέσεως* **A** || 11 *κέκλοφε* Go.[m] *κέκλωφε* **A** || 17 *μετέπλασε* Di. *μεταπλάσαι* **A** || 20 *ὑποτιθεμένη* Go.[m] || 33 manu recentiori **A**[m]

γίζεσθαι τοὺς πρὸ τοῦ κατακλυσμοῦ, παραλαβόντας ἀπὸ τοῦ τετάρτου
τῶν ἐγρηγόρων ἄρχοντος Χωραβιὴλ τὸ τοῦ ἡλίου ἀνακυκλευματικὸν μέ-
τρον εἶναι ἐν ζῳδίοις δώδεκα, μοίραις τριακοσίαις ἑξήκοντα· ἡ δὲ μοῖρά
ἐστιν ἡμέρα μία καὶ λεπτὸν ἕν. μὴ μαθόντες, φησί, τί ἐστι ποσότης ἐνι-
5 *αυτοῦ, διὰ τὸ μηδέπω ἐγνωρίσθαι τοῖς ἀνθρώποις τὸ τοῦ ἐνιαυτοῦ μέτρον.* 58
καὶ πῶς δυνατὸν μαθεῖν τινα τὸν περὶ ζῳδίων δώδεκα τὸν ἀνακυκλευτικὸν
τοῦ ἡλίου ἐτήσιον χρόνον, μὴ γινώσκοντα ὅτι ἐνιαυτός ἐστι δωδεκαμερὴς
καὶ δωδεκαμηνιαῖος; εἶτά φησιν· ὁ γοῦν παρ᾽ αὐτοῖς σάρος λεγόμενος
ἡμέραι εἰσὶ ͵γχ΄, ὁ δὲ νῆρος ἡμέραι χ΄, ὁ δὲ σῶσσος ἡμέραι ξ΄. καὶ ὁ μὲν
10 *σάρος τῶν ͵γχ΄ ἡμερῶν ἀναλυόμενος εἰς τὰς τοῦ ἐνιαυτοῦ ἡμέρας τξε΄*
ποιεῖ ἔτη θ΄ καὶ μῆνας ι΄. ὁ δὲ νῆρος χ΄ ἡμέραι ποιεῖ ἔτος α΄ καὶ μῆνας
ζ΄∪γ΄, ὁ δὲ σῶσσος ποιεῖ μῆνας β΄. οἱ ρκ΄ σάροι ποιοῦσιν ἡμερῶν μὲν μυ-
ριάδας μγ΄ καὶ δύο χιλιάδας. ταῦτα δὲ ἀναλυόμενα εἰς τὸν καθ᾽ ἕκαστον
ἐνιαυτὸν ποιοῦσιν ἔτη ͵αρπγ΄ καὶ μῆνας ς΄∪γ΄. ταῦτα συναπτόμενα τοῖς
15 *ἀβασιλεύτοις ἔτεσιν ͵ανζ΄ πληροῖ ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ χρό-*
νων τῷ ͵βσμβ΄ συμφώνως τῇ ἡμετέρᾳ γραφῇ. τῶν δὲ ͵ανη΄ ἐτῶν ἡ
ἀναμέτρησις δι᾽ ἑβδομάδων ἦν γινομένη, ὡς εἶναι τὰς ἀπὸ Ἀδὰμ ἕως
Ἀλώρου μυριάδας ε΄ καὶ ͵ερξζ΄. εἶτα τὴν τῶν Χαλδαίων, φησίν, ἀμφίβο-
λον ὑπόνοιαν ἀποδεικτικῶς διαλύσας ἀναγκαῖον ἡγησάμην καὶ τὰ πρὸ
20 *παραδόσεως ἕως τοῦ ρξε΄ Ἐνὼχ ͵ασπς΄ ἔτει πρῶτον ἑρμηνεῦσαι, εἶτα*
ἑξῆς ἐπὶ τὴν ἀπὸ Ἀδὰμ ἕως τῆς εἰκοσαετηρίδος Κωνσταντίνου στοιχείωσιν 59
ὁρμῆσαι, ἵνα διὰ τῆς τῶν κρατησάντων κατ᾽ ἔθνος βασιλέων ὀνομασίας
τὸν τῶν ͵εωις΄ ἐτῶν ἀπαραλείπτως συνάξας ἐπιδείξω.
Ἔτι δὲ καὶ ἐκ τῶν ἐν ταῖς θείαις γραφαῖς γενεαλογουμένων ἀνδρῶν τῶν
25 *ἀπὸ Ἀδὰμ ἕως τοῦ πανευφήμου δευτέρου καὶ κ΄ ἀρχιεπισκόπου Ἀλεξαν-*
δρείας καὶ Αἰγύπτου καὶ τῶν δύο Λιβύων εἰδωλοκτόνου Θεοφίλου τοὺς
χρόνους συνάξας παραθήσομαι ἀριθμὸν ἐτῶν ͵ε϶λδ΄ πρὸς τὸ μηδεμίαν
ἀφορμὴν ἀντιθέσεως εὑρίσκειν ἐν ταῖς θείαις ἡμῶν γραφαῖς τοὺς οἰήσει
σοφοὺς αἱρεσιάρχας τε καὶ ἐθνικούς· ὅτι οἱ μὲν ἐθνικοὶ οἰήσει σοφοὶ ἐνόμι-
30 *σαν πολλῶν μυριάδων ἐτῶν εἶναι τὸν κόσμον, οἱ δὲ αἱρεσιάρχαι τὸ ἀνάπα-*
λιν τὸν Χριστὸν τοῦ χρόνου δημιουργὸν ὑπὸ χρόνον ὁμολογοῦσι λέγοντες·
ἦν ποτε ὅτε οὐκ ἦν. ἀλλ᾽ οὗτοι πάντες οἰχέσθωσαν τῆς καθολικῆς ἐκ-
κλησίας ἀκούσαντες· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου;
καλὸν δὴ τὸ ἐπισφράγισμα τοῦ λόγου καὶ εὐαπόδεκτον ὁ συγγραφεὺς ἀπο-

24 uide Gelzer 2, 189 ‖ **33** Matth. 22, 12

12 *σῶσσος* Go.[m] *σώσσων* **A** ‖ **14** *͵αρπγ΄* Go.[m] *͵ατπγ΄* **A** ‖ **15** *͵ανζ΄*] *͵ανη΄* maluit Gelzer ‖ **20** *παραδόσεως*] rectius fortasse *παραβάσεως* ut uult Go.[m]; cf. supra 19, 17 | *ρξε΄* Go.[m] *ε΄* **A** cf. supra 19, 19 et infra 34, 16 ‖ **21** *εἰκοσαετηρίδος* Go. *εἰκοσαετερίδος* **A**

δέδωκε, καὶ ἡμεῖς σὺν τοῖς εὖ φρονοῦσιν ἀποδεχόμεθα τοῦ λόγου τὸ πέρας ὡς κράτιστον. ἀλλ' ἔδει τούτων οὕτως αὐτῷ διεγνωσμένων καθὼς ἔφησαν, ὅτι πολλῶν μυριάδων ἐτῶν εἶναι τὸν κόσμον νομίζουσιν οἱ ἐθνικοὶ οἰήσει 60 *σοφοί, διαπτύσαι τὴν δόξαν αὐτῶν καὶ ἐν μηδενὶ συμφωνοῦσαν ὡς ψευδῆ καὶ ἀντίθεον τῇ καθ' ἡμᾶς ἀληθείᾳ σπεῦσαι μᾶλλον ἀποδεῖξαι ταύτην, ἐπεί, καθὼς ἀνωτέρω σαφῶς ἀποδέδεικται καὶ αὖθις ἐκ τῆς Γενέσεως δειχθήσεται προϊόντος τοῦ λόγου θεοῦ χάριτι, πρὸ τοῦ κατακλυσμοῦ οὐδὲ Χαλδαίων ὤφθη βασιλεία ἢ ἔθνος οὐδὲ Βαβυλὼν ἐχρημάτισεν, ἥν φασι μετὰ τὸν κατακλυσμὸν ἐπικτισθῆναι. τὸ δὲ ἐπάγειν αὐτὸν ὅτι ἐξ ἀρχῆς ἐν ταῖς τῆς κοσμοποιίας ἓξ ἡμέραις ἡ διὰ Μωυσέως δοθεῖσα ἡμῖν πρώτη βίβλος οὐκ ἐδήλου χρόνου μέτρα, εἰ μὴ μόνον ἡμέραν καὶ νύκτα καὶ ἑβδομάδα, ἀπρόσφορον· πανταχοῦ γὰρ ἐτῶν μέμνηται λέγουσα· καὶ ἔζησεν Ἀδὰμ ἔτη ϡλ' καὶ ἀπέθανε, καὶ ἐφεξῆς ἐπὶ τῶν ὅλων γενεῶν ὁμοίως, πλὴν εἰ καὶ τοῦτο πεισθείη τις, ὅπερ οὐκ οἶμαι, καθώς φησιν, ὅτι οἱ ἐξ αὐτοῦ, ἤγουν τοῦ Ἀδάμ, δι' ἑβδομάδων τοὺς χρόνους ἠρίθμουν, ἕως τοῦ ρξε' ἔτους Ἐνώχ, ὅπερ ἦν κοσμικὸν ,ασπϛ' — ἐν τούτῳ γὰρ κατ' ἐπιτροπὴν τοῦ ἐπὶ πάντων θεοῦ ὁ ἐπὶ τῶν ἄστρων ἀρχάγγελος Οὐριὴλ ἐμήνυσε τῷ Ἐνὼχ τί ἐστὶ μὴν καὶ τροπὴ καὶ ἐνιαυτός, ὡς ἐν τῇ βίβλῳ αὐτοῦ Ἐνὼχ φέρεται, καὶ τὸ ἔχειν τὸν ἐνιαυτὸν νβ' ἑβδομάδας, καὶ ὅτι τῶν ,ασπϛ' ἐτῶν γίνονται ἡμερῶν μὲν μυριάδες μϛ' καὶ ,θτϛ', ἑβδομάδων δὲ μυριάδες* 61 *ϛ' καὶ ,ζνϛ', ἐν αἷς οὔτε μὴν οὔτε τροπαὶ οὔτε ἐνιαυτοὶ οὔτε τὰ τούτων μέτρα τοῖς ἀνθρώποις ἐγνώσθησαν — ἀτοπώτερον συναχθήσεται συμπέρασμα τοῖς τὰ Χαλδαϊκὰ συγγραψαμένοις τότε βασιλεύουσιν, ὡς ἐκείνοις δοκεῖ καὶ τῷ αὐτῶν εὐλαβεστάτῳ μοναχῷ συγγραφεῖ Ἀννιανῷ καὶ Πανοδώρῳ μονάζοντι συγχρόνῳ αὐτοῦ ἱστορικῷ. εἰ γὰρ ἐνναικοσίοις πεντήκοντα ἓξ ἔτεσι πρὸ τοῦ κατακλυσμοῦ ἐγνωρίσθη τῷ Ἐνὼχ καὶ τοῖς μετ' αὐτοῦ ὁ ἐνιαύσιος χρόνος καὶ ὁ τετραμερὴς αὐτοῦ τροπικῶς καὶ ὁ δωδεκαμερὴς μηνιαῖος, ἄρα ἐγίνωσκον καὶ οἱ πρὸ τοῦ κατακλυσμοῦ ἄνθρωποι χιλίοις που ἔτεσιν, ἤγουν ϡνϛ', τοῖς ἡλιακοῖς ἔτεσι καὶ μησὶ καταμετρεῖν τὰ τῶν βασιλέων αὐτῶν ἔτη. καὶ περὶ τῶν ψ' τὰ παρ' ἐκείνοις ἔτη ψηφιζόμενα λογίζεσθαι ἡμᾶς ἡμέρας, διὰ τὸ συμφωνῆσαι, ὥς φασι, τῇ θείᾳ γραφῇ καὶ τῇ ἀληθείᾳ, ἧς ἐκπεπτώκασι κατὰ πάντα τρόπον, καὶ οὔτε ταῖς περὶ κατακλυσμοῦ μαρτυρίαις αὐτῶν πρὸς τὴν τῶν ἡμετέρων πίστωσιν προσέχειν χρὴ οὔτε ἄλλῃ τινὶ δαιμονιώδει αὐτῶν ἱστορίᾳ. σχεδὸν*

12 Gen. 5, 5 || **17–19** ps. Sym. f. 23ʳ = Cedr. 21, 11 || **18** 1 Enoch 72–73 || **24–25** uide Gelzer 2, 189

12 *ἀπρόσφορον* Di. *α' πρόσφορον* A || **13** *γενεῶν* Go. *γεννεῶν* A || **16** *ρξε'*] *ρξ'* A cf. supra 19, 19; 33, 20 || **24** *τῷ* Go.ᵐ *τοῦ* A || **24–25** *Ἀννιανῷ καὶ Πανοδώρῳ* Di. *αἰννιάνῳ καὶ παννοδώρῳ* A || **25** *εἰ γὰρ* Go.ᵐ *εἰ γὰρ πρὸ τοῦ κατακλυσμοῦ* redundat A || **29** *ϡνϛ'* Di. *ϡν' καὶ* A

γὰρ ἀπὸ ταύτης τῆς συγγραφῆς καθάπερ ἔκ τινος πηγῆς βορβορώδους καὶ τῶν παραπλησίων αὐτῇ πᾶσα μυθώδης Ἑλληνικὴ καὶ Μανιχαϊκὴ κακοδοξία ἀνέβλυσε, καὶ τῶν καθ' ἡμᾶς δὲ αἱρέσεων οὐκ ὀλίγαι τὰς ἀρχὰς ἐκ τοιούτων ἀπατηλῶν γραφῶν ἐσχήκασι τὰς ἀφορμάς. οὗ χάριν προήχθη-
5 *μεν ἀσφαλείας ἕνεκα τῶν τὰ τοιαῦτα μυθάρια ὡς καίρια λογιζομένων τὰς* 62
προγραφείσας μαρτυρίας Ἀλεξάνδρου καὶ τῶν προειρημένων δύο μοναζόντων Ἀννιανοῦ τε καὶ Πανοδώρου τῶν ὁμοχρόνων ἐπὶ Θεοφίλου τοῦ εἰκοστοῦ δευτέρου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἀκμασάντων καὶ πολλὰ χρήσιμα κεφάλαια ἱστορικὰ πεπονηκότων παραθέσθαι, εἰ καὶ ἐν τῷδε τῷ
10 *μέρει δοκοῦντές τι κατορθοῦν οὐδὲν τῇ ἀληθείᾳ κέρδος προσήγαγον, δεξάμενοι τὰς Ἀλεξάνδρου τοῦ προρρηθέντος περὶ τῆς τῶν Χαλδαίων βασιλείας δόξας, ὅτι πρὸ τοῦ κατακλυσμοῦ ἐν Βαβυλῶνι ἐβασίλευσαν, καὶ τὸν τῶν ἐτῶν μυριαδισμὸν ἀλληγορησάντων, πρὸς τούτοις δὲ καὶ Ἀβυδηνοῦ καὶ Ἀπολλοδώρου περὶ τῶν αὐτῶν, καὶ ἔτι Μανεθῶ περὶ τῆς Αἰγυπτίων*
15 *δυναστείας πρὸ τοῦ κατακλυσμοῦ παρόμοια μυθολογούντων, ὧν τὰς χρήσεις, Ἀβυδηνοῦ φημὶ καὶ Ἀπολλοδώρου καὶ Μανεθῶ, προστεθῆναι ταύτης ἡγοῦμαι τῆς προθέσεως, ὡς ἂν καὶ ἐξ ἀλλήλων αὐτοῖς τὸ ἀσύμφωνον συναχθῇ καὶ ὑφ' ἑαυτοῦ τὸ κακὸν ἀνατραπῇ, καὶ οὕτω τοῖς μετὰ τὸν κατακλυσμὸν ἔτεσι τὰ κατὰ μέρος ὅση δύναμις ἐπισημήνασθαι.*

20 *Τῶν μέντοι προαναφερομένων θεοφιλεστάτων ἱστορικῶν μοναχῶν ἰστέον εἶναι τὴν ἔκδοσιν Ἀννιανοῦ μὲν ἐπιτομωτέραν καὶ ἀκριβεστέραν τῇ ἀποστολικῇ τε καὶ πατρικῇ παραδόσει ἀκόλουθον, ἐν ᾗ τὴν θείαν σάρκωσιν τῷ ͵εφ' πληρουμένῳ καὶ ἀρξαμένῳ τῷ ͵εφα' ἀποδείκνυσι, τὴν δὲ ἁγίαν καὶ* 63
ὁλόφωτον ἡμέραν τῆς ἀναστάσεως κε' τοῦ παρὰ Ῥωμαίοις Μαρτίου μη-
25 *νός, τοῦ δὲ παρ' Αἰγυπτίοις Φαμενὼθ κθ', ἣν καὶ πρωτόκτιστον ἡμέραν ἐν τῷ ὑπ' αὐτοῦ συστάντι πασχοναλίῳ τῶν φλβ' ἐτῶν μετά τινων σχολαστικῶν ἐπιστασιῶν διεσάφησε, τῷ ͵εφλδ' ἔτει τοῦ κόσμου ἀρξαμένῳ κατὰ αὐτὴν τὴν ζωοποιὸν τοῦ πρώτου κυριακοῦ πάσχα ἡμέραν, οὗτινος πασχοναλίου φιλαληθεστάτην ἔκδοσιν εὑρήσει ὁ φιλομαθὴς ἐν τῷδε τῷ*
30 *πονήματι κατὰ τὸν δέοντα τόπον μετὰ καὶ τοῦ παρ' ἡμῶν πονηθέντος ἰσοδυνάμου αὐτοῦ· τοῦ δὲ Πανοδώρου πολυμερῆ τε καὶ πολυειδῆ, πολλά τε χρήσιμα ἔχουσαν, οὐ μόνον χρονικῆς ἐχόμενα θεωρίας, ἀλλὰ καὶ τῆς κανονικῆς τῶν δύο μεγάλων φωστήρων ἡλίου καὶ σελήνης κινήσεως, ἐν πολλοῖς δὲ ταυτολογοῦσαν καὶ λειπομένην ἔτεσιν ζ' τῶν ͵εφ' ἐτῶν τῆς*

26 cf. infra 382, 1 || **34** cf. infra 378, 8

13 *ἀλληγορήσαντες* Go.[m] || **13 et 16** *Ἀβυδηνοῦ* Go.[m] *ἀβυδινοῦ* **A** || **15** *μυθολογοῦντος* Go.[m] || **21** *Ἀννιανοῦ* Di. *αἰννιάνου* **A** || **31** *Πανοδώρου* Di. *παννοδώρου* **A** || **32** *ἔχουσαν* Go.[m] *ἔχουσα* **A**

ἀρρήτου ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τοῦτο σφαλλομένην περὶ τὸ πασχάλιον ἡμέραν (τῷ γὰρ ͵εφκε΄ ἔτει τοῦ κόσμου ταύτην γεγενῆσθαι παραδίδωσι μηνὸς Μαρτίου κ΄, ἤτοι κατ' Αἰγυπτίους Φαμενὼθ κ΄), ὁμοίως δὲ καὶ περὶ τὸ γενέθλιον τοῦ σωτῆρος ἡμῶν ἔτος οὐχ ὑγιῶς ἔχουσαν. ἀμφότεροι δὲ αὐτῶν τὸν Καισαρείας Παλαιστίνης 5 *Εὐσέβιον καταμέμφονται, ὅτι μὴ δεδύνηται ὡς αὐτοὶ τὸν μυριαδισμὸν τῶν Χαλδαϊκῶν ἐτῶν, ἤτοι τῶν ρκδ΄, εἰς ἡμέρας νοῆσαι, καὶ ἀναλύσεως ἢ με-* 64 *ρίσεως αὐτοὶ πεποιήκασιν, ὡς προδέδεικται, ἵνα σύμφωνος εὑρεθῇ τῇ γραφῇ. ἡμεῖς δὲ αὐτὸν μᾶλλον ἀποδεχόμεθα μὴ συμβιβάσαντα τὸ ψεῦδος τῇ ἀληθείᾳ. πολυμαθὴς γὰρ ὢν καὶ εἰδὼς Χαλδαίους μὲν ἀπείρους αἰῶνας* 10 *τῆς κοσμογονίας εἰσάγοντας, Ἕλληνας δὲ καὶ Αἰγυπτίους ἐν εἴκοσι πέντε περιόδοις ἐτῶν λέγοντας τῶν ἀπὸ ͵αυξα΄, ἤτοι ἐν λς΄ χιλιάσι καὶ φκε΄ τὴν κοσμικὴν ἀποκατάστασιν γίνεσθαι λέγοντας, ἤγουν ἀπὸ σημείου εἰς σημεῖον τοῦ οὐρανοῦ τὴν ἀποκατάστασιν, ὡς ἐν τοῖς Γενικοῖς Ἑρμοῦ καὶ ταῖς Κυραννίσι φέρεται, τούτου χάριν περιττὸν ἡγήσατο τὰς ἀλλοτρίας δόξας* 15 *ἀλληγορῆσαι, ὡς ἔοικε. μέμφονται δὲ αὐτὸν ἐν ἄλλῳ μέρει εὐλόγως, ὅτι ἐν τῇ ἀνακεφαλαιώσει τοῦ χρονογραφείου αὐτοῦ σς΄ ἔτη ἐσφάλη. ἀντὶ γὰρ ͵εωις΄ ͵εφκς΄. ἐστοιχείωσε δὲ οὕτως· ἀπὸ Ἀδὰμ ἕως τῆς γεννήσεως Ἀβραὰμ συνῆξεν ἔτη ͵γρπδ΄, καὶ ἀπὸ Ἀβραὰμ ἕως τῆς εἰκοσαετηρίδος Κωνσταντίνου ἐν τῷ κατὰ πλάτος συνῆξε χρόνον ἐτῶν ͵βτμβ΄. ἃ γίνεται ἔτη ͵εφκς΄.* 20 *ἡ δὲ τοιαύτη παράνοια, φησὶν ὁ Ἀννιανός, ἐκ τοῦ ἀνακυκλευτικοῦ τόμου τοῦ πάσχα ἐλέγχεται, ἤτοι ἐκ τοῦ ἡλιακοῦ κύκλου τῶν φλβ΄ ἐτῶν. εἰς ταῦτα γὰρ ἀναλύσαντες τὰ ͵εφκς΄ ἔτη εὑρίσκομεν περιόδους ι΄ καὶ λοιπὰ ἔτη σς΄· ταῦτα εἰσαγαγόντες εἰς τὸν τοῦ πάσχα τόμον ἀκόλουθον εὑρίσκομεν τὴν ιδ΄ τῆς σελήνης καὶ τὴν ἀναστάσιμον ἡμέραν τὴν κυριακὴν τῷ* 25 65 *͵εωις΄. ὡσαύτως ἀναλύσαντες εἰς φλβ΄ εὑρίσκομεν περιόδους ι΄ καὶ λοιπὰ υςς΄ ἔτη. ταῦτα εἰσενέγκαντες εἰς τὸν τοῦ πάσχα τόμον εὑρίσκομεν τὴν ιδ΄ σύμφωνον τοῦ Φαμενὼθ κθ΄, ὅ ἐστι Μαρτίου κε΄, τὴν δὲ κυριακὴν Φαρμουθὶ γ΄, τοῦτ' ἔστι Μαρτίου κθ΄. τῶν δὲ παραλειφθέντων ἐτῶν σς΄ τῷ αὐτῷ Εὐσεβίῳ ἡ ἀπόδειξις ἐν ταῖς θείαις γραφαῖς οὕτω κεῖται· μετὰ* 30 *τὸν κατακλυσμὸν τῷ Σὴμ γεννᾶται ὁ Ἀρφαξάδ, εἶθ' οὕτως γεννᾶται Καϊνᾶν· τοῦτον τὸν Καϊνᾶν οὐκ ἐγενεαλόγησεν ὁ Εὐσέβιος τεκνώσαντα ἐν*

14 uide W. Kroll, RE 23, 128 – 134 (Kyraniden); A.-J. Festugière, La Révélation d'Hermès Trismégiste I, Paris 1944, 203 – 207; cf. infra 57, 16 || 18 Euseb. 2, 15, 4 || 20 Euseb. 2, 231[c, f] (anno 2342); cf. Euseb. 1, 62, 6 ('5518 Jahre') || 32 Gen. 11, 10 – 13 LXX; hunc Cainan textus Hebraicus et Samaritanus non exhibent, omisit etiam ut uidetur textus LXX quem adhibuerunt Eusebius 1, 42 et Africanus (fr. 9, infra 97, 5); cf. Anon. Matr. 3, 9, Chron. Epit. 10, 16, Hippolyt. fr. 1, Luc. 3, 36

12 *λέγοντας* del. Di. || 13 *ἤγουν* Go.[m] *ἤγουν ἢ* A || 15 *Κυρανίσι βίβλοις* Bredov. || 18 *͵εφκς΄* Go.[m] *͵εφις΄* A || 19 *εἰκοσαετηρίδος* Go. *εἰκοσαετερίδος* A || 21 *Ἀννιανός* Di. *αἰννιᾶνος* A

τῷ ρλ′ ἔτει τῆς ζωῆς αὐτοῦ τὸν Σαλά· ἔτι δὲ καὶ Ἀωδὼν τὸν κριτὴν οὐκ ἐστοιχείωσε κρίναντα τὸν Ἰσραὴλ ἔτη ι′. οἱ δὲ ο′ ἑρμηνευταὶ ἑνδέκατον κριτὴν αὐτὸν ἔταξαν. ἔτι δὲ καὶ τὰ τῆς ἐπικρατήσεως τῶν ἐν τοῖς κριταῖς σποράδην βασιλευσάντων ἐξ ἀλλοφύλων ἔτη ρια′ οὐκ ἐψηφίσατο, λογι-
5 σάμενος ἐν τοῖς κριταῖς λελογίσθαι αὐτά· οἱ δὲ ο′ ἑρμηνευταὶ ὀνομαστὶ ἡρμήνευσαν αὐτοὺς κρατήσαντας τοῦ Ἰσραὴλ ἔτη ρια′, τοὺς ιγ′ κριτὰς κρίναντας τὸν Ἰσραὴλ ἔτη σϙθ′, ὡς εἶναι ὅλον τὸ τῶν κριτῶν βασίλειον ἐτῶν υι′. ἔτι δὲ καὶ μετὰ τὴν τελευτὴν Σαμψὼν τοῦ κριτοῦ τῆς ἀναρχίας, ἤτοι εἰρήνης, τοῦ λαοῦ μ′ ἔτη ἐν τῷ κατὰ πλάτος οὐκ ἔθηκεν· ὁ δὲ Ἀφρικανὸς
10 αὐτῶν ἐμνημόνευσε καὶ τῇ τοῦ χρονογραφίου αὐτοῦ ὁμάδι συμψηφισάμενος ἥνωσε.

Ταῦτα Ἀννιανὸς ἐπὶ λέξεώς φησι μεμφόμενος Εὐσέβιον τὸν Παμφίλου 66 δικαίως περὶ τῆς παραλήψεως τῶν σς′ ἐτῶν. συνῳδὰ δὲ αὐτῷ καὶ Πανόδωρος περὶ τούτων ἐγκαλεῖ, οὗ τὰς χρήσεις περὶ τούτου παρέλκον ἡγού-
15 μεθα παραθέσθαι. πλὴν καὶ Εὐσέβιος καὶ Ἰώσηππος καὶ ἄλλοι περὶ τῆς τῶν Χαλδαίων βασιλείας ἱστορικοὶ φαίνονται λέγοντες ὅτι πρὸ τοῦ κατακλυσμοῦ ἐβασίλευον ἑπόμενοι Ἀλεξάνδρῳ τῷ Πολυΐστορι καὶ Ἀβυδηνῷ καὶ Ἀπολλοδώρῳ, μηδεμίαν ἔχοντες ἀφορμὴν ἐκ τῶν θείων γραφῶν. ὅτι γὰρ μετὰ τὸν κατακλυσμὸν διαμερισθέντες τὴν οἰκουμένην οἱ τρεῖς υἱοὶ
20 Νῶε πάλιν ἐπὶ τὴν ἀνατολὴν ἐξ αὐτῶν ὥρμησαν κἀκεῖθεν, ὥς φησιν ἡ γραφὴ κατ᾽ ἐπανάληψίν τινα, μετὰ τὸν διαμερισμὸν καὶ τὰς γεννήσεις αὐτῶν ἦλθον ἐν γῇ Σεναάρ, ἥτις ἐστὶ Βαβυλών, ὃ ἑρμηνεύεται σύγχυσις, διὰ τὸ συγκεχύσθαι ἐκεῖ τὰς γλώσσας τῶν τὸν πύργον οἰκοδομούντων, ἀκουστέον τρανῶς τῆς γραφῆς λεγούσης 'καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς
25 ἀπὸ ἀνατολῶν εὗρον πεδίον ἐν γῇ Σεναάρ, καὶ κατῴκησαν ἐκεῖ. καὶ εἶπεν ὁ ἄνθρωπος τῷ πλησίον· δεῦτε, πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί.' καὶ μετ᾽ ὀλίγον 'καὶ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον τῆς γῆς καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Σύγχυσις.' σύγχυσις δὲ Βαβυλὼν ἑρμη-
30 νεύεται Ἑβραϊστί. προείρηκε δὲ πρὸ μικροῦ προλαβοῦσα ὅτι 'Χοὺς δὲ 67 ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι ⟨γίγας⟩ ἐπὶ τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἔναντι κυρίου. καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ

1 Iudic. 12, 11; Euseb. 2, 60b: *Post Esebon in libro Hebraeorum fertur iudex Aealon rexisse populum annis ·X· qui non habetur aput ·LXX· interpretes.* eum iudicem habet hodie saltem uterque ‖ 3 Euseb. 1, 50, 9; 52, 2 ‖ 8 Euseb. 1, 47, 17; cf. infra 204, 7 = Africanus fr. 27 ‖ 24 Gen. 11, 23 ‖ 27 Gen. 11, 8–9 ‖ 30 Gen. 10, 8–10

1 Ἀωδὼν] Ἀειλὼν infra 193, 7 ‖ 5 ἡρμήνευσαν Di. ἑρμήνευσαν A ‖ 9 τῷ Di. τῷ δὲ A ‖ 12 Ἀννιανὸς Di. αἰννιάνος A ‖ 13 Πανόδωρος Di. παννόδωρος A ‖ 17 Ἀβυδηνῷ Go.m ἀβυδινῷ A ‖ 23 τὸν πύργον Go. τοῦ πύργου A ‖ 29 αὐτῆς A αὐτοῦ Gen. ‖ 31 γίγας om. A

Βαβυλών, Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάνη ἐν γῇ Σεναάρ.' τούτων τί σαφέστερον ἀκούειν ἐθέλοιμεν περὶ Βαβυλῶνος, ὅτι πρὸ τοῦ κατακλυσμοῦ οὐδέπω ὤφθη οὐδὲ μετὰ τὸν κατακλυσμὸν ἕως τοῦ κινῆσαι τοὺς ἀνθρώπους πληθυνθέντας ἐξ ἀνατολῶν καὶ κατοικῆσαι αὐτοὺς ἐν γῇ Σεναάρ, καὶ οἰκοδομῆσαι τὴν πόλιν καὶ τὸν πύργον, προηγουμένου αὐτῶν τοῦ θεομάχου Νεβρὼδ καὶ βασιλεύοντος, κατὰ μίμησίν τε τῶν πρὸ τοῦ κατακλυσμοῦ γιγάντων πάντα τυραννικῶς πράττοντος καὶ πείθοντος τοὺς ὑπηκόους πρῶτον ἀπειθεῖν τῷ θεῷ καὶ πύργον οἰκοδομεῖν οὐρανομήκη κατέναντι αὐτοῦ. διό φησι τὰ λόγια· 'οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς', τοῦτ' ἔστι μετὰ τὴν τῶν προτέρων γιγάντων ἀπώλειαν οὗτος ἤρξατο εἶναι γίγας πρῶτος τῇ κακίᾳ μετ' ἐκείνους ἐπὶ τῆς γῆς. οὗτος ἦν γίγας κυνηγὸς ἔναντι κυρίου, ἀντίθεος τὸ δὴ λεγόμενον. τῆς δὲ Βαβυλῶνος, ὡς ἀποδέδεικται ταῖς θεολέκτοις φωναῖς, μὴ οὔσης πρὸ τοῦ κατακλυσμοῦ οὐδ' ἡ Χαλδαίων βασιλεία ἔσται τὸ πρότερον ἕως τῆς βασιλείας Νεβρὼδ καὶ τῆς πυργοποιίας, τούτοις δὲ συναποδείκνυται καὶ ἡ παρὰ Μανεθῶ περὶ τῶν πρὸ τοῦ κατακλυσμοῦ καὶ δυναστειῶν τῶν Αἰγυπτίων συγγραφὴ ψευδής, πρῶτον μὲν (68) ἐξ ὧν ἑκάτερος αὐτῶν ἑαυτὸν συνιστῶν, ἤγουν οἱ τῶν Χαλδαϊκῶν καὶ οἱ τῶν Αἰγυπτιακῶν συγγραφεῖς, θάτερος οὐ μέμνηται οὐδὲ συνιστᾷ ὁ τῶν Αἰγυπτιακῶν τὰ τῶν Χαλδαϊκῶν, περὶ αὐτούς, ὥς φασι, ψευδόμενοι γεγονότα, οὐδ' ὁ τῶν Χαλδαϊκῶν τὰ τῶν Αἰγυπτιακῶν, ἀλλ' ἕκαστος τὸ ἴδιον ἔθνος καὶ τὴν πατρίδα δοξάζων ἀράχνας ὑφαίνει· ἔπειτα καὶ ἐκ τοῦ πρώτου τὴν Αἴγυπτον ὑπὸ τοῦ Μεστρὲμ τοῦ δευτέρου υἱοῦ Χάμ, κατὰ τὴν γραφήν, θείου δὲ τοῦ Νεβρὼδ υἱοῦ Χοῦς υἱοῦ Χὰμ τοῦ πρώτου, κατοικισθῆναι καὶ βασιλευθῆναι, ἀφ' οὗ καὶ ἕως τοῦδε τοῦ χρόνου παρ' Ἑβραίοις καὶ Σύροις καὶ Ἄραψι οὕτω καλεῖται ἡ χώρα Μεστραία, καὶ τοῦτο πᾶσίν ἐστιν ἱστορικοῖς πρόδηλον, εἰ καὶ οὐκ οἶδ' ὅπως ὥσπερ τὰ τῆς Χαλδαϊκῆς, οὕτω καὶ τὰ τῆς Αἰγυπτιακῆς δυναστείας ψευδηγορήματα στοιχειῶσαι ἠξίωσαν πάντα ψεύδη πεφυκότα, ὡς ἡ ἀλήθεια μόνη ἀπέδειξεν, ἧς οὐδὲν ἰσχυρότερον. τούτων οὖν οὐ περιττῶς οἶμαι διασαφισθέντων ἀκόλουθόν ἐστιν Ἀβυδηνοῦ τε καὶ Ἀπολλοδώρου μικρὰ κεφάλαια περὶ τῶν αὐτῶν παραθέντας, ἔτι δὲ καὶ Μανεθῶ πρὸς τελείαν ἀπόδειξιν τῆς ἐκείνων ἀνατροπῆς, καὶ ἵνα μή τις ἐκεῖνα ζητῶν ἀναγνῶναι τὰ συγγράμματα περὶ πολλὰς ἀσχολοῖτο βίβλους, πέρας ἐπιθεῖναι τῷ περὶ αὐτῶν λόγῳ, καὶ οὕτω τῆς λοιπῆς κατὰ δύναμιν ἱστορίας ἐπιλαβέσθαι. λέγει γὰρ ὁ Ἀβυδηνὸς συνᾴδων μέν, οὐκ ἐν πᾶσι δέ, τῷ Ἀλεξάνδρῳ·

22 Gen. 10, 6–14; cf. ps. Sym. f. 23r = Cedr. 21, 14

30. 34 Ἀβυδηνοῦ et Ἀβυδηνός Go.m ἀβυδινοῦ et ἀβυδινός A

Ἐκ τῶν Ἀβυδηνοῦ 69
Περὶ τῆς τῶν Χαλδαίων βασιλείας

*Χαλδαίων μὲν τῆς σοφίης πέρι τοσαῦτα. βασιλεῦσαι δὲ τῆς χώρας πρῶ-
τον λέγουσιν Ἄλωρον, τὸν δὲ ὑπὲρ ἑωυτοῦ λόγον διαδοῦναι ὅτι μιν τοῦ λεῶ
5 ποιμένα ὁ θεὸς ἀποδεῖξαι. βασιλεῦσαι δὲ σάρους ι'. σάρος δέ ἐστιν χ' καὶ
͵γ' ἔτεα, νῆρος δὲ χ', σῶσσος δὲ ξ'. μετὰ δὲ τοῦτον Ἀλάπαρον ἄρξαι
σάρους γ', μεθ' ὃν Ἀμίλλαρος ἐκ πόλεως Παυτιβίβλων ἐβασίλευσε σάρους
ιγ'. ἐφ' οὗ δεύτερον Ἀννήδωτον τὴν θάλασσαν ἀναδῦναι παραπλήσιον
Ὠάννῃ τὴν ἰδέαν ἡμιδαίμονα. μεθ' ὃν Ἀμμένων ἐκ Παυτιβίβλων ἦρξε
10 σάρους ιβ'. μεθ' ὃν Μεγάλαρος ἐκ Παυτιβίβλων ἦρξε σάρους ιη'· εἶτα
Δαὼς ποιμὴν ἐκ Παυτιβίβλων ἐβασίλευσε σάρους ι', ἐφ' οὗ δ' διφυεῖς γῆν
ἐκ θαλάσσης ἀνέδυσαν, ὧν τὰ ὀνόματα ταῦτα· Εὐέδωκος, Ἐνεύγαμος,
Ἐνεύβουλος, Ἀνήμεντος. ἐπὶ δὲ τοῦ μετὰ ταῦτα Εὐεδωρέσχου Ἀνώδαφος.
μεθ' ὃν ἄλλοι τε ἦρξαν καὶ Σίσουθρος ἐπὶ τούτοις, ὡς τοὺς πάντας εἶναι
15 βασιλεῖς ι', ὧν ὁ χρόνος τῆς βασιλείας συνῆξε σάρους ρκ'.* 70

*Καὶ περὶ τοῦ κατακλυσμοῦ παρόμοια μέν, οὐκ ἀπαράλλακτα λέγει οὕτως·
μετὰ Εὐεδώρεσχον ἄλλοι τινὲς ἦρξαν καὶ Σίσιθρος, ᾧ δὴ Κρόνος προση-
μαίνει μὲν ἔσεσθαι πλῆθος ὄμβρων Δεσίου ιε'. κελεύει δὲ πᾶν ὅ τι γραμ-
μάτων ἦν ἐχόμενον ἐν Ἡλιουπόλει τῇ ἐν Σισπόροισιν ἀποκρύψαι. Σίσιθρος
20 δὲ ταῦτα ἐπιτελέα ποιήσας εὐθέως ἐπ' Ἀρμενίης ἀνέπλωε, καὶ παραυτίκα
μιν κατελάμβανε τὰ ἐκ τοῦ θεοῦ. τρίτῃ δὲ ἡμερέῃ ἐπείτε ὗων ἐκόπασε,
μετίει τῶν ὀρνίθων, πείρην ποιεύμενος εἴ που γῆν ἴδοιεν τοῦ ὕδατος ἐκδῦ-
σαν· αἱ δὲ ἐκδεκομένου σφέας πελάγεος ἀμφιχανέος ἀπορέουσαι, ὅκη
κατορμίσονται παρὰ τὸν Σίσιθρον, ὀπίσω κομίζονται, καὶ ἐπ' αὐτῇσιν
25 ἕτεραι. ὡς δὲ τῇσι τρίτῃσιν εὐτύχεεν, ἀπίκατο γὰρ δὴ πηλοῦ κατάπλεοι
τοὺς ταρσούς, θεοί μιν ἐξ ἀνθρώπων ἀφανίζουσι, τὸ δὲ πλοῖον ἐν Ἀρμενίῃ
περίαπτα ξύλων ἀλεξιφάρμακα καὶ τοῖσιν ἐπιχωρίοις παρείχετο.*

Ἰδοὺ δὴ καὶ οὗτος ἐξηλλαγμένῃ τινὶ φράσει τὰ Μωυσαϊκὰ παραχαράξας

1–15 Abydenus FGrHist 685 F 2 = Euseb. 1, 15, 24–16, 8 || **16–27** Abydenus FGrHist 685 F 3 = Euseb. 1, 16, 8–29 = Praep. Euang. 9, 12, 1–5; cf. Cyrill. adu. Iul. 1, 8

1 *Ἀβυδηνοῦ* Go.[m] *ἀβυδινοῦ* A || **4** *λέγουσιν* v. Gutschmid *λέγων* A *λέγεται* Scal. *sagen sie* Euseb. | *μιν τοῦ λεῶ* Scal. *μὴν τοῦ λεῶς* A || **7, 9, 10 et 14** *μεθ' ὃν* Scal. *μεθ' ὧν* A || **7** *παυτιβίβλιος* ante corr. A *παντιβίβλιος* A[c] *Pautibiblon* Euseb. || **9** *Ὠάννῃ* Scal. *ὠάννην* A | *παντιβίβλων* A | *ἦρξε* Scal. *ἦρξαι* A, item **10** || **10. 11** *Παυτιβίβλων* A || **11** *διφυεῖς* Scal. *διφυὲς* A || **14** *ἄλλοι τε* Go. *ἄλλοι τοί τε* A || **17** *Σείσιθρος* Euseb. | *ᾧ* Euseb. *τὸ* A || **19** *Σισπάροις* supra 31, 1 *Σιππάροισιν* Euseb. || **21** *μιν* Euseb. *μὴν* A *μὲν* Di. | *ἡμερίῃ* Euseb. *ἡμέρῃ* Jac. | *ἐπεί τε ὗων* Euseb. *ἐπιτεύων* A || **22** *πείρην* Euseb. *περιῆν* A || **23** *ἀχανέος* Euseb. *ἀφανέος* Cyrill. || **23. 24** *ὅκη κατορμίσονται* Euseb. *ὀκεῖκα θορμίσονται* A || **24. 25** *αὐτῇσιν ἕτεραι* Euseb. *αὐτὴν ἑταῖραι* A || **25** *τῇσι* Euseb. *τισὶ* A | *εὐτύχεεν* Euseb. *ἐτύχεεν* A | *ἀπίκατο* Euseb. *ἀπείκατο* A || **26** *μιν* Euseb. *μὲν* A

Κρόνον φησὶ κεχρηματικέναι τῷ Νῶε, ἤτοι Ξισίθρῳ, τῷ παρ' αὐτοῖς οὕτω καλεῖσθαι συμφωνηθέντι, τοῦ Κρόνου πολλοῖς ἔτεσι μετὰ τὸν κατακλυσμόν,
71 *ὡς δειχθήσεται, καὶ τὴν πυργοποιίαν γενομένου μοχθηροῦ τινος καὶ ἀλάστορος.*

Πρὸς τούτοις καὶ Ἀπολλόδωρος ὁμοίως τούτοις τερατευόμενος οὕτω 5
λέγει· ταῦτα μὲν ὁ Βήρωσσος ἱστόρησε, πρῶτον γενέσθαι βασιλέα Ἄλωρον ἐκ Βαβυλῶνος Χαλδαῖον· βασιλεῦσαι δὲ σάρους ι', καὶ καθεξῆς Ἀλάπαρον καὶ Ἀμήλωνα τὸν ἐκ Παυτιβίβλων· εἶτα Ἀμμένωνα τὸν Χαλδαῖον, ἐφ' οὗ φησι φανῆναι τὸν μυσαρὸν Ὠάννην, τὸν Ἀννήδωτον, ἐκ τῆς ἐρυθρᾶς· ὅπερ Ἀλέξανδρος προλαβὼν εἴρηκε φανῆναι τῷ πρώτῳ ἔτει, οὗτος 10
δὲ μετὰ σάρους μ', ὁ δὲ Ἀβυδηνὸς τὸν δεύτερον Ἀννήδωτον μετὰ σάρους κς'· εἶτα Μεγάλαρον ἐκ Παυτιβίβλων πόλεως, βασιλεῦσαι δ' αὐτὸν σάρους ιη'· καὶ μετὰ τοῦτον Δάωνον ποιμένα ἐκ Παυτιβίβλων βασιλεῦσαι σάρους ι'. κατὰ τοῦτον πάλιν φησὶ φανῆναι ἐκ τῆς ἐρυθρᾶς Ἀννήδωτον δ' τὴν αὐτὴν τοῖς ἄνω ἔχοντα διάθεσιν καὶ τὴν ἰχθύος πρὸς ἀνθρώπους μίξιν. 15
εἶτα ἄρξαι Εὐεδώραγχον Παυτιβίβλων, καὶ βασιλεῦσαι σάρους ιη'. ἐπὶ τούτου φησὶν ἄλλον φανῆναι ἐκ τῆς ἐρυθρᾶς θαλάσσης ὅμοιον κατὰ τὴν
72 *ἰχθύος πρὸς ἄνθρωπον μίξιν, ᾧ ὄνομα Ὠδάκων. τούτους δέ φησι πάντας τὰ ὑπὸ Ὠάννου κεφαλαιωδῶς ῥηθέντα κατὰ μέρος ἐξηγήσασθαι. περὶ τούτου Ἀβυδηνὸς οὐδὲν εἶπεν. εἶτα ἄρξαι Ἀμεμψινὸν Χαλδαῖον ἐκ Λαράγχων·* 20
βασιλεῦσαι δὲ αὐτὸν ὄγδοον σάρους ι'. εἶτα ἄρξαι Ὠτιάρτην Χαλδαῖον ἐκ Λαράγχων, βασιλεῦσαι δὲ σάρους η'. Ὠτιάρτου δὲ τελευτήσαντος τὸν υἱὸν αὐτοῦ Ξίσουθρον βασιλεῦσαι σάρους ιη'. ἐπὶ τούτου τὸν μέγαν κατακλυσμόν φησι γεγενῆσθαι. ὡς γίνεσθαι ὁμοῦ πάντας βασιλεῖς ι', σάρους δὲ ρκ'. 25

Ταῦτά μοι ἐκ ⟨τῶν⟩ τὰ Χαλδαϊκὰ μεγαλαυχούντων Ἀλεξάνδρου τοῦ Πολυίστορος καὶ Ἀβυδηνοῦ καὶ Ἀπολλοδώρου προσενήνεκται πρὸς ἔλεγχον τῆς ἀλόγου καὶ μυθώδους αὐτῶν δόξης καὶ ὠφέλειαν τῶν ἀναγινωσκόντων αὐτούς, καὶ τοὺς ἐπιμαρτυροῦντας αὐτοῖς τῶν ἡμετέρων ἱστορικῶν, καὶ διὰ τοῦτο μᾶλλον βλαπτομένους, ὥστε μὴ πείθεσθαι τοῖς λεγομένοις 30
παρ' αὐτῶν ὡς ἀληθέσι. πρόκειται δὲ λοιπὸν καὶ περὶ τῆς τῶν Αἰγυπτίων δυναστείας μικρὰ διαλαβεῖν ἐκ τῶν Μανεθῶ τοῦ Σεβεννύτου, ὃς ἐπὶ Πτο-

5 ps. Apollodorus FGrHist 244 F 83 || 6–25 Alex. Polyhist. FGrHist 273 F 79 = Berossus FGrHist 680 F 3 = Euseb. 1, 4, 17–5, 23; cf. supra 17, 16 || 32 Manetho FGrHist 609 T 11[a]

1 *Κρόνον*] *χρόνον* A || 7 *Χαλδαῖον* Scal. *χαλδαίων* A *ein Chaldaeer* Euseb. || 11 *Ἀβυδηνός* Go.[m] *ἀβυδινὸς* A | *τὸν* Scal. *τὸ* A || 12 *εἶτα Μεγάλαρον*] *εἶτ' Ἀμεγάλαρον* Jac. *μετάλαρος* supra A *Amegalaros* Euseb. || 14 *Ἀννήδωτον δ'*] *Ἀννηδώτων τετράδα* v. Gutschmid || 15 *ἔχοντας* v. Gutschmid || 16 *Εὐεδώραγχον* Schnabel *εὐεδώραχον* A *Evedōranchos* Euseb. || 20. 27 *Ἀβυδηνός, Ἀβυδηνοῦ* Go.[m] *ἀβυδινός, ἀβυδινοῦ* A || 26 *τῶν* add. Barb. 227

λεμαίου τοῦ Φιλαδέλφου ἀρχιερεὺς τῶν ἐν Αἰγύπτῳ εἰδωλείων χρηματίσας ἐκ τῶν ἐν τῇ Σηριαδικῇ γῇ κειμένων στηλῶν ἱερᾷ φησι διαλέκτῳ καὶ ἱερογραφικοῖς γράμμασι κεχαρακτηρισμένων ὑπὸ Θῶθ τοῦ πρώτου Ἑρμοῦ, καὶ ἑρμηνευθεισῶν μετὰ τὸν κατακλυσμὸν ἐκ τῆς ἱερᾶς διαλέκτου 5 *εἰς τὴν Ἑλληνίδα φωνὴν γράμμασιν ἱερογλυφικοῖς, καὶ ἀποτεθέντων ἐν βίβλοις ὑπὸ τοῦ Ἀγαθοδαίμονος υἱοῦ τοῦ δευτέρου Ἑρμοῦ, πατρὸς δὲ τοῦ* 73 *Τὰτ ἐν τοῖς ἀδύτοις τῶν ἱερῶν Αἰγύπτου, προσεφώνησε τῷ αὐτῷ Φιλαδέλφῳ βασιλεῖ δευτέρῳ Πτολεμαίῳ ἐν τῇ βίβλῳ τῆς Σώθεος γράφων ἐπὶ λέξεως οὕτως.*

10 Ἐπιστολὴ Μανεθῶ τοῦ Σεβεννύτου πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον

Βασιλεῖ μεγάλῳ Πτολεμαίῳ Φιλαδέλφῳ σεβαστῷ Μανεθῶ ἀρχιερεὺς καὶ γραμματεὺς τῶν κατ' Αἴγυπτον ἱερῶν ἀδύτων, γένει Σεβεννύτης ὑπάρχων Ἡλιουπολίτης, τῷ δεσπότῃ μου Πτολεμαίῳ χαίρειν.

15 *Ἡμᾶς δεῖ λογίζεσθαι, μέγιστε βασιλεῦ, περὶ πάντων ὧν ἐὰν βούλῃ ἡμᾶς ἐξετάσαι πραγμάτων· ἐπιζητοῦντί σοι περὶ τῶν μελλόντων τῷ κόσμῳ γίγνεσθαι καθὼς ἐκέλευσάς μοι παραφανήσεταί σοι ἃ ἔμαθον ἱερὰ βιβλία γραφέντα ὑπὸ τοῦ προπάτορος τρισμεγίστου Ἑρμοῦ. ἔρρωσό μοι δέσποτά μου βασιλεῦ.*

20 *Ταῦτα περὶ τῆς ἑρμηνείας τῶν ὑπὸ τοῦ δευτέρου Ἑρμοῦ βιβλίων λέγει. μετὰ δὲ ταῦτα καὶ περὶ ἐθνῶν Αἰγυπτιακῶν πέντε ἐν λ' δυναστείαις ἱστορεῖ τῶν λεγομένων παρ' αὐτοῖς θεῶν καὶ ἡμιθέων καὶ νεκύων καὶ θνητῶν, ὧν καὶ Εὐσέβιος ὁ Παμφίλου μνησθεὶς ἐν τοῖς χρονικοῖς αὐτοῦ φησιν οὕτως· 'Αἰγύπτιοι δὲ θεῶν καὶ ἡμιθέων καὶ παρὰ τούτους νεκύων καὶ* 74 25 *θνητῶν ἑτέρων βασιλέων πολλὴν καὶ φλύαρον συνείρουσι μυθολογίαν. οἱ γὰρ παρ' αὐτοῖς παλαιότατοι σεληναίους ἔφασκον εἶναι τοὺς ψ' τριμηνιαίους τοὺς ἐνιαυτοὺς ἐξ ἡμερῶν λ' συνεστῶτας, οἱ δὲ μετὰ τούτους ἡμίθεοι ὥρους ἐκάλουν τοὺς ἐνιαυτοὺς τοὺς ψ' τριμηνιαίους.'*

Καὶ ταῦτα μὲν ὁ Εὐσέβιος μεμφόμενος αὐτοῖς τῆς φλυαρίας εὐλόγως 30 *συνέγραψεν, ὃν ὁ Πανόδωρος οὐ καλῶς, ὡς οἶμαι, ἐν τούτῳ μέμφεται,*

10 ps. Manetho (Sothis) FGrHist 609 F 25 || **23** Euseb. 1, 2, 32 || **26–28** locus corruptus qui apud Euseb. 1, 2, 32 deest; cf. Euseb. 1, 63, 27 et supra 34, 30 (Annianum et Panodorum)

3 *Θῶθ* Go. *θωὺθ* A || **6** *Ἀγαθοδαίμονος* Go.[m] *ἀγαθοῦ δαίμονος* A || **17** *καθὼς ἐκέλευσας* Go.[m] *καθέτος κελεύσας* A *κατ' ἔτος κελεύσας* Barb. 227 || **24** *τούτους* Boeckh *τούτοις* A || **26** *τοὺς ψ' τριμηνιαίους*] *τοὺς τψ' μηνιαίους* A *ἤγουν μηνιαίους* Go.[m] seclusit Scal. || **28** *ἡμίθεοι* secl. Jac. | *ψ'* secl. Jac. || **30** *παννόδωρος* A

λέγων ὅτι ἠπόρησε διαλύσασθαι τὴν ἔννοιαν τῶν συγγραφέων, ἣν αὐτὸς
καινότερόν τι δοκῶν κατορθοῦν λέγει, ἐπειδὴ ἀπὸ τῆς τοῦ Ἀδὰμ πλάσεως
⟨ἕως⟩ τοῦ Ἐνώχ, ἤτοι τοῦ καθολικοῦ κοσμικοῦ ,ασπβ' ἔτους οὔτε μηνὸς
οὔτε ἐνιαυτοῦ ἀριθμὸς ἡμερῶν ἐγνωρίζετο, οἱ δὲ ἐγρήγοροι κατελθόντες
ἐπὶ τοῦ καθολικοῦ κοσμικοῦ ,α ἔτους συναναστραφέντες τοῖς ἀνθρώ- 5
ποις ἐδίδαξαν αὐτοὺς τοὺς κύκλους τῶν δύο φωστήρων δωδεκαζῳδίους
εἶναι ἐκ μοιρῶν τξ', οἱ δὲ ἀποβλέψαντες εἰς τὸν περιγειότερον μικρότερον
καὶ εὐδηλότερον τριακονθήμερον σεληνιακὸν κύκλον ἐθέσπισαν εἰς ἐνιαυ-
τὸν ἀριθμεῖσθαι, διὰ τὸ καὶ τὸν τοῦ ἡλίου κύκλον ἐν τοῖς αὐτοῖς δώδεκα
ζῳδίοις πληροῦσθαι ἐν ἰσαρίθμοις μοίραις τξ'. ὅθεν συνέβη τὰ τῆς βασι- 10
75 *λείας τῶν παρ' αὐτοῖς βασιλευσάντων θεῶν γενεῶν ς' ἐν δυναστείαις ς'*
ἔτη ἐν σεληνιακοῖς τριακονθημέροις κύκλοις παρ' αὐτοῖς ἀριθμεῖσθαι·
ἃ καὶ συνῆξαν σελήνια α' ,αϡπε', ἔτη ἡλιακὰ ϡξθ'· ταῦτα δὲ συναριθ-
μούμενα τοῖς πρὸ τῆς τούτων βασιλείας ἡλιακοῖς ,ανη' ἔτεσι συνάγουσιν
ὁμάδα ἐτῶν ,βκζ'. ὁμοίως δὲ κατὰ τὰς β' δυναστείας τῶν θ' ἡμιθέων τῶν 15
μηδέποτε γεγονότων ὡς γεγονότων ἔτη σιδ' ◡ σπουδάζει συνιστᾶν ἀπὸ τῶν
ωνη' ὡρῶν, ἤτοι τροπῶν, ὡς γίνεσθαί φησι σὺν ϡξθ' ,αρπγ' ◡ ἔτη, καὶ
συναπτόμενα τοῖς ἀπὸ Ἀδὰμ μέχρι τῆς τῶν θεῶν βασιλείας ,ανη' ἔτεσι
συνάγειν ἔτη ,βσμβ' ἕως τοῦ κατακλυσμοῦ.

Καὶ ταῦτα μὲν ὁ Πανόδωρος τὰς κατὰ θεοῦ καὶ τῶν θεοπνεύστων γρα- 20
φῶν Αἰγυπτιακὰς συγγραφὰς συμφωνεῖν αὐταῖς ἀγωνίζεται δεικνύναι μεμ-
φόμενος τὸν Εὐσέβιον, μὴ εἰδὼς ὅτι καθ' ἑαυτοῦ καὶ τῆς ἀληθείας ἀπο-
δέδεικται ταῦτα αὐτοῦ τὰ ἀναπόδεικτά τε καὶ ἀσυλλόγιστα, εἴ γε, καθὼς
προαποδέδεικται ἡμῖν ἐκ τῆς Γενέσεως, οὔτε Βαβυλὼν ἢ Χαλδαϊκὴ πρὸ
τοῦ κατακλυσμοῦ οὔτε ἡ Αἴγυπτος πρὸ τοῦ Μεστρὲμ ἐβασιλεύθη, οἶμαι 25
δ' ὅτι οὐδ' ᾠκίσθη, καθὼς ἡ προσηγορία τῆς χώρας ἕως καὶ νῦν κεκράτηκε
κατὰ τὴν Ἑβραΐδα Μεστραία λεγομένη καὶ ἐν τῷ Ἑβραϊκῷ ἀντιγράφῳ.
76 *Αἴγυπτος γὰρ Ἑλληνιστὶ λέγεται κατά τινα συνήθειαν Ἑλληνικήν, ᾗ καὶ*
οἱ ἑβδομήκοντα ἑρμηνευταὶ ἑπόμενοι οὕτως ἐξέδωκαν, μὴ εἰδότων ἀκούειν
τὴν τῆς Αἰγύπτου προσηγορίαν τῶν αἰτησάντων τὰς ἑρμηνείας τῶν 30
Ἑβραϊκῶν θείων γραφῶν, λέγω δὲ Πτολεμαίου τούτου τοῦ φιλολογωτάτου
Φιλαδέλφου καὶ τῶν ἀμφ' αὐτόν, ἀλλ' ἢ μόνον Αἴγυπτον ἀπὸ Αἰγύπτου
τινὸς καλουμένου τοῦ ἀδελφοῦ Δαναοῦ βασιλεύσαντος ἐπὶ τῆς ιθ' δυνα-

1–9 cf. supra 34, 14 || **11–13** cf. supra 18, 22 = Manetho FGrHist 609 T 11[b] || **13–19** cf. supra 33, 13 || **32** cf. infra 182, 5

2 *ἐπειδὴ* Scal. *ἐπειδὰν* A || **3** *ἕως* Go.[m] om. A | *,ασπβ'*] *,ασπς'* supra || **5** *,α*] *,ανη'* maluit Scal., cf. supra 11, 8 (*,α*), 17, 7 (*,ανη'*) || **10** *τὰ τῆς*] *τὰς* A || **13** *α' ,αϡπε'* Di. *α' ,αϡπη'* A *,αϡπε'* supra || **14** *τοῖς* Scal. *τῆς* A || **17** *ωνη' ὡρῶν* Jac. *ὠνιώρων* A | *,αρπγ' ◡* Go.[m] *,αρνγ' ◡* A || **29** *οἱ* om. A

στείας ἑβδόμου ἔτη ξη', χρόνους ὕστερον ἐγγύς που τοῦ ,δ κοσμικοῦ ἔτους, ὡς ἐκεῖσε στοιχειωθήσεται, τοῦ καὶ μετονομάσαντος τὴν Μεστραίαν χώραν εἰς τὸ ἴδιον ὄνομα Αἴγυπτον.

Τούτων δὲ οὕτω διειλημμένων ἡμῖν μετέλθωμεν καὶ ἐπὶ τὴν καθεξῆς 5 *ἀπὸ τοῦ κατακλυσμοῦ τῶν χρόνων στοιχείωσιν, τῇ θείᾳ γραφῇ καὶ τοῖς ἀκολούθως αὐτῇ γράψασιν ἱστορικοῖς ἑπόμενοι. μετὰ γὰρ τὸν κατακλυσμὸν εὐθὺς οὐδαμοῦ δεδήλωται ἐν αὐτῇ βασιλεύς. μόνον δὲ τὸν Νῶε ἡγεμονεύειν τῶν ἑαυτοῦ υἱῶν καὶ τῶν λοιπῶν ἀνθρώπων τὰ ὅλα φησὶ τῆς ζωῆς αὐτοῦ μετὰ τὸν κατακλυσμὸν ἔτη τν'. καὶ μετ' αὐτὸν Σὴμ ὁ υἱὸς* 10 *αὐτοῦ διεδέξατο τὴν ἀρχὴν ἐπ' ὀλιγανδρίας τὰ λοιπὰ τῆς ζωῆς αὐτοῦ ρν', καὶ μετ' αὐτὸν ἡγεμόνευσεν Ἀρφαξὰδ ὁ υἱὸς αὐτοῦ ἔτη λγ', ὡς γίνεσθαι τὰ πάντα τῆς ἡγεμονίας αὐτῶν γ' μετὰ τὸν κατακλυσμὸν ἔτη φλδ', ἀπὸ δὲ τοῦ προπάτορος Ἀδὰμ ,βψοε'. κατὰ δὲ τοὺς χρόνους τοῦ Ἀρφαξάδ, μικρῷ πρότερον ἔτεσιν ζ' τῆς ἀρχῆς αὐτοῦ, ἤτοι τῷ καθολικῷ ,βψλς'* 77 15 *ἔτει, ὅπερ ἦν τῆς ζωῆς τοῦ Σὴμ φϛδ', τοῦ δὲ Ἀρφαξὰδ υϛγ', τοῦ δὲ Καϊνᾶν, ὃν Εὐσέβιος οὐκ ἐστοιχείωσε, τνη', τοῦ δὲ Σαλὰ σλ' {καὶ τοῦ Ἔβερ ρλη', καὶ τοῦ Φαλὲκ ἔτος δ'} φοβηθέντες οἱ ἀπόγονοι τῶν υἱῶν Νῶε μήποτε πάλιν ἀφανισθῶσιν ὑπὸ κατακλυσμοῦ, ἐβουλεύσαντο κακῶς οἰκοδομῆσαι πύργον ἕως τοῦ οὐρανοῦ φθάνοντα, καὶ ἐλθόντες εἰς γῆν* 20 *Σεναάρ, ὥς φησιν ἡ γραφή, ᾠκοδόμουν, κατάρχοντος καὶ βασιλεύοντος αὐτῶν Νεβρὼδ τοῦ υἱοῦ Χοὺς υἱοῦ τοῦ Χὰμ τοῦ υἱοῦ Νῶε, οὗ ἡ ἀρχὴ τῆς βασιλείας ἐγένετο Βαβυλών. ἐπὶ γὰρ ἔτη τεσσαράκοντα οἰκοδομήσαντες, ἐκείνου μάλιστα παρορμῶντος αὐτοὺς εἰς ἀποστασίαν, συνεχύθησαν διαιρεθέντες εἰς πολυγλωσσίαν ὑπὸ τοῦ θεοῦ. ἐκεῖνος δὲ ἔμεινεν ἐκεῖ κατοι-* 25 *κῶν καὶ μὴ ἀφιστάμενος τοῦ πύργου, βασιλεύων μερικοῦ τινος πλήθους, ἐφ' ὃν ὁ πύργος ἀνέμῳ βιαίῳ, ὡς ἱστοροῦσι, καταπεσὼν θείᾳ κρίσει τοῦτον ἐπάταξε. μέμνηται δὲ αὐτοῦ καὶ Ἰώσηππος οὕτω λέγων·*

Ἰωσήππου περὶ τῶν μετὰ τὸν κατακλυσμὸν τῆς πυργοποιίας

Νῶχος δὲ βιοὺς μετὰ τὴν ἐπομβρίαν πεντήκοντα καὶ τριακόσια ἔτη καὶ 30 *πάντα τὸν χρόνον τοῦτον εὐδαιμόνως διάγων τελευτᾷ, ζήσας ἐτῶν ἀριθ-* 78

22 *Ση. ὅτι ἐπὶ ἔτη μ' ᾠκοδόμουν τὸν πύργον*

7–13 cf. infra 59, 3; 89, 9, ps. Sym. f. 23ᵛ = Cedr. 23, 4 || 8–10 cf. Gen. 9, 28; 11, 11–13 || 14–17 cf. infra 48, 6; 90, 19; 132, 30 || 19–27 Gen. 11, 1–9, Iubil. 10, 18–27 || 23–27 ps. Sym. f. 23ʳ = Cedr. 22, 4 || 28–p. 45, 26 Ioseph. Ant. Iud. 1, 104–117

3 *εἰς* Go.ᵐ *ἐχ* A || 12–13 rectius *φλδ' ... βψος'* uel *φλγ' ... βψοε'* ut uult Go.ᵐ || 16–17 *καὶ ... δ'* e margine (cf. 48, 23) illatum || 18 *ἐβουλεύσαντο* Go.ᵐ *ἐβουλεύσατο* A || 22 *οἰκοδομήσαντες* Di. *ᾠκοδομήσαντες* A || 30 *διαγαγὼν* Ioseph.

μὸν ϡν'. μηδεὶς δὲ πρὸς τὸν νῦν βίον καὶ τὴν βραχύτητα τῶν ἡμερῶν καὶ
τῶν ἐτῶν ἀποβλέπων ἃ ζῶμεν συμβαλὼν τὸν τῶν παλαιῶν ψευδῆ νο-
μιζέτω τὰ περὶ ἐκείνων λεγόμενα, τῷ μηδὲ νῦν τοσοῦτον ἐν τῷ βίῳ παρα-
τείνειν χρόνον τεκμαιρόμενος μηδὲ ἐκείνους εἰς ἐκεῖνο τὸ μῆκος τῆς
ζωῆς ἀφικέσθαι· οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες καὶ ὑπ' αὐτοῦ τοῦ θεοῦ γενό- 5
μενοι καὶ διὰ τὰς τροφὰς ἐπιτηδειοτέρας πρὸς πλείονα χρόνον οὔσας εἰκό-
τως ἔζων πλῆθος τοσούτων ἐτῶν. ἔπειτα δι' ἀρετὴν καὶ τὴν εὐχρηστίαν
ὧν ἐπενόουν ἀστρονομίας καὶ γεωμετρίας πλεῖον ζῆν τὸν θεὸν αὐτοῖς
παρασχεῖν, ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοῖς προειπεῖν μὴ ζήσασιν χ' ἐνιαυ-
τούς. διὰ τοσούτων ἐτῶν ὁ μέγας ἐνιαυτὸς πληροῦται. μαρτυροῦσι δέ μου 10
τῷ λόγῳ πάντες οἱ παρ' Ἕλλησι καὶ βαρβάροις συγγραψάμενοι τὰς ἀρ-
χαιολογίας, Μανεθῶν ὁ τὴν τῶν Αἰγυπτίων ποιησάμενος ἀναγραφὴν καὶ
Βήρωσσος ὁ τὰ Χαλδαϊκὰ συνάγων, Μῶχός τε καὶ Ἑστιαῖος, καὶ πρὸς
τούτοις ὁ Αἰγύπτιος Ἱερώνυμος, οἱ τὰ Φοινικικὰ συγγραψάμενοι συμ-
φωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις. Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνι- 15
κος καὶ Ἀκουσίλαος, καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι
τοὺς ἀρχαίους ζήσαντας ἔτη ͵α.

79 Οἱ δὲ Νώχου παῖδες τρεῖς ὄντες, Σημᾶς καὶ Ἰαφθᾶς καὶ Χαμᾶς, ἑκατὸν
ἔτεσι τῆς ἐπομβρίας ἔμπροσθεν γεγονότες, πρῶτοι κατελθόντες ἀπὸ τῶν
ὀρῶν εἰς τὰ πεδία τὴν ἐν τούτοις οἴκησιν ἐποιήσαντο, καὶ τοὺς ἄλλους δε- 20
διότας σφόδρα διὰ τὸν κατακλυσμὸν τὰ πεδία ἔπεισαν θαρσήσαντας μιμη-
τὰς αὐτῶν γενέσθαι. καὶ τὸ μὲν πεδίον εἰς ὃ πρῶτον αὐτοὺς κατῴκισαν
καλεῖται Σεναάρ. τοῦ δὲ θεοῦ κελεύσαντος αὐτοὺς εἰς πολυανθρωπίαν
στέλλειν ἀποικίας, ἵνα μὴ στασιάζοιεν πρὸς ἀλλήλους, ἀλλὰ γῆν πολλὴν
γεωργοῦντες ἀπολάβοιεν ἀφθόνως τῶν καρπῶν, ὑπὸ ἀμαθίας παρήκουσαν 25
τοῦ θεοῦ· καὶ διὰ τοῦτο συμφοραῖς περιπεσόντες ᾔσθοντο τῆς ἁμαρτίας.
ἐπεὶ γὰρ ἤνθουν νεότητος πλήθει, πάλιν ὁ θεὸς αὐτοῖς συνεβούλευσε
ποιεῖσθαι τὴν ἀποικίαν. οἱ δὲ οὐ κατὰ τὴν ἐκείνου εὐμένειαν νομίζοντες

12 *Ση. εἰσὶν οἱ συγγραφεῖς Αἰγυπτίων καὶ Χαλδαίων οὓς μέμνηται· Μανεθῶν, Βήρωσσος, Μῶχος, Ἀστιαῖος, Ἱερώνυμος, Ἡσιόδιος, Ἐκταῖος, Ἡλλάνικος, Ἀκούριος, Ἔφορος, Νικόλαος· ψεύδοντες ἐν τούτῳ* 30

1–17 Ioseph. Ant. Iud. 1, 105–108 ‖ 12–16 ps. Sym. f. 23v = Cedr. 23, 11 ‖ 18–p. 45, 4 Ioseph. Ant. Iud. 1, 109–112

1 *τῶν ἡμερῶν καὶ* et 2 *ἀποβλέπων* om. Ioseph. ‖ 2 *συμβαλὼν τὸν* Ioseph. *συμβαλόντων* A | *ψευδῆ* Ioseph. *ψεύδη* A ‖ 3 *μηδὲ* A Ioseph.[MSPL] *μηδένα* Ioseph.[RO] ‖ 5 *ἀφῖχθαι* Ioseph. ‖ 10 *ἐτῶν*] *γὰρ* Ioseph. ‖ 13 *συναγαγὼν* Ioseph. | *Ἑστιαῖος* Ioseph. *αἰστιαῖος* A *ἀστιαῖος* ps. Sym. ‖ 14 *τούτοις ὁ Αἰγύπτιος* Ioseph. *αὐτοῖς τοῖς αἰγυπτίοις* A | *Φοινικικὰ* Ioseph. *φοινικὰ* A ‖ 15 *Ἑκαταῖος* Ioseph. *ἐκταῖος* A ps. Sym. ‖ 22 *κατῴκισαν* Ioseph.[R] *κατώκησαν* A Ioseph.[V] ‖ 25 *ἀφθονίας ἀπολαύοιεν* Ioseph.

ἔχειν τὰ ἀγαθά, τὴν δὲ ἰσχὺν αὐτοῖς τὴν οἰκείαν αἰτίαν τῆς εὐπορίας ὑπολαμβάνοντες οὐκ ἐπείθοντο. προσετίθεσαν δὲ τῷ παρακούειν τῆς τοῦ θεοῦ γνώμης καὶ τὸ κατ' ἐπιβουλὴν ἐπινοεῖν εἰς ἀποικίαν αὐτοὺς παρορμᾶν, ἵνα διαιρεθέντες εὐεπιχειρότατοι γένοιντο.

5 *Ἐξῆρέ τε αὐτοὺς πρὸς ὕβριν τοῦ θεοῦ καὶ καταφρόνησιν Νεβρώδης, ὃς υἱωνὸς μὲν ὢν Χαμοῦ τοῦ Νώχου, τολμηρὸς δὲ καὶ κατὰ χεῖρα γενναῖος, ἔπειθεν αὐτοὺς μὴ τῷ θεῷ διδόναι τὸ δι' ἐκεῖνον εὐδαιμονεῖν, ἀλλὰ τὴν ἰδίαν ἀρετὴν ταῦτα παρέχειν αὐτοῖς ἡγεῖσθαι. καὶ περιίστα δὲ κατ' ὀλίγον εἰς τυραννίδα τὰ πράγματα, ἀνόμως οὕτω*
10 *νομίζων ἀποστήσειν τοὺς ἀνθρώπους τοῦ φόβου τοῦ θεοῦ, εἰ χρώμενοι* 80 *τῇ αὐτῇ δυνάμει διατελοῖεν, ἀμύνεσθαί τε τὸν θεὸν πάλιν ἠπείλει τὴν γῆν ἐπικλύσαι θελήσαντα. πύργον γὰρ οἰκοδομήσειν ὑψηλότερον ἢ τὸ ὕδωρ μὴ ἀναβῆναι δυνηθείη· μετελεύσεσθαι δὲ καὶ τῆς τῶν προγόνων ἀπωλείας.*

15 *Τὸ δὲ πλῆθος πρόθυμον ἦν τοῖς Νεβρώδου δόγμασιν ἕπεσθαι δουλείαν ἡγούμενον εἴκειν τῷ θεῷ, καὶ τὸν πύργον ᾠκοδόμουν. ἐλάμβανε δὲ θᾶττον ὕψος ἢ προσεδόκησεν ἄν τις ὑπὸ πολυχρονίας, τὸ μέντοι πάχος ἦν τοσοῦτον ὥσθ' ὑπ' αὐτοῦ μειοῦσθαι τοῖς ὁρῶσι τὸ μῆκος, ᾠκοδόμητο δ' ἐκ πλίνθου ὀπτῆς ἀσφάλτῳ συνδεδεμένης, ὡς ἂν μὴ*
20 *περιρρέοι. οὕτως δὲ μεμηνότας ὁρῶν ἀφανίσαι μὲν ἐκ παντὸς οὐκ ἔκρινεν, ὅτι μηδ' ὑπὸ τῶν πρώτων ἀπολωλότων σωφρονισθεῖεν, εἰς στάσιν δὲ αὐτοὺς ἐνέβαλεν ἀλλογλώσσους ἀπεργασάμενος καὶ ὑπὸ πολυφωνίας ποιήσας ἑαυτῶν ἀσυνέτους εἶναι. ὁ δὲ τόπος ἐν ᾧ τὸν πύργον ᾠκοδόμησαν νῦν Βαβυλὼν καλεῖται διὰ τὴν σύγχυσιν τοῦ περὶ*
25 *τὴν διάλεκτον πρῶτον ἐναργοῦς. Ἑβραῖοι γὰρ τὴν σύγχυσιν βαβὲλ καλοῦσι.*

Καὶ ταῦτα μὲν ὁ Ἰώσηππος περὶ τῶν μετὰ τὸν κατακλυσμὸν καὶ τὸν Νεβρὼδ καὶ τῆς πυργοποιίας καὶ αὐτῆς Βαβυλῶνος. ἀλλὰ καὶ Ἀλέξανδρος ὁ Πολυίστωρ ὡς ἐκ σιβύλλης τάδε φησὶ καὶ Ἀβυδηνός.

5–14 Ioseph. Ant. Iud. 1, 113–114 || **15–26** Ioseph. Ant. Iud. 1, 115–117

2 *τῷ* Ioseph. *τὸ* **A** || **3** *ἐπινοεῖν* **A** Ioseph.[RO] *ὑπονοεῖν* Ioseph.[V] || **4** *εὐεπιχειρητότεροι γένωνται* Ioseph. || **6** *ὢν* **A** Ioseph.[MSPLE] *ἦν* Ioseph.[RO] || **9** *ἀνόμως*] *μόνως* Ioseph. || **10** *τοῦ παρὰ τοῦ θεοῦ* Ioseph. || **11** *αὐτοῦ* Ioseph. | *ἀμύνεσθαι* **A** Ioseph.[OE] *ἀμυνεῖσθαι* Ioseph.[V] || **13** *μὴ* om. Ioseph. || **16** *ἡγούμενον* **A** Ioseph.[ROSPL] *ἡγούμενοι* Ioseph.[ME] | *τὸ εἴκειν* Ioseph. || **17** *ἢ* Ioseph. *ἦν* **A** | *πολυχειρίας* Ioseph. || **18** *ἰσχυρὸν τοσοῦτον* Ioseph. || **20** *ὁρῶν*] *αὐτοὺς ὁρῶν ὁ θεὸς* Ioseph. || **22** *ἐνέβαλεν* Ioseph. *ἐνέβαλλεν* **A** || **23** *ἑαυτῶν* Ioseph. *ἑαυτῷ* **A** || **29** *Ἀβυδηνός* Go.[m] *ἀβυδινός* **A**

81 ᾿Αλεξάνδρου τοῦ Πολυίστορος περὶ τῆς πυργοποιίας

Σίβυλλα δέ φησιν ὁμοφώνων ὄντων πάντων ἀνθρώπων τινὰς τούτων πύργον ὑπερμεγέθη οἰκοδομῆσαι, ὅπως εἰς τὸν οὐρανὸν ἀναβῶσι. τοῦ δὲ θεοῦ ἀνέμους ἐμφυσήσαντος ἀνατρέψαι αὐτούς, καὶ ἰδίαν ἑκάστῳ φωνὴν δοῦναι, διὸ δὴ Βαβυλῶνα τὴν πόλιν κληθῆναι. μετὰ δὲ τὸν κατακλυσμὸν Τιτᾶνα καὶ Προμηθέα γενέσθαι. καὶ τὰ μὲν τῆς πυργοποιίας Ἀλέξανδρος ταῦτα μαρτυρῶν καὶ αὐτὸς Βαβυλῶνα διὰ τὴν σύγχυσιν κληθῆναι τὴν πρὸ πολλῶν μυριάδων ἐτῶν μυθολογουμένην παρ᾿ αὐτοῖς βεβασιλευκέναι. 5

᾿Αβυδηνοῦ περὶ τῶν αὐτῶν 10

Ἐν τῇ δὴ λέγουσι τοὺς πρώτους ἀνασχόντας ῥώμῃ τε καὶ μεγέθει χαυνωθέντας καὶ δὴ θεῶν καταφρονήσαντας ἀμείνονας εἶναι τύρσιν ἠλίβατον ἀείρειν, ᾗ νῦν Βαβυλών ἐστιν, ἤδη τε ἄσσον εἶναι τοῦ οὐρανοῦ. καὶ τοὺς ἀνέμους θεοῖσι βωθέοντας ἀνατρέψαι περὶ αὐτοῖσι τὸ μηχάνημα, τοῦ δὴ τὰ ἐρείπια λέγεσθαι Βαβυλῶνα. τέως δὲ ὄντας ὁμογλώσσους ἐκ θεῶν πολύ- 15
82 *θροον φωνὴν ἐνέγκασθαι· μετὰ δὲ Κρόνῳ καὶ Τιτῆνι συστῆναι πόλεμον.*

Τρανῶς δὴ καὶ οὗτος ὡς ἐπιλαθόμενος τῶν προτέρων περὶ Βαβυλῶνος κομπασμῶν ὁμολογεῖ ἐπὶ τῆς πυργοποιίας αὐτὴν οὕτω κεκλῆσθαι διὰ τὴν σύγχυσιν τῶν γλωσσῶν καὶ τῶν οβʹ ἐθνῶν τῶνδε διασπαρέντων κατὰ πᾶσαν τὴν οἰκουμένην, ἣν διεμέρισε Νῶε ὁ δίκαιος τοῖς τρισὶν αὐτοῦ υἱοῖς τῷ ͵βφοβʹ ἔτει τοῦ κόσμου, ϡλδʹ τῆς ζωῆς αὐτοῦ, κατὰ τὸν θεῖον δηλονότι χρησμὸν οὕτως. 20

Σὴμ τῷ πρωτοτόκῳ αὐτοῦ υἱῷ κατάγοντι ⟨ἔτος⟩ υλαʹ ἔδωκεν ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως ᾿Ινδικῆς μῆκος, πλάτος δὲ ἀπὸ ᾿Ινδικῆς ἕως ῾Ρινο-

23 *κλῆρος τοῦ Σήμ* 25

1–6 Alex. Polyhist. FGrHist 273 F 79 = Euseb. 1, 12, 9–16; cf. Cyrill. adv. Iul. 1, 9, Ioseph. Ant. Iud. 1, 118 ‖ 10–16 Abydenus FGrHist 685 F 4 = Euseb. 1, 17, 9–23, Praep. Euang. 9, 14, 1 ‖ 20–p. 47, 20 ps. Sym. f. 23v = Cedr. 23, 17–24, 21 ‖ 20–21 cf. Iohann. Anag. 115r ‖ 23–p. 47, 11 ex redactione Antiochena capitis de terrae diuisione apud chronicon Hippolyti, ut uult Bauer, TU N. F. 14 (1906); cf. cod. Paris. suppl. Grec 682 (Bauer 216); aliter ex redactione Alexandrina tradit Anon. Matr., quem edidit R. Helm, Die Chronik des Hippolytus, (GCS 1955) 47–52

4 *αὐτὸν* Cyrill. ‖ 10 *Ἀβυδηνοῦ* Go.m *ἀβυδινοῦ* A ‖ 11 *ἐν τῇ δὴ* Euseb. P. E. *ἐν τῇ δῇ* A *ἐν τῇδε* Cyrill. *damals* Euseb. 1 *Ἐντὶ δ' οἱ* Scal. ‖ 12 *θεῶν* Euseb. *θεῷ* A ‖ 14 *θεοῖσι βωθέοντας* Euseb. *θεοὶ εἰβοθέοντας* A ‖ 15 *ἐρείπια* Euseb. *ἐρίπια* A | *πολύθροον* Euseb. *πολύθρωον* A ‖ 16 *ἐνείκασθαι* Euseb. | *Τιτῆνι* Euseb. *τί τινι* A ‖ 21 *ϡλδʹ*] *ϡ δὲ καὶ τ̄ δʹ ἔτη* ps. Sym. *ϡλʹ* Cedr. Iohann. Anag. rectius fortasse *ϡλαʹ*, cf. 21, 20; 56, 8 ‖ 23 *κατάγοντι ἔτος*] *κατάγοντι* A *ἄγοντι ἔτος* ps. Sym. ‖ 24 *Βάκτρων* ps. Sym. *βακτωῶν* A

κουρούρων τῆς Αἰγύπτου, ἤτοι τὰ ἀπὸ ἀνατολῆς ἕως μέρους τῆς μεσημ-
βρίας, τήν τε Συρίαν καὶ Μήδειαν καὶ ποταμὸν διορίζοντα αὐτοῦ τὰ ὅρια
τὸν Εὐφράτην. Χὰμ δὲ τῷ δευτέρῳ αὐτοῦ υἱῷ κατάγοντι ἔτος υκζ' ἔδωκε
τὰ πρὸς νότον καὶ λίβα καὶ μέρος τῆς δύσεως ἀπὸ Ῥινοκουρούρων τῆς
5 Αἰγύπτου, Αἰθιοπίαν καὶ Αἴγυπτον καὶ Λιβύην, Ἀφρικὴν καὶ Μαυριτα-
νίαν ἕως Ἡρακλείων στηλῶν, ἤτοι ἕως τοῦ δυτικοῦ καὶ Λιβυκοῦ Ὠκεανοῦ,
ποταμὸν διορίζοντα τὸν Νεῖλον, ὃς καὶ Γειὼν καὶ Χρυσορρόας λέγεται. 83
Ἰάφεθ δὲ τῷ τρίτῳ υἱῷ αὐτοῦ ἄγοντι ἔτος υκε' ἀπὸ Μηδείας τὰ πρὸς
ἄρκτον καὶ δυσμὰς ἕως Γαδείρων καὶ Βρεττανικῶν νήσων, Ἀρμενίαν καὶ
10 Ἰβηρίαν, Πόντον, Κόλχους καὶ τὰς κατόπιν χώρας καὶ νήσους ἕως Ἰτα-
λίας καὶ Γαλλικῆς Σπανικῆς τε καὶ Κελτιβηρίας καὶ Λυσιτανῶν. οὕτω
μερίσας καὶ ἐγγράφως διαθέμενος, ὥς φασιν, ἐπαναγνούς τε αὐτοῖς τὴν
διαθήκην αὐτοῦ ἐσφραγίσατο, παρ' ἑαυτῷ κατασχών, ἕως τοῦ ,βφϛβ'
ἔτους ἀπὸ Ἀδάμ, ἐν ᾧ καὶ ἐκοιμήθη. μέλλων δὲ τελευτᾶν ἐνετείλατο τοῖς
15 τρισὶν αὐτοῦ υἱοῖς μηδένα ἐπελθεῖν τοῖς τοῦ ἀδελφοῦ ὁρίοις καὶ ἀτάκτως
ἐνεχθῆναι πρὸς ἕτερον, ὡς τούτου γενησομένου αἰτίου στάσεως αὐτοῖς καὶ
πολέμων τῶν πρὸς ἀλλήλους. τὴν δὲ διαθήκην αὐτοῦ ἔδωκε τῷ Σήμ, ὡς
πρωτοτόκῳ υἱῷ καὶ θεοφιλεστέρῳ, ὃς καὶ τὴν ἡγεμονίαν διεδέξατο μετ' αὐ-
τὸν καὶ τὰς ἐξαιρέτους τῶν παρ' αὐτοῦ εὐλογιῶν ἐκληρώσατο, ὡς καὶ ἐν
20 τῇ Γενέσει φέρεται. καὶ ἐκοιμήθη ἐν ὄρει Λουβάρ.

Ἐν δὲ τῷ ,βψϙα' ἔτει τοῦ κόσμου, ἤτοι μετὰ σ' ἔτη τῆς τελευτῆς Νῶε,
νεωτερίσας ὁ τοῦ Χὰμ υἱὸς Χαναὰν ἐπέβη τοῖς ὁρίοις τοῦ Σὴμ καὶ κατ-
ῴκησεν ἐκεῖ παραβὰς τὴν ἐντολὴν Νῶε σὺν τοῖς ἐξ αὐτοῦ γενομένοις ἔθνε-
σιν ζ', Ἀμορραίοις, Χετταίοις, Φερεζαίοις, Εὐαίοις, Γεργεσαίοις, Ἰεβου-
25 σαίοις καὶ Χαναναίοις, οὓς διὰ Μωυσέως καὶ Ἰησοῦ ἐξωλόθρευσεν ὁ 84
θεός, καὶ κατά τινας καιροὺς διὰ τῶν κριτῶν ἀπέδωκε τοῖς υἱοῖς Ἰσραὴλ
τὴν πατρῴαν γῆν, ὡς ἐκ τοῦ Σὴμ καταγομένοις διὰ γενεῶν λη', ἐτῶν
,αχπζ'. ὃ καὶ ἔφθασεν εἰς τὸ ,δυοε' ἔτος, ἤτοι τῷ κγ' τῆς βασιλείας Σα-
λομῶν, καθ' ὃν ἐνεκαίνισε τὸν ὑπ' αὐτοῦ κτισθέντα πολυτελῆ ναόν, θύσας
30 τῷ πατρῴῳ θεῷ λαμπρῶς· περὶ ὧν ἐν τοῖς ἰδίοις τόποις ἑκάστης τῶν

12–20 cf. Gen. 9, 26–29; Iubil. 9, 14; 10, 13–15 || **21–28** ps. Sym. f. 23v–24r = Cedr. 24, 22–25, 7 || **22–27** cf. Iubil. 10, 29; similiter Anon. Malalas 16, 1, Georg. Mon. 57, 1, [Leo. Gramm.] 17, 16 = Theodos. Melit. 20, 1 = ps. Pollux 78, 11 || **28–30** ps. Sym. f. 24r post Cedr. 25, 7

3 *κατάγοντι ἔτους* **A** *ἄγοντι ἔτος* ps. Sym. || **7** *Γεὼν* ps. Sym. *Γηὼν* Anon. Matr. | *χρυσορρόας* ps. Sym. *χρυσορόας* **A** || **12** *αὐτοῖς* Cedr. *αὐτοὺς* **A** ps. Sym. || **15** *μηδένα* Cedr. *μηδεῖνα* **A** ps. Sym. || **17** *δέδωκε* ps. Sym. Cedr. || **22** *νεωτερίσας* ps. Sym. Cedr. *νεωτερίσατο* **A** || **24** *Ἀμορραίοις* ps. Sym. Cedr. *ἀμωρραίοις* **A** | *Ἰεβουζαίοις* Cedr. om. ps. Sym. || **28** *,δυοη'* (2791 + 1687 = 4478)] *,δοη'* **A** ps. Sym. *,δυοη'* infra 213, 4 | *κγ'*] *η' ἔτει τῆς βασιλείας αὐτοῦ, κ' δὲ ἔτει τῆς ζωῆς αὐτοῦ* infra 213, 3, sed cf. 2 Chron. 3, 3; 8, 1 || **29** *ἐνεκαίνισε* **A** *ἀνακαίνισε* ps. Sym.

αὐτῶν λη' γενεῶν κατὰ τὸ ἐγχωροῦν στοιχειώδει ἐπιτομῇ σὺν θεῷ λεχθήσεται. νῦν δὲ ἐπανέλθωμεν πάλιν ἐπὶ τὴν πυργοποιίαν καὶ τὴν σύγχυσιν τῶν οβ' ἐθνῶν καὶ γλωσσῶν, αἳ συνεχύθησαν, καὶ εἴπωμεν ἃ τοῖς πολλοῖς τῶν ἱστορικῶν προείρηται, ποῖα καὶ πόσα ἔθνη ἑκάστῳ τῶν γ' υἱῶν τοῦ Νῶε ἔλαχεν ἐκ τῶν διασπαρέντων οβ' ἐθνῶν. χρὴ δὲ ἀναμνησθῆναι τῶν προ- 5 λεχθέντων ἀνωτέρω, ὅτι ἀρξάμενοι τῷ καθολικῷ ͵βψλς' ἔτει οἰκοδομεῖν τὸν πύργον, ὅπερ ἦν τῆς ζωῆς τοῦ Σὴμ φϛδ', τοῦ δὲ υἱοῦ αὐτοῦ Ἀρφαξὰδ υϛγ' καὶ τοῦ υἱοῦ τούτου Καϊνᾶν τνη' καὶ τοῦ Σαλᾶ σλ' καὶ τοῦ Ἔβερ ϛθ', ἔμειναν οἰκοδομοῦντες ἐπὶ ἔτη μ' ἕως τοῦ κοσμικοῦ ͵βψος'. ἐν τούτῳ γὰρ τῷ ἔτει διεσπάρησαν ὑπὸ τοῦ θεοῦ εἰς πᾶσαν τὴν οἰκουμένην 10 οὕτως·

85 Τῶν οβ' ἐθνῶν τῶν ἐκ τῶν διασπαρέντων ἀρχηγῶν μετονομασθέντων τὰ ὀνόματα

Ἐκ τοῦ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε ἔθνη κε' οὕτως

α' Ἀρφαξάδ, ἀφ' οὗ Χαλδαῖοι. 15

β' Ἀλάμ, ἀφ' οὗ Ἐλουμαῖοι.

γ' Ἀσούρ, ἀφ' οὗ Ασύριοι.

δ' Λούδ, ἀφ' οὗ Λυδοί.

ε' Ἀράμ, ἀφ' οὗ Σύροι.

Υἱοὶ Ἀράμ 20

ϛ' Ὦς, ἀφ' οὗ Τράχωνες.

ζ' Οὒλ, ἀφ' οὗ Μαγαρδοί.

9 *ρλη' ἔτος τοῦ Ἔβερ τοῦ δὲ Φαλὲκ ἔτος δ'*

6–9 supra 43, 13–17 || 12–p. 55, 22 cf. Gen. 10, 1–32, Iubil. 8, 21–9, 14, Ioseph. Ant. Iud. 1, 122–147. uersiones terrae diuisionis Syncelli et Chron. Pasch. 45–56 ex redactione Alexandrina deriuantur per quam duae recensiones chronici Hippolyti contaminatae sunt, quarum hodie Anon. Matr. et Exc. Barb. antiquiorem testantur, alteram traditiones Armenia et Latina libri generationis. uide Bauer, TU N. F. 14 (1906); Helm, Die Chronik des Hippolytus (1955) || 12–p. 50, 10 cf. Anon. Matr. 158–195, Exc. Barb. 9a, Lib. Gen. 103–106, Chron. Pasch. 54–56 || 14–p. 49, 6 ps. Sym. f. 24ʳ post Cedr. 25, 7

14 *ἔθνη* A *ἐγένοντο ἔθνη* ps. Sym. || 16 *ἀλὰμ* A *ἐλὰμ* ps. Sym. Anon. Matr. *αἰλὰμ* Chron. Pasch. || 18 *λυδοί* A ps. Sym. *ἀλαζονεῖς* Anon. Matr. *μαζῶνες* Chron. Pasch. || 19 *σύροι* A ps. Sym. *αἰῖται* Anon. Matr. *ἐκταί* Chron. Pasch., cf. Ioseph. Ant. Iud. 1, 144 *Ἀραμαίους δὲ Ἄραμος ἔσχεν, οὓς Ἕλληνες Σύρους προσαγορεύουσιν* || 21 *τράχωνες* A ps. Sym. *μαδιναῖοι* Chron. Pasch. || 22 *μαγαρδοί* A ps. Sym. *λυδοί* Chron. Pasch. *ὡσκαιοὺλ ὅθεν γενῶνται κολχοί* Anon. Matr. ***osceul de quo lidii*** Lib. Gen. *Οὔσης μὲν κτίζει τὴν Τραχωνῖτιν καὶ Δαμασκόν, Ἀρμένιαν δὲ Ὦτρος* Ioseph.

η′ *Γαθέρ, ἀφ' οὗ Ἀρμένιοι.*
θ′ *Μοσόχ, ἀφ' οὗ Μεσήνιοι.*

Υἱοὶ Ἀρφαξάδ

ι′ *Καϊνᾶν, ἀφ' οὗ Γασφηνοί.*
5 ια′ *Σασᾶν, ἀφ' οὗ Κοσαῖοι.*
ιβ′ *Ἑβραΐρ, ἀφ' οὗ Ἑβραῖοι.*
ιγ′ *Φαλέκ, ἀφ' οὗ Βάκτροι.*
ιδ′ *Ἑλμωδάμ, ἀφ' οὗ Ἰνδοί.*
ιε′ *Ἰεκτάν, ἀφ' οὗ Μαδιναῖοι.* 86
10 ις′ *Ἀραβώθ, ἀφ' οὗ Ἄραβες.*
ιζ′ *Ἰδουράμ, ἀφ' οὗ Καμήλιοι.*
ιη′ *Δερά, ἀφ' οὗ Μῆδοι.*
ιθ′ *Ἰεζιά, ἀφ' οὗ Ἀριανδνοί.*
κ′ *Δεκλάμ, ἀφ' οὗ Κεδρούσιοι.*
15 κα′ *Γεβήλ, ἀφ' οὗ Σκύθαι.*
κβ′ *Ἀβιμεήλ, ἀφ' οὗ Ὑρκανοί.*
κγ′ *Σαβάτ, ἀφ' οὗ Ἄραβες Ἰνδῶν.*
κδ′ *Οὐήρ, ἀφ' οὗ Οὐαρναῖοι.*
κε′ *Εὐήν, ἀφ' οὗ Γυμνοσοφισταί.*

20 *Οὗτοι πάντες ἐκ τοῦ Σὴμ κατάγονται, ὧν ἡ κατοικία ἐστὶ κατὰ μῆκος μὲν ἀπὸ Βάκτρων καὶ Ἰνδικῆς ἕως Ῥινοκουρούρων τῆς ὁριζούσης Συρίαν*

10—p. 50, **16** ps. Sym. f. 24ʳ post Cedr. 25, 7

1 *ἀρμένιοι* **A** ps. Sym. *γασφηνοί* Anon. Matr. Chron. Pasch. *Βακτριανούς* Ioseph. || **2** *μεσήνιοι* **A** *μεσηνοί* ps. Sym. *μοσυνοί* Anon. Matr. *ἀλασσηνοί* Chron. Pasch. || **4** *γασφηνοί* **A** ps. Sym. *σαμῖται* Anon. Matr. *σαρμάται* Chron. Pasch. || **5** *σασᾶν* **A** *σαλά* ps. Sym. Chron. Pasch. *σαλαθιήλ* Anon. Matr. | *κοσαίοι* **A** ps. Sym. *σαλαθιαίοι* Anon. Matr. Chron. Pasch. || **6** *ἑβραίρ* **A** *ἔβερ* ps. Sym. Anon. Matr. Chron. Pasch. || **7** *βάκτροι* **A** om. ps. Sym. *τὸ γένος τοῦ Ἀβραάμ* Anon. Matr. Chron. Pasch. || **8** *ἑλμωδάμ* **A** om. ps. Sym. *ἐλμωδάδ* Anon. Matr. Chron. Pasch. || **9** *μαδιναῖοι* **A** ps. Sym. *αἰθίοπες* Chron. Pasch. nullum populum ab Iectan descripserunt Anon. Matr., Lib. Gen., Exc. Barb. || **10** *ἀραβώθ* **A** ps. Sym. *ἀράμ* Anon. Matr. *σαρμώθ* Chron. Pasch. || **11** *καμήλιοι* **A** ps. Sym. *καρμήλιοι* Anon. Matr. *ἰάραχ ἐξ οὗ κάμπλιοι* Chron. Pasch. || **12** *δερά, ἀφ' οὗ μῆδοι* **A** ps. Sym. *σαλέφ, ὅθεν βακτριανοί* Anon. Matr. *ὀδόρρα ἐξ οὗ ἀρριανοί* Chron. Pasch. *derra de quo mardi* Lib. Gen. || **13** *ἰεζιά* **A** ps. Sym. *αἰθήλ* Anon. Matr. *αἰζήλ* Chron. Pasch. | *ἀριανδνοί* **A** ps. Sym. *ἀρειανοί* Anon. Matr. *ὑρκανοί* Chron. Pasch. || **17** *ἄραβες ἰνδῶν* **A** *ἄραβες ἰνδοί* ps. Sym. *ἀλαμοσινοί* Anon. Matr. *ἄραβες ἐσώτεροι* Chron. Pasch. || **18** *οὐήρ* **A** *οὐάρ* ps. Sym. *ἰουήρ* Anon. Matr. *οὐφείρ* Chron. Pasch. | *οὐαρναῖοι* **A** ps. Sym. *ἑρμαῖοι* Anon. Matr. *ἀρμένιοι* Chron. Pasch. Lib. Gen. Exc. Barb. || **21** *βάκτρων* Anon. Matr. *βατρῶν* **A** *βάκτροις* ps. Sym.

καὶ Αἴγυπτον καὶ τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ στόματος τοῦ κατὰ Ἀρσινόην τῆς Ἰνδικῆς, κατὰ πλάτος δὲ ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς. τὰ δὲ ὀνόματα τῶν χωρῶν ταῦτα· Περσὶς καὶ τὰ ἐν αὐτῇ ἔθνη, Βακτριανή, Ὑρκανία, Βαβυλωνία, Κοδρυαλία, Ἀσσυρία, Μεσοποταμία, 87 *εὐδαίμων Ἀραβία, κοίλη Συρία, Κομμαγηνὴ καὶ ἡ φυσικὴ Περσίς. τὰ δὲ* 5 *ἐξ αὐτῶν γενόμενα ἔθνη ταῦτα· Ἑβραῖοι, Ἰουδαῖοι, Πέρσαι, Μῆδοι, Μαγαρδοί, Πάρθοι, Γερμανοί, Ἐλυμαῖοι, Κοσαῖοι, Ἄραβες ἀρχαῖοι, Κεδρούσιοι, Σκύθαι, Γυμνοσοφισταί. οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα Ἰουδαῖοι, Πέρσαι, Μῆδοι, Χαλδαῖοι, Ἰνδοί, Ἀσσύριοι. ταῦτα τὰ κε' ἔθνη τοῦ Σὴμ σὺν ταῖς χώραις καὶ ὁρίοις αὐτῶν.* 10

Ἐκ τοῦ Χὰμ τοῦ δευτέρου υἱοῦ Νῶε ἔθνη λβ' οὕτως
Υἱοὶ Χὰμ δευτέρου υἱοῦ Νῶε

α' Χούς, ἐξ οὗ Αἰθίοπες.
β' Μεστραίμ, ἐξ οὗ Αἰγύπτιοι.
γ' Φούδ, ἐξ οὗ Τρωγλοδύται. 15
δ' Χαναάμ, ἐξ οὗ Χαναναῖοι.

Οὗτοι ἔφυγον ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραὴλ καὶ κατῴκησαν Τρίπολιν τῆς Ἀφρικῆς, ὡς οὖσαν ἐν τῷ κλήρῳ τοῦ Χάμ.

Υἱοὶ Χοὺς τοῦ Αἰθίοπος τοῦ πρώτου υἱοῦ Χάμ

ε' Σαβάτ, ἐξ οὗ Σαβάτ. 20
ϛ' Εὐιλάτ, ἐξ οὗ Γαγγινοί.
ζ' Σεβατά, ἐξ οὗ Σαβῖνοι.

11 – p. 53, 11 cf. Anon. Matr. 92 – 157, Exc. Barb. 6b – 8b, Lib. Gen. 99 – 103, Chron. Pasch. 49 – 53 || 19 – p. 53, 11 ps. Sym. f. 24v post Cedr. 25, 7

2 *κατὰ πλάτος . . . Ἰνδικῆς* om. per homoeoteleuton ps. Sym. alibi Anon. Matr. | *πλάτος δὲ* Di. *πλάτος μὲν* A || 4 *κοδρυαλία* A ps. Sym. *κορδυλία* Anon. Matr. *κορδυαία* Chron. Pasch. || 5 *ἡ φυσικὴ περσίς* A om. ps. Sym. *ἡ φοινίκη ἥπερ ἐστὶ τῶν υἱῶν τοῦ σήμ* Anon. Matr. || 7 *κοσαῖοι* A ps. Sym. *κοσσαῖοι* Anon. Matr. Chron. Pasch. | *ἄραβες ἀρχαῖοι κεδρούσιοι* A ps. Sym., similiter Chron. Pasch. Lib. Gen. Exc. Barb. *ἄραβες οἱ πρῶτοι οἱ καλούμενοι κεδρούσιοι* Anon. Matr. || 16 *χαναάμ* A *χαναάν* ps. Sym. Chron. Pasch. *χανάν* Anon. Matr. | *χαναναῖοι* A ps. Sym. et Hippolyt. fr. 2a Frick *ἄφροι καὶ φοίνικες* uel sim. Anon. Matr. Chron. Pasch. Lib. Gen. Exc. Barb. || 17 – 18 additamentum Syncelli uel fontis eius, cf. Iubil. 9, 1 || 20 – p. 51, 2 gentes desunt apud Anon. Matr. Lib. Gen. Exc. Barb. || 20 *ἐξ οὗ σαβάτ* A *ἀφ' οὗ σαβά* ps. Sym. *ἐξ οὗ ἰταβηνοί* Chron. Pasch. || 21 *γαγγινοί* A ps. Sym. *ἰχθυοφάγοι* Chron. Pasch. || 22 *σεβατά, ἐξ οὗ σαβῖνοι* A ps. Sym. *σαβαθά, ἐξ οὗ ἐλλανοί* Chron. Pasch.

η' Ῥεγμά, ἐξ οὗ Ἰχθυοφάγοι.
*θ' Σεβακαθά, ἐξ οὗ ⟨***⟩*

Υἱοὶ Ῥεγμά

ι' Σαβά, ἐξ οὗ Μαρμαρῖται.
5 *ια' Ἰουδαδάν, ἐξ οὗ Φοίνικες.*
ιβ' Νεβρώδ, ἐξ οὗ γίγαντες.
*ιγ' Λουδιείδ, ἐξ οὗ ⟨***⟩*
*ιδ' Νεμεστιείμ, ἐξ ὧν ⟨***⟩*
*ιε' Λαβιείμ, ἐξ ὧν ⟨***⟩*
10 *ιϛ' Νεφθαβιείμ, ἐξ ὧν ⟨***⟩*
*ιζ' Πατροσονιείμ, ἐξ ὧν ⟨***⟩*
*ιη' Χασλονιείμ, ἐξ ὧν ⟨***⟩*
*ιθ' Φυλιστιείμ, ἐξ ὧν ⟨***⟩*
*κ' Καφθονιείμ, ἐξ ὧν ⟨***⟩*

15 Υἱοὶ Χαναάν, ὧν πρωτότοκος Σιδών

κα' Σιδών, ἐξ οὗ Σιδώνιοι.
*κβ' Χατταῖος, ἐξ οὗ ⟨***⟩*
κγ' Ἰεβουσαῖος, ἐξ οὗ Ἰεβουσαῖοι.

1 *ἰχθυοφάγοι* A ps. Sym. *αἰγύπτιοι* Chron. Pasch. || 2 *σαβακαθά, ἐξ οὗ αἰθίοπες λίβυες* Chron. Pasch. || 4 *σαβά* A ps. Sym. Chron. Pasch. *σάβατον* Anon. Matr. | *μαρμαρῖται* A ps. Sym. *μαρμαρῖδες* Chron. Pasch. deest in Anon. Matr. || 5 *ἰουδαδάν* A ps. Sym. Lib. Gen. *ἰουδάδ* Anon. Matr. *iudadad* Exc. Barb. *δαδάν* Chron. Pasch. | *φοίνικες* A ps. Sym. *κάροι* Chron. Pasch. deest in Anon. Matr. || 6 *νεβρώδ, ἐξ οὗ γίγαντες* A *χοῦς δε ἐγέννησε τὸν νεβρώδ, ἐξ οὗ οἱ γίγαντες* ps. Sym. *καὶ νεβρὼδ ὁ γίγας ὁ αἰθίοψ* Anon. Matr. *et chus genuit nebruth gigantem* Lib. Gen. et sim. Exc. Barb., copiosius de Nebrod disseruit Chron. Pasch. || 7 *λουδιείμ, ἐξ οὗ λυδοί* Chron. Pasch. *λυδιείμ, ἐξ οὗ ἐγένοντο λύδιοι* post Mestraim in Anon. Matr., sim. Lib. Gen. Exc. Barb. || 8 *νεμεστιείμ, ἐξ ὧν* A ps. Sym. *αἰνεμετιείμ, ἐξ οὗ πάμφυλοι* Chron. Pasch. *μεστραείμ ἐγέννησε τοὺς λυδιείμ* Anon. Matr. || 9 *λαβιείμ, ἐξ ὧν* A om. ps. Sym. *λαβιείμ, ἐξ οὗ λίβυες* Anon. Matr. Chron. Pasch. Lib. Gen. Exc. Barb. || 10 *νεφθαβιείμ, ἐξ ὧν* A ps. Sym. *νεφθαλιείμ, ἐξ οὗ φρύγες* Chron. Pasch. *νεφθαλείμ, ἐξ οὗ φυγάδες* Anon. Matr. || 11 om. ps. Sym. *ἐξ οὗ κρῆτες* Chron. Pasch. Lib. Gen. *ἐξ οὗ λύκιοι* Anon. Matr. Exc. Barb. || 12 *χασλωνιείμ, ἐξ οὗ λύκιοι* Chron. Pasch. Lib. Gen. om. Anon. Matr. Exc. Barb. || 13 *ἐξ οὗ φοίνικες* Anon. Matr. *ἐξ οὗ μαριανδυνοί* Chron. Pasch. om. Lib. Gen. Exc. Barb. || 14 *καφθονιείμ* A *καφθριείμ* ps. Sym. *καφθοριείμ* Anon. Matr. Chron. Pasch. | *ἐξ οὗ κίλικες* Anon. Matr. Chron. Pasch. || 16 *σιδώνιοι* A ps. Sym. Lib. Gen. *μυσοί* Chron. Pasch. om. Anon. Matr. Exc. Barb. || 17 *χατταῖος ἐξ οὗ* A *χετταῖος ἐξ οὗ χετταῖοι* ps. Sym. *χετταῖον ἐξ οὗ δάρδανοι* Chron. Pasch. *χετταῖον* sine gente Anon. Matr. Lib. Gen. Exc. Barb. || 18 om. Anon. Matr. Exc. Barb. sine gente Lib. Gen.

κδ' Ἀμορραῖος, ἐξ οὗ Ἀμορραῖοι.
κε' Γεργεσαῖος, ἐξ οὗ Γεργεσαῖοι.
κς' Εὐαῖος, ἐξ οὗ Εὐαῖοι.
89 κζ' Ἀρουκαῖος, ἐξ οὗ ⟨***⟩
κη' Ἀσενναῖος, ἐξ οὗ ⟨***⟩ 5
κθ' Ἀράδιος, ἐξ οὗ Ἀράδιοι.
λ' Σαμαραῖος, ἐξ οὗ Ὀρθωσιασταί.
λα' Ἀμαθεῖς, ἐξ οὗ Ἀμαθούσιοι.

οἱ πάντες σὺν τῷ Χὰμ λβ'.

Τούτων δὲ ἡ κατοικία ἀπὸ Ῥινοκουρούρων ἕως Γαδείρων τὰ πρὸς νότον· τὰ δὲ ἐξ αὐτῶν γεννηθέντα ἔθνη Αἰθίοπες, Τρωγλοδύται, Ἀγγαῖοι, Γαγγινοί, Σαβῖνοι, Ἰχθυοφάγοι, Ἐλαϊνοί, Αἰγύπτιοι, Φοίνικες, Λίβυες, Μαρμαρῖται, Κᾶρες, Ψυλλῖται, Μυσοί, Μοσύλλιοι, Φρύγες, Μάκωνες, Βιθυνοί, Νομάδες, Λύκιοι, Μαριανδηνοί, Πάμφυλοι, Μοσσυνοί, Πισσυνοί, Αἰγαλαῖοι, Κίλικες, Μαυρούσιοι, Κρῆται, Μαγάρται, Νούμιδες, Μάκωνες καὶ Νασαμῶνες. 10 15

Οὗτοι διακρατοῦσιν ἀπὸ Αἰγύπτου ἕως τοῦ δυτικοῦ πρὸς λίβα καὶ νότον Ὠκεανοῦ. οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα Φοίνικες, Αἰγύπτιοι, Πάμφυλοι, Φρύγες. αἱ δὲ χῶραι αὐτῶν Αἴγυπτος, Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδοὺς πρὸς εὐρόνοτον, ἄλλη Αἰθιοπία πρὸς νότον, ὅθεν ἐκπορεύεται ὁ Νεῖλος ποταμός, ἐρυθρὰ ἡ βλέπουσα κατὰ ἀνατολάς, Θηβαΐς, Λιβύη ἡ 20
90 παρεκτείνουσα μέχρι Κορκυρίνης, Μαρμαρὶς καὶ τὰ περὶ αὐτὴν πάντα, Σύρτις ἔχουσα ἔθνη τρία, Νασαμῶνας, Μάκας, Ταυταμαίους. Λιβύη ἀπὸ Λέπτεως παρεκτείνουσα μέχρι μικρᾶς Σύρτεως, Νουμιδία, Μασσου-

1 *ἐξ οὗ γέρμανοι* Chron. Pasch. sine gente Anon. Matr. Lib. Gen. Exc. Barb. || 2 *ἐξ οὗ σαρμάται* Chron. Pasch. sine gente Anon. Matr. Lib. Gen. Exc. Barb. || 3 *ἐξ οὗ παννώνιοι* Chron. Pasch. *ex quo tripolitae* Lib. Gen. sine gente Anon. Matr. Exc. Barb. || 4 *ἐξ οὗ τριπολῖται* Anon. Matr. Exc. Barb. *ἐξ οὗ παίονες* Chron. Pasch. sine gente Lib. Gen. || 5 *ἐξ οὗ ὀρθωσιασταί* Anon. Matr. Exc. Barb. *ἐξ οὗ δελμάται* Chron. Pasch. sine gente Lib. Gen. || 6 *ἐξ οὗ ῥωμαῖοι οἱ καὶ κιτιαῖοι* Chron. Pasch., ceteris cum Syncello consentientibus || 7 *ὀρθωσιασταί* **A** ps. Sym. *σαμαρεῖται* Anon. Matr. *λίγυρες* Chron. Pasch. *samaritae* Lib. Gen. sine gente Exc. Barb. || 8 *ἀμαθεῖς* **A** ps. Sym. *ἀματθῆ* Anon. Matr. *ἀβαθή* Chron. Pasch. *amathi* Lib. Gen. Exc. Barb. || 11–19 om. Chron. Pasch. || 12 *γαγγινοί, σαβῖνοι* **A** ps. Sym. *ταγηνοί, ἰσακηνοί* Anon. Matr. *aggageni, isabini* Lib. Gen. *gagarini, isabini* Exc. Barb. | *ἐλαινοί* **A** ps. Sym. *ἐλλανικοί* Anon. Matr. *uelanni* Lib. Gen. *ellaini* Exc. Barb. || 13 *φρύγες* **A** ps. Sym. Lib. Gen. *φυγάδες* Anon. Matr. Exc. Barb. || 14 *πισσυνοί* **A** *πισηνοί* ps. Sym. *πισιδηνοί* Anon. Matr. Lib. Gen. Exc. Barb. || 15 *αἰγαλαῖοι* **A** *αὐγελέοι* ps. Sym. *αὐγαλαῖοι* Anon. Matr. | *μάκωνες* **A** om. ps. Sym. Anon. Matr. *macrones* Lib. Gen. *macarii* Exc. Barb. || 24 *λέπτεως* Chron. Pasch. *λεπταῖος* **A** ps. Sym. *a lepti* Lib. Gen. om. Anon. Matr. Exc. Barb. | *Νουμιδία* Go.[m] *νουμηδία* **A** *νουμηδεία* ps. Sym. *νουμίδα* Anon. Matr. *numidia* Lib. Gen. *numeda* Exc. Barb. om. Chron. Pasch.

*ρίς, Μαυριτανία ἡ καὶ Ἀφρική, παρεκτείνουσα μέχρι Ἡρακλεωτικῶν στη-
λῶν κατέναντι Γαδείρων. ἔχει δὲ ἐν τοῖς κατὰ βορρᾶν τὰ πρὸς θάλασσαν
Κιλικίαν, Παμφυλίαν, Πισσιδίαν, Μυσίαν, Λυκαονίαν, Φρυγίαν, Καββαλ-
λίαν, Λυκίαν, Λυδίαν, Καρίαν, Τρωάδα, Αἰολίαν, Βιθυνίαν, τὴν ἀρχαίαν
5 Φρυγίαν. ἔχει δὲ νήσους ἐπισήμους τρεῖς Σαρδώ, Κρήτην, Κύπρον, ἐπι-
κοίνους δὲ Κόρσουλαν, Λαμπαδοῦσαν, Γαῦδον, Μελίτην, Κουροῦναν, Μῆ-
νιν, Γαλάτην, Γορσύνην, Κρήτην, Γαυλορίδην, Θήραν, Κάρπαθον, Ἀστυ-
πάλαιαν, Χίον, Λέσβον, Τένεδον, Ἴμβρον, Θάσον, Σάμον, Κνίδον, Κῶον,
Νίσυρον· ποταμὸν δὲ Γηὼν τὸν καὶ Νεῖλον, ὃς καὶ κυκλοῖ Αἴγυπτον καὶ
10 Αἰθιοπίαν. καὶ διορίζει μεταξὺ τοῦ Χὰμ καὶ Ἰάφεθ τὸ στόμα τῆς ἑσπε-
ρίας θαλάσσης τὰ ἐπίκοινα τοῦ Χὰμ καὶ τοῦ Ἰάφεθ.*

Ἐκ τοῦ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε ἔθνη δεκαπέντε οὕτως **91**
Υἱοὶ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε ἔθνη δεκαπέντε οὕτως

α´ Γάμερ, ἐξ οὗ Καππάδοκες.
15 *β´ Μαγώγ, ἐξ οὗ Κέλτοι οἱ καὶ Γαλάται.*
γ´ Μαδαί, ἐξ οὗ Μῆδοι.
δ´ Ἰωνάν, ἐξ οὗ Ἕλληνες οἱ καὶ Ἴωνες.
ε´ Θωβέλ, ἐξ οὗ Θετταλοί.
ς´ Μοσόχ, ἐξ οὗ Ἰλλυριοί.
20 *ζ´ Θηράς, ἐξ οὗ Θρᾶκες.*
η´ Χετταείμ, ἐξ οὗ Μακεδόνες.

12 *Σχολ. Ἰάφεθ*

12 – p. 55, 22 cf. Anon. Matr. 56 – 91, Exc. Barb. 4b – 6b, Lib. Gen. 96 – 99, Chron. Pasch. 45 – 49 || 12 – p. 55, 8 ps. Sym. f. 25r post Cedr. 25, 7

3 *μυσίαν* Anon. Matr. Chron. Pasch. Lib. Gen. Exc. Barb. *μυδίαν* A *μηδείαν* ps. Sym. | *λυκαονίαν* A ps. Sym. Lib. Gen. *λυγδονίαν* Chron. Pasch. Exc. Barb. *μυγδονίαν* Anon. Matr. || 5 *σαρδώ* A ps. Sym. *σαρδάνιαν* Chron. Pasch. tres insulas om. cett. || 6 *λαμπαδοῦσαν* Chron. Pasch. *λιμπαδοῦσαν* A *λοπαδούσης* ps. Sym. *λαπάδουσα* Anon. Matr. *lupadusa* Lib. Gen. *lapanduoa* Exc. Barb. | *γαῦδον* A ps. Sym. Chron. Pasch. *γαῦλος* Anon. Matr. *gaudius* Lib. Gen. *gaula* Exc. Barb. | *κουροῦναν* A *κουρούνης* ps. Sym. *κέρκινα* Anon. Matr. Chron. Pasch. Lib. Gen. Exc. Barb. | *μῆνιν* ps. Sym. *μίνην* A *μηνίς* Anon. Matr. *μῆνιξ* Chron. Pasch. *menis* Lib. Gen. *minna* Exc. Barb. || 7 *γορσύνην* ps. Sym. *γορσύναν* A *γορσύνη* Anon. Matr. *γόρσυνα* Chron. Pasch. | *κάρπαθον* A ps. Sym. Chron. Pasch. *καρίαθος* uel sim. cett. || 8 *τένεδον* ps. Sym. *τέννεδον* A | *θάσον* ps. Sym. *θᾶσσον* A *ἴασον* uel sim. cett. | *Κνίδον* Go. *κνίδων* A *κνήδον* ps. Sym. | *κῶον* ps. Sym. *κώων* A || 9 *νίσυρον* ps. Sym. *νήσουρον* A | *γηών* ps. Sym. *γείων* A || 11 *τὰ . . . Ἰάφεθ* om. ps. Sym. || 17 *ἰωνάν* Anon. Matr. *ἰωνάμ* A *ἰωννάν* ps. Sym. || 21 *χετταείμ* A *χετταΐ* ps. Sym. *χαταίν* Anon. Matr. om. Chron. Pasch.

Οἱ υἱοὶ Γάμερ τοῦ υἱοῦ Ἰάφεθ

θʹ Ἀσχανάζ, ἐξ οὗ Ῥηγῖνες.
ιʹ Ῥιχάθ, ἐξ οὗ Σαυρομάται.
ιαʹ Θοργαμά, ἐξ οὗ Ἀρμένιοι.

Οἱ υἱοὶ Ἰωυάν 5

ιβʹ Ἐλισσά, ἐξ οὗ Σικελοί.
ιγʹ Θαρσεῖς, ἐξ οὗ Ἴβηρες.
92 *ιδʹ Κίτιοι, ἐξ οὗ Λατῖνοι οἱ καὶ Ῥωμαῖοι.*
ιεʹ Ῥόδιος, ἐξ οὗ Ῥόδιοι.

Ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν, ἕκαστος 10 *κατὰ γλῶσσαν αὐτῶν, ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν, ὥς φησιν ἡ γραφή. ὁμοῦ ἔθνη οβʹ.*

Εἰσὶ δὲ καὶ οἱ Κύπριοι ἐκ τῶν Κιτιαίων καὶ οἱ ἐν τῷ βορρᾷ ὁμόφυλοι τῶν αὐτῶν Κιτιαίων, εἴτ᾿ οὖν Ῥωμαῖοι, καὶ τὰ ἔθνη τῆς Ἑλλάδος, πλὴν τῶν μετοικησάντων ὕστερον ἐκεῖ Σαϊτῶν καὶ κατοικησάντων τὴν τῆς 15 *Ἑλλάδος μητρόπολιν Ἀθήνας καὶ τὰς Θήβας. Σιδωνίων γὰρ οὗτοι ἄποικοι ἐκ Κάδμου τοῦ Ἀγήνορος. οἱ δὲ Χαλδαῖοι Τυρίων εἰσὶν ἄποικοι καὶ εἴ τινες ἄλλοι εἰς Ἑλλάδα μετῴκησαν. τὰ δὲ τοῦ Ἰάφεθ ἔθνη ἀπὸ Μηδείας ἕως τοῦ ἑσπερίου Ὠκεανοῦ κατέσπαρται βλέποντα πρὸς βορρᾶν οὕτως· Μῆδοι, Ἀλβανοί, Γαργανοί, Ἐρραῖοι, Ἀρμένιοι, Ἀμαζόνες, Κολλοί, Κορ-* 20 *ζηνοί, Δενναγινοί, Καππάδοκες, Παφλαγόνες, Ταβίεννοι, Χάλυβες, Σαρμάται, Θρᾷκες, Μοσσονοί, Βαστρανοί, Σαυρομάται, Ἰλλυριοί, Μαιῶται,*

2 *ἀσχανάζ* A *ἰχανάζ* ps. Sym. *ἀσχανάθ* Anon. Matr. Chron. Pasch. | *ἐξ οὗ ῥηγῖνες* A *ἐξ οὗ ῥιγῆνες* ps. Sym. *ἐξ οὗ μάζικες* Chron. Pasch. *ἐξ οὗ σαρμάται* Anon. Matr. Lib. Gen. Exc. Barb. || 3 *ῥιχάθ, ἐξ οὗ σαυρομάται* A *ῥιχώθ, ἐξ οὗ σαυρομάτες* ps. Sym. *ῥιφάθ, ἐξ οὗ ταράμαντες* Chron. Pasch. *ἐρισφάν, ἀφ᾿ οὗ οἱ ῥόδιοι* Anon. Matr. *rifan de quo sauromatae* Lib. Gen. *erisfan a quo rodii* Exc. Barb. || 4 *ἀρμένιοι* etiam Anon. Matr. Lib. Gen. Exc. Barb. *βοράδες* Chron. Pasch. || 6–7 *ἔρκα, ἐξ οὗ βελτίονες· θαρσεῖς, ἐξ οὗ ταράμαντες* Chron. Pasch., ceteris cum Syncello consentientibus || 8–9 ex Citiis Romani deriuantur apud Anon. Matr. et Exc. Barb., Rhodiis omissis, ex Rhodiis Romani apud Chron. Pasch., Citiis omissis. cum Syncello consentit Lib. Gen. sine nomine Rhodii genitoris || 10–12 *ἐν . . . γραφή* add. Syncellus et ps. Sym. ex Gen. 10, 5 || 14 *εἴτ᾿ οὖν Ῥωμαῖοι*] *ἤτουν ῥωμαίων* A *ἤτουν ῥωμαῖοι* ps. Sym. om. cett. || 17 *χαλδαῖοι τυρίων* A ps. Sym. *χαλκηδόνιοι τυρρηνίων* Anon. Matr. *καρχηδόνιοι τυρηννίων* Chron. Pasch. *charcedonis tyrorum* Lib. Gen. *chalcedonii tyranni* Exc. Barb. || 17.18 *εἴ τινες* ps. Sym. *οἵ τινες* A || 20 *κῶλοι* ps. Sym. Anon. Matr. Chron. Pasch. *κολλοί* A || 21 *ταβίεννοι* A *ταβιαινοί* ps. Sym. *ταβαρηνοί* Anon. Matr. Chron. Pasch. || 22 *μοσσονοί* A om. ps. Sym. *μοσσύνοικοι* Anon. Matr. Chron. Pasch.

*Σκύθαι, Ταῦροι, Μακεδόνες, Ἕλληνες, Ἴστριοι, Δαυνεῖς, Οὐεννοί, Ἰάπυ-
γες, Καλαβροί, Ὀπικοί, Λατῖνοι καὶ Ῥωμαῖοι, Γάλλοι οἱ καὶ Κελταῖοι,
Λυγιστῖνοι, Κελτίβηρες, Ἴβηρες, Γάλλοι, Ἀκυτιανοί, Ἰλλυρικοί, Βάσαν-* 93
τες, Κυρτανοί, Λυσιτανοί, Οὐακκαῖοι, Βρεττανικοί, οἱ δὲ ἐν ταῖς νήσοις
5 *οἰκοῦντες. ἐξ αὐτῶν εἰδότες γράμματά εἰσιν οὗτοι· Ἴβηρες, Λατῖνοι οἱ καὶ
Ῥωμαῖοι, Ἰσπάνοι, Ἕλληνες, Μῆδοι, Ἀρμένιοι. ἔστι δὲ κατὰ μῆκος τὰ
ὅρια αὐτῶν ἀπὸ Μηδείας ἕως δυτικοῦ Ὠκεανοῦ τὰ πρὸς βορρᾶν· εὖρος δὲ
ἀπὸ Τανάιδος ποταμοῦ ἕως Μαστουσίας τῆς κατὰ ἥλιον.*

Αἱ χῶραι δὲ αὐτῶν Μηδεία, Ἀλβανία, Ἀρμενία μικρὰ καὶ μεγάλη,
10 *Ἀμαζονίς, Παφλαγονία, Καππαδοκία, Γαλατία, Κολχίς, Βοσπορινή,
Μαιῶτις, Δερρίς, Σαρματία, Ταυριανή, Βαστρανή, Σκυθία, Θρᾴκη, Μα-
κεδονία, Ἑλλάς, Θεσσαλία, Βοιωτίς, Λοκρία, Αἰτωλία, Ἀχαΐα, Πελο-
πόννησος, Ἀκαρνία, Ἠπειρῶτις, Ἰλλυρίς, Λυχνῖτις, Ἀδριακή, ἀφ' ἧς τὸ
Ἀδριακὸν πέλαγος ἐκλήθη, Καλαβρία, Ἰταλία, Γαλλία, Θουσκινή, Λυ-*
15 *σιτανία, Κελτική, Μεσσαλία, Κελτογαλλία, Σπανογαλλία, Ἰβηρία, Ἱσπα-
νία ἡ μεγάλη. ἐνταῦθα καταλήγει τὰ ὅρια τοῦ Ἰάφεθ ἕως Βρεττανικῶν
νήσων τὰ πρὸς βορρᾶν βλέποντα. ἔχει δὲ νήσους Βρεττανίαν, Σικελίαν,
Εὔβοιαν, Ῥόδον, Χίον, Λέσβον, Κύθηραν, Ζάκυνθον, Κεφαλληνίαν, Ἰθά-
κην καὶ τὰς Κυκλάδας, καὶ μέρος τι τῆς Ἀσίας τὴν Ἰωνίαν καλουμένην·*
20 *ποταμὸν δὲ Τίγριν διορίζοντα μεταξὺ Μηδίας καὶ Βαβυλωνίας. ἐν τούτοις
οὖν πληροῦται τὰ τοῦ Ἰάφεθ ὅρια διὰ τὸ εἰρηκέναι τὴν γραφήν· 'πλατύναι ὁ* 94
*θεὸς τῷ Ἰάφεθ πλεῖστα ὄντα.' τὴν πᾶσαν γὰρ Εὐρώπην καὶ μέρος οὐ μι-
κρὸν τῆς μεγάλης Ἀσίας ἀπηνέγκατο· διὸ καὶ εἴρηται 'καὶ κατασκηνώσει
ἐν τοῖς σκηνώμασι τοῦ Σήμ.' οὐ μόνον δέ, ἀλλὰ καὶ κατὰ ἀναγωγικὸν τρό-*
25 *πον, ὅτι πᾶσα ἡ μερὶς τοῦ Ἰάφεθ σχεδὸν τῷ βαπτίσματι καὶ τῇ εἰς Χριστὸν
τὸν ἀληθινὸν θεὸν ἡμῶν πίστει προσετέθη, ἅτινά ἐστι σκηνώματα τοῦ
Σήμ, ἐπεὶ καὶ ἐξ αὐτοῦ καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ οἱ πατριάρχαι,
ἐξ ὧν καὶ αἱ λοιπαὶ γενεαρχίαι ἕως Χριστοῦ ἡγουμένου σαφῶς γενεαλο-*

9 – p. 56, **6** ps. Sym. f. 25v = Cedr. 25, 8 – 26, 14 ‖ **22** Gen. 9, 27

3 *λυγιστῖνοι* ps. Sym. *λογιστινοί* A | *ἀκυτιανοί* ps. Sym. *ἀκοιτιανοί* A *κουατινοί* Anon. Matr. *ἀκύτινοι* Chron. Pasch. *aquitanii* Lib. Gen. Exc. Barb. ‖ **4** *οὐακκαῖοι* Anon. Matr. Chron. Pasch. *οὐὰκ καὶ οἱ* A *οὐ ἰάκες καὶ οἱ* ps. Sym. ‖ **6** *ἰσπάνοι* ps. Sym. Lib. Gen. *σπάνοι* A Anon. Matr. Chron. Pasch. Exc. Barb. ‖ **7** *δυτικοῦ ὠκεανοῦ* A ps. Sym. *γαδείρων* cett. ‖ **8** *τανάιδος* A ps. Sym. *ποταμίδος* cett. ‖ **10** *Ἀμαζονίς* Scal. *ἀμαζωνὶς* A *ἀμαζονῆς* ps. Sym. ‖ **11** *βαστρανή* A *βαστριάνη* ps. Sym. *βασταρνίς* Anon. Matr. Chron. Pasch. ‖ **12** *ἑλλάς* A ps. Sym. *μολχίς* Anon. Matr. *κολχίς* Chron. Pasch. recte *Μολοσσίς* | *θεσσαλία* ps. Sym. *θεσσάλη* A | *ἀχαία* ps. Sym. *ἀχέα* A ‖ **13** *ἀκαρνία* pro *ἀκαρνανία* omnes ‖ **15** *ἱσπανία* ps. Sym. Lib. Gen. *σπανία* A Anon. Matr. Chron. Pasch. Exc. Barb. ‖ **18** *κύθηραν* ps. Sym. *κύθειραν* A ‖ **19** *κυκλάδας* ps. Sym. *κυκλάδους* A ‖ **26** *τὸν . . . ἡμῶν* om. ps. Sym. ‖ **26.27** *τοῦ Σήμ* ps. Sym. *τοῦ ἰσραήλ* A ‖ **28** *καὶ* ps. Sym. om. A

γοῦνται. τοῦ δὲ Χὰμ πλεῖστα μέχρι καὶ νῦν ἔθνη ἐστὶν ἐν ἀποστασίᾳ κατά τε τὰς Ἰνδίας καὶ Αἰθιοπίας καὶ Μαυριτανίας, ἐν οἷς Ἀραβίαι καὶ Ἰδουμαῖαι κατὰ θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ θρασύνονται τῇ τοῦ Χὰμ καὶ Χαναὰν κατάρᾳ καθυποβεβλημένοι. διὸ καὶ παῖδα οἰκέτην τὸν Χὰμ τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ ἡ γραφὴ ἀπεφήνατο, διὰ τοῦ Χαναὰν τοῦ υἱοῦ αὐτοῦ καὶ 5 *αὐτὸν σημαίνουσα.*

Οὕτως οὖν ὑπὸ τοῦ Νῶε τῆς ὅλης οἰκουμένης διαμερισθείσης θείῳ προστάγματι, ὡς προδεδήλωται, τῷ ͵βφοβʹ ἔτει τοῦ κόσμου, ϡλʹ δὲ τῆς τοῦ δικαίου Νῶε ζωῆς πρὸ σδʹ ἐτῶν τῆς κατὰ τὴν πυργοποιίαν διασπορᾶς, 95 *τοῖς τρισὶν αὐτοῦ υἱοῖς, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐν τῇ συγχύσει διασπαρὲν κατεκληρώσαντο αἱ οβʹ φυλαί τε καὶ γλῶσσαι, εἰ καὶ μετὰ ταῦτα* 10 *κατά τινας καιροὺς ἀπῳκίσθησαν ἄλλοι ἀλλαχοῦ πολέμοις καὶ αἰχμαλωσίαις καὶ ταῖς κατ᾽ ἀλλήλων πλεονεξίαις καὶ τυραννίσιν ἀλόγως χρησάμενοι· περὶ ὧν ἐντυγχάνων τις ταῖς θεοπνεύστοις πρῶτον γραφαῖς, ἔπειτα δὲ καὶ ταῖς Ἰουδαϊκαῖς καὶ Ἑλληνικαῖς καὶ Αἰγυπτιακαῖς ἢ Χαλδαϊκαῖς* 15 *ἱστορίαις εἴσεται, εἰ καὶ μὴ ἐν πᾶσι χρὴ ταῖς τῶν ἀλλοπίστων συγγραφαῖς ἕπεσθαι, μάλιστα δὲ ἐν οἷς περὶ πολυθεΐας καὶ ἀπείρων ἐτῶν γένεσιν κόσμου εἰσάγουσι. φέρεται γὰρ παρ᾽ Αἰγυπτίοις παλαιόν τι χρονογραφεῖον, ἐξ οὗ καὶ τὸν Μανεθῶ πεπλανῆσθαι νομίζω, περιέχον λʹ δυναστειῶν ἐν γενεαῖς πάλιν ριγʹ χρόνον ἄπειρον, καὶ οὐ τὸν αὐτὸν τὸν Μανεθῶ ἐν μυ-* 20 *ριάσι τρισὶ καὶ ͵σφκεʹ, πρῶτον μὲν τῶν Αὐριτῶν, δεύτερον δὲ τῶν Μεστραίων, τρίτον δὲ Αἰγυπτίων, οὕτω πως ἐπὶ λέξεως ἔχον.*

Θεῶν βασιλεία κατὰ τὸ παλαιὸν χρονικόν

Ἡφαίστου χρόνος οὐκ ἔστι διὰ τὸ νυκτὸς καὶ ἡμέρας αὐτὸν φαίνειν. Ἥλιος Ἡφαίστου ἐβασίλευσεν ἐτῶν μυριάδας γʹ. ἔπειτα Κρόνος, φησί, 25 96 *καὶ οἱ λοιποὶ πάντες θεοὶ ιβʹ ἐβασίλευσαν ἔτη ͵γϡπδʹ. ἔπειτα ἡμίθεοι βασιλεῖς ηʹ ἔτη σιζʹ καὶ μετ᾽ αὐτοὺς γενεαὶ ιεʹ Κυνικοῦ κύκλου ἀνεγράφησαν ἐν ἔτεσι υμγʹ. εἶτα Τανιτῶν ιςʹ δυναστεία, γενεῶν ηʹ, ἐτῶν ρςʹ.*

3 *ὅτι οἱ τοῦ Χὰμ ὅλοι ἐπικατάρατοι οἱ πλείους καὶ ἄπιστοι*

4 Gen. 9, 26 || 8 supra (46, 21) || 18 – p. 58, 19 Vetus Chronicon FGrHist 610 F 2; cf. Gelzer 2, 215

[AB 56, 21 – 70, 17] 5 – 6 *διὰ . . . σημαίνουσα* om. ps. Sym. || 9 *σδʹ*] *υδʹ* A || 10 *διασπαρὲν* A *διασπαρεῖσαι* Go.[m] || 12 *ἀπῳκίσθησαν* Go.[m] *ἀποικίσθησαν* A || 16 *εἴσεται* Di. *ἴσεται* A || 20 *χρόνον ἄπειρον* Go.[m] *χρόνων ἀπείρων* A | *καὶ . . . Μανεθῶ* secl. Go.[m] *καὶ . . . ὃν Μανεθῶ* Boeckh *καὶ . . . τοῦ Μανεθῶ* Hopfner || 21 *-άσι τρισὶ* incipit B | *Ἀεριτῶν* Plath. Jac. || 22 *λέξεως ἔχον* B *λέξεων ἔχων* A || 24 *αὐτὸν* A *αὐτῶν* B || 28 *ἐν* A om. B

πρὸς οἷς ιζʹ δυναστεία Μεμφιτῶν, γενεῶν δʹ, ἐτῶν ϱγʹ· μεθʼ οὓς ιηʹ δυναστεία Μεμφιτῶν, γενεῶν ιδʹ, ἐτῶν τμηʹ· ἔπειτα ιθʹ δυναστεία Διοσπολιτῶν, γενεῶν εʹ, ἐτῶν ϱςδʹ. εἶτα κʹ δυναστεία Διοσπολιτῶν, γενεῶν ηʹ, ἐτῶν σκηʹ. ἔπειτα καʹ δυναστεία Τανιτῶν, γενεῶν ςʹ, ἐτῶν ϱκαʹ. εἶτα κβʹ
5 *δυναστεία Τανιτῶν, γενεῶν γʹ, ἐτῶν μηʹ· ἔπειτα κγʹ δυναστεία Διοσπολιτῶν, γενεῶν βʹ, ἐτῶν ιθʹ. εἶτα κδʹ δυναστεία Σαϊτῶν, γενεῶν γʹ, ἐτῶν μδʹ. πρὸς οἷς κεʹ δυναστεία Αἰθιόπων, γενεῶν γʹ, ἐτῶν μδʹ. μεθʼ οὓς κςʹ δυναστεία Μεμφιτῶν, γενεῶν ζʹ, ἐτῶν ϱοζʹ. καὶ μετʼ αὐτὰς κζʹ δυναστεία Περσῶν εʹ, ἐτῶν ϱκδʹ. ἔπειτα κθʹ δυναστεία Τανιτῶν, γενεῶν ⟨*⟩ ἐτῶν*
10 *λθʹ. καὶ ἐπὶ πάσαις λʹ δυναστεία Τανίτου ἑνός, ἔτη ιηʹ. τὰ πάντα ὁμοῦ τῶν λʹ δυναστειῶν ἔτη Μγʹ καὶ ͵ςφκεʹ.*

Ταῦτα ἀναλυόμενα, εἴτουν μεριζόμενα παρὰ τὰ ͵αυξαʹ ἔτη εἴκοσι πεντάκις, τὴν παρʼ Αἰγυπτίοις καὶ Ἕλλησιν ἀποκατάστασιν τοῦ ζῳδιακοῦ μυθολογουμένην δηλοῖ, τουτʼ ἔστι τὴν ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ
15 *σημεῖον, ὅ ἐστι πρῶτον λεπτὸν τῆς πρώτης μοίρας τοῦ ἰσημερινοῦ ζῳδίου, κριοῦ λεγομένου παρʼ αὐτοῖς, ὥσπερ καὶ ἐν τοῖς Γενικοῖς τοῦ Ἑρμοῦ καὶ* 97 *ἐν ταῖς Κυραννίσι βίβλοις εἴρηται. ἐντεῦθεν δὲ οἶμαι καὶ Πτολεμαῖον τὸν Κλαύδιον τοὺς προχείρους κανόνας τῆς ἀστρονομίας διὰ κεʹ ἐτηρίδων ψηφίζεσθαι θεσπίσαι, ὡς τοῦ Αἰγυπτιακοῦ ἐνιαυτοῦ καὶ τοῦ Ἑλληνικοῦ διὰ*
20 *͵αυξαʹ ἔτους ἀποκαθισταμένων, εἰ καὶ διὰ ͵αυοςʹ ἐτῶν τὸ κανόνιον τῶν κεʹ ἐτηρίδων ἐξέθετο διὰ τὸ μὴ ἀπαρτίζειν τὸν ͵αυξαʹ ἀριθμὸν εἰς κεʹ, ἀλλὰ λείπεσθαι ιδʹ. τὴν μέντοι μονάδα περιττὴν ἔθετο διὰ τὸ πλήρη τὰ τοῦ αʹ ἔτους ἐγκεῖσθαι κινήματα καὶ μὴ ἀπʼ ἀρχῆς αὐτοῦ, ὥσπερ καὶ ἐπὶ τῶν μηνιαίων κινημάτων. ἐντεῦθεν δέ ἐστι καὶ τὸ ἀσύμφωνον τῶν τοιού-*
25 *των ἐκδόσεων πρός τε τὰς θείας ἡμῶν γραφὰς καὶ πρὸς ἄλληλα ἐπιγνῶναι, ὅτι αὕτη μὲν ἡ παλαιοτέρα νομιζομένη Αἰγυπτίων συγγραφὴ Ἡφαίστου μὲν ἄπειρον εἰσάγει χρόνον, τῶν δὲ λοιπῶν κθʹ δυναστειῶν ἔτη τρισμύρια ͵ςφκεʹ, καίτοι τοῦ Ἡφαίστου πολλοῖς ἔτεσι μετὰ τὸν κατακλυσμὸν καὶ τὴν πυργοποιίαν τῆς Αἰγύπτου βασιλεύσαντος, ὡς δειχθήσεται ἐν τῷ δέοντι*
30 *τόπῳ.*

16 cf. supra 36, 14; uide Kroll, RE 23, 128–134; Festugière, Hermès Trismégiste 1, 203 || **17** cf. infra 244, 19; O. Neugebauer, HAMA 2, 971

3 *ἐτῶν* **B** om. **A** || **5** *γενεῶν* **B** om. **A** || **8** *μετʼ αὐτὰς κζʹ δυναστεία*] *μετὰ τὰς κζʹ δυναστείας* **B** *μετὰ κζʹ δυναστείας* **A** *μετὰ τὰς ⟨κςʹ δυναστείας Αἰγυπτίων⟩ κζʹ δυναστεία* Müller || **9** post *ϱκδʹ* add. *καὶ μετʼ αὐτοὺς κηʹ δυναστεία Σαΐτου ἑνὸς ἐτῶν ςʹ* Jac. | *γενεῶν* **A** *γενεῶν ζʹ* coni. Jac. || **9–10** *Τανιτῶν . . . δυναστεία* om. **B** || **11** *Μγʹ* Di. *ϡγʹ* **AB** || **12** *εἴτουν* Di. *ἤτουν* **AB** || **17** *Κυραννίσι* **A** *κυραννῆσι* **B** || **18** et **21** *ἐτηρίδων* **B** *ἐτερίδων* **A** || **19** *Ἑλληνικοῦ*] *ἡλιακοῦ* coni. Anon. || **22.23** *τὰ τοῦ* **B** *τοῦ* **A**

Ὁ δὲ παρ' Αἰγυπτίοις ἐπισημότατος Μανεθῶ περὶ τῶν αὐτῶν λ' δυναστειῶν γράψας ἐκ τούτων δηλαδὴ λαβὼν τὰς ἀφορμὰς κατὰ πολὺ διαφωνεῖ περὶ τοὺς χρόνους πρὸς ταῦτα, καθὼς ἔστι καὶ ἐκ τῶν προειρημένων ἡμῖν ἀνωτέρω μαθεῖν καὶ ἐκ τῶν ἑξῆς λεχθησομένων. 5

98 *Τῶν γὰρ ἐν τοῖς τρισὶ τόμοις ριγ' γενεῶν ἐν δυναστείαις λ' ἀναγεγραμμένων, αὐτῶν ὁ χρόνος τὰ πάντα συνῆξεν ἔτη ,γφνε', ἀρξάμενα τῷ ,αφπς' ἔτει τοῦ κόσμου καὶ λήξαντα εἰς τὸ ,ερμζ' κοσμικὸν ἔτος, ἤτοι πρὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος κοσμοκρατορίας ἔτη που ιε'.*

Ἐκ τούτων οὖν ἀφελών τις τὰ πρὸ τοῦ κατακλυσμοῦ χνς' πρὸς ἀναπλήρωσιν τῶν ,βσμβ' ἐξ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ, ὡς ψευδῆ καὶ ἀνύπαρκτα, καὶ τὰ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιίας καὶ συγχύσεως τῶν γλωσσῶν καὶ διασπορᾶς τῶν ἐθνῶν φλδ', ἕξει σαφῶς τὴν ἀρχὴν τῆς Αἰγυπτιακῆς βασιλείας ἐκ τοῦ πρώτου βασιλεύσαντος τῆς Αἰγύπτου Μεστραίμ, τοῦ καὶ Μήνεος λεγομένου παρὰ τῷ Μανεθῶ, ἀπὸ τοῦ ,βψος' ἔτους τοῦ ἐξ Ἀδὰμ ἕως Νεκταναβῶ τοῦ ἐσχάτου βασιλέως Αἰγύπτου, ὡς εἶναι τὰ πάντα ἀπὸ Μεστραὶμ ἕως τοῦ αὐτοῦ Νεκταναβῶ ἔτη ,βτξε', ἃ καὶ ἔφθασεν, ὡς προείρηται, εἰς τὸ κοσμικὸν ,ερμζ' ἔτος πρὸ τῆς Ἀλεξάνδρου τοῦ κτίστου ἀρχῆς, ἔτεσι ιε' ἐγγύς. 10 15

Τοῦτο δὲ τὸ ,βψος' ἔτος τοῦ κόσμου τοῦ μὲν Φαλὲκ τῆς ζωῆς ἔτος ἦν ε', τοῦ δὲ Ἔβερ τοῦ πατρὸς Φαλὲκ ἔτος καὶ αὐτοῦ τῆς ζωῆς ρλη'. τῷ γὰρ ,βψοα' ἔτει τοῦ κόσμου, ὅπερ ἦν τῆς τοῦ Ἔβερ ζωῆς ρλγ' ἔτος, ἐγεννήθη αὐτῷ ὁ Φαλέκ, καὶ μετὰ δ' ἔτη τῆς τοῦ Φαλὲκ γεννήσεως, τοῦτ' ἔστι τῷ κοσμικῷ ,βψοε' ἔτει συνεχύθησαν αἱ γλῶσσαι. καὶ τῷ ἐπιόντι κοσμι- 20

99 *κῷ ,βψος' ἔτει, τοῦ δὲ Ἔβερ ρλη', καὶ τοῦ υἱοῦ αὐτοῦ Φαλὲκ ἔτει ε', διεσπάρησαν εἰς τὴν οἰκουμένην αἱ οβ' φυλαὶ καὶ γλῶσσαι. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τοῦδε τοῦ χρόνου ἐπὶ ἔτη φλδ' ὁ Νῶε καὶ ὁ πρῶτος αὐτοῦ υἱὸς μετ' αὐτὸν Σὴμ καὶ ὁ τούτου παῖς Ἀρφαξὰδ ἡγεμόνευσαν τῶν τηνικαῦτα ἀνθρώπων οὕτως.* 25

10 *ἄφελε χνς'* 30

1 Manetho FGrHist 609 T 11e || 20 cf. supra 43, 13; 48, 5

7 *αὐτῶν ὁ χρόνος*] *αὐτῷ ὁ Ἀννιανὸς* Boeckh, cf. Gelzer 2, 212 || 11 *τῶν* **B** *τῷ* **A** || 14 *μεστραίμ* **B** *μεστραί* **A** || 15 *Μήνεος* Go. *μηναῖος* **AB** || 16 *τοῦ ἐσχάτου* Go. *ἐσχάτου τοῦ* **AB** || 17 *μεστραὶμ* **B** *μεστρὲμ* **A** | *νεκταναβῶ* **A** *νεκτεναβὼ* **B** || 18 *εἰς* **B** *ἕως* **A** | *ἔτος* **B** om. **A** || 20 *τοῦτο δὲ τὸ* **B** *τούτῳ δὲ τῷ* **A** || 22 *,βψοα'* **B** *,βψοδ'* **A** || 24 *,βψοε'* **B** *,βψος'* **A** | *ἔτει* **B** *ἔτη* **A** || 25 *ἔτει*[1] **B** *ἔτη* **A** || 29 *οὕτως* **B** om. **A**

Ὁ χρόνος τῶν μετὰ τὸν κατακλυσμὸν ἡγεμονευσάντων τριῶν ἀνδρῶν ἕως τῆς διασπορᾶς

Νῶε μετὰ τὸν κατακλυσμὸν ἡγήσατο κόσμου τὰ λοιπὰ τῆς ζωῆς αὐτοῦ ἔτη τν'· Σὴμ ἡγήσατο τοῦ κόσμου τὰ λοιπὰ τῆς ἑαυτοῦ ζωῆς ἔτη ρν'·
5 *Ἀρφαξὰδ ἔτη λγ'. ὁμοῦ φλδ'.*

Ἐπειδὴ δὲ τῶν ἀπὸ Μεστραῒμ Αἰγυπτιακῶν ἐτῶν οἱ χρόνοι ἕως Νεκταναβῶ χρειώδεις τυγχάνουσιν ἐν πολλοῖς τοῖς περὶ τὰς χρονικὰς καταγινομένοις ζητήσεις, αὐταὶ δὲ παρὰ Μανεθῶ ληφθεῖσαι τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς διαπεφωνημένως κατά τε τὰς αὐτῶν προσηγορίας καὶ τὴν ποσότητα
10 *τῶν χρόνων τῆς βασιλείας ἐκδέδονται, ἐπὶ τίνος τε αὐτῶν Ἰωσὴφ ἡγεμόνευσε τῆς Αἰγύπτου καὶ μετ' αὐτὸν ὁ θεόπτης Μωυσῆς τῆς τοῦ Ἰσραὴλ ἐξ Αἰγύπτου πορείας ἡγήσατο, ἀναγκαῖον ἡγησάμην δύο τῶν ἐπισημοτάτων ἐκδόσεις ἐκλέξασθαι καὶ ταύτας ἀλλήλαις παραθέσθαι, Ἀφρικανοῦ τέ φημι καὶ τοῦ μετ' αὐτὸν Εὐσεβίου τοῦ Παμφίλου καλουμένου, ὡς ἂν τὴν*
15 *ἐγγίζουσαν τῇ γραφικῇ ἀληθείᾳ δόξαν ὀρθῶς ἐπιβάλλων καταμάθοι,* 100 *τοῦτο πρό γε πάντων εἰδὼς ἀκριβῶς, ὅτι Ἀφρικανὸς μὲν κ' ἔτη προστίθησιν ἐν τοῖς ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ χρόνοις, καὶ ἀντὶ ͵βσμβ' ͵βσξβ' ἔτη βούλεται εἶναι, ὅπερ οὐ δοκεῖ καλῶς ἔχειν. Εὐσέβιος δὲ ͵βσμβ' ὑγιῶς ἔθετο καὶ ὁμοφώνως τῇ γραφῇ. ἐν δὲ τοῖς ἀπὸ τοῦ κατακλυσμοῦ*
20 *ἀμφότεροι διήμαρτον ἕως Ἀβραὰμ καὶ Μωυσέως ἔτεσι ρλ' τοῦ δευτέρου Καϊνᾶν υἱοῦ Ἀρφαξὰδ καὶ γενεᾷ μιᾷ, τῇ ιγ', παρὰ τῷ θείῳ εὐαγγελιστῇ Λουκᾷ ἀπὸ Ἀδὰμ κειμένῃ. ἀλλ' ὁ μὲν Ἀφρικανὸς ἐν τοῖς ἀπὸ Ἀδὰμ προστεθεῖσιν αὐτῷ καὶ ἐπὶ τὸν κατακλυσμὸν ἔτεσιν κ' προαφήρπαξε ταῦτα, καὶ ἐν τοῖς τοῦ Καϊνᾶν καὶ τῶν μετέπειτα ρι' μόνα λείπεται. διὸ καὶ ἕως*
25 *Ἀβραὰμ πρώτου ἔτους ͵γσβ' ἔτη ἐστοιχείωσεν. ὁ δὲ Εὐσέβιος ὁλοκλήρως τὰ ρλ' ὑφελών, ͵γρπδ' ἕως πρώτου ἔτους Ἀβραὰμ ἐξέδωκε.*

Περὶ τῶν μετὰ τὸν κατακλυσμὸν Αἰγύπτου δυναστειῶν, ὡς ὁ Ἀφρικανός

α' Μετὰ νέκυας τοὺς ἡμιθέους πρώτη βασιλεία καταριθμεῖται βασιλέων η', ὧν πρῶτος Μήνης Θεεινίτης ἐβασίλευσεν ἔτη ξβ'· ὃς ὑπὸ ἱπποποτάμου διαρπαγεὶς διεφθάρη.
30

3 cf. Gen. 9, 27; ps. Sym. f. 23v = Cedr. 23, 4 || 16 Africanus fr. 6; cf. supra 20, 8 || 19 Africanus fr. 9, Euseb. 1, 42; cf. Anon. Matr. 3, 9 || 21 Gen. 11, 10–13, Luc. 3, 36 || 25 Africanus fr. 9, Euseb. 2, 15, 4 || 27 Africanus fr. 11, p. 246 Routh = Manetho FGrHist 609 F 2, p. 16 Jac.

5 *φλδ'* **B** *φλγ'* **A**, cf. supra 43, 12 || 19 *ὑγιῶς* **A** *ὑγειῶς* **B** || 20 *ἀβραὰμ* **B** *τοῦ ἀβραὰμ* **A** || 23 *προαφήρπαξεν* **A** *προαφήρπαζεν* **B** || 25 *ἔτη* **A** *ἔτει* **B** || 27 *δυναστειῶν* **A** *δυναστείας* **B** || 29 *θεεινίτης* **AB** *Θεινίτης* Scal. | *ἱπποποτάμου* Go.m *ἱπποτάμου* **AB**

101 *β' Ἄθωθις υἱὸς ἔτη νζ', ὁ τὰ ἐν Μέμφει βασίλεια οἰκοδομήσας· οὗ φέρονται βίβλοι ἀνατομικαί, ἰατρὸς γὰρ ἦν.*
γ' Κενκένης υἱὸς ἔτη λα'.
δ' Οὐενέφης υἱὸς ἔτη κγ'. ἐφ' οὗ λιμὸς κατέσχε τὴν Αἴγυπτον μέγας. οὗτος τὰς περὶ Κωχώμην ἤγειρε πυραμίδας. 5
ε' Οὐσαφάιδος υἱὸς ἔτη κ'.
ϛ' Μιεβιδὸς υἱὸς ἔτη κϛ'.
ζ' Σεμέμψης υἱὸς ἔτη ιη'. ἐφ' οὗ φθορὰ μεγίστη κατέσχε τὴν Αἴγυπτον.
η' Βιηνεχὴς υἱὸς ἔτη κϛ'.
ὁμοῦ ἔτη σνγ'. 10

Τὰ τῆς πρώτης δυναστείας οὕτω πως καὶ Εὐσέβιος ὡς ὁ Ἀφρικανὸς ἐξέθετο.

Δευτέρα δυναστεία Θεινιτῶν βασιλέων θ'

ὧν πρῶτος Βοηθὸς ἔτη λη'. ἐφ' οὗ χάσμα κατὰ Βούβαστον ἐγένετο, καὶ ἀπώλοντο πολλοί. 15
β' Καιέχως ἔτη λθ'. ἐφ' οὗ οἱ βόες Ἆπις ἐν Μέμφει καὶ Μηνεὺς ἐν Ἡλιουπόλει καὶ ὁ Μενδήσιος τράγος ἐνομίσθησαν εἶναι θεοί.
102 *γ' Βίνωθρις ἔτη μζ'. ἐφ' οὗ ἐκρίθη τὰς γυναῖκας βασιλείας γέρας ἔχειν.*
δ' Τλὰς ἔτη ιζ'. 20
ε' Σεθένης ἔτη μα'.
ϛ' Χαίρης ἔτη ιζ'.
ζ' Νεφερχέρης ἔτη κε'. ἐφ' οὗ μυθεύεται τὸν Νεῖλον μέλιτι κεκραμένον ἡμέρας ἕνδεκα ῥυῆναι.
⟨*η' Σέσωχρις ἔτη μη', ὃς ὕψος εἶχε πηχῶν ε', πλάτος γ'.* 25
θ' Χενερὴς ἔτη λ'.
ὁμοῦ ἔτη τβ'.

Ὁμοῦ πρώτης καὶ δευτέρας δυναστείας μετὰ τὸν κατακλυσμὸν ἔτη φνε' κατὰ τὴν δευτέραν ἔκδοσιν Ἀφρικανοῦ.⟩

2 *ἀνατομικαὶ ἰαγόρου βασιλέως* || **16** *οἱ βόες θεοὶ δ'* || **18** *γυναῖκας βασιλεῖς* 30

13 Africanus fr. 11, p. 247 Routh = Manetho FGrHist 609 F 2, p. 18 Jac.

8 *σεμέμψης* B *σεμέμψις* A || **14** *ἐφ'* B *ἀφ'* A | *χάσμα* B *φάσμα* A || **15** *ἀπώλοντο* B *ἀπώλλοντο* A || **16** *καιέχως* B *καὶ ἔχως* A | *Μέμφει* Go.[m] *μέμφι* A *μεμφὶ* B | *μηνεὺς* AB *Μνεῦις* Scal. ex Euseb. infra 61, 24 || **17** *ἡλιουπόλει* B *ἰλιοπόλει* A || **23** *κεκραμένον* Di. *κεκραμμένον* AB || **25–29** transposui ex 62, 5–9 || **25** *πηχῶν* A *πειχῶν* B || **30** lemmata exhibet B[m], om. A[m]

Περὶ τῶν μετὰ τὸν κατακλυσμὸν Αἰγυπτίων δυναστειῶν, ὡς Εὐσέβιος

Μετὰ νέκυας καὶ τοὺς ἡμιθέους πρώτην δυναστείαν καταριθμοῦσι βασιλέων η΄. ὧν πρῶτος γέγονε Μήνης, ὃς διασήμως αὐτῶν ἡγήσατο. ἀφ᾽ οὗ 5 *τοὺς ἐξ ἑκάστου γένους βασιλεύσαντας ἀναγράψομεν ὧν ἡ διαδοχὴ τοῦτον ἔχει τὸν τρόπον.*

α΄ *Μήνης Θενίτης καὶ οἱ τούτου ἀπόγονοι ιζ΄ (ἐν ἄλλῳ δὲ ζ΄), ὃν Ἡρόδοτος Μῆνα ὠνόμασεν, ἐβασίλευσεν ἔτεσιν ξ΄. οὗτος ὑπερόριον στρατείαν ἐποιήσατο καὶ ἔνδοξος ἐκρίθη. ὑπὸ {ἵππου} δὲ ἱπποποτάμου ἡρπάσθη.*

10 β΄ *Ἄθωθις ὁ τούτου υἱὸς ἦρξεν ἔτεσιν κζ΄. καὶ τὰ ἐν Μέμφει βασίλεια ᾠκοδόμησεν, ἰατρικήν τε ἐξήσκησε καὶ βίβλους ἀνατομικὰς συνέγραψε.*

γ΄ *Κενκένης ὁ τούτου υἱὸς ἔτη λθ΄.* **103**

δ΄ *Οὐενέφης ἔτη μβ΄. ἐφ᾽ οὗ λιμὸς κατέσχε τὴν χώραν, ὃς καὶ τὰς πυραμίδας τὰς περὶ Κωχώμην ἤγειρε.*

15 ε΄ *Οὐσαφαὶς ἔτη κ΄.*

ς΄ *Νιεβαὶς ἔτη κς΄.*

ζ΄ *Σεμέμψης ἔτη ιη΄. ἐφ᾽ οὗ πολλὰ παράσημα ἐγένετο καὶ μεγίστη φθορά.*

η΄ *Οὐβίενθις ἔτη κς΄.*

20 *οἱ πάντες ἐβασίλευσαν ἔτη σνβ΄.*

Δευτέρα δυναστεία βασιλέων θ΄

α΄ *πρῶτος Βῶχος, ἐφ᾽ οὗ χάσμα κατὰ Βούβαστον ἐγένετο καὶ πολλοὶ ἀπώλοντο.*

β΄ *μεθ᾽ ὃν καὶ β΄ Χῶος, ὅτε καὶ ὁ Ἆπις καὶ ὁ Μνεῦις, ἀλλὰ καὶ ὁ Μεν-* 25 *δήσιος τράγος θεοὶ ἐνομίσθησαν.*

1 Euseb. 1, 65, 3 = Manetho FGrHist 609 F 3, p. 17 Jac. || **21** Euseb. 1, 65, 23 = Manetho FGrHist 609 F 3, p. 19 Jac.

5 *ἀναγράψομεν ὧν* Aucher *ἀναγραψαμένων* **AB** || **7** *θενίτης* **AB** *Θινίτης* Jac. *Thynite* Arm. | *τούτου* **B** *τούτων* **A** | *ἐν ἄλλῳ* **A** *ἐνάλλως* **B** | *ιζ΄ ἐν ἄλλῳ δὲ* delere maluerunt Gelzer et Jac., nam *7 Söhne* habet Arm. || **8** *ξ΄*] *ξβ΄* v. Gutschmid *30* Arm. || **9** *ὑπὸ ἴσπου δὲ ἱπποτάμου* **A** *ὑπὸ ἵππου δὲ ἱποτάμου* **B** || **10** *ἄθωθις* **B** *ἄθωσθις* **A** | *Μέμφει* Go.[m] *μέμφι* **A** *μεμφὶ* **B** || **13** *ουενέφης* **A** *ουεννέφης* **B** || **14** *περὶ κωχώμην* **B** *περὶ κωχώνην* **A** *περὶ Χὼ κώμην* coni. Di. *beim Flecken Khov* Arm. || **15** *οὐσαφαὶς* **B** *οὐσαφαὴς* **A** || **16** *νιεβαὶς* **B** *νιεβὲς* **A** || **19** *οὐβίενθις* **B** *οὐβιένθης* **A** || **20** *σνβ΄* **AB** *270* Arm. 258 ex numeris singulis || **21** *δυναστεία* **A** *βασιλεία* **B** || **22** *α΄ πρῶτος Βῶχος*] *α΄ πρώτου βωχοῦ* **B** *πρώτου βοωχοῦ* **A** | *κατὰ βούβαστον* **B** *καταβουβάστων* **A** || **23** *ἀπώλοντο* **B** *ἀπώλλοντο* **A** || **24** *καὶ β΄ χῶος* **B** *καὶ β΄ χοός* **A** *β΄ Καιχῶος* uel *Καιέχως* Müller *nach welchem Kechōos* Arm. | *μνεῦις* **A** *μνεύεις* **B**

γ′ *Βίοφις, ἐφ᾽ οὗ ἐκρίθη καὶ τὰς γυναῖκας βασιλείας γέρας ἔχειν. καὶ μετὰ τούτους ἄλλοι τρεῖς, ἐφ᾽ ὧν οὐδὲν παράσημον ἐγένετο.*

104 ζ′ *ἐπὶ δὲ τοῦ ἑβδόμου μυθεύεται τὸν Νεῖλον μέλιτι κεκραμένον ἡμέραις ια′ ῥυῆναι.*

{η′ *Σέσωχρις ἔτη μη′, ὃς ὕψος εἶχε πηχῶν ε′, πλάτος γ′.* 5

ϑ′ *Χενερὴς ἔτη λ′.*

ὁμοῦ ἔτη τβ′.

Ὁμοῦ πρώτης καὶ δευτέρας δυναστείας μετὰ τὸν κατακλυσμὸν ἔτη φνε′ κατὰ τὴν δευτέραν ἔκδοσιν Ἀφρικανοῦ.}

⟨η′ *μεθ᾽ ὃν Σέσωχρις μη′, ὃς λέγεται γεγονέναι ὕψος ἔχων πηχῶν ε′,* 10 *παλαιστῶν γ′ τὸ μέγεθος.*

ϑ′ *ἐπὶ δὲ τοῦ ϑ′ οὐδὲν ἀξιομνημόνευτον ὑπῆρχεν. οἳ καὶ ἐβασίλευσαν ἔτεσι σϛζ′.*

Ὁμοῦ α′ καὶ β′ δυναστείας ἔτη φμϑ′ κατὰ τὴν ἔκδοσιν Εὐσεβίου.⟩

Τρίτη δυναστεία Μεμφιτῶν βασιλέων ϑ′ 15

α′ *ὧν πρῶτος Νεχερωφὴς ἔτη κη′, ἐφ᾽ οὗ Λίβυες ἀπέστησαν Αἰγυπτίων καὶ τῆς σελήνης παρὰ λόγον αὐξηθείσης διὰ δέος ἑαυτοὺς παρέδοσαν.*

β′ *Τόσορϑρος ἔτη κϑ′. οὗτος Ἀσκληπιὸς Αἰγυπτίοις κατὰ τὴν ἰατρικὴν νενόμισται, καὶ τὴν διὰ ξεστῶν λίθων οἰκοδομίαν εὕρατο, ἀλλὰ καὶ γραφῆς ἐπεμελήθη.* 20

γ′ *Τύρεις ἔτη ζ′.*

δ′ *Μέσωχρις ἔτη ιζ′.*

ε′ *Σώϋφις ἔτη ις′.*

ϛ′ *Τοσέρτασις ἔτη ιϑ′.*

ζ′ *Ἄχης ἔτη μβ′.* 25

105 η′ *Σήφουρις λ′.*

ϑ′ *Κερφέρης ἔτη κϛ′.*

ὁμοῦ ἔτη σιδ′.

Ὁμοῦ τῶν τριῶν δυναστειῶν κατὰ Ἀφρικανὸν ἔτη ψξϑ′.

1 *ἐφ᾽ οὗ διὰ ξεστῶν λίθων οἰκοδομὴ καὶ γραφῶν ἐπιμέλεια* ‖ 9 *Ἀφρικανοῦ* 30

16 Africanus fr. 11, p. 248 Routh = Manetho FGrHist 609 F 2, p. 22 Jac.

3 *κεκραμένον* B *κεκραμμένον* A ‖ 5–9 seclusi et transposui ad 60, 25–29 ‖ 5 *πηχῶν* A *πειχῶν* B ‖ 10–14 transposui ex 63, 16–20 ‖ 10 *σέσωχρις* A *σέσοχρις* B ‖ 16 *α′ ὧν α′* B *ὧν πρῶτος* A | *νεχερωφὴς* B *νεχερόφης* A ‖ 18 post *κϑ′* add. *ἐφ᾽ οὗ Ἰμούθης* Sethe ‖ 21 *τύρεις* B *τύρις* A ‖ 26 *σήφουρις* B *σίφουρις* A ‖ 29 *ἀφρικανὸν* A *ἀφρικανοῦ* B ‖ 30 *ἐπιμέλια* B[m] lemma om. A[m]

Τετάρτη δυναστεία Μεμφιτῶν συγγενείας ἑτέρας βασιλεῖς η'

α' *Σῶρις ἔτη κθ'.*
β' *Σοῦφις ἔτη ξγ'. ὃς τὴν μεγίστην ἤγειρε πυραμίδα, ἥν φησιν Ἡρόδοτος ὑπὸ Χέοπος γεγονέναι. οὗτος δὲ καὶ ὑπερόπτης εἰς θεοὺς ἐγένετο καὶ*
5 *τὴν ἱερὰν συνέγραψε βίβλον, ἣν ὡς μέγα χρῆμα ἐν Αἰγύπτῳ γενόμενος ἐκτησάμην.*
γ' *Σοῦφις ἔτη ξς'.*
δ' *Μενχέρης ἔτη ξγ'.*
ε' *Ῥατοίσης ἔτη κε'.*
10 ς' *Βίχερις ἔτη κβ'.*
ζ' *Σεβερχέρης ἔτη ζ'.*
η' *Θαμφθὶς ἔτη θ'.*
ὁμοῦ ἔτη σοδ'.
Ὁμοῦ τῶν δ' δυναστειῶν τῶν μετὰ τὸν κατακλυσμὸν ἔτη ͵αμς' κατ' **106**
15 Ἀφρικανόν.
{*η' μεθ' ὃν Σέσωχρις μη', ὃς λέγεται γεγονέναι ὕψος ἔχων πηχῶν ε', παλαιστῶν γ' τὸ μέγεθος.*
θ' ἐπὶ δὲ τοῦ θ' οὐδὲν ἀξιομνημόνευτον ὑπῆρχεν. οἳ καὶ ἐβασίλευσαν ἔτεσι σςζ'.
20 *Ὁμοῦ α' καὶ β' δυναστείας ἔτη φμθ' κατὰ τὴν ἔκδοσιν Εὐσεβίου.*}

Τρίτη δυναστεία Μεμφιτῶν βασιλέων η'

α' Νεχέρωχις, ἐφ' οὗ Λίβυες ἀπέστησαν Αἰγυπτίων καὶ τῆς σελήνης παρὰ λόγον αὐξηθείσης διὰ δέος ἑαυτοὺς παρέδοσαν.
β' μεθ' ὃν Σέσορθος, ὃς Ἀσκληπιὸς παρὰ Αἰγυπτίοις ἐκλήθη διὰ τὴν
25 *ἰατρικήν. οὗτος καὶ τὴν διὰ ξεστῶν λίθων οἰκοδομὴν εὕρατο, ἀλλὰ καὶ γραφῆς ἐπεμελήθη. οἱ δὲ λοιποὶ ἓξ οὐδὲν ἀξιομνημόνευτον ἔπραξαν. οἳ καὶ ἐβασίλευσαν ἔτεσιν ρςη'.*
Ὁμοῦ τῶν τριῶν δυναστειῶν κατὰ τὸν Εὐσέβιον ἔτη ψμζ'.

14 *ἄφελε χνς'*

1 Africanus fr. 11, p. 249 Routh = Manetho FGrHist 609 F 2, p. 22 Jac. || **21** Euseb. 1, 65, 35 = Manetho FGrHist 609 F 3, p. 23 Jac.

3 *ἣν* om. **B** || **4** *ὑπὸ Χέοπος* Go.[m] *ὑπὸ χέοττος* **AB** | *ὑπερόπτης* **B** *ὁ περόπτης* **A** || **6** *ἐκτησάμην* **A** *ἐκτισάμην* **B** || **10** *βίχερις* **B** *βίχερης* **A** || **13** *σοδ'* **A** *σοζ'* **B** 284 ex numeris singulis || **14.15** *κατ' ἀφρικανόν* in textu **A** *κατ' ἀφρικανοῦ* in margine **B** || **16–20** seclusi et transposui ad 62, 10–14 || **16** *σέσωχρις* **A** *σέσοχρις* **B** || **26** *ἐπεμελήθη* **A** *ἐπιμελήθη* **B** || **29** lemma om. **B**[m]

Τετάρτη δυναστεία βασιλέων ιζ' Μεμφιτῶν
συγγενείας ἑτέρας βασιλείας

107 *ὧν τρίτος Σοῦφις, ὁ τὴν μεγίστην πυραμίδα ἐγείρας, ἥν φησιν Ἡρόδοτος ὑπὸ Χέοπος γεγονέναι, ὃς καὶ ὑπερόπτης εἰς θεοὺς γέγονεν, ὡς μετανοήσαντα αὐτὸν τὴν ἱερὰν συγγράψαι βίβλον, ἣν ὡς μέγα χρῆμα Αἰγύπτιοι περιέπουσι. τῶν δὲ λοιπῶν οὐδὲν ἀξιομνημόνευτον ἀνεγράφη. οἳ καὶ ἐβασίλευσαν ἔτεσιν υμη'.* 5

Ὁμοῦ τῶν δ' δυναστειῶν μετὰ τὸν κατακλυσμὸν ͵αρϙε' κατὰ Εὐσέβιον.

ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Πέμπτη δυναστεία βασιλέων η' ἐξ Ἐλεφαντίνης 10

α' *Οὐσερχέρης ἔτη κη'.*
β' *Σεφρὴς ἔτη ιγ'.*
γ' *Νεφερχέρης ἔτη κ'.*
δ' *Σισίρης ἔτη ζ'.*
ε' *Χέρης ἔτη κ'.* 15
ς' *Ῥαθούρης ἔτη μδ'.*
ζ' *Μενχέρης ἔτη θ'.*
η' *Ταγχέρης ἔτη μδ'.*
θ' *Ὄννος ἔτη λγ'.*

Ὁμοῦ ἔτη σμη'. γίνονται σὺν τοῖς προτεταγμένοις ͵αμς' ἔτεσι τῶν δ' δυναστειῶν ἔτη ͵ασϙδ'. 20

108 Ἕκτη δυναστεία βασιλέων ἐξ Μεμφιτῶν

α' *Ὀθόης ἔτη λ', ὃς ὑπὸ τῶν δορυφόρων ἀνῃρέθη.*
β' *Φιὸς ἔτη νγ'.*
γ' *Μεθουσουφὶς ἔτη ζ'.* 25
δ' *Φίωψ ἑξαέτης ἀρξάμενος βασιλεύειν διεγένετο μέχρις ἐτῶν ρ'.*
ε' *Μενθεσουφὶς ἔτος ἕν.*
ς' *Νίτωκρις γεννικωτάτη τε καὶ εὐμορφοτάτη τῶν κατ' αὐτὴν γενομένη, ξανθὴ τὴν χροιάν, ἣ τὴν τρίτην ἤγειρε πυραμίδα· ἐβασίλευσεν ἔτη ιβ'.*

1 Euseb. 1, 66, 9 = Manetho FGrHist 609 F 3, p. 23 Jac. ‖ 9 Africanus fr. 11, p. 250 Routh = Manetho FGrHist 609 F 2, p. 24 Jac. ‖ 22 Africanus fr. 11, p. 251 Routh = Manetho FGrHist 609 F 2, p. 26 Jac.

8 *εὐσέβιον* **B** *εὐσεβίου* **A** ‖ 14 *σισίρης* **B** *σίσιρις* **A** ‖ 16 *ῥαθούρης* **B** *ῥαθουρὶς* **A** ‖ 18 *ταγχέρης* **B** *ταρχερὴς* **A** ‖ 19 *ὄννος* **B** *ὄβνος* **A** ‖ 22 *δυναστεία* **B** *δυναστείων* **A** ‖ 23 *ὀθόης* **B** *ὀθώης* **A** ‖ 28 *γεννικωτάτη* **A** *γεννητικωτάτη* **B** | *τε* om. **A** ‖ 29 *χροιάν* **A** *χροᾶν* **B**

Ὁμοῦ ἔτη σγ´ γίνονται σὺν τοῖς προτεταγμένοις ,ασϙδ´.
Τῶν ε´ δυναστειῶν ἔτη ,αυϙζ´.
Ἑβδόμη δυναστεία Μεμφιτῶν βασιλέων ο´, οἳ ἐβασίλευσαν ἡμέρας ο´.
Ὀγδόη δυναστεία Μεμφιτῶν βασιλέων κζ´, οἳ ἐβασίλευσαν ἔτη ρμϛ´.
5 Γίνονται σὺν τοῖς προτεταγμένοις ἔτη ,αχλθ´ τῶν η´ δυναστειῶν.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ

109

Πέμπτη δυναστεία βασιλέων τριάκοντα ἑνὸς ἐξ Ἐλεφαντίνης

ὧν πρῶτος Ὀθόης. οὗτος ὑπὸ τῶν δορυφόρων ἀνῃρέθη.
ὁ δὲ δ´ Φίωψ ἑξαέτης ἀρξάμενος ἐβασίλευσε μέχρις ἐτῶν ἑκατόν.
10 Γίνονται οὖν σὺν τοῖς προτεταγμένοις ,αρϙε´ ἔτεσι τῶν τεσσάρων δυναστειῶν ,ασϙε´.

Ἕκτη δυναστεία

Γυνὴ Νίτωκρις ἐβασίλευσε τῶν κατ' αὐτὴν γεννικωτάτη καὶ εὐμορφοτάτη, ξανθή τε τὴν χροιὰν ὑπάρξασα, ἣ καὶ λέγεται τὴν τρίτην πυραμίδα
15 *ᾠκοδομηκέναι· οἳ καὶ ἐβασίλευσαν ἔτη γ´, ἐν ἄλλῳ σγ´.*
Γίνονται σὺν τοῖς προτεταγμένοις ,ασϙε´ τῶν πέντε δυναστειῶν ἔτη ,αυϙη´.
Σημειωτέον ὁπόσον ὁ Εὐσέβιος Ἀφρικανοῦ λείπεται ἀκριβείας ἔν τε τῇ τῶν βασιλέων ποσότητι καὶ ταῖς τῶν ὀνομάτων ὑφαιρέσεσι καὶ τοῖς χρό-
20 *νοις, σχεδὸν τὰ Ἀφρικανοῦ αὐταῖς λέξεσι γράφων·*
Ἑβδόμη δυναστεία Μεμφιτῶν βασιλέων πέντε, οἳ ἐβασίλευσαν ἡμέρας οε´.
Ὀγδόη δυναστεία Μεμφιτῶν βασιλέων ε´, οἳ ἐβασίλευσαν ἔτη ρ´. 110
Γίνονται σὺν τοῖς προτεταγμένοις ἔτη ,αφϙη´ τῶν ὀκτὼ δυναστειῶν.

25 ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Ἐνάτη δυναστεία Ἡρακλεοπολιτῶν βασιλέων ιθ´, οἳ ἐβασίλευσαν ἔτη υθ´

ὧν ὁ πρῶτος Ἀχθόης δεινότατος τῶν πρὸ αὐτοῦ γενόμενος τοῖς ἐν πάσῃ Αἰγύπτῳ κακὰ εἰργάσατο, ὕστερον δὲ μανίᾳ περιέπεσε καὶ ὑπὸ κροκοδείλου διεφθάρη.

6 Euseb. 1, 66, 17 = Manetho FGrHist 609 F 3, p. 25 Jac. || **25** Africanus fr. 11, p. 252 Routh = Manetho FGrHist 609 F 2, p. 28 Jac.

8 *ὀθόης* **B** *ὀθώης* **A** || **13** *γεννικωτάτη* **A** *γεννητικωτάτη* **B** || **16** *γίνονται* **A** *γίνεται* **B** | *,ασϙε´* **A** *,ασϙθ´* **B** || **18** *ὁ* om. **A** || **22** *οε´*] *οθ´* infra 67, 6 || **24–26** *τῶν ὀκτὼ δυναστειῶν. ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ ἐνάτη δυναστεία* ita disposui *τῶν ὀκτὼ δυναστειῶν κατὰ ἀφρικανόν. ΕΝΑΤΗ ΔΥΝΑΣΤΕΙΑ* **AB** || **28** *εἰργάσατο* **A** *ἠργάσατο* **B** | *κροκοδείλου* Go.[m] *κορκοδείλου* **A** *κορκοδήλου* **B**

Δεκάτη δυναστεία Ἡρακλεοπολιτῶν βασιλέων ιθ΄, οἳ ἐβασίλευσαν ἔτη ρπε΄.

Ἑνδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ις΄, οἳ ἐβασίλευσαν ἔτη μγ΄. *μεθ᾽ οὓς Ἀμμενέμης ἔτη ις΄.*

Μέχρι τοῦδε τὸν πρῶτον τόμον καταγήοχε Μανεθῶ. 5

Ὁμοῦ βασιλεῖς ρϙβ΄, ἔτη ‚βτ΄, ἡμέραι ο΄.

ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ ΜΑΝΕΘΩ

Δωδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ἑπτά.

α΄ Σεσόγχωσις Ἀμμανέμου υἱὸς ἔτη μς΄.
111 *β΄ Ἀμμανέμης ἔτη λη΄, ὃς ὑπὸ τῶν ἰδίων εὐνούχων ἀνῃρέθη.* 10
γ΄ Σέσωστρις ἔτη μη΄, ὃς ἅπασαν ἐχειρώσατο τὴν Ἀσίαν ἐν ἐνιαυτοῖς θ΄ καὶ τῆς Εὐρώπης τὰ μέχρι Θρᾴκης, πανταχόσε μνημόσυνα ἐγείρας τῆς τῶν ἐθνῶν σχέσεως, ἐπὶ μὲν τοῖς γενναίοις ἀνδρῶν, ἐπὶ δὲ τοῖς ἀγεννέσι γυναικῶν μόρια ταῖς στήλαις ἐγχαράσσων, ὡς ὑπὸ Αἰγυπτίων μετὰ Ὄσιριν πρῶτον νομισθῆναι. 15
δ΄ Λαχάρης ἔτη η΄. ὃς τὸν ἐν Ἀρσινοΐτῃ λαβύρινθον ἑαυτῷ τάφον κατεσκεύασε.
ε΄ Ἀμερὴς ἔτη η΄.
ϛ΄ Ἀμμενέμης ἔτη η΄.
ζ΄ Σκεμίοφρις ἀδελφὴ ἔτη δ΄. 20
ὁμοῦ ἔτη ρξ΄.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ

Ἐνάτη δυναστεία Ἡρακλεοπολιτῶν βασιλέων δ΄, οἳ ἐβασίλευσαν ἔτη ρ΄

ὧν πρῶτος Ἀχθώης δεινότατος τῶν πρὸ αὐτοῦ γενόμενος τοῖς ἐν πάσῃ 25 *Αἰγύπτῳ κακὰ εἰργάσατο, ὕστερον δὲ μανίᾳ περιέπεσε καὶ ὑπὸ κροκοδείλου διεφθάρη.*

7 Africanus fr. 11, p. 253 Routh = Manetho FGrHist 609 F 2, p. 30 Jac. || **22** Euseb. 1, 66, 29 = Manetho FGrHist 609 F 3, p. 29 Jac.

5 *καταγήοχε Μανεθῶ* Di. *καταγήωχε μανεθῶ* **B** *κατάγει ὁ κεμμανεθῶ* **A** || **6** *ἔτη ‚βτ΄ ἡμέραι ο΄* **B** *ἔτη ‚βτη΄ μέραι ο΄* **A** || **8** *δωδεκάτη δυναστεία διοσπολιτῶν* **B** *ιβ΄ δυναστεῖαι πολιτῶν* **A** || **9** *Σεσόγχωσις* Di. *γέσων γώσης* **A** *γεσονγόσις* **B** || **11** *σέσωστρις* **A** *σεσόστρις* **B** || **12** *πανταχόσε* **A** *πανταχόσαι* **B** || **13** *ἐθνῶν* **B** *ἔθνος* **A** | *ἀγεννέσι* **B** *ἀγενέσι* **A** || **14** *ἐγχαράστων* **A** *ἐνχαράσσων* **B** | *ὡς* Go.[m] *ὅς* **AB** || **15** *ὅσιριν* **A** *ὅσιρην* **B** || **16** *λαχάρης* **AB** *Λαμάρης* Jac. | *ἐν Ἀρσινοΐτῃ* Di. *ἐναρσοίτῃ* **A** *ἐναρσοίτην* **B** || **18** *ἀμερὴς* **B** *ἀμμερὴς* **A** || **19** *Ἀμμενέμης* Di. *ἀμμενέμνης* **A** *ἀμενέμης* **B** || **25** *ἀχθώης* **B** *ἄχθος* **A** || **26** *εἰργάσατο* **A** *ἠργάσατο* **B** | *δὲ* om. **A** | *κροκοδείλου* **A** *κορκοδήλου* **B**

Δεκάτη δυναστεία Ἡρακλεοπολιτῶν βασιλέων ιθ′, οἳ ἐβασίλευσαν ἔτη 112
ρπε′.

Ἑνδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ις′, οἳ ἐβασίλευσαν ἔτη
μγ′. *μεθ' οὓς Ἀμμενέμης ἔτη ις′.*

5 Μέχρι τοῦδε τὸν πρῶτον τόμον καταγήοχεν ὁ Μανεθῶ.

Ὁμοῦ βασιλεῖς ρϙβ′, ἔτη ͵βτ′, ἡμέραι οθ′.

ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ ΜΑΝΕΘΩ

Δωδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ζ′

ὧν πρῶτος Σεσόγχωσις Ἀμμενέμου υἱὸς ἔτη μς′.

10 *⟨β′⟩ Ἀμμανέμης ἔτη λη′, ὃς ὑπὸ τῶν ἰδίων εὐνούχων ἀνῃρέθη.*

⟨γ′⟩ Σέσωστρις ἔτη μη′, ὃς λέγεται γεγονέναι πηχῶν δ′, παλαιστῶν γ′, δακτύλων β′. ὃς πᾶσαν ἐχειρώσατο τὴν Ἀσίαν ἐν ἐνιαυτοῖς θ′ καὶ τῆς Εὐρώπης τὰ μέχρι Θρᾴκης, πανταχόσε μνημόσυνα ἐγείρας τῆς τῶν ἐθνῶν κατασχέσεως, ἐπὶ μὲν τοῖς γενναίοις ἀνδρῶν, ἐπὶ δὲ τοῖς ἀγεννέσι γυναι-
15 *κῶν μόρια ταῖς στήλαις ἐγχαράσσων, ὡς καὶ ὑπὸ τῶν Αἰγυπτίων μετὰ* 113
Ὄσιριν νομισθῆναι.

⟨δ′⟩ μεθ' ὃν Λάμαρις ἔτη η′, ὡς τὸν ἐν Ἀρσενοΐτῃ λαβύρινθον ἑαυτῷ τάφον κατεσκεύασεν.

οἱ δὲ τούτου διάδοχοι ἐπὶ ἔτη μβ′, οἳ πάντες ἐβασίλευσαν ἔτη σμε′.

20 ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Τρισκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ξ′, οἳ ἐβασίλευσαν ἔτη υνγ′

Τεσσαρεσκαιδεκάτη δυναστεία Ξοΐτῶν βασιλέων ος′, οἳ ἐβασίλευσαν ἔτη ρπδ′.

25 Πεντεκαιδεκάτη δυναστεία ποιμένων.

Ἦσαν δὲ Φοίνικες ξένοι βασιλεῖς ς′, οἳ καὶ Μέμφιν εἷλον, ὧν πρῶτος Σαΐτης ἐβασίλευσεν ἔτη ιθ′, ἀφ' οὗ καὶ ὁ Σαΐτης νομός. οἳ καὶ ἐν τῷ

23 *ΛΕΙΠΕΙ*

7 Euseb. 1, 67, 5 = Manetho FGrHist 609 F 3, p. 31 Jac. || **20** Africanus fr. 11, p. 254 Routh = Manetho FGrHist 609 F 2, p. 32 Jac.

5 *μέχρι τοῦδε τὸν πρῶτον* **A** *μέχρι δὲ τὸν α′* **B** | *καταγήοχεν* Di. *καταγήωχεν* **AB** || **6** *οθ′*] *οε′* supra 65, 22 || **9** *ὧν πρῶτος σεσόγχωρις* **A** *ὧν ὁ πρῶτος σεσόγχοσις* **B** || **10** *ἀμμανέμης* **B** *ἀμμενέμης* **A** || **11** *σέσωστρις* **A** *σέσοστρις* **B** | *πηχῶν* **A** *πειχῶν* **B** || **13** *πανταχόσε* **A** *πανταχόσαι* **B** || **14** *ἀγεννέσι* **A** *ἀγενέσι* **B** || **15** *ἐγχαράστων* **A** *ἐνχαράσσων* **B** | *ὡς* Jac. *ὃς* **AB** || **17** *λάμαρις* **B** *λάβαρις* **A** || **19** *ἔτη*] *ἔτεσι* **B** om. **A** || **22–24** *υνγ′ . . . ἔτη* om. **A** || **28** manu recentiori **A**[m]

Σεθροΐτῃ νομῷ πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο.

β' Βνῶν ἔτη μδ'.
γ' Παχνὰν ἔτη ξα'.
δ' Σταὰν ἔτη ν'.
114 *ε' Ἄρχλης ἔτη μθ'.* 5
ς' Ἄφοβις ἔτη ξα'.
ὁμοῦ ἔτη σπδ'.

Ἑξκαιδεκάτη δυναστεία ποιμένες ἄλλοι βασιλεῖς λβ'. ἐβασίλευσαν ἔτη φιη'.

Ἑπτακαιδεκάτη δυναστεία ποιμένες ἄλλοι βασιλεῖς μγ' καὶ Θηβαῖοι 10 Διοσπολῖται μγ'.

Ὁμοῦ οἱ ποιμένες καὶ οἱ Θηβαῖοι ἐβασίλευσαν ἔτη ρνα'.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ

Τρισκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ξ', οἱ ἐβασίλευσαν ἔτη υνγ'. 15

Τεσσαρεσκαιδεκάτη δυναστεία Ξοϊτῶν βασιλέων ος', οἱ ἐβασίλευσαν ἔτη ρπδ'. ἐν ἄλλῳ υπδ'.

Πεντεκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων, οἱ ἐβασίλευσαν ἔτη σν'.

Ἑξκαιδεκάτη δυναστεία Θηβαῖοι βασιλεῖς ε', οἳ καὶ ἐβασίλευσαν ἔτη ρς'. 20

Ἑπτακαιδεκάτη δυναστεία ποιμένες ἦσαν ἀδελφοὶ
Φοίνικες ξένοι βασιλεῖς, οἳ καὶ Μέμφιν εἷλον

ὧν πρῶτος Σαΐτης ἐβασίλευσεν ἔτη ιθ', ἀφ' οὗ καὶ ὁ Σαΐτης νομὸς ἐκλήθη,
115 *οἳ καὶ ἐν τῷ Σεθροΐτῃ νομῷ πόλιν ἔκτισαν, ἀφ' ἧς ὁρμώμενοι Αἰγυπτίους ἐχειρώσαντο.* 25

β' Βνῶν ἔτη μ'.
γ' Ἄφωφις ἔτη ιδ'.
μεθ' ὃν Ἄρχλης ἔτη λ'.
ὁμοῦ ἔτη ργ'.
Κατὰ τούτους Αἰγυπτίων βασιλεὺς Ἰωσὴφ δείκνυται. 30

13 *ΛΕΙΠΕΙ*

13 Euseb. 1, 67, 20 = Manetho FGrHist 609 F 3, p. 33 Jac.

1 *σεθροίτῃ* A *σαιθροίτῃ* B | *νομῷ πόλιν* A *νομοπόλιν* B ‖ 16 *τεσσαρεσκαιδεκάτη* Go. *τεσσαρισκαιδεκάτη* AB ‖ 17 et 20 *ἔτη* om. A ‖ 21 *ἦσαν ἀδελφοὶ*] *ἦσαν ἀλλόφυλοι* Movers *ἦσαν δὲ* Meyer *ἦσαν δὲ δ'* v. Gutschmid ‖ 24 *σεθροίτῃ* A *σαιθροίτῃ* B | *ἔκτισαν* A *ἐκτίσαντο* B ‖ 26–27 *ἔτη μ. γ' ἄφωφις* B *ἔτη μγ'. ἄφωφις* A ‖ 28 *ὃν* A *ὧν* B ‖ 30 *τούτους* B *τούτοις* A ‖ 31 manu recentiori A[m] om. B[m]

Σημειωτέον πῶς ὁ Εὐσέβιος πρὸς τὸν οἰκεῖον σκοπὸν τοὺς τῆς πεντε-καιδεκάτης δυναστείας παρὰ τῷ Ἀφρικανῷ φερομένους κατὰ τὴν ιζʹ δυνα-στείαν γεγονέναι λέγει. ἐπὶ γὰρ πᾶσι συμπεφώνηται ὅτι ἐπὶ Ἀφώφεως ἦρξεν Ἰωσὴφ τῆς Αἰγύπτου. μὴ ἔχων ὁπωσοῦν ἐπὶ ἄλλου τινὸς αὐτὸν 5 παραθέσθαι μετήγαγε τὸν Ἄφωφιν ἀπὸ τῆς ιεʹ δυναστείας εἰς τὴν ιζʹ, κολοβώσας τὰ ἔτη αὐτοῦ ξαʹ ὑπάρχοντα εἰς λʹ, τὰ δὲ τῆς ὅλης δυνα-στείας ρναʹ ργʹ παραθεὶς καὶ ἀντὶ τῶν ἓξ βασιλέων δʹ μόνους.

⟨ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ⟩

Ὀκτωκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ιςʹ

10 *ὧν πρῶτος Ἀμώς, ἐφ' οὗ Μωϋσῆς ἐξῆλθεν ἐξ Αἰγύπτου, ὡς ἡμεῖς ἀπο-δεικνύομεν. ὡς δ' ἡ παροῦσα ψῆφος ἀναγκάζει, ἐπὶ τούτου τὸν Μωυσέα συμβαίνει νέον ἔτι εἶναι.* 116

⟨ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ⟩

Ὀκτωκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ιδʹ, ὧν πρῶτος 15 Ἄμωσις ἔτη κεʹ.

Κἀνταῦθα Εὐσέβιος δύο βασιλεῖς περιέκρυψεν, ἔτη δὲ προσέθηκε πεʹ, τμηʹ παραθεὶς ἀντὶ σξγʹ τῶν παρ' Ἀφρικανῷ.

Ἰδοὺ δὴ ὁ μὲν Ἀφρικανὸς βουληθεὶς κατὰ τὸ πʹ ἔτος Μωυσέως τὸν Ἄμω-σιν ἐκθέσθαι διὰ τὴν ἔλλειψιν τῶν ριʹ ἐτῶν ἣν ὑπέστη ἐκ τῆς ιγʹ γενεᾶς 20 τοῦ δευτέρου Καϊνᾶν υἱοῦ Ἀρφαξάδ, ὡς εἴρηται ἡμῖν καὶ ῥηθήσεται πολ-λάκις, πλὴν φιλαληθέστερος ὢν Εὐσεβίου καὶ εἰδὼς τὴν τῶν πολλῶν δόξαν οὕτω κρατοῦσαν, ὅτι ἐπὶ Ἀμώσεως Φορωνεὺς Ἀργείων ἐβασίλευσε, καὶ πρό γε τούτου Ἴναχος ὁ τούτου πατήρ, ἐφ' οὗ Μωυσῆς γεννᾶται κατὰ τὸ μαʹ ἔτος, ἠναγκάσθη, καίπερ οὐ συμφωνούσης τῆς τοιαύτης ψήφου 25 τελείως ταῖς ἀποδείξεσιν αὐτοῦ, πλὴν διὰ τὸ ἀληθὲς καὶ μᾶλλον τῇ τῶν

10 *πότε Μωσῆς ἐξῆλθεν ἐξ Αἰγύπτου*

8 Africanus fr. 11, p. 256 Routh = Manetho FGrHist 609 F 2, p. 36 Jac. ‖ 13 Euseb. 1, 68, 3 = Manetho FGrHist 609 F 3, p. 37 Jac. ‖ 19–21 supra 59, 22 ‖ 22–24 cf. Exc. Barb. 38b

3 *Ἀφώφεως* Go. *ἀφῶφ ἕως* A *ἀφὼφ ἕως* B ‖ 4 *αὐτὸν* B *αὐτοῦ* A ‖ 6 *λʹ*] *ιδʹ* infra 77, 14 ‖ 8 *κατὰ Ἀφρικανὸν* suppleuit Go. om. AB ‖ 10 *ἀποδεικνύομεν* A *ἀποδεικνύωμεν* B ‖ 13 *κατ' Εὐσέβιον* suppleuit Go. om. AB ‖ 14 *βασιλέων ιδʹ* B *βασιλείων* A ‖ 15 *ἄμωσις* B *ἄμμωσης* A ‖ 16 *εὐσέβιος δύο βασιλεῖς περιέκρυψεν* B *δύο βασιλεῖς ὁ εὐσέβιος παρέκρυψεν* A ‖ 18 *ἄμωσιν* B *ἄμωσην* A ‖ 19 *ἐκ τῆς* A om. B ‖ 22 *Ἀμώσεως* Go.[m] *ἄμως ἕως* AB | *Φορωνεὺς* Go.[m] *φορωνέως* B *φόρων ἕως* A ‖ 23 *Ἴναχος* Go.[m] *ἰνάχωος* AB | *ἐφ'* B *ἀφ'* A ‖ 26 lemma om. A

πολλῶν ἐξηκολούθησε δόξη. οἵ τε γὰρ ἐκ περιτομῆς πάντες, Ἰώσηππός τε
117 *καὶ Ἰοῦστος, οἵ τε ἐξ Ἑλλήνων, Πολέμων φημὶ καὶ Ἀπίων, Ποσειδώνιος*
καὶ Ἡρόδοτος, τὴν ἐξ Αἰγύπτου πορείαν τοῦ Ἰσραὴλ κατὰ Φορωνέα καὶ
Ἄπιδα τοὺς Ἀργείων βασιλεῖς συνέγραψαν, Ἀμώσεως Αἰγυπτίων βασι-
λεύοντος, οὐ τούτου, ἀλλὰ τοῦ μετ᾽ αὐτὸν τοῦ καὶ Μισφραγμουθώσεως 5
καλουμένου· διώνυμοι γὰρ καὶ τριώνυμοι πολλαχοῦ τῶν Αἰγυπτίων οἱ βα-
σιλεῖς εὕρηνται. ἀμέλει γοῦν καὶ ἐν τῇ θείᾳ γραφῇ κατὰ τὸ πλεῖστον
Φαραὼ λέγονται, ὅπερ ἦν τοῖς πᾶσι κοινόν τε καὶ προσηγορικὸν ὄνομα,
καθάπερ ὁ ἐπὶ Ἀβραὰμ πρῶτος ἐν τοῖς λόγοις φερόμενος Φαραώ, οἵ τε
μετέπειτα ἐπὶ Ἰωσὴφ καὶ Ἰακὼβ καὶ τῆς δουλείας τῶν υἱῶν Ἰσραὴλ ἐν 10
Αἰγύπτῳ καὶ τῆς αὐτῶν ἐπὶ Μωυσέως ἐξόδου· καὶ σχεδὸν σπανίως ἔστιν
εὑρεῖν κύριον αὐτῶν ὄνομα, πλὴν Σουσακεὶμ καὶ Νεχαὼ καὶ Οὐαφρί,
παρ᾽ ὅλην τὴν θείαν γραφήν· εἰ γὰρ καὶ ἦσαν ὀνόματα κύρια, οὐκ ἂν τὰ
πολλὰ περὶ αὐτοῦ διεφωνήθη.

Ἰστέον δὲ καὶ τοῦτον τὸν Ἄμωσιν τὸν πρῶτον ἐπὶ τῆς ιη΄ δυναστείας 15
Αἰγύπτου βασιλεύσαντα ὁ Ἀφρικανὸς Ἄμωσιν ὀνομάζει, ὅτι διώνυμος ἦν
Ἄμωσις, ὁ αὐτὸς καὶ Τέθμωσις καλούμενος υἱὸς Ἀσήθ· ἡμεῖς δὲ δεύτερον
αὐτὸν τῆς ιη΄ δυναστείας κατετάξαμεν ἔν τε ἄλλοις ἀντιγράφοις καὶ ἐν
τοῖς πρὸς ἔλεγχον Ἀπίωνος Ἰωσήππου δυσὶ λόγοις περὶ τῆς ἐξ Αἰγύπτου
118 *πορείας τοῦ λαοῦ, οὕτως αὐτὸν εὑρόντες. καὶ πρῶτον τὸν πατέρα αὐτοῦ* 20
Ἀσσήθ, οὗ μνήμην Ἀφρικανὸς καὶ Εὐσέβιος οὐ πεποίηνται, ἐπεὶ ὁ μὲν
Ἀφρικανὸς τοὺς τῆς ἑξκαιδεκάτης καὶ ἑπτακαιδεκάτης δυναστείας ἀνωνύ-
μως ἐξέδωκεν, ὁ δὲ Εὐσέβιος οὔτε τῷ Ἀφρικανῷ οὔτε τῷ Ἰωσήππῳ
οὐδ᾽ ἄλλῳ τινὶ συμφωνῶν, τὰ μὲν τῶν ὀνομάτων ἐκ τῆς παρὰ τῷ Ἀφρι-
κανῷ ιε΄ δυναστείας εἰς τὴν ιζ΄ μετήγαγε, τοὺς δὲ χρόνους περιέκοψε, 25
σύγχρονον Μωυσέως δεῖξαι Κέκροπα τὸν διφυῆ ἐπειγόμενος, μαρτυρῶν
καὶ αὐτὸς ἐν τῷ τοῦ κανόνος αὐτοῦ προλόγῳ τοὺς προλεχθέντας Ἰώσηπ-

15 *Ση. ὅτι ὁ Ἀφρικανὸς τὸν Μωσῆν Ἄμως ὀνομάζει*

1 Ioseph. c. Ap. 2, 15–17; Iustus Tiberiensis FGrHist 734 F 2–3; Polemon apud Euseb. Praep. Euang. 10, 10–15; Apion FGrHist 616 F 2; Posidonius FGrHist 87 F 69; Herodotus 2, 162 (?) || 5 cf. Ioseph. c. Ap. 1, 86 || 9 Gen. 12, 15 || 10 Gen. 40, 1 | Ex. 1, 11 || 11 Ex. 13, 17 || 12 3 Reg. 14, 25, 4 Reg. 23, 29, Ierem. 51, 30 || 16 Africanus fr. 11, p. 256 Routh || 17–20 Ioseph. c. Ap. 1, 94 (Manetho FGrHist 609 F 9); 2, 16 (Apion FGrHist 616 F 4) || 26–p. 71, 4 Euseb. 2, 7

[AB (56, 21–70, 17)] 1 *δόξη* A *δόξει* B || 2 *πολέμων* A *πολέμω* B | *ποσειδώνιος* A *ποσιδώνιος* B || 5 *Μισφραγμουθώσεως* Go.[m] *μὴ φραγμουθώσεως* A *μηφραγμουθώσεως* B || 7 *εὕρηνται* A *ηὕρηνται* B || 9 *ὁ* B om. A || 10 *ἐπὶ* B om. A || 13 *καὶ* A om. B || 15 *ἄμωσιν* B *ἄμωσην* A || 16 *ἄμωσιν* AB *Ἀμὼς* Africanus infra 76, 29 || 17 *ὁ αὐτὸς*] hic explicit f. 5[v] in B; uacuum est f. 6 et incipit f. 7[r] *τὰς Ἑλληνικάς* 72, 22; de exemplo igitur exciderat folium unum || 26 *μαρτυρῶν* Go. *μαρτυρῶ* A || 28 *μωσῆν* B[m] *μωυσῆν* A[m] immo *Ἄμωσιν* | *ἄμως* B[m] *ἄμωσιν* A[m]

πον μὲν καὶ Ἰοῦστον ἐκ περιτομῆς, Ἀφρικανὸν δὲ καὶ Κλήμεντα τὸν
Στρωματέα καὶ Τατιανόν, τοῦ καθ' ἡμᾶς λόγου ἄνδρας ἐν παιδεύσει γνω-
ρίμους πάντας, κατὰ Ἴναχον καὶ Φορωνέα τὸν Ἰνάχου πρώτους Ἀργείων
βασιλεῖς γενέσθαι Μωυσέα, ὧν σύγχρονος ἦν Ὤγυγος αὐτόχθων πρῶτος
5 βασιλεὺς Ἀκτῆς τῆς νῦν Ἀττικῆς, καὶ ὁ κατ' αὐτὸν Ὤγυγον πρῶτος καὶ
παλαιὸς ἱστορούμενος Ἕλλησι κατακλυσμὸς κατὰ τὸ π' ἔτος Μωυσέως,
νε' δὲ Φορωνέως, κατὰ τὸν Ἀφρικανὸν ὧδέ πως ἐπὶ λέξεως γραφέντα.
φαμὲν τοίνυν ἐκ τοῦδε τοῦ συγγράμματος Ὤγυγον, ὃς τοῦ πρώτου κατα-
κλυσμοῦ γέγονεν ἐπώνυμος πολλῶν διαφθαρέντων διασωθείς, κατὰ τὴν
10 ἀπ' Αἰγύπτου τοῦ λαοῦ μετὰ Μωυσέως ἔξοδον γεγενῆσθαι· τὸν δὲ τρόπον
ἐπὶ τὴν πρώτην ὀλυμπιάδα τὴν προειρημένην ἀπὸ Ὠγύγου ἔτη δειχθήσε-
ται ͵ακ'. ἀπὸ δὲ α' ὀλυμπιάδος ἐπὶ νε', ἔτος πρῶτον, τοῦτ' ἔστιν ἐπὶ Κύ- 119
ρου βασιλείας ἔτος α', ὅπερ ἦν αἰχμαλωσίας τέλος, ἔτη σιε'. ἀπὸ Ὠγύγου
τοίνυν ἐπὶ Κύρου ἔτη ͵ασλε'. εἰ δὲ ἀναφέροι τις ἀναλογιζόμενος ἀπὸ τοῦ
15 τέλους τῆς αἰχμαλωσίας τὰ ͵ασλε' ἔτη, κατὰ ἀναλογίαν εὑρήσει ταὐτὸν
διάστημα ἐπὶ πρῶτον ἔτος τῆς ἀπ' Αἰγύπτου διὰ Μωυσέως ἐξόδου Ἰσραὴλ
ὅσον ἀπὸ τῆς νε' ὀλυμπιάδος ἐπὶ Ὤγυγον, ὃς ἔκτισεν Ἐλευσῖνα. ὅθεν ἐπι-
σημότερον ἐπικαταλαβεῖν τὴν Ἀττικὴν χρονογραφίαν· ὀλίγα δὲ τούτων
ἐν Ἀσσυρίοις λόγοις ἀρχαιότερα μυθεύεται. πρῶτος ἦρξε Νίνος ἁπάσης
20 τῆς Ἀσίας, πλὴν Ἰνδῶν, ἔτεσι τριακοσίοις, οὐ πολὺ πρότερον Ὠγύγου.
τοῦτον διεδέξατο Σεμίραμις ἡ διαβόητος, ἣ πολλαχοῦ τῆς γῆς ἤγειρε
χώματα προφάσει μὲν διὰ τοὺς κατακλυσμούς, τὰ δ' ἦν ἄρα τῶν ἐρω-
μένων ζώντων κατορυσσομένων οἱ τάφοι, ὡς Κτησίας ἱστορεῖ· ὥστε οὐδὲν
ἀξιομνημόνευτον Ἕλλησιν ἱστορεῖται πρὸ Ὠγύγου, πλὴν Φορωνέως τοῦ
25 συγχρονίσαντος αὐτῷ καὶ Ἰνάχου τοῦ Φορωνέως πατρός, ὃς πρῶτος
Ἄργους ἐβασίλευσεν, ὡς Ἀκουσίλαος ἱστορεῖ. τούτου θυγάτηρ Ἰώ, ἣν
Ἶσιν μετονομάσαντες σέβουσι.

Καὶ τοσαῦτα μὲν πρὸ Ὠγύγου. κατὰ δὲ τοὺς τούτου χρόνους ἐξῆλθε

4–7 Africani fragmentum om. Routh; cf. Exc. Barb. 38b, Ecl. Hist. 176, 2 || 8–18 Africanus fr. 22 Routh = Euseb. Praep. Euang. 10, 9–10 || 19–23 Africanus fr. 22 Routh; desunt haec apud Euseb. Praep. Euang.; cf. Iohann. Antioch. fr. 1, 22 (FHG 4, p. 539 Müller) || 23 Ctesias FGrHist 688 F 1 || 24–26 Africanus fr. 22 Routh = Euseb. Praep. Euang. 10, 10, 7 || 26 Acusilaus FGrHist 2 F 21 | cf. Euseb. 2, 27f || 28 Africanus fr. 22 Routh = Euseb. Praep. Euang. 10, 10, 11

7 Φορωνέως Go. φορονέως A || 8 ἐκ τοῦδε Di. ἐκ δὲ τοῦδε A || 10 τὸν δὲ A τόνδε τὸν Euseb. || 13–14 σιε' . . . ͵ασλε' A σιζ' . . . ͵ασλζ' Euseb. || 14 ἀναλογιζόμενος A ἐπιλογιζόμενος Euseb. || 15 ͵ασλε' A ͵ασλζ' Euseb. | κατὰ ἀναλογίαν εὑρήσει A κατὰ ἀνάλυσιν εὑρίσκεται Euseb. | ταὐτὸν Euseb. αὐτὸν A || 18 Ἀττικὴν Euseb. αὐτικὴν A || 20 οὐ πολὺ] rectius fortasse ἢ πολὺ uel που, cf. infra 145, 6 || 21 διαβόητος A περιβόητος Iohann. Antioch. || 26 Ἰώ Di. ἰοῦς A

Μωυσῆς ἀπ' Αἰγύπτου. καὶ μετ' ὀλίγα· ἀπὸ Ὠγύγου τοίνυν ἐπὶ Κῦρον,
120 ὁπόσα ἀπὸ Μωυσέως ἐπὶ τῶν αὐτῶν χρόνων, ἔτη ,ασλε'. ἀλλὰ καὶ Ἑλλή-
νων δέ τινες ἱστοροῦσι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι Μωυσέα. Πο-
λέμων μὲν ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν λέγει· ἐπὶ Ἄπιδος τοῦ
Φορωνέως μοῖρα τοῦ Αἰγυπτιακοῦ στρατοῦ ἐξέπεσεν ἐν Αἰγύπτῳ, οἳ ἐν 5
τῇ Παλαιστίνῃ καλουμένῃ Συρίᾳ οὐ πόρρω Ἀραβίας ᾤκησαν. οὗτοι δηλον-
ότι οἱ μετὰ Μωυσέως· Ἀπίων δὲ Ποσειδωνίου περιεργότατος γραμ-
ματικῶν ἐν τῇ κατὰ Ἰουδαίων βίβλῳ καὶ ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν φησι
κατὰ Ἴναχον Ἄργους βασιλέα, Ἀμώσιος Αἰγυπτίων βασιλεύοντος, ἀπο-
στῆναι Ἰουδαίους, ὧν γίνεσθαι Μωυσέα. μέμνηται δὲ καὶ Ἡρόδοτος τῆς 10
ἀποστασίας ταύτης καὶ Ἀμώσιος ἐν τῇ δευτέρᾳ, τρόπῳ δὲ καὶ Ἰουδαίων
αὐτῶν, ἐν τοῖς περιτεμνομένοις αὐτοὺς καταριθμῶν καὶ Ἀσσυρίους ἐν
τῇ Παλαιστίνῃ ἀποκαλῶν, τάχα διὰ τὸν Ἀβραάμ. Πτολεμαῖός τε ὁ Μεν-
δήσιος τὰ Αἰγυπτίων ἀνέκαθεν ἱστορῶν ἅπασι τούτοις συντρέχει, ὡς
οὐδὲ ἐπίσημος ἐπὶ πλεῖον ἡ τῶν χρόνων παραλλαγή. σημειωτέον δὲ ὡς εἴ 15
τί ποτε ἐξαίρετον Ἕλλησι δι' ἀρχαιότητα μυθεύεται, μετά γε Μωυσέα
τοῦθ' εὑρίσκεται· κατακλυσμοὶ καὶ ἐκπυρώσεις, Προμηθεύς, Ἰώ, Εὐρώπη,
σπαρτοί, Κόρης ἁρπαγή, μυστήρια, νομοθεσίαι, Διονύσου πράξεις, Περ-
σεύς, ἆθλοι Ἡράκλειοι, Ἀργοναῦται, Κένταυροι, Μινώταυρος, τὰ περὶ
121 Ἴλιον, Ἡρακλειδῶν κάθοδος, Ἰώνων ἀποικία καὶ ὀλυμπιάδες. ἔδοξε δή 20
μοι τῆς Ἀττικῆς βασιλείας τὸν προειρημένον ἐκτιθέναι χρόνον, παρατι-
θέναι μέλλοντι ταῖς Ἑβραϊκαῖς ἱστορίαις τὰς Ἑλληνικάς. ἐξέστω γὰρ τῷ
βουλομένῳ παρ' ἐμοῦ τὴν ἀρχὴν κομιζομένῳ λογίζεσθαι τὸν ἀριθμὸν
ὁμοίως ἐμοί.

Οὐκοῦν τῶν ,α καὶ κ' ἐτῶν τῶν μέχρι πρώτης ὀλυμπιάδος ἀπὸ Μωυσέως 25
τε καὶ Ὠγύγου ἐκκειμένων, πρώτῳ μὲν ἔτει τὸ πάσχα καὶ τῶν Ἑβραίων
ἔξοδος ἡ ἀπ' Αἰγύπτου. ἐν δὲ τῇ Ἀττικῇ ὁ ἐπὶ Ὠγύγου γίνεται κατακλυ-
σμός, καὶ κατὰ λόγον. τῶν γὰρ Αἰγυπτίων ὀργῇ θεοῦ χαλάζαις τε καὶ
χειμῶσι μαστιζομένων εἰκὸς ἦν μέρη τινὰ συμπάσχειν τῆς γῆς, ὅτε

1–p. 73, 4 Africanus fr. 22 Routh = Euseb. Praep. Euang. 10, 10, 15–23 ‖ 3 Polemon fr. 13 FHG 3, p. 119 ‖ 7 Apion FGrHist 616 F 2 ‖ 10 Herodot. 2, 104. 162 ‖ 13 Ptolem. Mendes. FGrHist 611 F 1

[AB (72, 22–156, 28)] 2 τῶν αὐτῶν χρόνων A τὸν αὐτοῦ χρόνον Euseb. | ,ασλε' A ,ασλζ' Euseb. ‖ 5 αἰγυπτιακοῦ A Αἰγυπτίων Euseb. | ἐν αἰγύπτῳ A Αἰγύπτου Euseb. ‖ 6 καλουμένῃ A^c Euseb. λεγομένῃ ante corr. A ‖ 7 Ἀπίων δὲ ὁ Ποσειδωνίου Euseb. ἀππίων δὲ ποσιδοννίου A ‖ 10 γίνεσθαι A ἡγεῖσθαι Euseb. ‖ 11 τρόπῳ δὲ A τρόπῳ δέ τινι Euseb. ‖ 12 ἐν² A τοὺς ἐν Euseb. ‖ 14 ἱστορῶν Euseb. ἱστοριῶν A | ὡς A ὥστ' Euseb. ‖ 15 πλεῖον A πλέον Euseb. ‖ 15.16 εἴ τί A ὅ τι Euseb. ‖ 18,19 Περσεύς, ἆθλοι Euseb. περσεῦ ἄθλιοι A ‖ 20 Ἴλιον Euseb. ἰαυλίαν A ‖ 22 τὰς Ἑλληνικάς] incipit B f. 7^r ‖ 28 τῶν γὰρ A^cB Euseb. τῶν παρ' ante corr. A τῶν γὰρ παρ' Di.

Ἀθηναίους τῶν αὐτῶν Αἰγυπτίοις ἀπολαύειν εἰκὸς ἦν ἀποίκους ἐκείνων ὑπονοουμένους, ὥς φασιν ἄλλοι τε καὶ ἐν τῷ Τρικαράνῳ Θεόπομπος. ὁ μεταξὺ χρόνος παραλέλειπται, ἐν ᾧ μηδὲν ἐξαίρετον Ἕλλησιν ἱστορεῖται. μετὰ δὲ τέσσαρα καὶ ἐνενήκοντα ἔτη ἦν Προμηθεύς, ὥς τινές.

5 *Ταῦτα ὁ Ἀφρικανὸς ἐν τῷ τρίτῳ λόγῳ φιλαλήθως καὶ ἐμμαρτύρως ἱστορῶν ἀξιοπιστότερος εἶναί μοι δοκεῖ κατὰ πάντα Εὐσεβίου, ἐν τούτῳ τῷ κατὰ τὸν Μωυσέα καὶ τὴν ἀπ' Αἰγύπτου πορείαν λόγῳ ἔχων, ὡς προείρηται, καὶ τοὺς ἐκ περιτομῆς ὁμοφώνους καὶ τοὺς κατὰ Χριστὸν φιλοσοφήσαντας ἐξ Ἑλλήνων Κλήμεντα τὸν Στρωματέα καὶ Τατιανόν,* 122
10 *ὡς αὐτὸς Εὐσέβιος ἐν τῷ προοιμίῳ τοῦ κανόνος ὧδέ πως γράφων συμμαρτυρεῖ.*

Μωυσέα γένος Ἑβραῖον, προφητῶν ἁπάντων πρῶτον, ἀμφὶ τοῦ σωτῆρος ἡμῶν, λέγω δὲ τοῦ Χριστοῦ, ἀμφί τε τῆς τῶν ἐθνῶν δι' αὐτοῦ θεογνωσίας χρησμοὺς καὶ λόγια θεῖα γραφῇ παραδεδωκότα, τοῖς χρόνοις ἀκμά-
15 *σαι κατὰ Ἴναχον εἰρήκασιν ἄνδρες ἐν παιδεύσει γνώριμοι, Κλήμης, Ἀφρικανός, Τατιανὸς τοῦ καθ' ἡμᾶς λόγου, τῶν τε ἐκ περιτομῆς Ἰώσηππος καὶ Ἰοῦστος, ἰδίως ἕκαστος τὴν ἀπόδειξιν ἐκ παλαιᾶς ὑποσχὼν ἱστορίας. Ἴναχος δὲ τῶν Ἰλιακῶν ἔτεσιν ἑπτακοσίοις πρεσβεύει. Ἑλληνικῶν δὲ φιλοσόφων, ὅστις ποτὲ ἦν ἐκεῖνος ἀνὴρ ὁ τὴν καθ' ἡμῶν συσκευὴν προ-*
20 *βεβλημένος, ἐν τῇ δ' τῆς εἰς μάτην αὐτῷ πονηθείσης καθ' ἡμῶν ὑποθέσεως πρὸ τῶν Σεμιράμεως χρόνων τὸν Μωυσέα γενέσθαι φησί· βασιλεύει δὲ Ἀσσυρίων ἡ Σεμίραμις πρόσθεν ἔτεσι ν' πρὸς τοῖς ρ'. ὥστε εἶναι κατὰ τοῦτον τῶν Τρωικῶν Μωυσέα πρεσβύτερον ν' καὶ ω' ἔτεσιν.*

Ἐγὼ δὲ περὶ πολλοῦ τὸν ἀληθῆ λόγον τιμώμενος καὶ τὸ ἀκριβὲς ἀν-
25 *ιχνεῦσαι διὰ σπουδῆς προὐθέμην· ἔνθεν ὁρμηθεὶς ἐν μὲν τῇ πρὸ ταύτης συντάξει ὕλας ἐκπορίζων ἐμαυτῷ χρόνων ἀναγραφὰς συνελεξάμην παντοίας, βασιλείας τε Χαλδαίων, Ἀσσυρίων, Μήδων, Περσῶν, Λυδῶν, Ἑβραίων, Αἰγυπτίων, Ἀθηναίων, Ἀργείων, Σικυωνίων, Λακεδαιμονίων, Κορινθίων, Θετταλῶν, Μακεδόνων, Λατίνων, οἷς ὕστερον γέγονεν ἐπίκλην* 123
30 *ὄνομα Ῥωμαῖοι· ὁμοῦ γίνονται ιε'.*

2 ex libro Anaximenis Lampsaceni sub titulo Theopompi Tricaranus FGrHist 72 F 20 || 4 cf. Euseb. 2, 35ᶜ; Gelzer 1, 124 || 9 Clem. Alex. Strom. 1, 101 | Tatian. ad Graec. 38 || 12 – p. 74, 20 Euseb. 2, 7, 11 – 10, 4; cf. Eustath. Antioch. PG 18, 708

3 *ἱστορεῖται* AB *ἱστόρηται* Euseb. || 5 *τῷ* A om. B || 7 *τὸν* A om. B | *τὴν ἀπ'* B *τῆς* A | *λόγῳ ἔχων* scripsi *λόγον ἔχων* A *λόγων ἔχων* B || 10 *αὐτὸς* B *αὔτως* A || 12 *Ἑβραῖον* Scal. *ἑβραίων* AB | *τοῦ σωτῆρος* Scal. *τοὺς πρὸ ἐξ* AB || 14 *θεῖα* A *θεία* B *θείᾳ* Go. *diuinas leges sacris litteris* Hieron. || 18 *Ἰλιακῶν* Go.ᵐ *ἡλιακῶν* AB | *ἔτεσιν* B *ἔστησεν* A | *πρεσβεύει* Di. *πρεσβεύειν* A legi nequit per lituram in B || 20 *αὐτῷ* Scal. *αὐτῶν* AB || 23 *τοῦτον* A *τούτων* B || 26 *συντάξει* B *προτάξει* A || 29 *μακεδόνων* B *μακεδονίων* A | *λατίνων* A *λατείνων* B

Ἐν δὲ τῷ παρόντι ἐπὶ τὸ αὐτὸ τοὺς χρόνους συναγαγὼν καὶ ἀντιπαραθεὶς
ἐκ παραλλήλου τὸν παρ᾿ ἑκάστῳ ἔθνει τῶν ἐτῶν ἀριθμὸν χρονικοῦ κανό-
νος σύνταξιν ἐποιησάμην, εὑρών τε παρ᾿ Ἑβραίοις διαφόρους τῶν χρόνων
ἀποδόσεις, τὴν μὲν πλεονάζουσαν, τὴν δὲ ἐλλείπουσαν, οὐ τὴν ἐμαυτῷ
κεχρησμένην, λέγω δὲ τὴν πλήθουσαν, ἥρπασα, τὴν δὲ ἐνδέουσαν μετῆλθον· 5
πλὴν ἀλλὰ καὶ οὕτω κατὰ μὲν Ἴναχον, ὃν πρῶτον Ἕλληνες Ἄργους βασι-
λεῦσαί φασι, τῶν Ἑβραίων προπάτορα Ἰσραὴλ γενόμενον εὗρον, ἐξ οὗ τὸ
δωδεκάφυλον τοῦ Ἰουδαίων ἔθνους τῆς τοῦ Ἰσραὴλ ἐπωνυμίας ἠξιώθη,
κατὰ δὲ τὴν Σεμίραμιν τὸν Ἀβραάμ, Χαλδαῖον μὲν τὸ γένος, ἄλλως δὲ
ἄνδρα θεοφιλῆ καὶ πρῶτον τῶν παρ᾿ Ἑβραίοις προφητῶν εἶναι πεπιστευ- 10
μένον, Μωυσέα δέ, φιλαλήθως εἰπεῖν, τούτων μὲν νεώτερον, τῶν δὲ παρ᾿
Ἕλλησιν ἀρχαιολογουμένων ἁπάντων πρεσβύτατον, Ὁμήρου λέγω καὶ
124 *Ἡσιόδου, καὶ αὐτῶν γε τῶν Τρωικῶν, καὶ ἔτι Διοσκούρων, Ἀσκληπιοῦ,*
Διονύσου, ἡρώων τε πάντων, Ἑρμοῦ τε καὶ Ἀπόλλωνος, τῶν τε λοιπῶν
παρ᾿ Ἕλλησι θεῶν, μυστηρίων τε καὶ τελετῶν, Διός τε αὐτοῦ πράξεων 15
τῶν παρ᾿ Ἕλλησι μνημονευομένων· τούτων γὰρ ἁπάντων τὴν ἱστορίαν
νεωτέραν τῆς Κέκροπος ἡλικίας παῖδες Ἑλλήνων παραδιδόασι. Μωυσέα
δὲ ἡ παροῦσα συνεξέτασις τῶν χρόνων γενέσθαι κατὰ Κέκροπα τὸν διφυῆ,
ὃν πρῶτόν φασι τῆς Ἀττικῆς βασιλεῦσαι, συνίστησι πρὸ τῶν Ἰλιακῶν
ἀμφὶ τὰ τν΄ ἔτη. 20

Ὅτι μὲν οὖν αὐτὸς ἑαυτῷ τὴν ἀτοπίαν τοῦ λόγου μεμαρτύρηκεν Εὐσέ-
βιος ἀρκεῖ πρὸς κατανόησιν τοῖς γε ποσῶς μετεσχηκόσι παιδεύσεως ἄλλης
τε καὶ τῆς ἐν ἱστορίαις παλαιαῖς ὁμολογουμένης. ἐν γὰρ αὐτῷ πρὸς ἀνα-
τροπὴν τῶν συγγεγραμμένων ἤρκει τοῦτο καὶ μόνον, τὸ ταῖς τοσαύταις
τηλικούτων δόξαις ἀνδρῶν φιλοσόφων ἀντιπεσεῖν, ἀμάρτυρόν τε τὴν παρ᾿ 25
ἑαυτοῦ παρεισαγαγεῖν. ταῦτα γὰρ ταῖς τῶν πολλῶν, μᾶλλον δὲ τῶν πάν-
των δόξαις ἀντεισαγόμενα, μόλις ἂν καὶ μετὰ πολλῆς προσδεχθεῖεν τῆς
ἀποδείξεως παρὰ τοῖς εὖ εἰδόσι ταῦτα κρίνειν. ὅτι δὲ καὶ ἐξ ἑτέρων τριῶν
ὑποθέσεων ἑαυτόν τε καὶ τὴν ἀλήθειαν ὦπται παραλογισάμενος ἐντεῦθεν
φανερόν. εἰπὼν γὰρ διαφόρους χρόνων ἀποδόσεις παρ᾿ Ἑβραίοις εὑρηκέναι, 30
125 *τὴν μὲν πλήθουσαν, τὴν δὲ ἐλλείπουσαν, ταύτῃ τε κατακολουθῆσαι, πρῶ-*
τον μὲν διαψεύδεται· τῇ γὰρ πλεοναζούσῃ τῶν δύο, τῆς τε κατὰ τὸ

6–20 ps. Sym. f. 34ᵛ = Cedr. 76, 5–18

2 *τὸν* **A** *τῶν* **B** ‖ **4–5** *ἐλλείπουσαν . . . τὴν δὲ* **B** om. **A** ‖ **6** *μὲν* **A** om. **B** ‖ **8** *τοῦ*[1] **B** *τοῦ δὲ* **A** ‖ **11** *τούτων* **A** *τοῦτο* **B** | *τῶν* **A** *τὸν* **B** ‖ **12** *ἀρχαιολογουμέ-νων* **A** *ἀρχαιολογούμενον* **B** ‖ **13** *Ἡρακλέους τε καὶ Μουσαίου καὶ Λίνου ἔτι τε Χείρωνος* post *Τρωικῶν* add. Eustath. et Hieron. om. **AB** et ps. Sym. | *διοσκού-ρων* **B** *διοσκόρων* **A** ‖ **14** *διονύσου* **B** *διονύσσου* **A** ‖ **15–16** *πράξεων τῶν παρ᾿ ἕλ-λησι μνημονευομένων* **AB** *καὶ τῶν παρ᾿ ἕλλησι μνημονευομένων πράξεων* ps. Sym. ‖ **17** *παραδιδόασι* **B** *παραδιδώασιν* **A** ‖ **19** *Ἰλιακῶν* Go.ᵐ *ἡλιακῶν* **AB** *ἰλίου* ps. Sym. ‖ **26** *ἑαυτοῦ* **B** *αὐτοῦ* **A** | *ταῦτα γὰρ ταῖς* **B** *τὰ γὰρ τοῖς* **A**

Ἑβραϊκὸν τῆς τε παρὰ Σαμαρείταις, ἐκδόσει τῶν ο′ κέχρηται, ὥς φησιν
ἐν τῷ πρώτῳ λόγῳ.

Ἄλλως τε, εἰ καὶ ἀληθεύοι χρησάμενος τῇ ἐλλειπούσῃ, πόρρω φιλαλή-
θους σκοποῦ πέπραχε. τῆς τε γὰρ περὶ τὸ θεωρητικὸν ἀρετῆς μεσότης
5 ἐστὶν ἀλήθεια, τὰς ἐλλείψεις καὶ προσθέσεις ὡς κακίας καὶ ψευδεῖς δια-
φεύγουσα, τῆς τ᾽ αὖ περὶ τὸ πρακτικὸν ἀρεταὶ μὲν αἱ μεσότητες, κακίαι
δὲ πρὸς ὑφαιρέσεις μεμαρτύρηνται. οὐκ ἄρα λοιπὸν εὖ πεποίηκεν ἐξακο-
λουθήσας ἐλλειπούσῃ γραφῇ περὶ τοὺς χρόνους. ἴσον γάρ, εἰ καὶ ἐκ δια-
μέτρου τὸ κακόν, τῇ τε προσθήκῃ παρέπεται καὶ τῇ ἐλλείψει τὸ ψεῦδος.
10 διαμαρτάνει δὲ τοῦ ἀληθοῦς κἂν τῷ λέγειν Μωυσέα κατὰ Κέκροπα τὸν
διφυῆ πρεσβύτερον πάντων τῶν παρ᾽ Ἕλλησι θεῶν καὶ μυστηρίων, Διός
τε αὐτοῦ πράξεων, ἃς νεωτέρας τῆς Κέκροπος ἡλικίας παρ᾽ Ἕλλησι πέ-
φυκε δόξα· τὸν Δία πρώτῃ γυναικῶν μιγῆναι Νιόβῃ τῇ Ἰνάχου· Ἴναχος
δὲ κατὰ τὴν Εὐσεβίου σύνθεσιν ἔτεσι τριακοσίοις προτερεύει Κέκροπος·
15 οὕτω δὲ σχεδὸν καὶ κατὰ τὸν Ἀφρικανόν.

Ἀλλὰ καὶ αὐτὸς οὗτος Εὐσέβιος περὶ Διὸς καὶ Νιόβης, Φορωνέως τε καὶ
Ἰνάχου, κατὰ τὸ ν′ ἔτος τοῦ Ἰακὼβ ταῦτα παρέθετο ἐν τῷ κανόνι αὐτοῦ.
Φορωνεὺς οὗτος Ἰνάχου καὶ Νιόβης παῖς, ὃς πρῶτος νόμους καὶ κριτήρια 126
ὥρισε, τινὲς δὲ αὐτοῦ Φορωνέως τὴν Νιόβην θυγατέρα φασὶν Ἕλληνες, ἐξ
20 ἧς ποιεῖται παῖδα Ἆπιν τὸν καὶ Σέραπιν. εἰ δ᾽ ἄρα ταῦτά γε ἀληθῆ ἢ καὶ
ψευδῆ ὄντα παρ᾽ Ἕλλησιν ἐπὶ Ἰνάχου καὶ Φορωνέως τῷ μοιχῷ πέπρακται
Διί, φέρονται πράξεις τοῦ αὐτοῦ Διὸς παρ᾽ Ἕλλησι πρὸ Κέκροπος τοῦ
διφυοῦς ἱστορούμεναι, ὧν μία αὕτη καὶ ἐπίσημος ἡ περὶ Νιόβης, ἣν πρώτην
γυναικῶν ἐμοιχεύσατο Ζεύς.

25 Καὶ μάτην Εὐσέβιος Μωυσέως τε καταψεύδεται καὶ Ἑλλήνων οὕτω
πάλιν. εἰ γὰρ μετὰ Φορωνέα Μωυσῆς, κατὰ Κέκροπα τὸν διφυῆ, οὐκ ἔστι
Διὸς αὐτοῦ πράξεων καὶ πάντων τῶν παρ᾽ Ἕλλησιν ἀρχαιολογουμένων, ὡς
δέδεικται, παλαιότερος· εἰ δὲ παλαιότερος, ὡς καὶ αὐτὸς μαρτυρεῖ και
πάντες οἱ πρὸ αὐτοῦ, πέφυκε Μωυσῆς τοῦ Διός, κατὰ Ἴναχον καὶ Φορω-
30 νέα, ἐνδέχεται αὐτὸν καὶ τῶν παρ᾽ Ἕλλησι πάντων εἶναι πρεσβύτατον.
οὐδὲν γὰρ Ἕλλησι πρὸ Ἰνάχου καὶ Φορωνέως παιδὸς τῶν πρώτως Ἄργους

13 ὅτι Ζεὺς ἐμίγη τῇ Νιωβῇ ὡς μυθεύονται Ἕλληνες || 23 Νιῶβῇ δὲ πρώτῃ γυ-
ναικῶν ἐμίγη Ζεὺς ὥς φασιν

1 Euseb. 1, 45, 13 || 13 Euseb. 2, 30[h] || 15 African. fr. 22 Routh = Euseb. Praep.
Euang. 10, 10, 14 || 16 Euseb. 2, 29[e]

10 διαμαρτάνει B   διαμαρτάνῃ A | τῷ A   τὸ B || 19 τὴν νιόβην A   τὴν ἰώ-
βην B || 20 ποιεῖται A   ποιῆται B | εἰ δ᾽ B   ἡ δ᾽ A | ἢ καὶ A   καὶ B || 22 φέρον-
ται A   φέρωνται B || 23 ἱστορούμεναι A   ἱστορούμενος B | αὕτη Di.   ταύτη A
ταῦτα B || 32 lemmata om. A[m]

βασιλευσάντων Ἕλλησιν ἱστόρηται· καθ' οὓς πρῶτος καὶ μέγας ἐν τῇ
Ἀκτῇ, τῇ νῦν Ἀττικῇ λεγομένῃ, κατακλυσμὸς γέγονε βασιλεύοντος αὐτῇ
Ὠγύγου, μεθ' ὃν Κέκροψ ὁ διφυής, ἔτεσιν ρπθ' ἀβασιλεύτου μεινάσης τῆς
χώρας διὰ τὴν ἀπὸ τοῦ αὐτοῦ κατακλυσμοῦ πολλὴν φθορὰν τοσούτοις
ἔτεσιν· ὥστε ἐκ πάντων δείκνυσθαι διαμαρτάνειν ἐν τοῖς περὶ Μωυσέως 5
127 χρόνοις ἔτεσι τοὐλάχιστον διακοσίοις τὸν Εὐσέβιον· ὅθεν καὶ τὴν παρ' Αἰγυ-
πτίοις τῶν λεγομένων δυναστειῶν παρενόθευσε χρονολογίαν καὶ τὴν
παρ' Ἀσσυρίοις, ὡς ἐν τῷ τέλει τοῦ κανονίου τῶν Ἀσσυρίων βασιλέων
δειχθήσεται, καὶ τὴν παρ' Ἕλλησι δέ, καθὼς ἀποδέδεικται. τοῦτο γὰρ
ἡμῖν ἐνταῦθα προὔκειτο κατὰ Ἄμωσιν μέν, τὸν καὶ Τέθμωσιν, υἱὸν Ἀσὴθ 10
τοῦ πρώτου βασιλέως τῆς κατ' Αἴγυπτον ὀκτωκαιδεκάτης δυναστείας,
δεῖξαι τὴν Μωυσέως γένεσιν, εἴ γε τριάκοντα ἔτη λογισώμεθα τῷ αὐτῷ
Ἀμώσει, καὶ ις' τῷ πατρὶ αὐτοῦ Ἀσήθ· εἰ δέ, ὡς τὰ πλεῖστα καὶ ἀκριβέ-
στερα τῶν ἀντιγράφων, κ' μὲν τῷ Ἀσήθ, κς' δὲ τῷ Ἀμώσει, ἔσται γεν-
νηθεὶς κατὰ κζ' ἢ καὶ κς' ἔτος τοῦ αὐτοῦ Ἀσήθ, ὅπερ ἡμῖν εὕρηται μετὰ 15
πολλῆς τῆς ἀκριβείας συντρέχων τῷ ,γψλβ' ἔτει τοῦ κόσμου, νε' δὲ Ἰνάχου
τοῦ πρώτου βασιλέως Ἀργείων, καθ' οὓς Ἀσσυρίων μὲν Σφαῖρος, Σι-
κυωνίων δὲ Ὀρθόπολις ἐβασίλευον. μετὰ δὲ ἔτη π' Ὤγυγον καὶ τὸν ἐπ' αὐ-
τοῦ κατακλυσμὸν Ἄπιδος τοῦ Φορωνέως Ἀργείων βασιλεύοντος ἔτι,
Αἰγυπτίων δὲ Μισφραγμουθώσεως τοῦ καὶ Ἀμώσιος ἔτι, Ἀσσυρίων δὲ 20
ἔτι καὶ Σικυωνίων.

Τετάχθωσαν δὲ ἡμῖν ἐφεξῆς αἱ λοιπαὶ δυναστεῖαι τῶν Αἰγύπτου βασι-
128 λέων ἀπὸ τῆς αὐτῆς ιη' καὶ τοῦ πρώτου βασιλέως αὐτῆς Ἀμὼς μὲν κατὰ
Ἀφρικανόν, κατὰ δὲ Εὐσέβιον Ἀμώσιος, κατὰ δὲ τὸ παρὸν χρονογραφεῖον
καὶ ἕτερα ἀκριβῆ, ὡς δειχθήσεται, δευτέρου τῆς αὐτῆς ιη' δυναστείας 25
Ἀμώσιος.

ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Ὀκτωκαιδεκάτη δυναστεία Διοσπολιτῶν ις'

ὧν πρῶτος Ἀμώς, ἐφ' οὗ Μωυσῆς ἐξῆλθεν ἀπ' Αἰγύπτου, ὡς ἡμεῖς ἀπο-
δείκνυμεν· ὡς δ' ἡ παροῦσα ψῆφος ἀναγκάζει, ἐπὶ τούτου τὸν Μωυσέα 30
συμβαίνει νέον ἔτι εἶναι.

1–5 cf. infra 173, 25 = African. fr. 22; Castor FGrHist 250 F 4 = Euseb. 1, 85, 6–23 || 8 infra 197–198 || 20 cf. infra 147, 2; Barhebraeus 15 || 27 African. fr. 11, p. 256 Routh = Manetho FGrHist 609 F 2, p. 36 Jac.

1 Ἕλλησιν delere maluerunt Go. Di. || 6 αἰγυπτίοις B αἰγυπτίων A || 12 γένεσιν B γέννησιν A || 14 τῷ Ἀμώσει Di. τῶν ἄμωσει B τὸν ἄμωσιν A || 15 ἢ καὶ B ἢ A || 16 συντρέχων τῷ Di. συντρεχόντων A συντρέχων B | ,γψλβ' etiam 77, 5 et ut uidetur Annianus apud Barhebraeum 15 ,γψλζ' infra 147, 2 || 17 σφαιρός B σφαιδρός A || 20 ἀμώσιος B ἀμώσεως A || 29 ἐφ' B ἀφ' A

Οἶμαι τὸν Ἀφρικανὸν ἀγνοεῖν ὅτι καὶ ὁ παρ' αὐτῷ Ἀμὼς Ἄμωσις ἐκαλεῖτο ὁ αὐτὸς καὶ Τέθμωσις υἱὸς Ἀσήθ, ὡς δηλωθήσεται· καὶ ὁ μετ' αὐτὸν ἕκτος Μισφραγμούθωσις ὁμοίως καὶ Ἄμωσις εὕρηται λεγόμενος. ἀλλὰ κατὰ μὲν τὸν πρῶτον Ἄμωσιν, ἤτοι Ἀμὼς παρ' αὐτῷ, ἢ πρὸ δ' τῆς ἀρχῆς 5 αὐτοῦ ἐτῶν, Μωυσῆς γεγένηται, ὡς δεδήλωται, κατὰ τὸ ,γψλβ' ἔτος τοῦ κόσμου· κατὰ δὲ τὸν δεύτερον Ἄμωσιν, τὸν καὶ Μισφραγμούθωσιν, Μωυσῆς ἐξῆλθεν ἀπ' Αἰγύπτου σὺν τῷ λαῷ τῷ ,γωιβ' ἔτει τοῦ κόσμου, π' δὲ αὐτοῦ.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ 129

10 Ὀκτωκαιδεκάτη δυναστεία Διοσπολιτῶν βασιλέων ιδ' ὧν πρῶτος Ἄμωσις ἔτη κε'.

Πρὸ τούτου τοῦ Ἀμώσεως τέταρτον καὶ τελευταῖον τῆς ιζ' δυναστείας Ἄφωφιν Εὐσέβιος παρέθετο παραλόγως, καθ' ὃν πάντες ὁμολογοῦσι τὸν Ἰωσὴφ ἄρξαι Αἰγύπτου, ὃν ἐτῶν ιδ' φησὶ βασιλεῦσαι, πάντων ξα' ἔτη 15 ὁμολογούντων αὐτὸν βεβασιλευκέναι τῶν πρὸ Εὐσεβίου. ὅσα γοῦν πόσοις ἔτεσι τὸν Ἄμωσιν προγεγονέναι Μωυσέως καὶ τῆς ἐξόδου παρελογίσατο, ἵνα μὴ λέγω συνελογίσατο. μαρτυρεῖ δὲ καὶ Ἀφρικανὸς ἕκτον βασιλέα Ἄφωφιν κατὰ τὴν ιε' δυναστείαν ἔτη ξα' τῆς Αἰγύπτου βασιλεῦσαι.

Εἰ δὲ τοῖς χρόνοις πεπλεονακέναι δοκεῖ ἀπὸ Ἀφώφεως ἐπὶ Ἄμωσιν, 20 τοῦτο παρὰ τῆς Αἰγυπτίων ἔπαθεν ἀσυμφωνίας, οὕτω παρὰ Μανεθῶ κείμενα εὑρών· πλείω γὰρ π' τῶν ἀπὸ Ἰωσὴφ ἐτῶν ἐπὶ Μωυσέα.

Οἱ λοιποὶ βασιλεῖς Αἰγύπτου τῆς ιη' δυναστείας μετὰ τὸν πρῶτον παρὰ Ἀφρικανῷ Ἀμώς 130

Δεύτερος κατὰ Ἀφρικανὸν κατὰ τὴν ιη' δυναστείαν ἐβασίλευσε Χεβρὼς 25 ἔτη ιγ'.

Τρίτος Ἀμενωφθὶς ἔτη κα'.

12 *ὅτι ἐπὶ Ἀφώφεως ἐβασίλευσεν Ἰωσήφ*

2 cf. Ioseph. c. Ap. 1, 94; 2, 16 || 3 cf. Ioseph. c. Ap. 1, 86 || 4–8 cf. infra 147, 3 || 9 Euseb. 1, 68, 3 = Manetho FGrHist 609 F 3, p. 37 Jac. || 14 cf. Ioseph. c. Ap. 1, 80 || 17 African. fr. 11, supra 68, 6 || 22 – p. 78, 3 Africanus fr. 11, p. 256 Routh = Manetho FGrHist 609 F 2, p. 36 Jac.

2 *τέθμωσις* B *τεθμωσῆς* A || 5 *γεγένηται* A *γεγέννηται* B | *ὡς* B *ᾧ* A | *τὸ* B *τῷ* A || 6 *τὸν καὶ* A *καὶ* B || 10 *βασιλέων* A *βασιλεὺς* B || 12 *πρὸ τούτου* B *πρώτου* A || 14 *ὃν ἐτῶν* B *ὧν ἐτῶν* A | *ἔτη* Di. *ἔτος* AB || 15 *αὐτὸν* Go.[m] *αὐτῶν* AB || 20 *τοῦτο* B *τούτῳ* A | *ἀσυμφωνίας* A *ἀφωνίας* B || 21 *εὑρών* A *εὗρον* B || 23 *Ἀμως* 76, 23 *ἄμωσιν* A *ἄμουσιν* B || 26 *κα'* Go.[m] *κδ'* AB || 27 lemma om. A[m]

Τέταρτος Ἀμενσὶς ἔτη κβ'.
Πέμπτος Μίσαφρις ἔτη ιγ'.
Ἕκτος Μισφραγμούθωσις ἔτη κς', ἐφ' οὗ ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμός.
Ὁμοῦ ἀπ' Ἀμὼς ἕως Μισφραγμουθώσεως ἀρχῆς κατὰ Ἀφρικανὸν γίνονται ἔτη ξθ'. τοῦ γὰρ Ἀμὼς οὐδ' ὅλως εἶπεν ἔτη. 5
Εἰ δ' ἄρα γε κατὰ τὴν Εὐσεβίου στοιχείωσιν δῶμεν κε' ἔτη τοῦ Ἀμὼς καὶ κς' τοῦ Μισφραγμουθώσεως, ἢ κατὰ Ἀφρικανὸν καὶ Εὐσέβιον ἔσονται ἀπὸ ἀρχῆς Ἀμὼς ἕως τέλους Μισφραγμουθώσεως ἔτη ρκ', ὅσα καὶ τῆς ζωῆς Μωυσέως πεπίστευται εἶναι. καὶ πῶς ἐστι δυνατὸν ἀπὸ τῆς ἀρχῆς Μωυσέως, εἴτουν τῆς ἐξ Αἰγύπτου πορείας, ἐὰν κατὰ τὸν Ἀμὼς δῶμεν 10 *αὐτὸν ἐξεληλυθέναι, ὡς Ἀφρικανῷ δοκεῖ, ἢ ἀπὸ τῆς νεότητος, ὡς αὐτὸς* 131 *διαπορεῖ, ἕως τελευτῆς αὐτοῦ Μωυσέως τοὺς δύο κατακλυσμοὺς παρ' Ἕλλησι βεβοημένους γεγονέναι; λέγω δὴ τὸν πρῶτον ἐπὶ Ὠγύγου ἐν τῇ Ἀττικῇ καὶ τὸν ἐπὶ Δευκαλίωνος ἐν Θετταλίᾳ χρόνοις ὕστερον σμη', ἀναμφιλέκτως συμβάντα ἐπὶ Κραναοῦ αὐτόχθονος δευτέρου βασιλέως Ἀθήνησιν.* 15 *ἵνα γὰρ ἐπὶ Ἀμὼς δῶμεν αὐτὸν γεγενῆσθαι, ὅπερ μᾶλλον συμφωνεῖ τοῖς Ἰνάχου χρόνοις, καὶ ἐπὶ Μισφραγμουθώσεως τετελευτηκέναι, διπλοῦς ὁ τῶν χρόνων πλείων πέφυκεν ἀριθμός, ὡς αὐτὸς Ἀφρικανὸς μεμαρτύρηκεν ἐν ἀρχῇ τοῦ τρίτου λόγου εἰπών· ἀπὸ μὲν Ὠγύγου διὰ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ πολλὴν φθορὰν ἀβασίλευτος ἔμεινεν ἡ νῦν Ἀττικὴ ἔτεσιν ρπθ'.* 20 *εἶτα Κέκροψ ὁ διφυὴς ἔτη ν'. Κραναὸς αὐτόχθων μετὰ Κέκροπα ἔτη θ'. ὁμοῦ γίνονται ἀπὸ τοῦ ἐπὶ Ὠγύγου κατακλυσμοῦ ἐπὶ Κέκροπα πρῶτον βασιλέα Ἀθήνησι καὶ τὸν μετ' αὐτὸν δεύτερον Κραναὸν ἔτη σμη'. τὰ δ' αὐτὰ καὶ ἀπὸ τῆς ἐξόδου Μωυσέως καὶ Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως τοῦ ἐπὶ Δευκαλίωνος κατακλυσμοῦ ἐν Θετταλίᾳ. ὅ τε γὰρ ἐπὶ Ὠγύγου κατακλυ-* 25 *σμὸς ἐπὶ Φορωνέως καὶ τῆς ἀπ' Αἰγύπτου πορείας τοῦ λαοῦ ἱστορεῖται*

10 *διὸ καὶ διηπόρησεν ὁ Ἀφρικανὸς θέλων μὲν κατ' Ἀμὼς εἰπεῖν τὴν ἔξοδον ὁμοφωνῶν τοῖς πρὸ αὐτοῦ, ὑπὸ δὲ τῆς ψήφου μὴ συγχωρούμενος, ἀγνοῶν δὲ ὅτι ἄμφω ἀληθῆ· νέος τε γὰρ ἦν ἐπὶ τοῦ α' Ἀμώσιος καὶ ἐπὶ τοῦ β' ἐξῆλθεν ἐξ Αἰγύπτου σὺν τῷ λαῷ*

12–15 cf. ps. Sym. f. 25ᵛ = Cedr. 26, 15 ‖ **14–15** cf. Marm. Par. FGrHist 239 A 3, Clem. Alex. Strom. 1, 136, 4, Tatian. ad Graec. 39 ‖ **18–p. 79, 2** cf. African. fr. 22 Routh = Euseb. Praep. Euang. 19, 9–10 ‖ **19–23** cf. Castor FGrHist 250 F 4 = Euseb. 1, 85, 15–86, 23

1 *ἀμενσὶς* **B** *ἀμερσὶς* **A** ‖ **3** *ἔτη* **A** *ἔτι* **B** ‖ **4** *ἀπ' Ἀμὼς ἕως* scripsi *ἀπὸ μωσέως* **AB** *ἐπὶ Ἀμώσεως τοῦ καὶ* Di. ‖ **5** *εἶπεν* Go.ᵐ *εἰπεῖν* **AB** ‖ **6** et **7** *τοῦ* **A** *τῷ* **B** ‖ **7** *Μισφραγμουθώσεως* Di. *μισφραγμούθεως* **AB** ‖ **8** *Μισφραγμουθώσεως* Di. *μισφραγμούθεος* **A** *μισφραγμούθεως* **B** | *ρκ'* **B** *κ'* **A** ‖ **10** *εἴτουν* Di. *ἤτουν* **AB** ‖ **11** *αὐτὸς* Go.ᵐ *αὔτως* **AB** ‖ **15** *κρανάου* **B** *κρανάο* **A** ‖ **17** *Μισφραγμουθώσεως* Go.ᵐ *σφραγμούθεως* **A** *μισφραγμούθεως* **B** ‖ **22** *ἀπὸ τοῦ* **A** *ἀπὸ* **B** ‖ **23** *ἀθήνησι* **B** *ἐπὶ ἀθήνησι* **A** ‖ **27** *κατ' ἀμὼς* **B**ᵐ *κατὰ μωσῆν* **A**ᵐ ‖ **28** *ἀγνοοῦν* **A**ᵐ *ἀγνωῶν* **B**ᵐ

τῷ αὐτῷ Ἀφρικανῷ, καὶ ὁ ἐπὶ Δευκαλίωνος ἐπὶ Κραναοῦ δευτέρου βασιλέως Ἀθήνησιν, ὡς ἐκ τῶν αὐτοῦ συγγραμμάτων ἀποδέδεικται. οὐκ ἄρα καλῶς ἐπὶ Μισφραγμουθώσεως τὸν ἐπὶ Δευκαλίωνος λέγει κατακλυσμόν. ὁ γὰρ Μισφραγμούθωσις μετὰ τὸν Ἄμωσιν πρῶτον βασιλέα κατ᾽ αὐτὸν 132
5 *καὶ κατὰ τὸν Εὐσέβιον τῆς ιη′ δυναστείας μόλις πε′ χρόνοις ὕστερον καταλήγει. ὑπολείπεται δὴ λοιπὸν ἡμῖν λογίζεσθαι τὸν ἐπὶ Ὠγύγου κατακλυσμὸν ἐπὶ Μισφραγμουθώσεως γεγονέναι μᾶλλον, ἐφ᾽ οὗ καὶ Μωυσῆς καθ᾽ ἡμᾶς καὶ ἄλλους ἀκριβεστέρους ἐκπεπόρευται τῆς Αἰγύπτου σὺν τῷ λαῷ, ὅπερ Ἀφρικανός, συγγνώτω μοι, διαπορήσας ἀντὶ τοῦ ἐπὶ Ὠγύ-*
10 *γου τὸν ἐπὶ Δευκαλίωνος εἴρηκεν ἑαυτῷ ἀντιπίπτων. καὶ οὕτω μὲν ἐν τούτῳ διήμαρτεν οὐ συλλογισάμενος ἀκριβῶς ὅτι Κέκροψ ὁ διφυὴς καὶ Κραναὸς οἱ πρῶτοι βασιλεῖς Ἀθηναίων μετὰ Ὤγυγον, ἐφ᾽ ὧν καὶ ὁ ἐπὶ Δευκαλίωνος γέγονε κατακλυσμὸς ἐν Θετταλίᾳ, μετὰ Μισφραγμούθωσιν ἦσαν χρόνοις ὕστερον τοὐλάχιστον ρν′, ὡς αὐτὸς μαρτυρῶν ἀποδέδεικται.*
15 *Σαφῶς δὴ ἔκ τε τῶν Εὐσεβίου παραλογισμῶν πρὸς τοὺς βελτίονας αὐτοῦ, οἷς ἀντιπίπτων ἀμαρτύρως τὰ δοκοῦντα αὐτῷ συνέγραψεν, ἔκ τε τῶν Ἀφρικανῷ λελεγμένων, ὀρθῶς μὲν ἐν οἷς ἐμμαρτύρως εἴρηκε κατὰ Ἴναχον καὶ Φορωνέα γενέσθαι Μωυσέα, διηπορημένως δὲ ἐν οἷς ἢ νέον αὐτὸν ἐπὶ Ἀμώσιος εἶναι κατηναγκάσθη παρὰ τῆς ἀληθείας φάναι ἢ τῆς*
20 *Αἰγύπτου ἐκπορευθῆναι, παρέστη ἡμῖν ὅτι ἐπὶ Μισφραγμουθώσεως ἡγήσατο τοῦ λαοῦ, τοῦ καὶ Ἀμώσιος, καὶ ὅτι ἐπ᾽ αὐτοῦ καὶ ὁ ἐπὶ Ὠγύγου γέγονε κατακλυσμός.*

Οἱ λοιποὶ βασιλεῖς Αἰγύπτου τῆς ιη′ δυναστείας μετὰ τὸν πρῶτον παρ᾽ Εὐσεβίῳ Ἄμωσιν 133

25 *β′ Χεβρὼν δεύτερος ἔτη ιγ′.*
γ′ Ἀμμενῶφις ἔτη κα′.
δ′ Μιφρὴς ἔτη ιβ′.
ε′ Μισφραγμούθωσις ἔτη κς′.

Ὁμοῦ ἀπὸ Ἀμώσεως τοῦ πρώτου τῆς προκειμένης ιη′ δυναστείας ἕως
30 *Μισφραγμουθώσεως ἀρχῆς κατὰ Εὐσέβιον ἔτη γίνονται οα′. βασιλεῖς πέντε ἀντὶ τῶν ἕξ. τὸν γὰρ τέταρτον Ἀμενσὴν παραδραμών, οὗ Ἀφρικανός, ὡς καὶ οἱ λοιποί, μέμνηται, ἔτη κβ′ αὐτοῦ ἐκολόβωσεν.*

25 Euseb. 1, 68, 4–5 = Manetho FGrHist 609 F 3, p. 37 Jac.

3 *μισφραγμουθώσεως* A *μισφραγμούθεως* B ‖ 5 *πε′ χρόνοις* B *κε′ χρόνους* A ‖ 10 *ἐπὶ δευκαλίωνος* B *δευκαλίωνος* A | *εἴρηκεν* Go.ᵐ *εἰρηκέναι* AB | *ἀντιπίπτων* A *ἀντιπίπτον* B ‖ 12 *ὧν* B *ὃν* A ‖ 14 *ἦσαν* B *ἤγουν* A ‖ 16 *αὐτοῦ* B *αὐτῶν* A ‖ 17 *λελεγμένων* B *λεγομένων* A ‖ 27 *μιφρὴς* B *μιφρὶς* A ‖ 28 *μισφραγμούθωσις* A *μισφραγμούθως* B ‖ 29 *Ἀμώσεως* Di. *μωυσέως* AB ‖ 31 *οὗ*] *ὁ* AB *οὗ ὁ* Jac. ‖ 32 *μέμνηται* A *μέμνηνται* B

Οἱ λοιποὶ τῆς ιη′ δυναστείας μετὰ τὸν Μισφραγμούθωσιν
κατὰ Ἀφρικανὸν οὕτως

ζ′ *Τούθμωσις ἔτη θ′.*
η′ *Ἀμενῶφις ἔτη λα′. οὗτός ἐστιν ὁ Μέμνων εἶναι νομιζόμενος καὶ φθεγγόμενος λίθος.* 5
θ′ *Ὧρος ἔτη λζ′.*
134 ι′ *Ἀχερρῆς ἔτη λβ′.*
ια′ *Ῥαθῶς ἔτη ς′.*
ιβ′ *Χεβρὴς ἔτη ιβ′.*
ιγ′ *Ἀχερρῆς ἔτη ιβ′.* 10
ιδ′ *Ἀρμεσὶς ἔτη ε′.*
ιε′ *Ῥαμεσσῆς ἔτος α′.*
ις′ *Ἀμενωφὰθ ἔτη ιθ′.*
ὁμοῦ ἔτη σξγ′.

Ἐννεακαιδεκάτη δυναστεία βασιλέων Διοσπολιτῶν ς′ 15

α′ *Σέθως ἔτη να′.*
β′ *Ῥαψάκης ἔτη ξα′.*
γ′ *Ἀμενεφθῆς ἔτη κ′.*
δ′ *Ῥαμεσσῆς ἔτη ξ′.*
ε′ *Ἀμμενεμνῆς ἔτη ε′.* 20
ς′ *Θούωρις, ὁ παρ᾽ Ὁμήρῳ καλούμενος Πόλυβος, Ἀλκάνδρας ἀνήρ, ἐφ᾽ οὗ τὸ Ἴλιον ἑάλω, ἔτη ζ′*
ὁμοῦ ἔτη σθ′.

135 Ἐπὶ τοῦ αὐτοῦ δευτέρου τόμου Μανεθῶ βασιλεῖς ϥς′ ἔτη ͵βρκα′.

Οἱ λοιποὶ τῆς ιη′ δυναστείας μετὰ τὸν Μισφραγμούθωσιν 25
κατὰ Εὐσέβιον οὕτως

ς′ *Τούθμωσις ἔτη θ′.*
ζ′ *Ἀμένωφις ἔτη λα′. οὗτός ἐστιν ὁ Μέμνων εἶναι νομιζόμενος καὶ φθεγγόμενος λίθος.*

28 *Ση. τίς ἐστι ὁ Μέμνων καὶ νομιζόμενος φθέγγεσθαι λίθος* 30

1–24 Africanus fr. 11, p. 257 Routh = Manetho FGrHist 609 F 2, p. 38 Jac. || **25**–p. 81, **27** Euseb. 1, 68, 5–20 = Manetho FGrHist 609 F 2, p. 39 Jac.

5 *λίθος* **A** *λίθους* **B** || **11** *ἀρμεσὶς* **B** *ἀρμεσῆς* **A** || **13** *ἀμενωφὰθ* **B** *ἀμενῶφ* **A** || **15** *ς′* Müller *ζ′* **AB** nam librarius exemplaris Alcandram quasi Alcandrum septimum regem numerauit || **18** *ἀμενεφθῆς* **B** *ἀμμενεφθῆς* **A** || **21** *Πόλυβος, Ἀλκάνδρας* Di. *πολύβους ς′ ζ′ ἄλκανδρος* **A** *πολύβους ζ′ ἄλκανδρος* **B** || **24** *Μανεθῶ* Di. *μανεθῶθ* **AB** || **26** *εὐσέβιον* **B** *εὐσεβίου* **A** || **28** *ἐστιν* **B** om. **A** || **30** lemma om. **A**[m]

η' Ὧρος ἔτη λϛ'. ἐν ἄλλῳ λη'.
θ' Ἀχενχέρσης ἔτη ιβ'.
ι' Ἄθωρις ἔτη λθ'.
ια' Χενχέρης ἔτη ιϛ'.

5 ***Κατὰ τοῦτον Μωυσῆς τῆς ἐξ Αἰγύπτου πορείας τῶν Ἰουδαίων ἡγήσατο. Μόνος Εὐσέβιος ἐπὶ τούτου λέγει τὴν τοῦ Ἰσραὴλ διὰ Μωυσέως ἔξοδον, μηδενὸς αὐτῷ λόγου μαρτυροῦντος, ἀλλὰ καὶ πάντων ἐναντιουμένων τῶν πρὸ αὐτοῦ, ὡς μαρτυρεῖ.***

ιβ' Ἀχερρῆς ἔτη η'.
10 *ιγ' Χερρῆς ἔτη ιε'.*
ιδ' Ἀρμαῒς ὁ καὶ Δαναὸς ἔτη ε', μεθ' ἃ ἐκ τῆς Αἰγύπτου ἐκπεσὼν καὶ **136** *φεύγων τὸν ἀδελφὸν Αἴγυπτον εἰς τὴν Ἑλλάδα ἀφικνεῖται, κρατήσας τε τοῦ Ἄργους βασιλεύει Ἀργείων.*
ιε' Ῥαμεσσῆς ὁ καὶ Αἴγυπτος ἔτη ξη'.
15 *ιϛ' Μένωφις ἔτη μ'.*
ὁμοῦ ἔτη τμη'.

Προσέθηκεν ὑπὲρ τὸν Ἀφρικανὸν ἔτη πε' Εὐσέβιος κατὰ τὴν ιη' δυναστείαν.

Ἐννεακαιδεκάτη δυναστεία βασιλέων ε' Διοσπολιτῶν

20 *α' Σέθως ἔτη νε'.*
β' Ῥαμψὴς ἔτη ξϛ'.
γ' Ἀμμενεφθὶς ἔτη μ'.
δ' Ἀμμενεμὴς ἔτη κϛ'.
ε' Θουωρίς, ὁ παρ' Ὁμήρῳ καλούμενος Πόλυβος, Ἀλκάνδρας ἀνήρ, ἐφ'
25 *οὗ τὸ Ἴλιον ἑάλω, ἔτη ζ'.*
ὁμοῦ ἔτη ρϙδ'.

Ἐπὶ τὸ αὐτὸ β' τόμου Μανεθῶ βασιλέων ϙβ' ἔτη ͵αρκα'.

6 *Ση. ἐπὶ ποίου βασιλέως τῶν Ἰουδαίων Μωσῆς ἡγήσατο κατὰ Εὐσέβιον*

1 ann. 36 apud Ioseph. c. Ap. 1, 96; 38 apud Euseb. 2, 40, 3; 35 Euseb. 2, 158 Arm., sed 37 in filo 160; 28 Euseb. 1, 68, 7 || 2 *ιβ'* A ann. 12 Euseb. 2, 41, 21 et 160 Arm. | *ιβ'* . . . 4 *χενχέρης ἔτη* om. B ita ut *ἀχενχέρσης ἔτη ιϛ'* scriberetur, quam lectionem Dindorf et Jacoby adoptauerunt lineas 3–4 secludentes, quia apud Euseb. 1, 68, 7 legitur *Oros, 28 Jahre. Achencheres, 16 Jahre; unter diesem ward Moses der Juden Heerführer des Auszuges aus Egiptos.* eundem errorem in B et Euseb. 1 potius suspicor accidisse quam eandem interpolationem in A et Euseb. 2 || 11 *ἀρμαίς* B *ἀρμές* A || 14 *Ῥαμεσσῆς* Di. *ἀμμεσῆς* A *ἀμεσσὴς* B *Ramesses* Euseb. || 15 *μένωφις* A *μενωφὶς* B *Ἀμένωφις* Di. *Menophis* Euseb. 2 *Amenophis* Euseb. 1 || 21 *ῥαμψῆς* B *ῥάψης* A || 23 *κϛ'* A Euseb. *κβ'* B || 24 *Πόλυβος, Ἀλκάνδρας* Di. *πολύβους ϛ' ἄλκανδρος* AB || 28 lemma om. A[m]

137 ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Τρίτου τόμου Μανεθῶ

Εἰκοστὴ δυναστεία βασιλέων Διοσπολιτῶν ιβ', οἳ ἐβασίλευσαν ἔτη ρλε'

Πρώτη καὶ εἰκοστὴ δυναστεία βασιλέων Τανιτῶν ζ'

α' Σμενδὴς ἔτη κς'. 5
β' Ψουσέννης ἔτη μς'.
γ' Νεφελχερὴς ἔτη δ'.
δ' Ἀμενωφθὶς ἔτη θ'.
ε' Ὀσοχὼρ ἔτη ς'.
ς' Ψιναχῆς ἔτη θ'. 10
ζ' Ψουσέννης ἔτη ιδ'.
ὁμοῦ ἔτη ρλ'.

Εἰκοστὴ δευτέρα δυναστεία Βουβαστιτῶν βασιλέων θ'

α' Σέσωγχις ἔτη κα'.
β' Ὀσορθὼν ἔτη ιε'. 15
138 *γ' δ' ε' ἄλλοι τρεῖς ἔτη κε'.*
ς' Τακέλωθις ἔτη ιγ'.
ζ' η' θ' ἄλλοι τρεῖς ἔτη μβ'.
ὁμοῦ ἔτη ρκ'.

Τρίτη καὶ εἰκοστὴ δυναστεία Τανιτῶν βασιλέων δ' 20

α' Πετουβάτης ἔτη μ', ἐφ' οὗ ὀλυμπιὰς ἤχθη.
β' Ὀσορχὼ ἔτη η', ὃν Ἡρακλέα Αἰγύπτιοι καλοῦσι.
γ' Ψαμμοῦς ἔτη ι'.
†δ' Ζὴτ ἔτη λα'.†
ὁμοῦ ἔτη πθ'. 25

Τετάρτη καὶ εἰκοστὴ δυναστεία

Βόχχωρις Σαΐτης ἔτη ς', ἐφ' οὗ ἀρνίον ἐφθέγξατο, ἔτη ϡς'.

27 *Ση. περὶ τοῦ ἀρνίου*

1–p. 83, 6 Africanus fr. 11, p. 258–260 Routh = Manetho FGrHist 609 F 2, p. 44–48 Jac.

1 *κατὰ* A *κατὰ δὲ* B || 2 *μανεθῶ* A *μανεθὼθ* B || 4 *ζ'* B *νζ'* A || 5 *σμενδὴς* B *σμεδῆς* A || 6 *ψουσέννης* B *ψουσένης* A^c *ψουνέσης* ante corr. A | *μς'* AB *μα'* corr. Di. || 9 *ὀσοχὼρ* B *ὀσοχὸρ* A || 11 *ψουσεννὴς* B *σουσέννης* A | *ιδ'* AB *λε'* Di. ex Euseb. || 13 *βασιλέων*] *B^x B^x* A *βασιλεῖς* B || 14 *σεσώγχις* B *σέσογχις* A *Σεσόγχωσις* Di. || 15 *ὀσορθὼν* B *ὀσωρθῶν* A || 17 *τακέλωθις* B *τακέλλωθις* A || 21 *ἐφ'* Go.^m *ἀφ'* AB || 24 *ζὴτ* AB *ζητεῖται* Flinders-Petrie | *λα'* A *λδ'* B || 27 *ἔτη ϡς'*] fortasse *ἔτη ὁμοῦ ςε'* || 28 lemma om. A^m

Πέμπτη καὶ εἰκοστὴ δυναστεία Αἰθιόπων βασιλέων γ'

α' *Σαβάκων, ὃς αἰχμάλωτον Βόχχωριν ἑλὼν ἔκαυσε ζῶντα, καὶ ἐβασίλευσεν ἔτη η'.*
β' *Σεβιχὼς υἱὸς ἔτη ιδ'.* 139
5 γ' *Τάρκος ἔτη ιη'.*
ὁμοῦ ἔτη μ'.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ

Τρίτου τόμου Μανεθῶ

Εἰκοστὴ δυναστεία βασιλέων Διοσπολιτῶν ιβ', οἳ ἐβασίλευσαν ἔτη ροη'

10 ### Εἰκοστὴ πρώτη δυναστεία βασιλέων

α' *Σμενδὶς ἔτη κϛ'.*
β' *Ψουσέννης ἔτη μα'.*
γ' *Νεφερχερὴς ἔτη δ'.*
δ' *Ἀμμενωφθὶς ἔτη θ'.*
15 ε' *Ὀσοχὼρ ἔτη ϛ'.*
ϛ' *Ψινάχης ἔτη θ'.*
ζ' *Ψουσέννης ἔτη λε'.*
ὁμοῦ ἔτη ρλ'.

Εἰκοστὴ δευτέρα δυναστεία Βουβαστιτῶν βασιλέων τριῶν

20 α' *Σεσόγχωσις ἔτη κα'.*
β' *Ὀσορθὼν ἔτη ιε'.* 140
γ' *Τακέλωθις ἔτη ιγ'.*
ὁμοῦ ἔτη μθ'.

Εἰκοστὴ τρίτη δυναστεία Τανιτῶν βασιλέων

25 α' *Πετουβάστις ἔτη κε'.*
β' *Ὀσορθὼν ἔτη θ', ὃν Ἡρακλέα Αἰγύπτιοι ἐκάλεσαν.*
γ' *Ψαμμοῦς ἔτη ι'.*
ὁμοῦ ἔτη μδ'.

7 – p. 84, 9 Euseb. 1, 68, 21 – 69, 4 = Manetho FGrHist 609 F 3, p. 45 Jac.

2 *σαβάκων* B *σαββάκων* A | *βόχχωριν* A *βόχχοριν* B || 4 *σεβιχὼς* B *σεύηχος* A || 14 *ἀμμενωφθὶς* B *ἀμενωφθὶς* A || 20 *σεσώγχωσις* B *σεσέγχωσις* A || 22 *τακέλωθις* B *τακέλλωθις* A | *ιγ'* B *ιγ' δ'* A || 25 *πετουβάστις* B *πετουβάστης* A || 26 *β'* B *β' μεθ' ὃν* A

Εἰκοστὴ τετάρτη δυναστεία

Βόχχορις Σαΐτης ἔτη μδ', ἐφ' οὗ ἀρνίον ἐφθέγξατο.
ὁμοῦ ἔτη μδ'.

Εἰκοστὴ πέμπτη δυναστεία Αἰθιόπων βασιλέων

α' *Σαβάκων, ὃς αἰχμάλωτον Βόχχοριν ἑλὼν ἔκαυσε ζῶντα, καὶ ἐβασί-* 5
λευσεν ἔτη ιβ'.
β' *Σεβιχὼς υἱὸς ἔτη ιβ'.*
γ' *Ταρακὸς ἔτη κ'.*
ὁμοῦ ἔτη μδ'.

141 ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ 10

Ἕκτη καὶ εἰκοστὴ δυναστεία Σαϊτῶν βασιλέων θ'

α' *Στεφινάτης ἔτη ζ'.*
β' *Νεχεψὼς ἔτη ς'.*
γ' *Νεχαὼ ἔτη η'.*
δ' *Ψαμμήτιχος ἔτη νδ'.* 15
ε' *Νεχαὼ δεύτερος ἔτη ς'. οὗτος εἷλε τὴν Ἱερουσαλὴμ καὶ Ἰωάχαζ τὸν*
βασιλέα αἰχμάλωτον εἰς Αἴγυπτον ἀπήγαγε.
ς' *Ψάμμουθις ἕτερος ἔτη ς'.*
ζ' *Οὔαφρις ἔτη ιθ', ᾧ προσέφυγον ἁλούσης ὑπὸ Ἀσσυρίων Ἱερουσαλὴμ*
οἱ τῶν Ἰουδαίων ὑπόλοιποι. 20
η' *Ἄμωσις ἔτη μδ'.*
θ' *Ψαμμεχερίτης μῆνας ς'.*
ὁμοῦ ἔτη ρν' καὶ μῆνας ς'.

Ἑβδόμη καὶ εἰκοστὴ δυναστεία Περσῶν βασιλέων η'

α' *Καμβύσης ἔτει ε' τῆς ἑαυτοῦ βασιλείας Περσῶν ἐβασίλευσεν Αἰγύπτου* 25
ἔτη ς'.
142 β' *Δαρεῖος Ὑστάσπου ἔτη λς'.*
γ' *Ξέρξης ὁ μέγας ἔτη κα'.*

2 *περὶ τοῦ ἀρνίου*

10 – p. 85, 14 Africanus fr. 11, p. 260 Routh = Manetho FGrHist 609 F 2, p. 48 Jac.

2 *βόχχορις* **B** *βόχχωρις* **A** | *ἐφ'* **B** *ἀφ'* **A** || 5 *σαβάκων* **B** *σαββάκων* **A** || 7 *σεβιχὼς* **B** *σεύηχος* **A** || 9 *ἔτη* **B** om. **A** || 11 *σαιτῶν* **B** *ἀσαιτῶν* **A** || 14 *νεχαῶ* **A** *ναχαῶ* **B** || 15 *ψαμμήτυχος* **A** *ψαμμίτιχος* **B** || 19 *ὑπὸ* **A** *ἀπὸ* **B** || 27 *ὑστάσπου* **B** *ὑστάπου* **A**

δʹ Ἀρτάβανος μῆνας ζʹ.
εʹ Ἀρταξέρξης ἔτη μαʹ.
ςʹ Ξέρξης μῆνας δύο.
ζʹ Σογδιανὸς μῆνας ζʹ.
5 *ηʹ Δαρεῖος Ξέρξου ἔτη ιθʹ.*
ὁμοῦ ἔτη ρκδʹ, μῆνας δʹ.

Εἰκοστὴ ὀγδόη δυναστεία

Ἀμύρτεος Σαΐτης ἔτη ςʹ.

Ἐνάτη καὶ εἰκοστὴ δυναστεία Μενδησίων βασιλέων δʹ

10 *αʹ Νεφερίτης ἔτη ςʹ.*
βʹ Ἄχωρις ἔτη ιγʹ.
γʹ Ψάμμουθις ἔτος αʹ.
δʹ Νεφορίτης μῆνας δʹ.
ὁμοῦ ἔτη κʹ, μῆνας δʹ.

15 ## ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ 143

Ἕκτη καὶ εἰκοστὴ δυναστεία Σαϊτῶν βασιλέων θʹ

αʹ Ἀμμέρις Αἰθίοψ ἔτη ιβʹ.
βʹ Στεφινάθις ἔτη ζʹ.
γʹ Νεχεψὼς ἔτη ςʹ.
20 *δʹ Νεχαὼ ἔτη ηʹ.*
εʹ Ψαμμήτιχος ἔτη μεʹ.
ςʹ Νεχαὼ δεύτερος ἔτη ςʹ. οὗτος εἷλε τὴν Ἱερουσαλὴμ καὶ Ἰωάχαζ τὸν βασιλέα αἰχμάλωτον εἰς Αἴγυπτον ἀπήγαγε.
ζʹ Ψάμμουθις ἕτερος, ὁ καὶ Ψαμμήτιχος, ἔτη ιζʹ.
25 *ηʹ Οὔαφρις ἔτη κεʹ, ᾧ προσέφυγον ἁλούσης ὑπὸ Ἀσσυρίων τῆς Ἱερουσαλὴμ οἱ τῶν Ἰουδαίων ὑπόλοιποι.*
θʹ Ἄμωσις ἔτη μβʹ.
ὁμοῦ ἔτη ρξγʹ.

15 – p. 86, 20 Euseb. 1, 69, 5 – 22 = Manetho FGrHist 609 F 3, p. 49 Jac.

2 *ἔτη* B *ἔτος* A ‖ 9 *Μενδησίων βασιλέων*] *μενδήσιοι βασιλέων* A *μενδήσιοι* B[a] B[c] B *Μενδήσιοι βασιλεῖς* Di. ‖ 10 *νεφερίτης* B *νεφερείτης* A ‖ 12 *ψάμμουθις* A *ψάμουθις* B ‖ 13 *νεφορίτης* B *νεφορότις* A ‖ 16 *βασιλέων* A *βασιλεῖς* B ‖ 18 *στεφινάθις* B *στεφανάθις* A ‖ 21 *ψαμμητιχὸς* B *ψαμμίτιχος* A ‖ 24 *ψαμμήτιχος* B *ψαμμίτιχος* A ‖ 28 *ρξγʹ* AB *167* Euseb.

Εἰκοστὴ ἑβδόμη δυναστεία Περσῶν βασιλέων η′

α′ *Καμβύσης ἔτει πέμπτῳ τῆς αὐτοῦ βασιλείας ἐβασίλευσεν Αἰγύπτου ἔτη γ′.*
β′ *Μάγοι μῆνας ζ′.*
γ′ *Δαρεῖος ἔτη λς′.* 5
144 δ′ *Ξέρξης ὁ Δαρείου ἔτη κα′.*
ε′ *Ἀρταξέρξης ὁ Μακρόχειρ ἔτη μ′.*
ς′ *Ξέρξης ὁ δεύτερος μῆνας β′.*
ζ′ *Σογδιανὸς μῆνας ζ′.*
η′ *Δαρεῖος ὁ Ξέρξου ἔτη ιθ′.* 10
ὁμοῦ ἔτη ρκ′ καὶ μῆνας δ′.

Εἰκοστὴ ὀγδόη δυναστεία

Ἀμυρταῖος Σαΐτης ἔτη ς′.

Εἰκοστὴ ἐνάτη δυναστεία Μενδησίων βασιλέων δ′

α′ *Νεφερίτης ἔτη ς′.* 15
β′ *Ἄχωρις ἔτη ιγ′.*
γ′ *Ψάμμουθις ἔτος α′.*
δ′ *Νεφερίτης μῆνας δ′.*
ε′ *Μοῦθις ἔτος α′.*
ὁμοῦ ἔτη κα′ καὶ μῆνας δ′. 20

ΚΑΤΑ ΑΦΡΙΚΑΝΟΝ

Τριακοστὴ δυναστεία Σεβεννυτῶν βασιλέων γ′

α′ *Νεκτανέβης ἔτη ιη′.*
145 β′ *Τεὼς ἔτη β′.*
γ′ *Νεκτάνεβος ἔτη ιη′.* 25
ὁμοῦ ἔτη λη′.

21—p. 87, **8** Africanus fr. 11, p. 262 Routh = Manetho FGrHist 609 F 2, p. 52 Jac.

11 *καὶ* om. **A** || **13** *ἀμυρταῖος* **B** *ἀμύρτανος* **A** || **14** *μενδήσιοι βασιλεῖς* **AB** || **19** *ε′ Μοῦθις ἔτος α′* om. Euseb. 2 et secl. Jac., sed habet Euseb. 1 || **22** *βασιλέων* **A** *βασιλεῖς* **B**

Πρώτη καὶ τριακοστὴ δυναστεία Περσῶν βασιλέων γ'

α' *Ὦχος εἰκοστῷ ἔτει τῆς ἑαυτοῦ βασιλείας Περσῶν ἐβασίλευσεν Αἰγύπτου ἔτη β'.*

β' *Ἀρσῆς ἔτη γ'.*

5 γ' *Δαρεῖος ἔτη δ'.*

ὁμοῦ ἔτη γ' τόμου ͵αν'.

Μέχρι τῶνδε Μανεθῶς· τὰ δὲ μετὰ ταῦτα ἐξ Ἑλληνικῶν συγγραφέων. Μακεδόνων βασιλεῖς ιε'.

ΚΑΤΑ ΕΥΣΕΒΙΟΝ

10 Τριακοστὴ δυναστεία Σεβεννυτῶν βασιλέων γ'

α' *Νεκτανέβης ἔτη ι'.*

β' *Τεὼς ἔτη β'.*

γ' *Νεκτανεβὸς ἔτη η'.* 146

ὁμοῦ ἔτη κ'.

15 Τριακοστὴ πρώτη δυναστεία Περσῶν βασιλέων γ'

α' *Ὦχος εἰκοστῷ ἔτει τῆς αὐτοῦ Περσῶν βασιλείας κρατεῖ τῆς Αἰγύπτου ἔτη ς'.*

β' *Μεθ' ὃν Ἀρσῆς Ὤχου ἔτη δ'.*

γ' *Μεθ' ὃν Δαρεῖος ἔτη ἕξ· ὃν Ἀλέξανδρος ὁ Μακεδὼν καθεῖλε.*

20 *Ταῦτα τοῦ γ' Μανεθῶ.*

Μέχρι τῶνδε Μανεθῶ· τὰ δὲ μετὰ ταῦτα ἐξ Ἑλληνικῶν παρίσταται συγγραφέων.

Τὰ δὲ μετὰ τὸν κατακλυσμόν, ὡς ὑπόκειται, γενέσεως κόσμου ἔτη ͵βσμγ'

25 *Τούτῳ τῷ ͵βσμγ' ἔτει ἡ κιβωτὸς ἀνεώχθη καὶ Νῶε ἐξῆλθε σὺν τοῖς μετ' αὐτοῦ.*

Τῷ αὐτῷ ͵βσμγ' ἔτει ὁ Σὴμ ρα' ἔτος ἄγων ἐγέννησε τὸν Ἀρφαξὰδ καὶ

25 *Νῶε* || 27 *ἀρχὴ τῶν μετὰ τὸν κατακλυσμὸν ἐτῶν Σήμ, γενεὰ ια'*

9–22 Euseb. 1, 69, 23–31 = Manetho FGrHist 609 F 3, p. 53 Jac. || 25 Gen. 8, 13–19 || 27 Gen. 11, 10–11

1 *βασιλέων* A *βασιλεῖς* B || 10 *βασιλέων* A *βασιλεῖς* B || 11 *νεκτανέβης* B *νεκτανέβις* A || 16 *αὐτοῦ* Di. *αὐτῶν* AB || 18 *Ἀρσῆς Ὤχου* Di. *ἄρσις ὤχου* A *ἀρσησόχου* B || 21 *μετὰ ταῦτα* A *μετ' αὐτὰ* B || 23 *τὰ δὲ* A *τὰ* B || 28 lemmata om. A[m]

ἔζησε Σὴμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἀρφαξὰδ ἔτη φ' ἕως ,βψμβ' ἔτους τοῦ κόσμου.

Ἀρφαξὰδ δὲ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Καϊνᾶν τῷ ,βτοζ' ἔτει τοῦ κόσμου καὶ ἔζησε μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν ἔτη υλ' ἕως τοῦ ,βωη' κοσμικοῦ ἔτους. 5

147 Τούτῳ τῷ ,βσνα' ἔτει, ὥς φασι, Νῶε ἐφύτευσεν ἀμπελῶνα ἐν ὄρει Λουβὰρ τῆς Ἀρμενίας.

Τούτῳ τῷ ,βτοβ' ἔτει Ἀρφαξὰδ ἔλαβε γυναῖκα ἔτος ἄγων ρλ'.

Τούτῳ τῷ ,βτοζ' ἔτει Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνᾶν ἔτος ἄγων ρλε'.

Καϊνᾶν δὲ γενόμενος ρλ' ἐγέννησε τὸν Σαλὰ τῷ ,βφζ' ἔτει τοῦ κόσμου, 10 καὶ ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σαλὰ ἔτη τλ' ἕως ,βωλζ' κοσμικοῦ ἔτους.

Ἀλέξανδρος ὁ Πολυίστωρ ἐκ τοῦδε τοῦ ,βυε' κοσμικοῦ ἔτους βούλεται πάλιν τὴν μετὰ τὸν κατακλυσμὸν τῶν Χαλδαίων βασιλείαν κατάρξασθαι μυθολογῶν διὰ σάρων καὶ νήρων καὶ σώσσων βεβασιλευκέναι Χαλδαίων 15 καὶ Μήδων βασιλεῖς πς' ἐν τρισμυρίοις ἔτεσι καὶ ,δς', τοῦτ' ἔστιν ἐν σάροις θ' καὶ νήροις β' καὶ σώσσοις η', ἅπερ τινὲς τῶν ἐκκλησιαστικῶν ἡμῶν ἱστορικῶν οὐ καλῶς ἐξελάβοντο πάλιν εἰς ἔτη ἡλιακὰ ϛδ' καὶ μῆνας η', ἅπερ, ὥς φασιν, εἰς τὸ ,βυϛθ' ἔτος κοσμικὸν συντρέχει. ἀπὸ δὲ τούτου τοῦ χρόνου τῶν πς' δύο μὲν Χαλδαίων βασιλέων, Εὐηχίου καὶ Χωμασβή- 20 λου, πδ' δὲ Μήδων, Ζωροάστρην καὶ τοὺς μετ' αὐτὸν ζ' Χαλδαίων βασι-

148 λεῖς εἰσάγει, ἔτη κρατήσαντας ἡλιακὰ ρς', ὁ αὐτὸς Πολυίστωρ, οὐκέτι διὰ σάρων καὶ νήρων καὶ σώσσων καὶ τῆς λοιπῆς ἀλόγου μυθικῆς ἱστορίας, ἀλλὰ δι' ἡλιακῶν ἐτῶν. τοὺς γὰρ προγενεστέρους ὡς θεοὺς ἢ ἡμιθέους νομίζοντες καὶ τοὺς μετ' αὐτοὺς τὴν πλάνην εἰσηγούμενοι τῷ ὄντι χρόνους 25

3 γενεὰ ιβ' || 6 ὁ Νῶε θύσας τῷ θεῷ καὶ πιὼν οἶνον ἐγυμνώθη || 13 ἕως μὲν τούτων Ἀφρικανῷ συμφωνῶν ὁ Εὐσέβιος ἐν τοῖς πολλοῖς φαίνεται μετὰ καὶ λέξεως αὐτοῦ, διαφωνῶν δὲ ἐν τοῖς συμβαλλομένοις τῷ παραλογισμῷ αὐτοῦ ὥς ἐστι καταμαθεῖν ἐκ τῶν προτεταγμένων ἵνα μὴ καθ' ἓν ἕκαστον ἀναπτύσσωμεν

3 Gen. 11, 12–13 || 4–5 aliter infra 132, 14 || 6 Gen. 9, 20; Iubil. 7, 1 (annis nouem post diluuium); cf. ps. Sym. f. 23r = Cedr. 21, 18, Iohann. Anag. f. 115r || 8 cf. Iubil. 8, 1 || 9 Gen. 11, 12 || 11 Gen. 11, 13 || 13–24 Alex. Pol. FGrHist 273 F 79 = Berossus FGrHist 680 F 5b, cf. F 5a = Euseb. 1, 12, 17–13, 18 || 17 Panodorus intellegatur ut uult Gelzer 2, 200 || 24–p. 89, 9 cf. supra 16, 1–17, 27; 32, 4–37, 11

1 ἔτους B ἔτος A || 3 ρλε' B λε' A || 5 ,βωη' Go. ,βων' AB || 8–9 ἔλαβε ... Ἀρφαξὰδ om. A || 10 δὲ om. A | ,βφζ' B ,βψζ' A || 11 ἔτη τλ' B ἔτει τλ' A || 15 σώσσων Di. σσώσων A σόσσων B || 17 σώσσοις Di. σόσσοις AB || 19 κοσμικὸν B κοσμικοῦ A || 20 Εὐηχίου Di. εὐηχοι οὐ A εὐηχοι οὐ B | χωμασβήλου A χομασβήλου B || 21 ζωροάστρην B ζωρόαστριν A || 23 σώσσων A σόσσων B || 25 τῷ ὄντι B τὸ ὂν A || 26 lemmata om. Am | ἐγυμνήθη Bm || 28 διαφωνῶν Bm διαφωνῶς Am || 29 ἀναπτύσσωμεν Bm ἀναπτύσσομεν Am

ἀπείρους βεβασιλευκέναι συνέγραψαν, ἀΐδιον εἶναι τὸν κόσμον δοξάζοντες
ἐναντίως ταῖς θεοπνεύστοις γραφαῖς· τοὺς δὲ μεταγενεστέρους καὶ πᾶσι
φανεροὺς δι' ἡλιακῶν ἐτῶν ὡς θνητούς, καὶ οὐχ, ὡς τῷ Πανοδώρῳ δοκεῖ
καὶ ἑτέροις τισί, διὰ τὸ ἐσχάτως ὑπὸ Ζωροάστρου τῶν ἡλιακῶν ἐνιαυτῶν
5 ἐκ τῶν τοῦ Ἐνὼχ ἐγνωσμένων ἔκτοτε ἡλιακοῖς ἔτεσιν ἐπιμετρεῖσθαι τὰ
τῶν βασιλέων ἔτη. διόπερ ἐκ τῶν θείων γραφῶν πεπεισμένοι καὶ ταῦτα
ψευδῆ εἶναι καὶ μηδεμίαν βασιλείαν ἐπὶ τῆς γῆς γενέσθαι ἕως τῆς τοῦ
Νεβρὼδ ἐπὶ τῆς πυργοποιίας γιγαντομιμήτου καὶ ἀποστατικῆς τυραννίδος,
ὡς καὶ ἀνωτέρω δέδεικται, μόνους δὲ τοὺς τρεῖς ἄνδρας μετὰ τὸν κατα-
10 κλυσμὸν ἕως τῆς διασπορᾶς ἡγεῖσθαι τῶν πολλῶν εὐσεβῶς, λέγω δὴ τὸν
δίκαιον Νῶε, τὰ λοιπὰ τῆς ζωῆς ἔτη τν', καὶ τὸν υἱὸν αὐτοῦ Σήμ, τὰ λοιπὰ
τῆς ζωῆς αὐτοῦ ρν', καὶ ἔτι μετὰ τοῦτον τὸν υἱὸν αὐτοῦ Ἀρφαξὰδ τὰ
λοιπὰ λδ', τοῦτ' ἔστιν ἔτη φλδ' τὰ γινόμενα σὺν τοῖς ,βσμβ' τοῦ κατακλυ-
σμοῦ ,βψος', ταῦτα οὖν οὕτω μαθόντες καὶ πιστεύοντες καὶ τοὺς λοιποὺς 149
15 τῶν ἱστορικῶν, ὡς δειχθήσεται, ὁμοφωνοῦντας, ἀπὸ δὲ τοῦ ,βψος' ἔτους,
ὅπερ ἦν τοῦ Ἀρφαξὰδ λδ' τῆς ἡγεμονίας, ἔχοντες, τῆς δὲ γενέσεως τοῦ
Φαλὲκ ἔτος ε', ἐξ αὐτοῦ καὶ τὴν τότε τῶν Χαλδαίων βασιλείαν, ἧς πρῶτος
Εὐήχιος ὁ καὶ Νεβρὼδ ἡγήσατο, φαμὲν κατάρξασθαι καὶ τὴν τῶν Αἰγυπ-
τίων, ἧς καὶ αὐτῆς πρῶτος ὁ οἰκιστὴς Αἰγύπτου Μεστραῒμ ἐβασίλευσε·
20 διὸ καὶ περιττὸν ἡγησάμεθα ἐκθέσθαι κανόνιον ἀπὸ τοῦδε τοῦ ,βυε' ἔτους
κατὰ τὴν ἔκδοσιν τῶν ἀποδειξάντων βεβιασμένως ἀπὸ τούτου μετὰ τὸν
κατακλυσμὸν ἄρξασθαι τὴν τῶν Χαλδαίων βασιλείαν, οὐχ οὕτως ἔχοντος
τοῦ ἀληθοῦς λόγου, οὐδὲ τοῦ Ἀλεξάνδρου καὶ τῶν ἀμφ' αὐτὸν τὰς ἡμέρας
ἔτη καταριθμούντων, ἀλλὰ μᾶλλον πρὸς ἀνατροπὴν τῆς θείας γραφῆς, ὡς
25 πολλάκις εἴρηται, ἀπείρους αἰῶνας εἰσηγουμένων. ἀναγκαίως δὴ λοιπὸν
ἀπὸ τοῦ ,βψος' ἔτους ὁ περὶ τῶν δύο τούτων βασιλειῶν λόγος στοιχειωθή-
σεται γινομένοις ἡμῖν ἐκεῖσε.

Τῷ ,βφ' ἔτει Καϊνᾶν ἔλαβε γυναῖκα καὶ τῷ ,βφε' ἐγέννησε τὸν Σαλά.
Τοῦτον δὲ τὸν Καϊνᾶν ὁ Εὐσέβιος οὐκ ἐστοιχείωσε, τῷ Ἑβραϊκῷ ἀντι-

30 **9** *Ση. ὅτι μετὰ τὸν κατακλυσμὸν μόνοι οἱ γ' ἡγήσαντο τῶν πολλῶν εὐσεβῶς, Νῶε, Σὴμ καὶ Ἀρφαξὰδ ὁ υἱὸς Σήμ, ἕως διασπορᾶς* || **18** *ὅτι ἡ Χαλδαίων βασιλεία ἦρξατο ἀπὸ Νεβρώδ, Εὐήχιος γὰρ ἐλέγετο, καὶ ἡ Αἰγυπτίων βασιλεία ἡ πρώην Μεστραΐ* || **28** *εἰς ποῖα ἔτη διαψεύδεται Εὐσέβιος καὶ Ἀφρικανός*

9–13 ps. Sym. f. 23r = Cedr. 23, 4 || **26** infra 101–102 || **28** cf. Iubil. 8, 5 (interuallum trium annorum), Gen. 11, 13 || **29** cf. Anon. Matr. 3, 9, Chron. Epit. 10, 16

12 ἔτι **B** ἔτη **A** || **13–14** ,βσμβ' ... ,βψος' **B** ,ασμβ' ... ,αψος' **A** || **14** τοὺς λοιποὺς **B** τοῖς λοιποῖς **A** || **15** ,βψος' **B** ,αψος' **A** || **18** εὐήχιος **B** εὐτύχιος **A** || **20** τοῦδε **B** δὲ **A** | ,βυε' **B** ,αυε' **A** || **21** βεβιασμένως **B** βεβισμένος **A** || **23** αὐτὸν **A** αὐτοῦ **B** || **26** ,βψος' **B** ,αψος' **A** || **27** ἐκεῖσε **A** ἐκεῖσαι **B** || **28** ,βφ' **B** ,αφ' **A** | ,βφε' **B** ,αφε' **A** ,βφζ' supra 88, 10 || **30–31** lemma om. **B**m || **31–33** lemmata om. **A**m

γράφῳ κακῶς ἀκολουθήσας, διὸ καὶ ἐσφάλη ἔτη ρλʹ. ὁμοίως δὲ καὶ ὁ
150 *Ἀφρικανὸς διήμαρτε μὴ στοιχειώσας τοῦτον τὸν δεύτερον Καϊνᾶν, ὅθεν*
καὶ ἐν τοῖς ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ καὶ τῶν πρεσβυτέρων ἕως Ἠλὶ καὶ
Σαμουὴλ ἠναγκάσθη ἔτεσι προσθεῖναι χρόνους ἐγγὺς ρμʹ. περὶ ὧν ὁ Και-
σαρεὺς Εὐσέβιος οὗτος σφόδρα αὐτὸν καταμέμφεται πλειοτέρως σφαλεὶς 5
ἐν ταὐτῷ καὶ ἐν τοῖς λοιποῖς, ὡς προδεδήλωται, ἕως ἐτῶν σςʹ. ὁ μέντοι
θεῖος εὐαγγελιστὴς Λουκᾶς ιγʹ αὐτὸν ἀπὸ τοῦ Ἀδὰμ ἐγενεαλόγησε.

Γενεὰ ιγʹ Καϊνᾶν

Τούτῳ τῷ ͵βφοʹ ἔτει Νῶε διέθετο καὶ τὴν οἰκουμένην τοῖς τρισὶν αὐτοῦ
υἱοῖς διεμέρισε. 10
Τῷ ͵βφπεʹ ἔτει Καϊνᾶν διοδεύων ἐν τῷ πεδίῳ εὗρε τὴν γραφὴν τῶν
γιγάντων καὶ ἔκρυψε παρʼ ἑαυτῷ.
Τῷ ͵βφϛβʹ ἔτει τοῦ κόσμου Νῶε ὁ δίκαιος ἐκοιμήθη ἐτῶν ϡνʹ, γενεὰ ιʹ.
Τῷ ͵βχκϛʹ ἔτει Σαλὰ ἔλαβεν ἑαυτῷ γυναῖκα.

Σαλὰ γενεὰ ιδʹ 15

Τῷ ͵βχλʹ ἔτει τοῦ κόσμου ὁ Σαλὰ ἐγέννησε τὸν Ἔβερ ἔτος ἄγων ρλʹ·
καὶ ἔζησε Σαλὰ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἔβερ ἔτη τλʹ ἕως τοῦ ͵βϡξʹ
κοσμικοῦ ἔτους.
Τῷ ͵βψλϛʹ ἔτει τοῦ κόσμου ἤρξαντο οἰκοδομεῖν τὸν πύργον ἐπὶ ἔτη μʹ.
151 *Τῷ ͵βψβʹ ἔτει Σὴμ ἐκοιμήθη ἐτῶν χʹ.* 20
Τῷ ͵βψιδʹ ἔτει Ἔβερ ἔλαβεν ἑαυτῷ γυναῖκα.

Ἔβερ γενεὰ ιεʹ

Ἔβερ γενόμενος ἐτῶν ρλδʹ ἐγέννησε τὸν Φαλὲκ τῷ ͵βψοαʹ ἔτει τοῦ κό-
σμου· καὶ ἔζησεν Ἔβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Φαλὲκ ἔτη σοʹ ἕως
τοῦ ͵γμαʹ κοσμικοῦ ἔτους. 25

11 *Ση. ὅτι Καϊνὰν περιπατῶν εἰς τὸ πεδίον εὗρε τὴν γραφὴν τῶν γιγάντων καὶ ἔκρυψε παρʼ ἑαυτῷ*

6 supra 36,29 ‖ 7 Luc. 3, 31 ‖ 9 cf. Iubil. 8, 10 ‖ 11 cf. Iubil. 8, 2; ps. Sym. f. 26ʳ = Cedr. 27, 11, Iohann. Anag. f. 115ʳ ‖ 13 cf. Gen. 9, 29; Iohann. Anag. f. 115ʳ ‖ 14 cf. Iubil. 8, 6 (interuallum quattuor annorum) ‖ 16 Gen. 11, 14; aliter infra 132, 15 ‖ 19 cf. Iubil. 10, 21 (annos 43) ‖ 20 cf. Gen. 11, 10–11; aliter supra 88, 1 ‖ 21 cf. Iubil. 8, 7 (tribus annis ante Phalec natum) ‖ 23 Gen. 11, 16–17

4 *προσθεῖναι* **A** *προσθῆναι* **B** ‖ 5 *πλειοτέρως* **A** *πλειωτέρως* **B** ‖ 6 *ταὐτῷ* **A** *ταὐτὸ* **B** | *ἐτῶν* **B** *τῶν* **A** ‖ 13 *γενεὰ ιʹ* in textu **A** et Iohann. Anag., in margine **B**, secl. Di. ‖ 16–17 *͵βχλζʹ* et *͵βϡξζʹ* infra 96, 19; 132, 26 ‖ 17 *͵βϡξʹ* **A** *ϡξʹ* **B** ‖ 20 *͵βψβʹ*] *͵βψμβʹ* 88, 1; 132, 10 ‖ 21 *͵βψιδʹ*] rectius fortasse *͵βψνδʹ* ‖ 24 *σοʹ* **B** *σβʹ* **A** ‖ 26 lemma om. **A**ᵐ

Οὕτως ἀποδεδειγμένου τοῦ χρόνου, καθ' ὃν ὁ Ἔβερ τὸν Φαλὲκ ἐγέννησε δέκατον ὄντα ἀπὸ Ἀδάμ, ἄξιον οἶμαι ἐκ παραλλήλου τῶν ἡμῖν ἐπιλογισθέντων ἐν δευτέρῳ κανονίῳ παραθέσθαι καὶ τὰ παρὰ τῷ Ἀφρικανῷ ἔτη ἕως τοῦδε χρόνου, καὶ ἀπὸ τοῦδε μέχρι Ἀβραάμ (καὶ γὰρ προγενέστερος ὁ
5 *ἀνὴρ ὑπάρχει τοῦ Εὐσεβίου ἔτεσί που), εἶθ' οὕτω καὶ τὰ παρὰ Εὐσεβίου τριχῶς ἐκτεθέντα, ὡς ἐκεῖνός φησι, κατά τε τοὺς ο' σοφοὺς ἑρμηνέας καὶ κατὰ τὸ παρ' Ἑβραίοις καὶ ἔτι κατὰ τὸ παρὰ Σαμαρείταις ἀντίγραφον. οὕτω γὰρ ἐν πέντε κανονίοις κειμένων τῶν ἀπὸ Ἀδὰμ ἕως τοῦ Φαλὲκ καὶ ἀπὸ τοῦ Φαλὲκ ἕως Ἀβραὰμ ἐτῶν, εὐμαρῶς δειχθήσεται ἡ*
10 *σύμφωνος τῇ τε Μωυσαϊκῇ καὶ εὐαγγελικῇ γραφῇ γενεαρχία τε καὶ χρονολογία.*

Κατὰ τὸ παρὸν χρονογραφεῖον 152

Ἀδὰμ τῷ σλ' ἔτει τῆς ζωῆς αὐτοῦ ἐγέννησε τὸν Σὴθ ὅμοιον αὐτῷ κατὰ πάντα.

15 *Σὴθ ἐτῶν ὑπάρχων σε' ἐγέννησε τὸν Ἐνὼς υλε'.*
Ἐνὼς ἐτῶν ρς' ἐγέννησε τὸν Καϊνᾶν χκε'.
Καϊνᾶν ἐτῶν ρο' ἐγέννησε τὸν Μαλελεὴλ ψϙε'.
Μαλελεὴλ ἐτῶν ρξε' ἐγέννησε τὸν Ἰάρεδ ϡξ'.
Ἰάρεδ δὲ ἐτῶν ρξβ' ἐγέννησε τὸν Ἐνὼχ ͵ακβ'.
20 *Ἐνὼχ ἐτῶν ρξε' ἐγέννησε τὸν Μαθουσάλα ͵ασπζ'.*
Μαθουσάλα ρξζ' ἐγέννησε τὸν Λάμεχ ͵αυνδ'.
Λάμεχ ἐτῶν ρπη' ἐγέννησε τὸν Νῶε ͵αχμβ'.

Ἀφρικανοῦ

Ἀδὰμ γενόμενος ἐτῶν σλ' γεννᾷ τὸν Σήθ· καὶ τούτοις ἐπιζήσας ἔτη ψ'
25 *ἀπέθανεν, ἤτοι δεύτερον θάνατον.*
Σὴθ γενόμενος ἐτῶν σε' ἐγέννησε τὸν Ἐνώς· ἀπὸ Ἀδὰμ τοίνυν μέχρι γενέσεως Ἐνὼς ἔτη τὰ σύμπαντα υλε'.
Ἐνὼς ὑπάρχων ἐτῶν ρϙε' γεννᾷ τὸν Καϊνᾶν.
Καϊνᾶν δὲ ἐτῶν ρο' γεννᾷ τὸν Μαλελεήλ.
30 *Μαλελεὴλ δὲ ἐτῶν ρξε' γεννᾷ τὸν Ἰάρεδ.*
Ἰάρεδ δὲ ἐτῶν ρξβ' γεννᾷ τὸν Ἐνώχ.

13–22 ita Gen. 5, 3–28 (LXX) ‖ 24 Africanus fr. 6 Routh

2 *δέκατον καὶ πέμπτον* Go. ‖ 12 *χρονογραφεῖον* B *χρονογραφίον* A ‖ 17, 18, 29 et 30 *μαλελεὴλ* B *μαλαλεὴλ* A ‖ 19 *δὲ* B om. A ‖ 26 *σε'* B *σνε'* A ‖ 28 *ρϙε'*] *ρς'* Gelzer 1, 52

153 *Ἐνὼχ δὲ ὑπάρχων ἐτῶν ρξε' γεννᾷ τὸν Μαθουσάλα· καὶ εὐαρεστήσας τῷ θεῷ ἐπιζήσας ἔτη σ' οὐχ εὑρίσκετο.*

Μαθουσάλα γενόμενος ἐτῶν ρπζ' ἐγέννησε τὸν Λάμεχ.

Λάμεχ ὑπάρχων ἐτῶν ρπη' γεννᾷ τὸν Νῶε.

Εὐσεβίου πρὸς λέξιν περὶ τῶν ο' 5

Ἴδωμεν οὖν πρῶτον ὅπως ἡ τῶν ο' ἑρμηνεία τὴν ἀπὸ Ἀδὰμ μέχρι τῆς τοῦ Ἀβραὰμ γενέσεως χρονογραφίαν παρείληφε.

Πρῶτος ἀνθρώπων Ἀδὰμ γενόμενος ἐτῶν σλ' γεννᾷ τὸν Σήθ, καὶ ἐπέζησεν ἔτη ψ' μέχρις ρλε' ⟨ἔτους Μαλελεήλ⟩.

Σὴθ γενόμενος ἐτῶν σε' γεννᾷ τὸν Ἐνώς, καὶ ἐπέζησεν ἔτη ψζ' μέχρις κ' ἔτους Ἐνώχ. 10

Ἐνὼς γενόμενος ἐτῶν ρς' γεννᾷ τὸν Καϊνᾶν, καὶ ἐπέζησεν ἔτη ψιε' μέχρις νγ' ἔτους Μαθουσάλα.

Καϊνᾶν γενόμενος ἐτῶν ρο' γεννᾷ τὸν Μαλελεήλ, καὶ ἐπέζησεν ἔτη ψμ' μέχρις πα' ἔτους Λάμεχ. 15

Μαλελεὴλ γενόμενος ἐτῶν ρξε' γεννᾷ τὸν Ἰάρεδ, καὶ ἐπέζησεν ἔτη ψλ' μέχρις μη' ἔτους Νῶε.

Ἰάρεδ γενόμενος ἐτῶν ρξβ' γεννᾷ τὸν Ἐνώχ, καὶ ἐπέζησεν ἔτη ω' μέχρις σπ' ἔτους Νῶε.

154 *Ἐνὼχ γενόμενος ἐτῶν ρξε' γεννᾷ τὸν Μαθουσάλα, καὶ ἐπέζησεν ἔτη σ', καὶ μετετέθη ἐν ἔτει λγ' τοῦ Λάμεχ.* 20

Μαθουσάλα γενόμενος ἐτῶν ρξζ' γεννᾷ τὸν Λάμεχ, καὶ ἐπέζησεν ἔτη ωβ'.

Λάμεχ γενόμενος ἐτῶν ρπη' γεννᾷ τὸν Νῶε, καὶ ἐπέζησεν ἔτη φλε'.

Πρῶτος Λάμεχ πρὸ τοῦ ἰδίου πατρὸς τελευτᾷ τοῦ Μαθουσάλα. ἐπέζησε δὲ μέχρις φλε' ἔτους Νῶε. 25

Εὐσεβίου πρὸς λέξιν περὶ τοῦ Ἑβραϊκοῦ

Ταῦτα μὲν κατὰ τὴν τῶν ο' ἑρμηνείαν, κατὰ δὲ τὸ παρ' Ἰουδαίοις Ἑβραϊκὸν

Ἀδὰμ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Σήθ, καὶ ἐπέζησεν ἔτη ω' ἕως νς' ἔτους Λάμεχ. 30

25 *Ση. ὅτι πρῶτος Λάμεχ πρὸ τοῦ ἰδίου πατρὸς τελευτᾷ ἤγουν τοῦ Μαθουσάλα*

6 Euseb. 1, 38, 4–29 || 25 ps. Sym. f. 26ʳ = Cedr. 27, 19 || 28 Euseb. 1, 39, 1–19

3 *ρπζ'* **B** *ρπη'* **A** || 5 *περὶ* **B** *παρὰ* **A** || 6 *ἴδωμεν* **A** *εἴδωμεν* **B** || 9 *ἔτους Μαλελεήλ* add. Di. ex. Euseb. om. **AB** || 14 *μαλελεὴλ* **B** *μαλαλεὴλ* **A** || 14–16 *ἔτη ψμ' . . . Ἰάρεδ* om. **B** || 20 *ἐτῶν* om. **A** || 32 lemma om. **A**[m]

Σὴθ γενόμενος ἐτῶν σε' γεννᾷ τὸν Ἐνώς, καὶ ἐπέζησεν ἔτη ωζ' μέχρι ϱξη' ἔτους Λάμεχ.

Ἐνὼς γενόμενος ἐτῶν ϛ' γεννᾷ τὸν Καϊνᾶν, καὶ ἐπέζησεν ἔτη ωιε' μέχρις πδ' ἔτους Νῶε.

5 *Καϊνᾶν γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Μαλελεήλ, καὶ ἐπέζησεν ἔτη ωμ' μέχρις ϱοθ' ἔτους Νῶε.*

Μαλελεὴλ γενόμενος ἐτῶν ξε' γεννᾷ τὸν Ἰάρεδ, καὶ ἐπέζησεν ἔτη ωλ' μέχρις σλδ' ἔτους Νῶε.

Ἰάρεδ δὲ γενόμενος ἐτῶν ϱξβ' γεννᾷ τὸν Ἐνώχ, καὶ ἐπέζησεν ἔτη ω' 155
10 *μέχρις τξϛ' ἔτους Νῶε.*

Ἐνὼχ γενόμενος ἐτῶν ξε' γεννᾷ τὸν Μαθουσάλα, καὶ ἐπέζησεν ἔτη τ' καὶ μετετέθη ἐν ἔτει ϱιγ' Λάμεχ.

Μαθουσάλα γενόμενος ἐτῶν ϱπζ' γεννᾷ τὸν Λάμεχ, καὶ ἐπέζησεν ἔτη ψπβ' ἕως αὐτοῦ τοῦ κατακλυσμοῦ.

15 Εὐσεβίου πρὸς λέξιν περὶ τοῦ παρὰ Σαμαρείταις

Κατὰ δὲ τὸ παρὰ Σαμαρείταις Ἑβραϊκὸν

Ἀδὰμ γενόμενος ἐτῶν ϱλ' γεννᾷ τὸν Σήθ, καὶ ἐπέζησεν ἔτη ω' μέχρις σκγ' ἔτους Νῶε.

Σὴθ γενόμενος ἐτῶν ϱε' γεννᾷ τὸν Ἐνώς, καὶ ἐπέζησεν ἔτη ωζ' ἕως τλε'
20 *ἔτους Νῶε.*

Ἐνὼς γενόμενος ἐτῶν ϛ' γεννᾷ τὸν Καϊνᾶν, καὶ ἐπέζησεν ἔτη ωιε' μέχρις υλγ' ἔτους Νῶε.

Καϊνᾶν γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Μαλελεήλ, καὶ ἐπέζησεν ἔτη ωμ' μέχρις φκη' ἔτους Νῶε.

25 *Μαλελεὴλ γενόμενος ἐτῶν ξε' γεννᾷ τὸν Ἰάρεδ, καὶ ἐπέζησεν ἔτη ωλ' μέχρις φλγ' ἔτους Νῶε.*

Ἰάρεδ γενόμενος ἐτῶν ξβ' γεννᾷ τὸν Ἐνώχ, καὶ ἐπέζησεν ἔτη ψπε' μέχρις αὐτοῦ τοῦ κακακλυσμοῦ.

Ἐνὼχ γενόμενος ἐτῶν ξ' γεννᾷ τὸν Μαθουσάλα, καὶ ἐπέζησεν ἔτη τ', 156
30 *μετετέθη ἐν ἔτει ϱπ' τοῦ Νῶε.*

Μαθουσάλα γενόμενος ἐτῶν ξζ' γεννᾷ τὸν Λάμεχ, καὶ ἐπέζησεν ἔτη χνγ' ἕως τοῦ κατακλυσμοῦ.

Λάμεχ γενόμενος ἐτῶν νγ' γεννᾷ τὸν Νῶε, καὶ ἐπέζησεν ἔτη χ' μέχρις αὐτοῦ τοῦ κατακλυσμοῦ.

15 Euseb. 1, 40, 21 – 41, 4

3 *ϛ'* Go.[m] *ϱϛ'* **AB** *90* Euseb. || **6** *ϱοθ'*] *ϱο'* **AB** *179* Euseb. || **7** *ξε'* Go.[m] *ϱξ'* **AB** *65* Euseb. || **9** *δὲ* **B** om. **A** | *ω'* **B** *β'* **A** || **10** *τξϛ'* **B** *τξη'* **A** || **15** *πρὸς λέξιν* **B** *προσλέξει* **A** || **23** *ἔτη* om. **A**

Κατὰ τὸ παρὸν χρονογραφεῖον

Νῶε ἐτῶν φ' ἐγέννησε τὸν Σὴμ ,βρμβ'.
Μετὰ δὲ ρ' ἔτη τῷ χ' ἔτει τοῦ Νῶε γέγονεν ὁ κατακλυσμός.
Ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη ,βσμβ'. οὕτω δὲ καὶ Εὐσέβιος καὶ ὁ ἀληθὴς λόγος καὶ τὰ πλεῖστα τῶν Μωυσαϊκῶν ἀντιγράφων περιέχουσι 5 *κατὰ τὴν τῶν ο' ἔκδοσιν.*
Ὁ μέντοι Ἀφρικανὸς ,βσξβ' ἐπελογίσατο ἔκ τινων σπανίων ἀντιγράφων οὕτω περιεχόντων, οἷς οὐ χρὴ πείθεσθαι.
Μέχρι τοίνυν τοῦ κατακλυσμοῦ καθὼς πρόκειται διαφωνοῦσι τὰ Ἑβραϊκὰ ἀντίγραφα πρὸς τὸ Σαμαρειτῶν ἀρχαιότατον καὶ τοῖς χαρακτῆρσι διαλ- 10 *λάττον, ὃ καὶ ἀληθὲς εἶναι καὶ πρῶτον Ἑβραῖοι καθομολογοῦσιν, ἔτεσι τμθ', πρὸς δὲ τὴν τῶν ο' ἔκδοσιν τὸ μὲν Ἑβραϊκὸν ἔτεσιν φπς', τὸ δὲ Σαμαρειτῶν ϡλε'. Ἀφρικανὸς δὲ πρὸς Εὐσέβιον ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ διαφωνεῖ ἔτη κ'.*

Ἀφρικανοῦ 15

157 *Νῶε ἦν ἐτῶν χ' ὅτε ὁ κατακλυσμὸς ἐγένετο. γίνεται τοίνυν ἀπὸ Ἀδὰμ μέχρι Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη ,βσξβ'.*

Εὐσεβίου κατὰ τοὺς ο'

Νῶε γενόμενος ἐτῶν φ' γεννᾷ τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ, καὶ ἐπέζησε μέχρι τοῦ κατακλυσμοῦ ἔτη ρ'. ἔτους χ' Νῶε ὁ κατακλυσμὸς 20 *ἐγένετο, καὶ ἐπέζησε Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν' μέχρις πγ' ἔτους Ἕβερ.*
Ὁμοῦ τὰ πάντα ἔτη ,βσμβ'.
Ταῦτα μὲν κατὰ τὴν τῶν ο' ἑρμηνείαν.

Εὐσεβίου 25

Κατὰ δὲ τὸ παρὰ Ἰουδαίοις Ἑβραϊκὸν
Νῶε γενόμενος ἐτῶν φ' γεννᾷ τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ, καὶ ἐπέζησεν ἔτη ρ' μέχρι τοῦ κατακλυσμοῦ.

2 Gen. 5, 32 || 3 Gen. 7, 6 || 4–6 ps. Sym. f. 26ʳ = Cedr. 27, 21 || 7–8 Africanus fr. 8 Routh; cf. supra 20, 7 || 9–13 Euseb. 1, 39, 28;| 41, 10 || 15 Africanus fr. 8 Routh; cf. Chron. Pasch. 36, 17 || 19 Euseb. 1, 38, 30–39, 1 || 26–p. 95, 25 Euseb. 1, 39, 22–40, 20

1 *χρονογραφεῖον* **B** *χρονογραφίον* **A** || 2 *,βρμβ'* Go.ᵐ *,αρμβ'* **AB** || 13 *ϡλε'* **A** *ϡλ'* **B** *935* Euseb. || 17 *ἔτη ,βσξβ'* **B** tr. **A** || 22 *ἔτους* om. **A** || 23 *ἔτη* om. **A** || 27 *τὸν*[2,3] om. **B**

Ἐν ἔτει χ' τοῦ Νῶε ὁ κατακλυσμὸς ἐγενήθη, καὶ ἐπέζησε Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν' μέχρις νη' ἔτους Ἀβραάμ.

Ὁμοῦ τὰ πάντα ἔτη ͵αχνς'.

Διαφωνεῖ πρὸς τὴν τῶν ο' ἑρμηνείαν ἔτεσι φπς'.

5 *Ἐν τούτοις οἱ μὲν τῶν ἄλλων τῶν ἀπὸ Ἀδὰμ καὶ ἐπὶ Νῶε χρόνοι πρὸ* **158** *τῆς ἑκάστου παιδοποιίας διεστήκασι πρὸς τὴν τῶν ο' ἑρμηνείαν, συμφωνοῦσι δὲ αὐτῇ οἱ τοῦ Ἰάρεδ καὶ τοῦ Μαθουσάλα καὶ τοῦ Λάμεχ. ἐκ δὲ τῆς τούτων συμφωνίας πάρεστι λογισμῷ λαβεῖν ὅτι καὶ τὰ πρὸ τούτων βέλτιον ἢ παρ' ἡμῖν ἀνάγνωσις ἔχει. ἀπὸ γὰρ τοῦ πλείονος χρόνου τῶν περὶ τὸν* 10 *Ἰάρεδ δῆλος ἂν γένοιτο καὶ ὁ τῶν προαγόντων συντρέχειν ὀφείλων τῇ τῶν ο' ἐκδόσει. εἰ γὰρ οἱ νεώτεροι καὶ μεταγενέστεροι τοῖς χρόνοις ταῖς τῶν ἑκατοντάδων προσθήκαις εὕρηνται κατὰ τὴν τοῦ Ἑβραϊκοῦ γραφὴν σύμφωνοι τῇ τῶν ο' ἑρμηνείᾳ, πόσῳ πλέον εἰκὸς ἦν τοὺς ἀρχαιοτέρους καὶ αὐτῶν ἐκείνων προπάτορας μᾶλλον τῶν μετέπειτα πολυχρονιωτέρους γε-* 15 *νέσθαι;*

Ὁρῶν δὲ ἐν τῇ συγκεφαλαιώσει τῆς ἑκάστου ἀνδρὸς ζωῆς τὸν πρὸ τῆς παιδοποιίας χρόνον καὶ τὸν μετὰ τὴν παιδοποιίαν ἅμα συναγόμενον τὸν αὐτὸν ἀριθμὸν σῴζοντα κατά τε τὴν Ἑβραίων ἀνάγνωσιν καὶ κατὰ τὴν τῶν ο' ἑρμηνείαν, μόνα δὲ τὰ πρὸ τῆς τεκνογονίας ἔτη παρὰ τῶν Ἰουδαίων 20 *ἀντιγράφων συνεσταλμένα, κινοῦμαι μήποτε Ἰουδαίων ἔργον ἦν τοῦτο τολμησάντων συστεῖλαι καὶ ἐπιταχῦναι τοὺς πρὸ τῆς παιδοποιίας χρόνους ἐπιτροπῇ ταχυγαμίας. τῶν γὰρ παλαιοτάτων ἀνδρῶν μακροβίων ὄντων καὶ πολυχρονίων, οὕτω δὲ κατὰ τούτους θᾶττον ἐπὶ γάμους καὶ παιδοποιίας ἐλθόντων, ὥς ἡ παρ' αὐτοῖς ἀνάγνωσις δηλοῖ, τίς οὐκ ἂν αὐτῶν τὸν* **159** 25 *ὅμοιον τῆς ταχυγαμίας τρόπον ἐζήλωσεν;*

Εὐσεβίου κατὰ τὸ παρὰ Σαμαρείταις Ἑβραϊκόν

Νῶε γενόμενος ἐτῶν φ' γεννᾷ τὸν Σήμ, καὶ ἐπέζησεν ἔτη ρ' μέχρι τοῦ κατακλυσμοῦ. ἐν ἔτει τοῦ Νῶε χ' ὁ κατακλυσμὸς ἐγενήθη, καὶ ἐπέζησε Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τν' μέχρις πγ' ἔτους Ἕβερ.

30 *Ὁμοῦ τὰ πάντα ἔτη ͵ατζ'.*

Διαφωνεῖ πρὸς μὲν τὸ Ἰουδαϊκὸν ἔτεσι τμθ', πρὸς δὲ τὴν τῶν ο' ἑρμηνείαν ἔτεσιν ϡλε'.

27–32 Euseb. 1, 41, 10–29

1 *ἐγενήθη* **B** *ἐγεννήθη* **A** || **3** *͵αχνς'* Go.^m ex Euseb. *͵αφνς'* **AB** || **4** *ἔτεσι* **B** *ἐν ἔτεσι* **A** || **9** *τῶν* **B** *τὸν* **A** || **13** *πόσῳ πλέον* **B** *πῶς ὁ πλέων* **A** || **19** *τεκνογονίας* **A** *τεκνογονείας* **B** || **21** *συστεῖλαι* **A** *συστῆλαι* **B** || **22** *ταχυγαμίας* **A** *ταχυγαμείας* **B** || **24–25** *τὸν ὅμοιον τῆς ταχυγαμείας* **B** *τῆς ταχυγαμίας τὸν ὅμοιον* **A** || **28** *ἐγενήθη* **B** *ἐγεννήθη* **A** *ἐγένετο* Barb. 227 || **32** *ϡλε'* Go.^m *ϡλ'* **AB** *935* Euseb.

Καὶ ταῦτα μὲν τὰ πρὸ τοῦ κατακλυσμοῦ. ἐπίωμεν δὲ καὶ τοὺς μετὰ ταῦτα χρόνους, πρῶτον ἐκεῖνο σημειωσάμενοι, τὸ συμφώνως τοῦ παρ' Ἑβραίοις ἱστορουμένου κατακλυσμοῦ καὶ τὴν Χαλδαίων μνημονεῦσαι γραφὴν τῆς τε κατασκευασθείσης ὑπὸ τοῦ Νῶε κιβωτοῦ. τοῦ δὲ τὸν κατακλυσμὸν ἀρθῆναι ὑπὲρ τὰ ὑψηλότατα τῶν ὀρέων καὶ ἡμῖν τοῖς μετὰ ταῦτα γράφου- 5 *σιν ἀλήθειαν ἐπιστώσατο αὐτοψία τισὶν ἰχθύων καθ' ἡμᾶς εὑρημένων ἄνω πρὸς αὐταῖς τοῦ Λιβάνου ταῖς ὑψηλοτάταις ἀκρωρείαις. λίθους γὰρ ἐνθένδε εἰς οἰκοδομάς τινες ἀπὸ τῶν ὀρῶν ἐκτέμνοντες θαλαττίων ἰχθύων* 160 *εὗρον διάφορα γένη, ἃ δὴ ἐπὶ τῶν κατὰ τὰ ὄρη κοιλωμάτων συναποπαγῆναι τῇ ἰλύϊ καὶ ταριχευμένων δίκην εἰς δεῦρο διαμεῖναι συνέβη,* 10 *ὥσθ' ἡμῖν καὶ δι' αὐτῆς τῆς ὄψεως τὴν τοῦ παλαιοῦ λόγου πιστωθῆναι μαρτυρίαν.*

Κατὰ τὸ παρὸν χρονογραφεῖον

Ἔτους β' μετὰ τὸν κατακλυσμὸν Σὴμ ἐγέννησε τὸν Ἀρφαξάδ.

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Καϊνᾶν ,βτοζ'. 15

Καϊνᾶν γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Σαλὰ ,βφζ'. τοῦτον τὸν Καϊνᾶν Εὐσέβιος καὶ Ἀφρικανὸς οὐκ ἐστοιχείωσαν· διὸ καὶ τὰ ρλ' ἔτη αὐτοῦ σφάλλονται.

Σαλὰ τὸν Ἕβερ ,βχλζ' ἐτῶν ρλ'.

Ἕβερ τὸν Φαλὲκ ἐτῶν ρλδ' ,βψοα'. 20

Φαλὲκ τὸν Ῥαγαῦ ἐτῶν ρλ' ,βϡα', καὶ ἔζησεν ἄλλα σθ'. γίνονται ἀπὸ Ἀδὰμ ,γρι' ἕως τελευτῆς Φαλέκ.

Ῥαγαῦ ἐτῶν ρλβ' ἐγέννησε τὸν Σερούχ ,γλγ'.

Σερούχ γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ναχὼρ ,γρξγ'.

Ναχὼρ ἐτῶν οθ' ἐγέννησε τὸν Θάρα ,γσμβ'. 25

Θάρα ἐτῶν ο' ἐγέννησε τὸν Ἀβραὰμ ,γτιβ'.

161 *Ἀπὸ τοῦ κατακλυσμοῦ ἕως α' ἔτους Ἀβραὰμ ἔτη ,αο'. ἀπὸ δὲ Ἀδὰμ ἐπὶ μὲν τὸν κατακλυσμὸν ἔτη ,βσμβ', ὡς δέδεικται, ἐπὶ δὲ τὸ πρῶτον*

6 *Ση. περὶ ἰχθύων εὑρεθέντων ἐν τῷ ὄρει τοῦ Λιβάνου*

6–7 cf. ps. Sym. f. 26r = Cedr. 27, 16 || **14–26** Gen. 11, 10–26 (LXX) || **27**–p. 97, **3** cf. ps. Sym. f. 26r = Cedr. 28, 1

4 *κιβωτοῦ* **B** *κατὰ κιβωτοῦ* **A** || **13** *χρονογραφεῖον* **B** *χρονογραφίον* **A** || **15** *ἐτῶν* **B** om. **A** || **17** *ἐστοιχείωσαν* **B** *ἐστοιχείωσεν* **A** || **21** *ῥαγαῦ* **B** *ῥαγὰμ* **A** || **22** *Φαλέκ* scripsi *σαλά* **AB** || **23** *ῥαγαῦ ἐτῶν ρλβ'* **B** *ῥαγὰμ ρλβ' ἐτῶν* **A** | *σερούχ* **B** *σαρούχ* **A** | *,γλγ'* scripsi *,γτγ'* **AB** || **24** *,γρξγ'* **B** *,βρξγ'* **A** || **26** *θαρὰ* **B** *θάρρα* **A** || **27** *ἔτη* **B** om. **A** | *δὲ* **A** om. **B** || **29** *ἐν τῷ ὄρει* **B**m ps. Sym. *ἐπὶ τοῦ ὄρους* **A**m

ἔτος Ἀβραὰμ ἔτη ,γτιβʹ, ὡς ἐν τῷ κανόνι σαφῶς ὑπόκειται. μετὰ δὲ ἔτη οεʹ τῷ ,γτπεʹ ἔτει ἀπὸ Ἀδὰμ ἐξῆλθεν ἐκ Χαρὰν παροικῆσαι εἰς γῆν Χαναὰν τὴν Παλαιστίνην νῦν καλουμένην.

Ἀφρικανοῦ

5 *Μετὰ δὲ τὸν κατακλυσμὸν Σὴμ ἐγέννησε τὸν Ἀρφαξάδ.*
Ἀρφαξὰδ δὲ γενόμενος ἐτῶν ρλεʹ γεννᾷ τὸν Σαλά, ,βτϛζʹ.
Σαλὰ γενόμενος ἐτῶν ρλʹ γεννᾷ τὸν Ἔβερ, ,βφκζʹ.
Ἔβερ γενόμενος ἐτῶν ρλδʹ γεννᾷ τὸν Φαλέκ, ,βχξαʹ, οὕτως ἐπικληθέντα διὰ τὸ ἐν ἡμέραις αὐτοῦ μερισθῆναι τὴν γῆν.
10 *Φαλὲκ ἐτῶν ρλʹ ἐγέννησε τὸν Ῥαγαῦ, καὶ ἐπιζήσας ἔτη σθʹ ἐτελεύτησεν.*
Ἀπὸ Ἀδὰμ ἐπὶ τελευτὴν Φαλὲκ ἔτη ,γ, κατὰ δὲ Εὐσέβιον ,β϶πʹ.
Ῥαγαῦ ἐτῶν ρλβʹ γενόμενος ἐγέννησε τὸν Σερούχ.
Σεροὺχ ρλʹ τὸν Ναχώρ.
Ναχὼρ οθʹ τὸν Θάρα.
15 *Θάρα οʹ ἐτῶν ὢν τὸν Ἀβραὰμ καὶ Ναχὼρ καὶ Ἀρράν.*
Συνάγεται τοίνυν εἰς τὴν ἐπίβασιν τῆς κατηγγελμένης γῆς Ἀβραὰμ ἀπὸ **162** *μὲν τοῦ κατακλυσμοῦ καὶ Νῶε γενεῶν ιʹ ἔτη ,αιεʹ, ἀπὸ Ἀδὰμ γενεῶν κʹ ἔτη ,γσοζʹ.*

Εὐσεβίου μετὰ τὸν κατακλυσμὸν κατὰ τὴν τῶν οʹ ἑρμηνείαν

20 *Ἔτους βʹ Σὴμ υἱὸς Νῶε γεννᾷ τὸν Ἀρφαξάδ, καὶ ἐπέζησεν ἔτη φʹ μέχρις ραʹ ἔτους Φαλέκ.*
Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλεʹ γεννᾷ τὸν Σαλά, καὶ ἐπέζησεν ἔτη υγʹ μέχρι θʹ ἔτους Ῥαγαῦ.
Σαλὰ γενόμενος ἐτῶν ρλʹ γεννᾷ τὸν Ἔβερ, καὶ ἐπέζησεν ἔτη υϛʹ μέχρις 25 *ζʹ ἔτους Σερούχ.*
Ἔβερ γενόμενος ἐτῶν ρλδʹ γεννᾷ τὸν Φαλέκ, καὶ ἐπέζησεν ἔτη υλγʹ μέχρις ληʹ ἔτους Ναχώρ.
Φαλὲκ γενόμενος ἐτῶν ρλʹ γεννᾷ τὸν Ῥαγαῦ, καὶ ἐπέζησεν ἔτη σθʹ, ,β϶πʹ, μέχρις οεʹ ἔτους Σερούχ.

30 1 *Ση. ὅτι ἕως τοῦ αʹ ἔτους Ἀβραὰμ ἀπὸ τοῦ κατακλυσμοῦ ,γρξγʹ ἔτη* || 3 *Ση. ὅτι ἡ τῆς Παλαιστίνης γῆ Χαναὰν ἐκαλεῖτο πρότερον*

5–18 Africanus fr. 9 Routh || 11 cf. ps. Sym. f. 26ʳ = Cedr. 28, 5 || 20–p. 98, 4 Euseb. 1, 41, 31–42, 13

2 *,γτπεʹ* AB *,γτπζʹ* 133, 16 || 10 et 12 *ῥαγαῦ* B *ῥαγὰμ* A || 13 *σεροὺχ* A *σεροὺγ* B || 14 et 15 *θάρα* A *θάρρα* B || 23 et 28 *ῥαγαῦ* B *ῥαγὰμ* A || 25 *σεροὺχ* A *σεροὺγ* B || 28 *φαλὲκ* A *φαλὲγ* B || 30–31 lemmata om. Aᵐ

Ἐν ταῖς ἡμέραις Φαλὲκ διεμερίσθη ἡ γῆ, δι' ὃ καὶ σημαίνει τὸ Φαλὲκ τῇ Ἑβραίων φωνῇ μερισμός. καὶ οὗτος πρὸ τοῦ πατρὸς τελευτᾷ δεύτερος. κατὰ τοῦτον ἡ πυργοποιία συνέστη, καὶ ἀπὸ μιᾶς τῆς πάλαι διαλέκτου πολυφωνία γέγονε καὶ ἡ καθ' ἕκαστον ἔθνος τῶν γλωσσῶν διαφορά.

163 *Μετὰ δὲ τὸν Φαλὲκ Ῥαγαῦ γενόμενος ἐτῶν ρλε' γεννᾷ τὸν Σερούχ, καὶ* 5
ἐπέζησεν ἔτη σζ' μέχρις οζ' ἔτους Ναχώρ.

Σεροὺχ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Ναχώρ, καὶ ἐπέζησεν ἔτη σ' μέχρις να' ἔτους Ἀβραάμ.

Ναχὼρ γενόμενος ἐτῶν οθ' γεννᾷ τὸν Θάρα, καὶ ἐπέζησεν ἔτη ριθ' μέχρις οζ' ἔτους Ἀβραάμ. 10

Θάρα γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Ἀβραάμ, καὶ ἐπέζησεν ἔτη ρλε' μέχρις λε' ἔτους Ἰσαάκ.

Ἀβραὰμ ἔτος α'. οὗτος ἦν ὁ τοῦ Ἰουδαίων ἔθνους προπάτωρ. κατὰ τοῦτον Ἀσσυρίας καὶ τῆς Ἀσίας πάσης ἐβασίλευσε Νίνος καὶ Σεμίραμις. ὁμοῦ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ πρῶτον ἔτος Ἀβραὰμ ἔτη ϡμβ'. ἦν 15
δὲ τὰ ἀπὸ τοῦ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ͵βσμβ'.

Τὰ πάντα συνάγεται ἔτη ͵γρπδ'.

Εὐσεβίου

Κατὰ δὲ τὸ παρὰ Ἰουδαίοις Ἑβραϊκὸν

Ἔτους β' μετὰ τὸν κατακλυσμὸν Σὴμ υἱὸς Νῶε γεννᾷ τὸν Ἀρφαξάδ, καὶ 20
ἐπέζησεν ἔτη φ' μέχρις τοῦ ν' ἔτους Ἰακώβ.

164 *Ἀρφαξὰδ γενόμενος ἐτῶν λε' γεννᾷ τὸν Σαλά, καὶ ἐπέζησεν ἔτη υγ' μέχρις μη' ἔτους Ἰσαάκ.*

Σαλὰ γενόμενος ἐτῶν λ' γεννᾷ τὸν Ἔβερ, καὶ ἐπέζησεν ἔτη υγ' μέχρις ιη' ἔτους Ἰακώβ. 25

Ἔβερ γενόμενος ἐτῶν λδ' γεννᾷ τὸν Φαλέκ, καὶ ἐπέζησεν ἔτη υλ' μέχρις οθ' ἔτους Ἰακώβ.

Φαλὲκ γενόμενος ἐτῶν λ' γεννᾷ τὸν Ῥαγαῦ, καὶ ἐπέζησεν ἔτη σθ' μέχρις μη' ἔτους Ἀβραάμ.

Ῥαγαῦ γενόμενος ἐτῶν λβ' γεννᾷ τὸν Σερούχ, καὶ ἐπέζησεν ἔτη οζ' 30
μέχρις οη' Ἀβραάμ.

2 *καὶ ὁ Φαλὲγ πρὸ τοῦ πατρὸς τελευτᾷ* || **3** *ἡ πυργοποιία* || **13** *Ση. ὅτι ἐν τῷ α' ἔτει Ἀβραὰμ ἐβασίλευσε Νίνος καὶ Σεμίραμις Ἀσσυρίας καὶ Ἀσίας*

5–17 Euseb. 1, 42, 19–33 || **18–p. 99, 9** Euseb. 1, 43, 1–25

1 *φαλὲκ* **A** *φαλὲγ* **B** | *διεμερίσθη . . . φαλὲκ* om. **A** | τὸ Φαλὲκ Di. *τὸν φαλὲγ* **B** || **2** *μερισμός* **A** ps. Sym. *μερισμόν* **B** || **5** *ῥαγαῦ* **B** *ῥαγὰμ* **A** | *ἐτῶν* **B** om. **A** || **6** *σζ'* **B** *σξ'* **A** || **7** *σερούχ* **A** *σερούγ* **B** || **9** *οθ'* **B** *σθ'* **A** | *γεννᾷ* **A** om. **B** || **9** et **11** *θάρα* **B** *θάρρα* **A** || **10** *οζ'* **AB** *49* Euseb. || **21** *τοῦ* **B** om. **A** | *ν'* scripsi *νε'* **AB** *50* Euseb. || **26** *φαλέκ* **A** *φαλέγ* **B** || **32** lemmata (2, 3) om. **A**[m] || **33** *καὶ ἀσίας* **B**[m] om. **A**[m]

Σεροὺχ γενόμενος ἐτῶν λ' γεννᾷ τὸν Ναχώρ, καὶ ἐπέζησεν ἔτη σ' μέχρι πρώτου ἔτους Ἰσαάκ.

Ναχὼρ γενόμενος ἐτῶν κθ' γεννᾷ τὸν Θάρα, καὶ ἐπέζησεν ἔτη ριθ' μέχρις μθ' ἔτους Ἀβραάμ.

5 *Θάρα γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Ἀβραάμ, καὶ ἐπέζησεν ἔτη ρλε' μέχρις λε' ἔτους Ἰσαάκ.*

Ἀβραὰμ ἔτος α'. ὁμοῦ τὰ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ πρῶτον ἔτος Ἀβραὰμ ἔτη σϙβ', τὰ δὲ πάντα ἀπὸ Ἀδὰμ ἔτη ,αϡμη'. διαφωνεῖ πρὸς τὴν τῶν ο' ἑρμηνείαν ἔτεσι ,ασλε'.

10 Εὐσεβίου 165

Κατὰ δὲ τὸ Σαμαρειτῶν Ἑβραϊκὸν

Ἔτους β' μετὰ τὸν κατακλυσμὸν Σὴμ υἱὸς Νῶε γεννᾷ τὸν Ἀρφαξάδ, καὶ ἐπέζησεν ἔτη φ' μέχρις ρα' ἔτους Φαλέκ.

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε' γεννᾷ τὸν Σαλά, καὶ ἐπέζησεν ἔτη τγ' 15 *μέχρις λθ' ἔτους Φαλέκ.*

Σαλὰ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Ἔβερ, καὶ ἐπέζησεν ἔτη τγ' μέχρις λθ' ἔτους Ῥαγαῦ.

Ἔβερ γενόμενος ἐτῶν ρλδ' γεννᾷ τὸν Φαλέκ, καὶ ἐπέζησεν ἔτη σο' μέχρις ρμ' ἔτους Ῥαγαῦ.

20 *Φαλὲκ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Ῥαγαῦ, καὶ ἐπέζησεν ἔτη ρθ' μέχρις ρθ' ἔτους Ῥαγαῦ.*

Ῥαγαῦ γενόμενος ἐτῶν ρλβ' γεννᾷ τὸν Σερούχ, καὶ ἐπέζησεν ἔτη σζ' μέχρις οζ' ἔτους Ναχώρ.

Σεροὺχ γενόμενος ἐτῶν ρλ' γεννᾷ τὸν Ναχώρ, καὶ ἐπέζησεν ἔτη ρ' 25 *μέχρις κα' ἔτους Ἀβραάμ.*

Ναχὼρ γενόμενος ἐτῶν οθ' γεννᾷ τὸν Θάρα, καὶ ἐπέζησεν ἔτη ξθ' μέχρις ξθ' ἔτους Θάρα.

Θάρα γενόμενος ἐτῶν ο' γεννᾷ τὸν Ἀβραάμ, καὶ ἐπέζησεν ἔτη οε' μέχρις οε' ἔτους Ἀβραάμ.

30 *Ἀβραὰμ ἔτος α'. ὁμοῦ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ α' ἔτος Ἀβραὰμ ἔτη* 166 *ϡμβ', ὁπόσα ἦν καὶ κατὰ τὴν τῶν ο' ἑρμηνείαν.*

Συνᾴδει τοίνυν τῇ παρ' ἡμῶν ἀναγνώσει ἡ παρὰ Σαμαρείταις φερομένη Ἑβραϊκὴ γραφὴ κατὰ τὰς πρώτας τῶν ἐτῶν ἀποδόσεις τὰς πρὸ τῆς παιδο-

10–31 Euseb. 1, 43, 26–44, 15 || 32–p. 100, 31 Euseb. 1, 44, 16–45, 19

1 *τὸν ναχώρ* B *τὸν ἀχώρ* A || 3 et 5 *θάρα* B *θάρρα* A || 11 *σαμαρειτῶν* B *σαμαρικὸν* A || 13 et 15 et 18 *φαλέκ* A *φαλέγ* B || 14 *ρλε'* Go.[m] *ρλ'* AB *165* Euseb. || 18 et 20 *ἐτῶν* om. A || 22 *Σερούχ* Go. *σερούμ* A *σερούγ* B || 24 *σεροὺχ* A *σεροὺγ* B || 25 *Ἀβραάμ*] ita etiam Euseb. recte *Θάρα* || 26 et 27 et 28 *θάρα* B *θάρρα* A

ποιίας. διαφωνεῖ δὲ πρὸς τὸ Ἰουδαίων Ἑβραϊκὸν ἔτεσι χν΄. ἦν γὰρ τὰ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ πρῶτον ἔτος Ἀβραὰμ κατὰ τὴν τῶν Ἰουδαίων γραφὴν ἔτη σϙβ΄.

Ἐπεὶ τοίνυν φαίνονται κατὰ τὸ παλαιότατον Ἑβραϊκόν, ὃ δὴ παρὰ Σαμαρείταις ἔτι καὶ νῦν σῴζεται, τῇ τῶν ο΄ ἑρμηνείᾳ συμφώνως οἱ ἀπὸ τοῦ 5 κατακλυσμοῦ καὶ ἐπὶ Ἀβραὰμ μετὰ τὰς προκειμένας τῶν ἐτῶν ἑκατοντάδας καὶ τὸν ἐπὶ τούτοις ἀριθμὸν παῖδας ποιησάμενοι, ποῖος ἐρεῖ λόγος τοὺς τούτων πρεσβυτέρους, καίπερ ἔτεσι πολὺ πλείοσι τῶν μετὰ ταῦτα βεβιωκότας, τάχιστα ἐπὶ τὴν παιδοποιίαν ἐλθεῖν, καὶ μὴ μᾶλλον κατὰ τοὺς παρὰ τοῖς ο΄ σεσημειωμένους χρόνους; τούτων δ᾽ οὖν καὶ ὁ σώφρων 10 λογισμὸς ὑποβάλλει νοεῖν, ὥστε ἀνάγκη διημαρτῆσθαι ὁμολογεῖν τὴν μὲν παρὰ Ἰουδαίοις γραφὴν ἐν τοῖς ἀπὸ Ἀδὰμ καὶ ἐπὶ Ἀβραὰμ χρόνοις ἐκτὸς τριῶν περὶ τὸν Ἰάρεδ, τὴν δὲ παρὰ Σαμαρείταις ἐν τοῖς ἀπὸ Ἀδὰμ καὶ ἐπὶ τὸν κατακλυσμὸν μόνοις. τὰ γὰρ ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ τὸν Ἀβραὰμ ἔτη σύμφωνα εὕρηται τῇ παρὰ τοῖς ο΄ φερομένῃ τῶν ἐτῶν ση- 15 167 μειώσει. ἄντικρυς δὲ φαίνεται διημαρτημένως ἔχειν τὸ παρὰ Ἰουδαίοις Ἑβραϊκόν. συνάγει γὰρ κατὰ τὸ αὐτὸ τοῖς χρόνοις τὸν Ἀβραὰμ καὶ τὸν Νῶε, ὅπερ οὐδεμία παρίστησιν ἱστορία.

Εἰ γὰρ κατὰ τὴν Ἰουδαίων γραφὴν ἀπὸ τοῦ κατακλυσμοῦ καὶ ἐπὶ Ἀβραὰμ ἔτη τυγχάνει σϙβ΄, ἔζησε δὲ Νῶε κατὰ τοὺς αὐτοὺς μετὰ τὸν κατακλυσμὸν 20 ἔτη τν΄, δῆλός ἐστι παρατείνας τὴν ζωὴν μέχρι νη΄ ἔτους Ἀβραάμ. ἔστι δὲ καὶ ἄλλως τὴν ἀτοπίαν συνιδεῖν τῶν παρ᾽ Ἰουδαίοις ἀντιγράφων ἀπὸ τοῦ τριακονταέτεις ἀναγράψαι τοὺς πρὸ τοῦ Ἀβραὰμ πεπαιδοποιημένους· ὁπότε οἱ μετὰ τὸν Ἀβραὰμ ἱστοροῦνται πρεσβύτεροι τῶν λ΄ ἐτῶν ἐπὶ τὴν παιδοποιίαν ἐλθεῖν. 25

Πανταχόθεν τοιγαροῦν τῆς τῶν ο΄ ἑρμηνείας ἐκ παλαιᾶς, ὡς ἔοικε, καὶ ἀδιαστρόφου Ἑβραίων γραφῆς μεταβεβλῆσθαι συνισταμένης, εἰκότως ταύτῃ καὶ ἡμεῖς κεχρήμεθα κατὰ τὴν παροῦσαν χρονογραφίαν, ὅτε μάλιστα καὶ ἡ καθ᾽ ὅλης τῆς οἰκουμένης ἡπλωμένη Χριστοῦ ἐκκλησία ταύτῃ μόνῃ προσέχει τῶν τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθη- 30 τῶν ἀρχῆθεν ταύτῃ χρῆσθαι παραδεδωκότων.

Ἔστι τοίνυν κατὰ τοὺς ο΄ τὰ μὲν ἀπὸ τοῦ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ͵βσμβ΄, τὰ δὲ ἀπὸ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ α΄ ἔτος Ἀβραὰμ ἔτη ϡμβ΄, τὰ πάντα ἔτη ͵γρπδ΄, κατὰ δὲ τὸ παρὰ Ἰουδαίοις Ἑβραϊκὸν ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ͵αχνϛ΄, ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ 35 πρῶτον ἔτος Ἀβραὰμ ἔτη σϙβ΄, τὰ πάντα ἔτη ͵αϡμη΄, κατὰ δὲ τὸ παρὰ

32 – p. 101, 3 Euseb. 1, 45, 20 – 28

10 τοῖς ο΄ **B** τοὺς ο΄ **A** ‖ 11 διημαρτῆσθαι **A** διημαρτεῖσθαι **B** ‖ 14 ἀπὸ **B** ἐπὶ **A** ‖ 23 τριακονταέτεις Di. τριακονταέτης **AB** ‖ 31 ταύτῃ **A** ταύτην **B**

Σαμαρείταις Ἑβραϊκὸν ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν ἔτη ,ατζ', ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐπὶ τὸ πρῶτον ἔτος Ἀβραὰμ ἔτη ϡμβ', τὰ πάντα ὁμοῦ ἔτη ,βσμθ'.

ΚΟΣΜΟΥ ΕΤΗ

Τῷ ,βψος' ἔτει τοῦ κόσμου ἡ διασπορὰ τῶν οβ' ἐθνῶν γέγονε, Φαλὲκ δὲ ἦν ἐτῶν ε'.

Τῷ ,βψς' ἔτει τοῦ κόσμου Χαναὰν ἐπέβη τοῖς ὁρίοις τοῦ Σήμ, ἁρπάσας βιαίως τὴν γῆν τὴν ἐσχάτην δοθεῖσαν τῷ Ἀβραάμ.

Τῷ ,βωζ' ἔτει τοῦ κόσμου Ἀρφαξὰδ ἀπέθανε.

Τῷ ,βωλη' ἔτει τοῦ κόσμου, τοῦ δὲ Φαλὲκ ξζ' ἔτει, Καϊνᾶν ἀπέθανε, καὶ οἱ υἱοὶ τοῦ Σὴμ ἐπολέμησαν πρὸς τοὺς υἱοὺς Χὰμ περὶ τῶν ὁρίων τῆς Παλαιστίνης.

Τῷ ,βωμθ' ἔτει τοῦ κόσμου οἱ διασπαρέντες ἤρξαντο κτίζειν πόλεις.

Τῷ ,βϡλα' ἔτει τοῦ κόσμου, τοῦ δὲ Φαλὲκ ρλ', ἐγέννησεν ὁ Φαλὲκ τὸν Ῥαγαῦ.

Γενεὰ ιζ'

Ῥαγαῦ ἔτη ρλβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,βϡλβ'.

Τῷ ,γλγ' ἔτει τοῦ κόσμου Ῥαγαῦ ἐγέννησε τὸν Σεροὺχ τῷ ρλβ' ἔτει αὐτοῦ.

Γενεὰ ιη'

Σεροὺχ ἔτη ρλ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γλδ'.

Τῷ ,βψος' ἔτει τοῦ κόσμου οἱ Χαλδαῖοι πρῶτοι ἀνηγόρευσαν ἑαυτοῖς βασιλεῖς, ὧν πρῶτος Εὐήχιος, ὁ παρ' ἡμῖν Νεβρώδ, ἐβασίλευσε Βαβυλῶνος ἔτη ςγº'.

Χαλδαίων β' ἐβασίλευσε Χοσμάσβηλος ἔτη ζ' ∪. τοῦ δὲ κόσμου ἦν ἔτος ,βψπβ'.

Χαλδαίων γ' ἐβασίλευσε Πῶρος ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,βψς'.

7 περὶ Χαναάν ‖ 11 Ση. πότε ἐπολέμησαν οἱ υἱοὶ τοῦ Σὴμ τοὺς υἱοὺς Χάμ ‖ 22 Χαλδαίων βασιλεῖς μετὰ τὸν κατακλυσμὸν α' Νεβρώδ

5–8 cf. Iubil. 10, 27–29 ‖ 9 cf. Gen. 11, 13; aliter infra 132, 13–18 ‖ 10 cf. Gen. 11, 13 ‖ 11–12 cf. Iubil. 10, 28–33 ‖ 13 cf. Iubil. 11, 2 ‖ 14 cf. Gen. 11, 18 ‖ 17–19 cf. Gen. 11, 19 ‖ 21 cf. Gen. 11, 22 ‖ 22–p. 102, 8 cf. supra 88, 13 = Alex. Pol. FGrHist 273 F 79; Chron. Synt. 83, 18; Gelzer 2, 200

2.3 τὰ πάντα ὁμοῦ B tr. A ‖ 5 ἔτει om. A ‖ 7 ,βψς'] ,βψςα' supra 47, 21 ‖ 10 ,βωλη' A ,βλη' B ‖ 17–18 ἔτη . . . Ῥαγαῦ om. B ‖ 17 τοῦ δὲ κόσμου ἦν ἔτος] τοῦ κόσμου A ‖ 22 ἑαυτοῖς B ἑαυτοὺς A ‖ 25 χοσμάσβηλος B χοσμάσβολος A χομάσβηλος Chron. Synt. ‖ 27 πῶρος AB πύρος Chron. Synt.

Χαλδαίων δ' ἐβασίλευσε Νεχούβης ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βωκε'.

Χαλδαίων ε' ἐβασίλευσε Νάβιος ἔτη μη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βωξη'.

Χαλδαίων ϛ' ἐβασίλευσεν Ὀνίβαλλος ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος 5 *͵βϡιϛ'.*

Χαλδαίων ζ' ἐβασίλευσε Ζίνζηρος ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βϡνϛ'.

Ἕως τούτου σκε' διήρκεσεν ἡ μετὰ τὴν διασπορὰν τῶν ζ' Χαλδαίων 170 *βασιλέων ἀρχή, ἀπὸ τοῦ ͵βψοϛ' κοσμικοῦ ἔτους ἕως τοῦ ͵γ κοσμικοῦ·* 10 *ἀπὸ δὲ τοῦ ͵γα' κοσμικοῦ ἔτους διεδέξαντο τὴν Χαλδαίων βασιλείαν Ἄραβες ἐπὶ ἔτη σιε', βασιλεῖς ϛ', ἕως τοῦ ͵γσιε' κοσμικοῦ ἔτους, ὧν ὁ χρόνος ὡς ὑποτέτακται.*

Τῷ ͵βψοϛ' ἔτει τοῦ κόσμου ὁ πρῶτος οἰκήσας τὴν Μεστραίαν χώραν, ἤτοι Αἴγυπτον, ἐβασίλευσεν ἐν αὐτῇ πρῶτος ἔτη λε'. 15

Αἰγύπτου τῆς πάλαι Μεστραίας βασιλεῖς ἔτη

α' *Πρῶτος Μεστραὶμ ὁ καὶ Μήνης ἔτη λε'.*

β' *Αἰγύπτου δεύτερος ἐβασίλευσε Κουρώδης ἔτη ξγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βωια'.*

γ' *Αἰγυπτίων τρίτος ἐβασίλευσεν Ἀρίσταρχος ἔτη λδ'. τοῦ δὲ κόσμου* 20 *ἦν ἔτος ͵βωοδ'.*

δ' *Αἰγυπτίων τέταρτος ἐβασίλευσε Σπάνιος ἔτη λϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βϡη'.*

ε', ϛ' *Αἰγυπτίων δύο βασιλέων ε' καὶ ϛ' ἀνεπιγράφων ἔτη οβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵βϡμδ'.* 25

ζ' *Αἰγυπτίων ζ' ἐβασίλευσεν ὁ Σέραπις ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γιϛ'.*

11 *τίνες διεδέξαντο τῶν Χαλδαίων βασιλείαν* || **16** *Αἰγυπτίων βασιλεῖς· τίς α' βασιλεὺς Αἰγύπτου*

11–13 cf. Chron. Synt. 83, 30 || **17** – p. 103, 4 ps. Manetho (Sothis) FGrHist 609 F 28

3 *νάβιος* **B** *ἄβιος* **A** *νάβλιος* Chron. Synt. | *ἦν ἔτος* **B** tr. **A** || **5** *ὀνίβαλλος* **AB** *ὀνίβαλος* Chron. Synt. | *δὲ* om. **B** || **6** *͵βϡιϛ'* Go.[m] *͵βϡνϛ'* **A** *͵βϡμϛ'* **B** || **7** *ζίνζηρος* **B** Chron. Synt. *ζίνζιρος* **A** | *με'* **A** *μϛ'* **B** | *δὲ* om. **B** || **9** *τούτου* **B** *τοῦ* **A** || **10** *βασιλέων* **B** *βασιλεία* **A** | *ἕως . . .* **11** *κοσμικοῦ ἔτους* om. **B** || **17** *Μήνης* Di. *μίνης* **AB** || **18** *κουρώδης* **B** *κουρουδὴς* **A** || **24** *δύο βασιλέων* **A** *βασιλέων β'* **B** | *ε' καὶ ϛ'* **B** *ε' ϛ'* **A** || **25, 26** et p. 103, 1 *ἦν* om. **B** || **26** *ὁ σεράπις* **A** *ὠσιροπὶς* **B** || **28** in margine **AB** in textu Go. | lemma om. **A**[m]

η′ Αἰγυπτίων η′ ἐβασίλευσε Σεσόγχωσις ἔτη μθ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γλθ′.

θ′ Αἰγυπτίων θ′ ἐβασίλευσεν Ἀμενέμης ἔτη κθ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γπη′. 171

5 ## ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀπολλόδωρος χρονικὸς ἄλλην Αἰγυπτίων τῶν Θηβαίων λεγομένων βασιλείαν ἀνεγράψατο βασιλέων λη′, ἐτῶν ,αος′. ἥτις ἤρξατο μὲν τῷ ,β϶′ ἔτει τοῦ κόσμου, ἔληξε δὲ εἰς τὸ ,γμε′ ἔτος τοῦ κόσμου, ὧν τὴν γνῶσιν, φησίν, ὁ Ἐρατοσθένης λαβὼν Αἰγυπτιακοῖς ὑπομνήμασι καὶ ὀνόμασι 10 κατὰ πρόσταξιν βασιλικὴν τῇ Ἑλλάδι φωνῇ παρέφρασεν οὕτως·

Θηβαίων βασιλέων τῶν μετὰ ρκδ′ ἔτη τῆς διασπορᾶς
λη′ βασιλειῶν

α′ ἐβασίλευσε Μήνης Θινίτης Θηβαῖος, ὃ ἑρμηνεύεται αἰώνιος· ἐβασίλευσεν ἔτη ξβ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,β϶′.

15 *β′ Θηβαίων δεύτερος ἐβασίλευσεν Ἀθώθης υἱὸς Μήνεως ἔτη νθ′. οὗτος ἑρμηνεύεται Ἑρμογένης. ἔτος τοῦ κόσμου ,β϶ξβ′.*

γ′ Θηβαίων Αἰγυπτίων τρίτος ἐβασίλευσεν Ἀθώθης ὁμώνυμος ἔτη λβ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γκα′.

ΑΡΑΒΩΝ ΒΑΣΙΛΕΙΣ 172

20 *Ἀράβων βασιλέων τῶν μετὰ τοὺς ς′ Χαλδαίων βασιλεῖς, ὧν πρῶτος Μαρδοκέντης ἐβασίλευσεν ἔτη με′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γα′.*

β′ Ἀράβων δεύτερος ἐβασίλευσε Μαρδακὸς ἔτη μ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γμα′.

γ′ Ἀράβων τρίτος ἐβασίλευσε Σισιμόρδακος ἔτη κη′. τοῦ δὲ κόσμου 25 ἦν ἔτος ,γπς′.

δ′ Ἀράβων τέταρτος ἐβασίλευσε Νάβιος ἔτη λζ′. τοῦ κόσμου ἦν ἔτος ,γριδ′.

6–18 Aegyptiorum Anagraphe FGrHist 610 F 1, ps. Eratosthenes FGrHist 241 F 48, ps. Apollodorus FGrHist 244 F 85. uide Gelzer 2, 196, Schwartz, RE 1, 2859 || **19**–p. 104, **7** cf. Chron. Synt. 83, 31; uide Gelzer 2, 198

8 *,γμε′*] *,γ϶οε′* infra 172, 18 || **10** *οὕτως* **B** *οὗτος* **A** || **11** *ρκδ′* Go.[m] *,αρκδ′* **AB**, cf. infra 172, 17 | *ἔτη* **B** *ἔτει* **A** || **13** *α′ πρῶτος ἐβασίλευσε* **B** *α′ ἐβασίλευσε πρῶτος* **A** | *μήνης* **A** *μήνις* **B** | *Θινίτης* v. Gutschmid *θηβινίτης* **A** *θηνίτης* **B** | *αἰώνιος* Jablonski *διόνιος* **A** *διώνιος* **B** || **15** *μήνεως* **B** *μίνεως* **A** || **16** *ἔτος* **B** *ἔτους* **A** || **18** *ἦν* om. **B** || **21–23** *,γα′ . . . ἦν ἔτος* om. **A** || **23** *,γμα′* **AB** *,γμς′* ex summa || **24** *σισιμόρδακος* **B** *σισιμάρδακος* **A** *ὀσιμόρδακος* Chron. Synt.

ε' Ἀράβων πέμπτος ἐβασίλευσε Πάραννος ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρνα'.
ς' Ἀράβων ἕκτος ἐβασίλευσε Ναβούνναβος ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρςα'.

Ἡ τῶν Ἀράβων βασιλεία διαδεξαμένη τὴν τῶν Χαλδαίων διήρκεσεν ἔτη σιε', ἀρξαμένη ἀπὸ τοῦ καθολικοῦ κοσμικοῦ ,γα' ἔτους καὶ λήξασα εἰς τὸ παρὸν ,γσιε'. ταύτην Ἀσσυρίων μα' διεδέξαντο βασιλεῖς, οἳ καὶ ἀρξάμενοι ἀπὸ τοῦ ,γσις' καθολικοῦ ἔτους κόσμου ἔληξαν εἰς τὸ ,δχοε' ἔτος τοῦ κόσμου, διαρκέσαντες ἔτη ὅλα ,αυξ' ἀπὸ τοῦ πρώτου αὐτῶν Βήλου ἕως τοῦ μα' Κονκολέρου τοῦ καὶ Σαρδαναπάλου, ὡς συμφωνοῦσι πολλοὶ τῶν ἐπισήμων ἱστορικῶν, Πολύβιος καὶ Διόδωρος, Κεφαλίων τε καὶ Κάστωρ καὶ Θάλλος καὶ ἕτεροι.

173

ΚΟΣΜΟΥ ΕΤΗ

Γενεὰ ιθ'

Ναχὼρ ἔτη οθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρξδ'.

Εὐσέβιος τῷ ,γρπδ' ἔτει τοῦ κόσμου φησὶ τὸν Ἀβραὰμ γεννηθῆναι. σφάλλεται ὁ Εὐσέβιος ἐν τοῖς ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ χρόνοις τὰ ρλ' ἔτη τοῦ δευτέρου Καϊνᾶν μὴ στοιχειώσας υἱοῦ Ἀρφαξάδ, ὃν οἱ ο' ἀριθμοῦσι καὶ τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ιγ' ἀπὸ Ἀδάμ.

Ἀφρικανὸς ἀπὸ Ἀδὰμ ἐπὶ τὸ πρῶτον ἔτος Ἀβραὰμ ἔτη ,γσβ' ἐπελογίσατο. σφάλλεται δὲ καὶ οὗτος τὰ αὐτὰ ρλ' ἔτη τοῦ δευτέρου Καϊνᾶν υἱοῦ Ἀρφαξάδ, ὑφαιρουμένων τῶν κ' ἐτῶν τοῦ Μαθουσάλα, ἅτινα προσομοίως τῷ Εὐσεβίῳ καὶ οὗτος τῷ ,γρπδ' ἔτει τοῦ κόσμου.

Τῷ οθ' αὐτοῦ ἔτει ὁ Ναχὼρ ἐγέννησε τὸν Θάρα.

7 *Ἀσσύριοι διαδέχονται τὴν Ἀράβων βασιλείαν ἔτη ,αυξ'* || 17 *ποῦ σφάλλεται ὁ Εὐσέβιος* 25

7–9 cf. Annianum apud Eliam Nisib. 16, 19 || 11–12 Polybius FGrHist 254 F 1; Diodorus 2, 21, 8; Cephalion FGrHist 93 F 2; Castor FGrHist 250 F 1; Thallus FGrHist 256 F 5 || 16 Euseb. 1, 45, 22 || 18 Gen. 11, 13, Luc. 3, 36 || 20 Africanus fr. 9 Routh || 22 Africanus fr. 6 Routh || 24 Gen. 11, 24

3 *ναβούνναβος* **B** *ναβόνναβος* **A** *ναβόναβος* Chron. Synt. || 4 *,γρςα'* **A** *,γςα'* **B** || 10 *μα' Κονκολέρου* infra 193, 21 *μα' μακοσκολέρου* **AB** | *σαρδαναπάλου* **B** *σαρδανάπαλος* **A** || 11 *κεφαλίων* **B** *κεφαλλίων* **A** || 12 *θάλλος* **B** *θάλλως* **A** || 18 *υἱοῦ* **B** *οἱ υἱοῦ* **A** || 22 *προσομοίως* Di. *πρὸς ὁμοίως* **AB** || 23 *οὗτος* **B** *οὕτως* **A** | *τῷ ,γρπδ' ἔτει τοῦ κόσμου* delere maluerunt Go. et Di. || 24 et p. 105, 2 *θάρα* **B** *θάρρα* **A** || 25 lemmata om. **A**[m]

Γενεὰ εἰκοστή

Θάρα ἔτη ο'. τοῦ κόσμου ἦν ἔτος ,γσμγ'.

Κατὰ Ἀφρικανόν

Τῷ ,γσοζ' ἔτει τοῦ κόσμου ἐπέβη Ἀβραὰμ τῆς ἐπηγγελμένης Χανανί-
5 *τιδος γῆς, ὅπερ ἀδύνατον πέφυκε.*
Τῷ ,γτιβ' ἔτει τοῦ καθολικοῦ κόσμου, ὅπερ ἦν τῆς ζωῆς Θάρα τοῦ πα- 174
τρὸς Ἀβραὰμ ἔτος ο', ἐγέννησεν ὁ αὐτὸς Θάρα τὸν Ἀβραάμ, ὥς φησιν ἡ
γραφή, καὶ μετὰ οε' ἔτη, τοῦτ' ἔστι μετὰ ρμε' τῆς γεννήσεως Θάρα, τῷ
,γτπζ' ἔτει τοῦ κόσμου, ἐξῆλθεν Ἀβραὰμ ἐκ Χαρρὰν οε' ἔτος ἄγων, ὥς φησι
10 *πάλιν ἡ γραφὴ ὅτι 'Ἀβραὰμ δὲ ἦν ἐτῶν οε', ὅτε ἐξῆλθεν ἐκ Χαρράν'. εἰ*
τοίνυν τῷ ο' ἔτει τοῦ Θάρα ἐγεννήθη ὁ Ἀβραάμ, ὅπερ ἐστίν, ὡς πρόκειται,
,γτιβ' τοῦ κόσμου ἔτει, καὶ τῷ οε' ἔτει μετὰ τὸ γεννηθῆναι αὐτὸν ἐξῆλθεν
ἐκ Χαρρὰν θείᾳ προσκλήσει, φανερόν ἐστιν ὅτι τῷ ρμε' ἔτει τοῦ Θάρα
ἐξῆλθεν ἐκ Χαρράν, ὅπερ συνάγεται ἔτος ἀπὸ Ἀδὰμ ,γτπζ'. οὐ γὰρ φαί-
15 *νεται ἡ γραφὴ τρανῶς φάσκουσα ὅτι μετὰ θάνατον τοῦ Θάρα ἐξῆλθεν ὁ*
πατριάρχης Ἀβραὰμ ἐκ Χαρράν, εἰ καὶ τὸν περὶ τοῦ θανάτου τοῦ Θάρα
λόγον προτάττει καὶ οὕτως ἐπάγει τὸ περὶ τῆς ἐξόδου τοῦ Ἀβραάμ, οὕτω
τῆς συνεχείας ἀπαιδευτούσης τοῦ λόγου καὶ τοῦ θεόπτου Μωυσέως, ὡς
οἶδεν ὁ χρηματίζων πρὸς αὐτόν, οὕτω σοφῶς φθεγγομένου κρείττω ἢ κατὰ
20 *ἄνθρωπον.*
Ἐπεὶ κατὰ τοῦτο περιεργούντων ἡμῶν εὑρεθήσεται ἐν πολλοῖς ἡ γραφὴ
σφαλλομένη ὑπερβατικῶς λέγουσα τὰ πρῶτα ἔσχατα καὶ τὰ ἔσχατα πρῶ-
τα, ὥσπερ καὶ ἐν ταῖς εὐλογίαις τῶν τριῶν υἱῶν τοῦ Νῶε, ἀρξαμένη μὲν
ἀπὸ τοῦ μέσου υἱοῦ αὐτοῦ Ἰάφεθ, ἐλθοῦσα δὲ εἰς τὸν πρῶτον υἱὸν Σὴμ 175
25 *διὰ μέσου τοῦ Χάμ, ὃς ἦν ὕστατος· καὶ αὖθις πρὸ τοῦ εἰπεῖν περὶ τῆς συγ-*
χύσεως τῶν γλωσσῶν καὶ τῆς οἰκοδομῆς τοῦ πύργου, ἡνίκα καὶ Βαβυ-
λὼν κυρίως ἐκλήθη διὰ τὴν σύγχυσιν, εἰρηκυῖα περὶ τοῦ Νεβρὼδ ὅτι 'καὶ
ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλών'· καὶ ἐν ἄλλοις δὲ πλείοσιν
ὑπερβατοῖς εὑρήσεις τὴν γραφὴν χρησαμένην καὶ μηδαμοῦ σφαλλομένην.

30 6 *πότε ἐγεννήθη ὁ Ἀβραάμ* || 9 *πότε ἐξῆλθεν ἐκ Χαρράν*

2 Gen. 11, 26 || 4 Africanus fr. 9 Routh || 7 Gen. 11, 26 || 10 Gen. 12, 4 || 16 Gen. 11, 32 || 22 cf. Marc. 10, 31 | Gen. 10, 1–31 || 27 Gen. 10, 10

6 *τοῦ καθολικοῦ κόσμου* **B** *τοῦ κόσμου τοῦ καθολικοῦ* **A** || 6 et infra *θάρα* **B** *θάρρα* **A** || 7 *ἔτος* om. **A** || 12 *κόσμου ἔτει* **A** *κόσμου ἔτη* **B** || 14 *ἔτος* **B** *ἐντὸς* **A** || 27 *τοῦ* **B** *τὸν* **A** || 30 lemmata om. **A**[m]

τὸ γάρ τοι παρά τινων ὡς ἄπορον ἡμῖν προτεινόμενον εἰρῆσθαι τῷ θείῳ
Λουκᾷ ὡς ἐκ τοῦ πρωτομάρτυρος Στεφάνου πρὸς τοὺς Ἰουδαίους ὅτι
'ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ
πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν· ἔξελθε ἐκ τῆς
γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω. 5
τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν Χαρράν. κἀκεῖθεν μετὰ τὸ
ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν
ὑμεῖς νῦν κατοικεῖτε', καὶ ὅτι κατὰ τοῦτον τὸν λόγον δυοῖν θάτερον ἀνάγκη
εἶναι, ἢ τὸν Ἀβραὰμ γεννηθέντα κατὰ τὸν θεῖον Μωυσῆν τῷ ο' ἔτει τοῦ
Θάρα, ὡς ἐν τῷ θανάτῳ αὐτοῦ εἶναι ἐτῶν ρλε' πρὸ τῆς εἰς τὴν Χανανίτιδα 10
γῆν πορείας, ἢ οε' ἔτος ἄγοντα κατὰ τὴν γραφήν, καὶ μετὰ θάνατον Θάρα,
πορευθέντα ἐκ Χαρρὰν εἰς γῆν Χαναναίαν κατὰ τὴν τῶν πράξεων ἀψευδῆ
176 γραφὴν καὶ τὸν λόγον τοῦ μεγάλου πρωτομάρτυρος καὶ ἀποστόλου Στε-
φάνου μὴ εἶναι οε' ἐτῶν, ἀλλ' ρλε', εἴπερ σε' ἐτῶν τέθνηκεν ὁ Θάρα·
καὶ κατ' ἄμφω τοὺς τρόπους, εἴτε τὴν Γένεσιν εἴτε τὰς πράξεις, ὥς φασιν 15
ἐκεῖνοι, σφάλλεσθαι. προστιθέασι δὲ καὶ τὴν λύσιν τῆς ἀπορίας μηδὲν
ἔχουσαν ἀληθὲς ἢ πιθανόν, ὅτι συντομίας χάριν καὶ οὐκ ἀκριβείας εἴρηται
τῇ γραφῇ τῷ ο' ἔτει τοῦ Θάρα γεγεννῆσθαι τὸν Ἀβραὰμ καὶ τὸν Ναχὼρ
καὶ τὸν Ἀρράν, ὡς τότε ἀρξαμένου γεννᾶν τοῦ Θάρα, ἐπεὶ μηδὲ τριδιδύ-
μους αὐτοὺς ἴσμεν. 20

Καὶ ταῦτα μὲν ἐκεῖνοι καλῶς δῆθεν ἐπαπορήσαντες, ἀπόρως δὲ ἐπιλύ-
σαντες καὶ ἀλλοτρίως ἀναγκαίας καὶ ἐνδεχομένης ἀποδείξεως· καὶ ἀναγ-
καίας μὲν ὅτι δεῖ τὰς ἄμφω θείας γραφὰς ὡς θεοπνεύστους ἀληθεύειν
καὶ τῷ ο' ἔτει τοῦ Θάρα τὸν πατριάρχην Ἀβραὰμ ὁμολογεῖν γεγεννῆσθαι
καὶ οε' ἄγειν ἐν τῇ ἀπὸ Χαρρὰν εἰς τὴν Χαναναίαν γῆν παροικίᾳ ἀναγκαίως 25
καὶ ἀραρότως. τῷ δ' ἀναγκαίῳ συμπεριέχεται καὶ τὸ ἐνδεχόμενον. οὐκοῦν
καὶ μετὰ θάνατον τοῦ Θάρα οὕτως ἔχειν ἐνδέχεται σαφῶς τοῖς βουλομένοις
τὸν γραφικὸν νοῦν θηρᾶσαι προκειμένου καὶ τὸν ψυχικὸν θάνατον νοοῦσι
τεθνάναι πρὸ τοῦ φυσικοῦ διὰ τὸ πρὸς εἰδωλολατρείαν κεχηνέναι καὶ
αἰσχροκερδίαν, εἰδωλοποιὸν ὄντα, καὶ μὴ συμπορεύεσθαι τῷ Ἀβραάμ, 30
177 ἀλλ' ἐπὶ τούτῳ μὲν ἐξελθόντα, καθὼς γέγραπται ὅτι 'καὶ ἔλαβε Θάρα τὸν

14 πότε ἀπέθανεν ὁ Θάρα ἐτῶν σε'

3–8 Act. Apost. 7, 2–4 || 9 Gen. 11, 26 || 14 Gen. 11, 32 || 16–20 cf. Anon. Matr. 5, 6–6, 19 || 30 cf. Iubil. 11, 16 || 31 Gen. 11, 31

4 ἐν B ἐκ A || 8 νῦν om. B || 11 ἔτος B ἔτους A || 14 οε' . . . ρλε'] ρλε' . . . οε' Gelzer 2, 187 || 16 ἐκεῖνοι B ἐκείνοις A || 17 πιθανόν A πειθανόν B || 19 ἀρράν B ἀράμ A || 23 δεῖ B δὴ A || 24 γεγεννῆσθαι B γεγενῆσθαι A || 26 ἀραρότως A ἀραρώτως B | τῷ δ' ἀναγκαίῳ B τὸ δ' ἀναγκαῖον A || 32 ἐτῶν σε' om. A[m]

Ἀβραὰμ καὶ τὸν Ναχὼρ καὶ τὸν Λὼτ καὶ τὴν Σάρραν καὶ ἐξήγαγεν αὐτοὺς
ἐκ τῆς χώρας τῶν Χαλδαίων τοῦ πορευθῆναι εἰς τὴν τῶν Χαναναίων γῆν·
καὶ ἦλθεν ἕως Χαρρὰν καὶ κατῴκησεν ἐκεῖ'· μεταμεληθέντα δὲ στῆναι ἐν
Χαρρὰν τῇ κατειδώλῳ ἕως τοῦ σε' ἔτους τῆς ζωῆς αὐτοῦ, ἐν ᾧ καὶ τέθνη-
5 κεν. ἐνταῦθα γὰρ μᾶλλον ἡ γραφὴ συνέτεμε τὰ κατὰ τὸν Θάρα συνάψασα,
τά τε πρὸ τῆς πορείας τοῦ Ἀβραὰμ ἐπὶ τὴν γῆν Χαναὰν καὶ τὰ μετὰ τὴν
πορείαν, ἅπερ ἦν, ὡς δείκνυται, τὰ ἀπὸ τοῦ ρμ' ἔτους ἕως τοῦ σε' ἔτους
τοῦ θανάτου αὐτοῦ. φησὶ γὰρ ὅτι 'καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάρα ἐν
Χαρρὰν ἔτη σε' καὶ ἀπέθανε Θάρα ἐν Χαρράν' ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐκεῖ
10 διέτριβον ἕως θανάτου. οὐ γὰρ δὴ τὰ σε' ὅλα τῆς ζωῆς αὐτοῦ ἔτη ἐν Χαρ-
ρὰν ἐγένοντο.

Εἶτα ἐπάγει 'καὶ εἶπε κύριος τῷ Ἀβραάμ· ἔξελθε ἐκ τῆς γῆς σου' καὶ τὰ
ἑξῆς, προσδιοριζομένη ὅτι ἦν ἐτῶν οε', ὅτε ἐξῆλθεν ἐκ Χαρρὰν Ἀβραὰμ
ἑβδομηκοστῷ ἔτει γεννηθεὶς τοῦ Θάρα, ἅτινα ὁμοῦ γινόμενά ἐστιν ρμε'
15 τῆς ζωῆς Θάρα, ἡνίκα καὶ παρεγένετο ἐν Χαρρὰν εἰς τὴν Χαλδαίων γῆν.
οὐ μόνον δὲ ἐντεῦθεν ἡμῖν παρίσταται ὅτι πρὸ τῆς τελευτῆς Θάρα εἶπεν ὁ
θεὸς τῷ Ἀβραὰμ ἐξελθεῖν ἐκ τῆς γῆς αὐτοῦ, ἀλλὰ καὶ ἐκ τῶν εἰρημένων
τῷ πρωτομάρτυρι, ὅτι πρὸ τοῦ κατοικῆσαι αὐτὸν ἐν Χαρρὰν ὤφθη αὐτῷ 178
ὁ θεὸς ἐν τῇ Μεσοποταμίᾳ, τοῦτ' ἔστιν ἐν τῇ Χαλδαίων γῇ. οὐκοῦν ὀρθῶς
20 νοηθήσεται μὴ μετὰ θάνατον τοῦ Θάρα κεχρηματίσθαι τῷ Ἀβραάμ,
ἀλλ' ἐν τῇ πατρίδι αὐτοῦ ἔτι ὄντι καὶ τῷ θεῷ ἀνακειμένῳ ἀποστρεφομένῳ
τε τὰ τοῦ πατρὸς εἴδωλα, ὡς πολλαχοῦ ἱστορεῖται, ἃ καὶ ἐνέπρησεν ἐν
νυκτί, ὥς φασι, καὶ συγκατεκαύθη αὐτοῖς Ἀρρὰν ὁ ἀδελφὸς αὐτοῦ, σβέσαι
θέλων τὸ πῦρ ἐνώπιον τοῦ Θάρα, ὥς φασιν, αἰνιττομένη τοῦτο καὶ ἡ γραφὴ
25 ὅτι 'καὶ ἀπέθανεν Ἀρρὰν ἐνώπιον τοῦ πατρὸς αὐτοῦ Θάρα ἐν τῇ γῇ ᾗ ἐγεν-
νήθη, ἐν τῇ χώρᾳ τῶν Χαλδαίων', ἐν Σοὺρ τῇ πόλει. ὥστε ἐκ πάντων τού-
των δείκνυσθαι ἐξελθεῖν μὲν καὶ τὸν Θάρα καὶ τοὺς λοιποὺς σὺν τῷ Ἀβραὰμ
ἐπαγγελλομένους συμπορευθῆναι εἰς γῆν Χαναάν, ὥς φησιν ἡ γραφή, ταῖς
παραινέσεσι δηλονότι νοούντων ἡμῶν τοῦ πατριάρχου Ἀβραάμ· ἐν Χαρ-
30 ρὰν δὲ ἐλθόντας τῇ μέχρι τοῦ νῦν κατειδώλῳ κατοικῆσαι ἐκεῖ δι' αἰσχρο-
κερδίαν καὶ εἰδωλομανίαν, καὶ οὕτω τὸν Ἀβραὰμ ὁρῶντα αὐτοὺς τεθνη-

22 Ση. ὅτι ἐνέπρησεν τὰ εἴδωλα τοῦ πατρὸς αὐτοῦ Θάρα ὁ Ἀβραὰμ καὶ συγκατεκάη αὐτοῖς Ἀρρὰν ὁ ἔσχατος ἀδελφὸς αὐτοῦ

4 cf. Iubil. 12, 29 || 8 Gen. 11, 32 || 12 Gen. 12, 1 || 22–26 cf. ps. Sym. f. 30^{v} (Gelzer 2, 359; om. Cedr.) || 22–24 Iubil. 12. 12–14 || 24–26 Gen. 11, 28 || 32–33 ps. Sym. f. 30^{v}

1 σάρραν B σάρα A || 2 πορευθῆναι B πορεύεσθαι A || 4 ἕως τοῦ σε' ἔτους B ἕως ἔτους σε' A || 7 ἕως τοῦ B ἕως τὸ A || 14 ἑβδομηκοστῷ ἔτει B ο' ἔτη A | γινόμενα B γενόμενα A || 15 ἐν A ἐς B || 19 τῇ^{2} om. B || 20 κεχρηματίσθαι Di. κεχρηματεῖσθαι AB || 25 ὅτι καὶ A ὅτι B || 30 τῇ B τοῦ A || 32 θάρα B^{m} θάρρα A^{m}

κότας κατὰ ψυχὴν καὶ μὴ βουλομένους συγκληρονομῆσαι αὐτῷ τὰς θείας ἐπαγγελίας, ἀπιστοῦντας θεῷ μετοικισθῆναι ὑπὸ τοῦ θεοῦ μετὰ θάνατον τοῦ πατρός, τὸν ψυχικὸν δηλαδή, εἰς τὴν γῆν τῆς ἐπαγγελίας. οὕτω γὰρ καὶ ὁ κύριος ἡμῶν νεκροὺς οἶδε τοὺς μὴ πιστεύοντας αὐτῷ, κἂν ζῶσι τὴν πρόσκαι- 179 *ρον ζωήν, ὥς πού φησιν· 'ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.'* 5

Καὶ ταῦτα μὲν ἡμῖν κατὰ δύναμιν νενόηται πρὸς λύσιν τῆς προταθείσης ἀπορίας, ὡς ἂν ἡ τῆς Γενέσεως καὶ τῶν πράξεων βίβλος σύμφωνος εἴη ἐκ τοῦ αὐτοῦ θείου πνεύματος ὑπαγορευθεῖσαι ἑκάτεραι καὶ ἐν μηδενὶ τῆς ἄλλης διαφέρουσα κατὰ τὴν ἀλήθειαν. εἰ δέ τινι φίλον ἄλλην τινὰ συμφωνοτέραν ἔννοιαν ἐφευρεῖν πρὸς τὴν προκειμένην ἀπορίαν, ταύτῃ καὶ 10 *ἡμεῖς πειθόμεθα χάριν τῆς ὀνήσεως ὁμολογήσοντες.*

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

ι' Αἰγυπτίων ἐβασίλευσεν ι' Ἄμασις ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γριζ'.

ια' Αἰγυπτίων ἐβασίλευσεν ια' Ἀκεσέφθρης ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν 15 *ἔτος ,γριθ'.*

ιβ' Αἰγυπτίων ἐβασίλευσεν ιβ' Ἀγχορεὺς ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρλβ'

ιγ' Αἰγυπτίων ἐβασίλευσεν ιγ' Ἀρμιυσῆς ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρμα'. 20

ιδ' Αἰγυπτίων ἐβασίλευσεν ιδ' Χαμοΐς ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρμε'.

ιε' Αἰγυπτίων ἐβασίλευσεν ιε' Μιαμοὺς ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γρνζ'.

180 *ις' Αἰγυπτίων ἐβασίλευσεν ις' Ἀμεσῆσις ἔτη ξε'. τοῦ δὲ κόσμου ἦν ἔτος* 25 *,γροα'.*

ιζ' Αἰγυπτίων ἐβασίλευσεν ιζ' Οὔσης ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσλς'.

ιη' Αἰγυπτίων ἐβασίλευσεν ιη' Ῥαμεσὴς ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσπς'. 30

13 *Εὐσέβιός φησιν ὅτι παρ' Αἰγυπτίοις ἐτύγχανεν ις' δυναστεία καθ' ἣν ἐβασίλευσαν Θηβαῖοι ἔτη ρξ', ἔν τισι δὲ ἀντιγράφοις ρς', Νίνου βασιλεύοντος Ἀσσυρίου*

5 Matt. 8, 22 || 13 ps. Manetho (Sothis) FGrHist 609 F 28

1 *αὐτῷ* B *αὐτοὺς* A || 2 *μετοικισθῆναι* A *μετοικησθῆναι* B || 4 *αὐτῷ κἂν ζῶσι* B *αὐτὸν καὶ ζῶσιν* A || 11 *ὀνήσεως* A *ὠνήσεως* A || 23–25 *μιαμοὺς . . . ις'* om. A, add. A[m] || 27 *οὔσης* B *οὔση* A || 32 cf. Euseb. 2, 20, 1–5 (ann. 190)

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

δ' Θηβαίων ἐβασίλευσε δ' Διαβιὴς υἱὸς Ἀθώθεως ἔτη ιθ'. οὗτος ἑρμηνεύεται φιλέταιρος· τοῦ δὲ κόσμου ἦν ἔτος ,γνγ'.

ε' Θηβαίων ἐβασίλευσε ε' Πεμφῶς υἱὸς Ἀθώθους, ὅ ἐστιν Ἡρακλείδης, 5 *ἔτη ιη'· τοῦ δὲ κόσμου ἦν ἔτος ,γοβ'.*

ς' Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν ς' Τοιγαράμαχος Μομχειρὶ Μεμφίτης ἔτη οθ'. οὗτος ἑρμηνεύεται τῆς ἀνδρὸς περισσομελής· τοῦ δὲ κόσμου ἦν ἔτος ,γς'.

ζ' Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν ζ' Στοῖχος υἱὸς αὐτοῦ, ὅ ἐστιν Ἄρης 10 *ἀναίσθητος, ἔτη ς'· τοῦ δὲ κόσμου ἦν ἔτος ,γρξθ'.*

η' Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν η' Γοσορμίης, ὅ ἐστιν †αἰτήσι παντός†, ἔτη λ'· τοῦ δὲ κόσμου ἦν ἔτος ,γροε'.

θ' Θηβαίων Αἰγυπτίων ἐβασίλευσεν θ' Μάρης υἱὸς αὐτοῦ, ὅ ἐστιν Ἡλιόδωρος, ἔτη κς'· τοῦ δὲ κόσμου ἦν ἔτος ,γσε'. **181**

15

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων πρῶτος ἐβασίλευσε Βῆλος ἔτη νε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσις'.

Ἀσσυρίων β' ἐβασίλευσε Νίνος ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσοα'.

Ἀσσυρίων γ' ἐβασίλευσε Σεμίραμις ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος 20 *,γτκγ'.*

Ἀσσυρίων δ' ἐβασίλευσεν Νινύας ἔτη λη', ὁ καὶ Ζάμης, υἱὸς Νίνου καὶ Σεμιράμεως, ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτξε'.

Σικυωνίων βασιλεῖς πῶς καὶ πόθεν ἤρξαντο

Αἱ παρ' Ἕλλησιν ἀρχαιολογίαι πᾶσαι μὲν ἀσύμφωνοι φέρονται παρὰ 25 *τοῖς συλλεξαμένοις αὐτὰς ἱστορικοῖς, ἐξαιρέτως δὲ αἱ πρὸ τῆς πρώτης ὀλυμπιάδος. τούτων πρώτη καὶ πάντων παλαιοτάτη ἀνεγράφη ἡ Σικυωνίων ἀρχή, ἧς πρῶτος ἡγήσατο Αἰγιαλεύς, ἀφ' οὗ καὶ Αἰγιάλεια ἡ νῦν Πελοπόννησος τὸ πρὶν ἐκαλεῖτο.*

2 ps. Eratosthenes Aegypt. Anagraphe FGrHist 610 F 1 || **16** Annianus apud Eliam Nisib. 15, 9–12; cf. Castor. FGrHist 250 F 1 = Euseb. 1, 30–35 || **24–26** cf. Dexipp. FGrHist 100 F 1 || **26–28** ps. Sym. f. 30v (Gelzer 2, 359; om. Cedr.); cf. Castor. FGrHist 250 F 2 = Euseb. 1, 81, 25

2 *Μιαβιής* v. Gutschmid | *ἀθώθεως* **B** *ἀθώσεως* **A** || **3** *Φιλέταιρος* Di. *φιλέτερος* **AB** || **6** *τοιγαράμαχος* **B** *τοιγὰρ ἄμαχος* **A** || **7** *τῆς ἀνδρὸς*] *Τίσανδρος* Scal. || **11** *αἰτήσι παντὸς* **B** *ἐτησιπαντὸς* **A** || **19** *ἦν ἔτος* om. **B** || **21** *ζάμης* **A** *ζάμις* **B**

Σικυωνίων βασιλεῖς ἔτη ͵ϡξζ' καὶ ἱερεῖς ϛ'

182 *Τῷ ͵γσλθ' ἔτει τοῦ κόσμου, οϛ' τοῦ Ναχὼρ ἡ Σικυωνίων βασιλεία ἤρξατο ἀπὸ πρώτου βασιλέως Αἰγιαλέως ἕως κϛ' βασιλέως Ζευξίππου ἐπὶ ἔτη διαρκέσασα ͵ϡξζ'. μεθ' οὓς ἄρχοντες ἱερεῖς ϛ' ἔτη λγ'. ὁμοῦ τὰ πάντα τῆς Σικυωνίων ἀρχῆς ἔτη ͵α, ὡς Ἀπολλόδωρος καὶ ἕτεροι, ἐν οἷς καὶ* 5 *Εὐσέβιος, ἔγραψαν. ἔστιν οὖν ἀπὸ ͵γσλθ' κοσμικοῦ ἔτους ἕως ͵δσλη', ὡς ὑπόκειται.*

Κάστορος περὶ τῆς βασιλείας τῶν Σικυωνίων

Παρατίθεμεν δὲ καὶ τοὺς Σικυῶνος βασιλεύσαντας, ἀρχομένους μὲν ἀπὸ Αἰγιαλέως τοῦ πρώτου βασιλεύσαντος, λήγοντας δὲ ἐπὶ Ζεύξιππον. 10 *οἱ μὲν οὖν βασιλεῖς κατέσχον ἐτῶν χρόνον ͵ϡνθ'. μετὰ δὲ τοὺς βασιλεῖς κατεστάθησαν ἱερεῖς τοῦ Καρνίου ϛ'. οὗτοι δ' ἱεράτευσαν ἔτη λγ'. μεθ' οὓς κατεστάθη ἱερεὺς Χαρίδημος, ὃς καὶ οὐχ ὑπομείνας τὴν δαπάνην ἔφυγε.*

Πάντων μὲν Ἑλλήνων παλαιότατοι τοῖς χρόνοις ἀναγράφονται Σικυώνιοι καὶ βασιλεῖς οἱ Σικυῶνος ἡγησάμενοι, ὧν πρῶτος ἦρξεν Αἰγιαλεὺς 15 *κατὰ Βῆλον καὶ Νῖνον γεγονὼς τοὺς πρώτους Ἀσσυρίων βασιλεῦσαι τῆς Ἀσίας μνημονευομένους, ἐξ οὗ Αἰγιάλεια τὸ πρὶν ἡ νῦν Πελοπόννησος ἐκαλεῖτο. συγχρονίζειν δὲ τῷ Ναχὼρ καὶ τῷ Θάρα πατρὶ τοῦ Ἀβραὰμ ὁ ἀκριβὴς καὶ καθ' ἡμᾶς ἀποδείκνυσι λόγος.*

183 *Σικυωνίων πρῶτος ἐβασίλευσεν Αἰγιαλεὺς ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν* 20 *ἔτος ͵γσλθ'.*

Σικυώνιοι ἐλέγοντο ἀπὸ Σικυῶνος πόλεως πρώτης ἐν Πελοποννήσῳ.

ΚΟΣΜΟΥ ΕΤΗ

Γενεὰ κα'

Ἀβραὰμ ἔτη ρ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γτιγ'. 25

Ἀβραὰμ Χαλδαῖος ὢν τῷ γένει τὴν πρώτην ἡλικίαν παρὰ Χαλδαίοις ἐτράφη καὶ τῆς παρ' αὐτοῖς ἀστρολογίας καὶ λοιπῆς μετέσχε σοφίας.

18 *Ση. ὅτι ἐν τοῖς χρόνοις Θάρα καὶ Ἀβραὰμ ἦν ἡ Σικυωνίων βασιλεία*

2 cf. Chron. Synt. 86, 6–7 || 2–4 Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 16–19 || 5 ps. Apollodorus FGrHist 244 F 86; Euseb. 1, 83, 9 || 9–13 Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 15–22 || 14–18 Castor FGrHist 250 F 2 = Euseb. 1, 80, 20–25 || 18–19 ps. Sym. f. 30v (Gelzer 2, 359; om. Cedr.); aliter Anon. Matr. 8, 12–12, 9 || 20 Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 25 || 22 ps. Sym. f. 30v (Gelzer 2, 359; om. Cedr.) || 25 Gen. 21, 5 || 26 cf. Iubil. 11, 17–24

6 *͵γσλθ'* B *͵γλθ'* A || 11 *χρόνον* B *χρόνων* A || 13 *χαρίδημος ὃς* B *χαριδήμοσος* A || 16 *γεγονὼς* A *γεγονὸς* B | *τοὺς πρώτους* Bredov. *τοῦ πρώτου* AB || 18 *θάρα* B *θάῤῥα* A || 20 *ἔτη νβ'* om. A || 22 *πελοποννήσῳ* A *πελωπονήσῳ* B || 28 lemma om. A^m

θεοφιλὴς δὲ ὢν καὶ τοῖς κτίσμασι τὸν νοῦν ἑαυτοῦ μὴ καταδεξάμενος ἐᾶσαι ἐνδιατρίβειν, ἀλλ᾽ ἐπὶ τὸν γενεσιουργὸν ἐκ τῆς τῶν κτισμάτων ἀναχθεὶς καλλονῆς θείας ἐλλάμψεως ἠξιώθη, ἔτι διατρίβων ἐν τῇ πατρίδι, ὥς φησιν ἐν ταῖς πράξεσιν ὁ πρωτομάρτυς, καθὼς καὶ προσεσήμανται.

5 Ἰστέον δὲ ὅτι οἱ Χαλδαῖοι ἀπὸ τοῦ Σὴμ κατάγονται, ἐξ ὧν ὁ Ἀβραάμ.

Τὸν κατὰ μητέρα πάππον τοῦ Ἀβραὰμ ἡ λεπτὴ Γένεσίς φησιν ὅτι Ἀβραὰμ ἐκαλεῖτο, ἡ δὲ Σάρρα ἀδελφὴ ὁμοπατρία τοῦ Ἀβραὰμ ὑπῆρχε.

Πρῶτος Ἀβραὰμ δημιουργὸν τὸν τῶν ὅλων θεὸν ἀνεκήρυξε.

Πρῶτος Ἀβραὰμ ἐκύκλου τὸ θυσιαστήριον κλάδοις φοινίκων καὶ ἐλαιῶν. **184**

10 Ἐπὶ Ἀβραὰμ πρῶτος ὠνόμασται ἄγγελος ἐν τῇ θείᾳ γραφῇ.

Παρ᾽ αὐτοῦ Αἰγύπτιοι τὴν τῶν ἀστέρων θέσιν καὶ κίνησιν ἔμαθον καὶ τὴν ἀριθμητικὴν ἐπιστήμην.

Τῷ ιδʹ ἔτει αὐτοῦ ὁ Ἀβραὰμ ἐπιγνοὺς τὸν τῶν ὅλων θεὸν προσεκύνει, τὰ δὲ εἴδωλα τοῦ πατρὸς συντρίψας κατέκαυσε σὺν τῷ οἴκῳ. συγκατεκαύθη 15 δὲ αὐτοῖς καὶ Ἀρρὰν ὁ ἀδελφὸς Ἀβραὰμ σβέσαι τὸ πῦρ σπουδάζων. ἐνουθέτει δὲ καὶ τὸν πατέρα αὐτοῦ ἀποστῆναι τῆς εἰδωλολατρείας καὶ εἰδωλοποιίας, ὥς φησιν ὁ Ἰώσηππος.

Τούτοις τοῖς χρόνοις ἤκμαζε Μελχισεδὲκ ὁ πρῶτος ἀρχιερεὺς καὶ πρῶτος βασιλεὺς Σαλὴμ ἐν τῇ θείᾳ γραφῇ καταγγελλόμενος, παρθένος καὶ 20 ἀγενεαλόγητος ἐν τοῖς λογίοις φερόμενος, καὶ ἐν ἄρτῳ καὶ οἴνῳ τὴν ἀναίμακτον θυσίαν τοῦ ἀμήτορος ἄνωθεν καὶ ἀπάτορος κάτωθεν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν προτυπῶν· καθ᾽ ἣν εὐλογήσας τὸν Ἀβραὰμ κυριωτέραν τῆς ἐν νόμῳ λατρείας τὴν καθ᾽ ἡμᾶς ἐν πνεύματι και ἀληθείᾳ ἀπέφηνε, κρείττων ἐν ἀνθρώποις μόνος φανεὶς τοῦ πατριάρχου 25 Ἀβραάμ, εἴπερ ἀναμφιλέκτως κατὰ τὸν θεῖον ἀπόστολον καὶ τὴν ἀλήθειαν **185** τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται καὶ ἀποδεκατοῦται.

5 ὅτι ἀπὸ Σὴμ κατάγονται οἱ Χαλδαῖοι ‖ **6** ὅτι καὶ ὁ κατὰ μητέρα πάππος τοῦ Ἀβραὰμ ὁμοίως ἐκαλεῖτο ‖ **8** πρῶτος Ἀβραὰμ τὸν θεὸν δημιουργὸν ἀνεκήρυξεν καὶ πρῶτος κλάδοις φοινίκων καὶ ἐλαιῶν τὸ θυσιαστήριον ἐκύκλωσεν ‖ **10** ὅτι ἐπὶ Ἀβραὰμ 30 πρῶτος ὠνόμασται ἄγγελος παρὰ τῇ γραφῇ ‖ **11** ὅτι παρ᾽ αὐτοῦ ἔμαθον Αἰγύπτιοι περὶ τῶν ἀστέρων ‖ **13** ὅτι ιδʹ ἐτῶν ἐπέγνω τὸν θεὸν ὁ Ἀβραὰμ καὶ ἔκαυσε τὰ εἴδωλα τοῦ πατρὸς αὐτοῦ

4 Acta Apost. 7, 2 ‖ **5** ps. Sym. f. 30ᵛ = Cedr. 62, 3 ‖ **6–7** ps. Sym. f. 30ᵛ (Gelzer 2, 359; om. Cedr.); Iubil. 11, 14; 12, 9 ‖ **8** ps. Sym. f. 30ᵛ = Cedr. 47, 22; Iohann Anag. f. 110ᵛ; cf. Ioseph. Ant. Iud. 1, 155 ‖ **9–17** ps. Sym. f. 30ᵛ (Gelzer 2, 359; breuius Cedr. 47, 23–48, 5) ‖ **9** Iubil. 16, 21–31 ‖ **10** Gen. 16, 7 ‖ **11** Ioseph. Ant. Iud. 1, 167 ‖ **13** Iubil. 11, 16–17 ‖ **14** Iubil. 12, 12–14 ‖ **15** Iubil. 12, 1–5 ‖ **17** ps. Ioseph.; uide Gelzer 2, 280 ‖ **18–26** cf. Chron. Pasch. 92, 5–15, Gen. 14, 17–19, Ep. Hebr. 7, 1–10 ‖ **18–22** ps. Sym. f. 30ᵛ–31ʳ = Cedr. 49, 16–22 ‖ **18–19** Iohann. Anag. f. 115ʳ

3 ἐλλάμψεως **A** ἐλάμψεως **B** ‖ **16** αὐτοῦ **A** ps. Sym. ἑαυτοῦ **B** ‖ **18** τούτοις τοῖς χρόνοις **AB** ps. Sym. τῷ ͵γτνεʹ ἔτος Iohann. Anag. ‖ **19** σαλὴμ **A** σαλεὶμ **B** ‖ **24** κρείττων Go.ᵐ κρεῖττον **AB** | μόνος **B** μόνοις **A**

Ἀρχὴ τοῦ μα´ Ἰωβηλαίου παρ᾽ Ἑβραίοις

Ἰωβὴλ δὲ παρ᾽ αὐτοῖς ἡ πεντηκονταετηρίς, ὡς εἶναι ἀπὸ Ἀδὰμ κατ᾽ αὐτοὺς ἐπὶ με´ ἔτος Ἀβραὰμ ἔτη ͵βν´.

Ὁ ἄγγελος ὁ λαλῶν τῷ Μωυσῇ εἶπεν αὐτῷ ὅτι ʽτὸν Ἀβραὰμ ἐγὼ ἐδίδαξα τὴν Ἑβραΐδα γλῶσσαν κατὰ τὴν ἀπ᾽ ἀρχῆς κτίσεως λαλεῖν τὰ πάτρια 5 *πάντα᾽, ὡς ἐν λεπτῇ κεῖται Γενέσει.*

Τῷ ͵γτογ´ ἔτει τοῦ κόσμου, Ἀβραὰμ δὲ ξα´ ἐνεπύρισεν Ἀβραὰμ τὰ εἴδωλα τοῦ πατρὸς αὐτοῦ, καὶ συγκατεκαύθη αὐτοῖς Ἀρρὰν θέλων σβέσαι τὸ πῦρ ἐν νυκτί. καὶ ἐξῆλθε Θάρα σὺν Ἀβραὰμ τοῦ ἐλθεῖν εἰς γῆν Χαναάν, καὶ μεταγνοὺς ᾤκησεν ἐν Χαρρὰν εἰδωλομανῶν ἕως θανάτου αὐτοῦ. 10

Τούτῳ τῷ ͵γτπζ´ ἔτει τοῦ κόσμου, ὅπερ ἦν οε´ ἔτος Ἀβραάμ, ἐξῆλθεν ἐκ Χαρρὰν κατὰ θεῖον χρησμόν, καὶ ἦλθεν εἰς Συχέμ, καὶ ᾠκοδόμησε θυσιαστήριον ἀνὰ μέσον Βαιθὴλ καὶ Ἀγγαῒ τῷ ος´ ἔτει αὐτοῦ.

Τῷ ͵γϛγ´ ἔτει τοῦ κόσμου, πα´ Ἀβραάμ, κατῆλθεν εἰς Αἴγυπτον μετὰ Σάρρας τῷ ζ´ ἔτει τῆς παροικίας αὐτοῦ, ὥς τινες. 15

186

Ἀφρικανοῦ περὶ Ἀβραάμ

Ἔνθεν ἄρχεται τῶν Ἑβραίων ἡ προσωνυμία. Ἑβραῖοι γὰρ οἱ Περάται ἑρμηνεύονται, διαπεράσαντος Εὐφράτην Ἀβραάμ, καὶ οὐχ, ὡς οἴονταί τινες, ἀπὸ Ἔβερ τοῦ προειρημένου. συνάγεται τοίνυν εἰς τὴν ἐπίβασιν τῆς κατηγγελμένης γῆς Ἀβραὰμ ἀπὸ μὲν τοῦ κατακλυσμοῦ καὶ Νῶε γενεῶν ι´ 20 *ἔτη ͵αιε´, ἀπὸ δὲ Ἀδὰμ γενεῶν κ´ ἔτη ͵γσοζ´.*

Λείπεται πρὸς τὴν προκειμένην ἀκριβῆ χρονολογίαν ἡ παρὰ τῷ Ἀφρικανῷ χρόνοις ρι´ ἐκ τῶν ρλ´ ἐτῶν τοῦ δευτέρου Καϊνᾶν. τὰ γὰρ ἄλλα κ´ ἐκ τῶν αὐτῶν ρλ´ ἡ ἀπὸ Ἀδὰμ ἐπὶ τὸν κατακλυσμὸν τῶν ͵βσξβ´ ἐτῶν

2 *τί ἐστιν Ἰωβήλ· πεντηκονταετερίς* || **4** *ὅτι ἄγγελος ἐδίδαξεν τὸν Ἀβραὰμ τὴν* 25 *Ἑβραΐδα γλῶσσαν* || **12** *ποῦ ᾠκοδόμησεν θυσιαστήριον· ἐν Συχέμ* || **14** *Ση. πότε κατῆλθεν εἰς Αἴγυπτον*

1–3 cf. Euseb. 2, 22ᵃ; Iubil. 11, 15; 12, 9 || **4** Iubil. 12, 25–26, ps. Sym. f. 30ᵛ = Cedr. 48, 5 || **7–10** Iubil. 12, 12–15 || **7–9** Cedr. 48, 10–13, om. ps. Sym. || **11–15** ps. Sym. f. 30ᵛ = Cedr. 49, 5–15, Iohann. Anag. f. 115ᵛ || **11–13** Gen. 12, 4–9, Iubil. 13, 1–5 || **14–15** Gen. 12, 10, Iubil. 13, 10–11 || **16–21** Africanus fr. 9 Routh || **17–18** cf. ps. Sym. f. 30ᵛ = Cedr. 49, 11, Iohann. Anag. f. 115ᵛ || **18** Ioseph. Ant. Iud. 1, 146 || **19–21** cf. [Leo. Gramm.] 20, 16–20 || **22**–p. 113, **2** Africanus fr. 5; cf. supra 20, 8; 59, 16

2 *πεντηκονταετηρίς* Go.ᵐ *πεντηκονταετερίς* **A** *πεντηκονταετερής* **B** || **3** *ἔτος* **B** *ἔτους* **A** | *͵βν´*] *duo milia* Euseb. || **4** *τὸν* **A** *τῶν* **B** || **9** *θάρα* **B** *θάρρα* **A** || **13** *βαιθὴλ* **B** *βεθὴλ* **A** || **14** *ἀβραὰμ* **B** om. **A** || **21** *͵γσοζ´* supra 97, 18 et Leo *͵γσζ´* **AB** || **23** *ρλ´* **B** *ρλε´* **A** || **25** *ἰωβὴλ* **A**ᵐ *ἰωβηλαῖος* **B**ᵐ || **26** *ἐν* **A**ᵐ *εἰς* **B**ᵐ

παραύξησις προαφήρπασε, προστεθέντων αὐτῶν τοῖς τοῦ Μαθουσάλα χρόνοις.

Εὐσέβιος τὰ υλ′ ἔτη ἀπὸ τοῦ ε′ καὶ ο′ ἔτους Ἀβραάμ, ἤτοι ἀπὸ τοῦ πρώτου ἔτους τῆς παροικίας αὐτοῦ εἰς γῆν Χαναάν, ἕως τοῦ πα′ ἔτους 5 *Μωυσέως καὶ ἀπ᾽ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ ἀπαριθμεῖ.*

Ἡ δὲ βίβλος τῆς Γενέσεως τὴν θείαν ἀπόφασιν περὶ τούτου μετὰ τὴν ἐξ Αἰγύπτου ἐπάνοδον καὶ τὸν πρὸς τοὺς βασιλεῖς πόλεμον καὶ τὰς εὐλογίας τοῦ Μελχισεδὲκ ὑπογράφει, καθὼς ἔξεστι μαθεῖν ἀκριβῶς ἐντυγχάνοντι τῷ βουλομένῳ. Ἀβραὰμ ἦν ἐτῶν πς′, ἡνίκα ἔτεκεν Ἄγαρ τὸν Ἰσμαὴλ 10 *τῷ Ἀβραάμ, ὡς γέγραπται ἐν βίβλῳ τῆς Γενέσεως· τοῦ δὲ κόσμου ἦν ἔτος* **187** *,γτςη′.*

Ἐκ τούτου τὸ γένος τῶν Ἰσμαηλιτῶν ἤτοι Ἀγαρηνῶν· οἱ αὐτοὶ καὶ Σαρακηνοί εἰσιν ἀπὸ Σάρρας ἑαυτοὺς μετονομάσαντες, ὥς τινές φασιν, ἀπαξιοῦντες καλεῖσθαι Ἀγαρηνοὶ δουλικῶς. ἕτεροι δὲ τοὺς Ἰσμαηλίτας Σαρα- 15 *κηνοὺς καλεῖσθαί φασιν, ὅτι Σάρρα τὴν Ἄγαρ κενὴν ἐξαπέστειλε κληρονομίας.*

Ἀβραὰμ ἀσεβεῖ μὴ συναπολέσθαι δίκαιον ἐδυσώπει διὰ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ.

Λὼτ σὺν τῇ γαμετῇ καὶ ταῖς θυγατράσιν ἐκπεμφθεὶς εἰς Σηγὼρ 20 *περισῴζεται, τῆς γυναικὸς μόνης ἐπιστραφείσης καὶ διὰ τοῦτο παγείσης εἰς στήλην ἁλὸς ἀδιάλυτον, ἣν εἰσέτι πολλοὶ χάριν ἱστορίας ὁρῶσιν ἐρχόμενοι. Σηγὼρ δὲ ἡ πόλις διὰ τὸν Λὼτ ἐσώθη τῶν ἐν αὐτῇ διαφθαρέντων ἀνδρῶν, ὥς φασι, καὶ τῆς λίμνης ἅμα τῇ γῇ ἀνατραπείσης.*

25 *Ἀβραὰμ παρῴκησεν ἐν Γεράροις, ἥν τινες Ἀσκαλῶνά φασιν εἶναι, ὡς καὶ Ἀφρικανός. Ἀβραὰμ ἔλαβε τὴν Χεττούραν γυναῖκα μετὰ τελευτὴν Σάρρας ἐν τῷ γήρᾳ αὐτοῦ, ἐξ ἧς ἔσχεν υἱοὺς ε′, Ζεμβριάμ, Ἰεξάν, Μαδάμ, Μαδιάμ, Ἰεσβώκ.*

9 *πς′ ἐτῶν ἦν Ἀβραὰμ ὅτε ἐτέχθη αὐτῷ ὁ Ἰσμαήλ* ‖ **25** *τίς καλεῖται Ἀσκαλλῶν· τὰ* 30 *Γέραιρα* ‖ **26** *περὶ Χετούρας ὅτι ε′ υἱοὺς εἶχε ἐκ τοῦ Ἀβραάμ*

3–5 Euseb. 1, 46, 1; 2, 43[b]; cf. Ex. 12, 40, Gal. 3, 17 ‖ **6** Gen. 15, 1 ‖ **9** Gen. 16, 16, ps. Sym. f. 31[r] = Cedr. 50, 13 ‖ **12** ps. Sym. f. 31[r] = Cedr. 50, 22; cf. Euseb. 2, 24[a], Epiphan. pan. haer. 4, 1, 7 ‖ **17** Gen. 18, 16–33 ‖ **19** Gen. 19, 23–26 ‖ **21** cf. Ioseph. Ant. Iud. 1, 203, Sapient. Sol. 10, 7 ‖ **22** cf. Gen. 19, 23, Ioseph. Ant. Iud. 1, 204 ‖ **25–28** ps. Sym. f. 31[r] = Cedr. 51, 1 ‖ **25** Gen. 20, 1, Africanus fr. 14 ‖ **26–28** Gen. 25, 1, Iubil. 19, 11

1 *παραύξησις* **B** *παράξησις* **A** ‖ **10** *ἦν* om. **B** ‖ **12** et **14** *ἀγαρηνῶν, -οὶ* **A** *ἀγαρινῶν, -οὶ* **B** ‖ **13** *σάρρας* **B** *σάρας* **A** ‖ **15** *σάρρα* ps. Sym. *σάρα* **AB** | *ἐξαπέστειλε* **B** ps. Sym. *ἀπέστειλε* **A** ‖ **19** *γαμετῇ* **A[c]B** *γυναικὶ* ante corr. **A** ‖ **27** *σάρρας* **B** *σάρας* **A** | *γήρᾳ* ps. Sym. *γήρει* **AB** | *Ἰεξάν* scripsi *ἰεκσὰν* **B** *ἰεκτὰν* **A** ‖ **29–30** lemmata om. **A[m]**

Ἀφρικανοῦ

Λιμοῦ κατασχόντος τὴν γῆν τὴν Χανανῖτιδα κατῆλθεν εἰς Αἴγυπτον
188 *Ἀβραάμ, δεδιὼς δὲ μὴ διὰ τὸ κάλλος τῆς γυναικὸς ἀναιρεθῇ, ἀδελφὸς*
εἶναι σκέπτεται. ἐπαινεθεῖσαν δὲ ἠγάγετο Φαραώ (οὕτω γὰρ Αἰγύπτιοι
τοὺς βασιλεῖς ἑρμηνεύουσι), καὶ ὁ μὲν δίκας ἔτισε τῷ θεῷ, ὁ δ' ἅμα τοῖς 5
ἰδίοις Ἀβραὰμ ἤδη πλουτῶν ἀπηλλάσσετο.

Ἐν Χαναὰν διεπληκτίσαντο ποιμένες τοῦ τε Ἀβραὰμ καὶ τοῦ Λώτ, καὶ
δόξαντος αὐτοῖς ἐχωρίσθησαν, ἑλομένου Λὼτ ἐν Σοδόμοις οἰκεῖν δι' ἀρε-
τὴν καὶ κάλλος τῆς γῆς ἐχούσης πέντε πόλεις, Σόδομα, Γόμορρα, Ἄδαμα,
Σεβωείμ, Σηγώρ, καὶ τοσούτους βασιλεῖς. τούτοις οἱ πλησιόχωροι τέσσα- 10
ρες βασιλεῖς Σύρων ἐπολέμησαν, ὧν ἡγεῖτο Χοδολλαγομὸρ βασιλεὺς Αἰλάμ.
συνέβαλλον δὲ παρὰ τὴν θάλασσαν τὴν ἁλικήν, ἣ καλεῖται νῦν θάλαττα
νεκρά· ἐν ταύτῃ πλεῖστα τῶν θαυμασίων τεθέαμαι. ζῴων τε γὰρ οὐδὲν
ἐκεῖνο φέρει τὸ ὕδωρ, καὶ νεκροὶ μὲν ὑποβρύχιοι φέρονται, ζῶντες δὲ
οὐδ' ἂν ῥᾳδίως βαπτίσαιντο. λύχνοι δὲ καιόμενοι μὲν ἐπιφέρονται, σβεν- 15
νύμενοι δὲ καταδύουσιν.

Ἐνταῦθά εἰσιν αἱ τῆς ἀσφάλτου πηγαί· φέρει δὲ στυπτηρίαν καὶ ἅλας,
ὀλίγον τι τῶν ἄλλων διαφέροντα· πικρά τε γάρ ἐστι καὶ διαυγῆ. ἔνθα
δ' ἂν καρπὸς εὑρεθῇ κάπνου πλέον εὑρίσκεται θολερωτάτου. τὸ δὲ ὕδωρ
ἰᾶται τοὺς χρωμένους αὐτῷ, λήγει τε παντὶ ὕδατι πάσχον τὰ ἐναντία. εἰ 20
189 *δὲ μὴ Ἰορδάνην εἶχε τὸν ποταμὸν τροφὴν ὡς πορφύραν διατρέχοντα καὶ*
ἐπὶ πολὺ ἀντέχοντα, ἔληξεν ἂν θᾶττον ἢ φαίνεται. ἔστι δὲ παρ' αὐτῇ πάμ-
πολυ τοῦ βαλσάμου φυτόν. ὑπονοεῖται δὲ ἀνατετράφθαι ὑπὸ τοῦ θεοῦ διὰ
τὴν τῶν περιοικούντων ἀσέβειαν.

7 *πῶς ἐχωρίσθη Ἀβραὰμ ἐκ τοῦ Λώτ* || **12** *ὅτι ἐν τῇ νεκρᾷ θαλάσσῃ ἐπολέμησαν* 25
οἱ βασιλεῖς τοῦ Σοδόμων || **13** *τί λέγει περὶ τῆς νεκρᾶς θαλάσσης*

2–24 Africanus fr. 13 || **2** Gen. 12, 10, Iubil. 13, 10 || **3–5** Gen. 12, 11–17, Iubil. 13, 13, Ioseph. Ant. Iud. 1, 162–164 || **5–10** cf. Gen. 13, 1–11, Iubil. 13, 14–17, Ioseph. Ant. Iud. 1, 170 || **7–24** ps. Sym. f. 31r–31v = Cedr. 51, 5–23 || **10–13** cf. Gen. 14, 1–10, Iubil. 13, 22, Ioseph. Ant. Iud. 1, 171–175

3 *δὲ* om. **A** || **5** *ἔτισε* **A** *αἴτισε* **B** || **7** *διεπληκτίσαντο* **A** *διεπληκτήσαντο* **B** || **10** *σεβωείμ* **AB** *σεβοήν* ps. Sym. || **12** *συνέβαλλον* **AB** *συνέβαλον* ps. Sym. || **13** *ζῴων* **AB** *ζῶόν* ps. Sym. || **14** *φέρει τὸ ὕδωρ* **B** ps. Sym. tr. **A** | *νεκροὶ μὲν ὑποβρύχιοι φέρονται* **AB** *νεκρὰ μὲν σώματα ὑποβρύχια γίνονται* ps. Sym. | *ζῶντες δὲ* **AB** *ζῶν δέ τις* ps. Sym. || **15** *βαπτίσαιντο* **A** *βαπτήσαιντο* **B** *βαπτίσαιτο* ps. Sym. | *λύχνοι δὲ καιόμενοι μὲν* **B** *λύχνοι μὲν καιόμενοι δὲ* **A** *καὶ λύχνοι μὲν καιόμενοι* ps. Sym. || **17** *ἐνταῦθά* **B** ps. Sym. *ἐνταῦθα δὲ* **A** || **18** *ὀλίγον* **A** ps. Sym. *ὀλίγων* **B** || **20** *αὐτῷ* **A** Cedr. *αὐτό* **B** ps. Sym. || **21** *τὸν ποταμὸν* **AB** *ὁ τόπος* ps. Sym. | *διατρέχοντα* $\mathbf{A^c B}$ *διατρέφοντα* ante corr. **A** || **22** *αὐτῇ* **A** ps. Sym. *αὐτὴν* **B** || **23** *τοῦ*[1] **AB** *τὸ* ps. Sym. || **25–26** lemmata om. $\mathbf{A^m}$

Τῷ ρ′ ἔτει τῆς ζωῆς αὐτοῦ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, ἔτει κοσμικῷ ͵γυιβ′.

Ἀβραὰμ ἔζησε τὰ πάντα ἔτη ροε′ καὶ ἐκλείπων, ὥς φησιν ἡ γραφή, ἀπέθανεν ἐν γήρᾳ καλῷ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. καὶ ἔθαψαν
5 αὐτὸν Ἰσαὰκ καὶ Ἰσμαὴλ οἱ υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν εἰς τὸν ἀγρὸν Ἐφρὼν τοῦ Σαὰρ τοῦ Χετταίου, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ τὸν ἀγρὸν καὶ τὸ σπήλαιον ὃ ἐκτήσατο ὁ Ἀβραὰμ παρὰ τῶν υἱῶν Χέτ· ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάρραν τὴν γυναῖκα αὐτοῦ.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

10 Αἰγύπτου ἐβασίλευσεν ιθ′ Ῥαμεσσομενὴς ἔτη ιε′. τοῦ δὲ κόσμου ⟨ἦν⟩ ἔτος ͵γτιε′.

Αἰγύπτου ἐβασίλευσεν κ′ Οὐσιμάρης ἔτη λα′. τοῦ δὲ κόσμου ⟨ἦν⟩ ἔτος ͵γτλ′.

Αἰγύπτου ἐβασίλευσεν κα′ Ῥαμεσσήσεως ἔτη κγ′. τοῦ δὲ κόσμου ⟨ἦν⟩
15 ἔτος ͵γτξα′.

Αἰγύπτου ἐβασίλευσε κβ′ Ῥαμεσσαμένω ἔτη ιθ′. οὗτος πρῶτος Φαραὼ 190 ἐν τῇ θείᾳ γραφῇ μνημονεύεται. ἐπὶ τούτου ὁ πατριάρχης Ἀβραὰμ κατῆλθεν εἰς Αἴγυπτον. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γτπδ′.

Αἰγύπτου ἐβασίλευσε κγ′ Ῥαμεσσῆ Ἰουβασσῆ ἔτη λθ′. τοῦ δὲ κόσμου
20 ἦν ἔτος ͵γυγ′.

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Θηβαίων Αἰγυπτίων ι′ ἐβασίλευσεν Ἀνωυφίς, ὅ ἐστιν ἐπίκωμος, ἔτη κ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γσλα′.

Θηβαίων Αἰγυπτίων ια′ ἐβασίλευσε Σίριος, ὅ ἐστιν υἱὸς κόρης, ὡς δὲ
25 ἕτεροι ἀβάσκαντος, ἔτη ιη′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γσνα′.

Θηβαίων Αἰγυπτίων ιβ′ ἐβασίλευσε Χνοῦβος Γνευρός, ὅ ἐστι Χρύσης Χρύσου υἱός, ἔτη κβ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γσξθ′.

3 ὅτι Ἀβραὰμ ροε′ ἐτῶν ἐτελεύτησε || 16 ἀρχὴ τῶν λεγομένων Φαραώντων ὅτε καὶ Ἀβραὰμ κατῆλθεν εἰς Αἴγυπτον

1 Gen. 21, 5; ps. Sym. f. 31v = Cedr. 52, 3 || 3–8 Gen. 25, 7–11 || 10 ps. Manetho (Sothis) FGrHist 609 F 28 || 22 ps. Eratosth. Aeg. Anagraphe FGrHist 610 F 1

2 ͵γυιβ′ AB ͵γυιγ′ ps. Sym. || 4 γήρᾳ Di. γήρει AB || 6 ἐφρὼν B ἐφρῶμ A || 7 ἐκτήσατο A ἐκτίσατο B || 8 σάρραν τὴν γυναῖκα αὐτοῦ B σάρρα τὴν μητέρα αὐτῶν A καὶ γυναῖκα αὐτοῦ add. A^m || 10 ῥαμεσσομενὴς A ῥαμεσομενὴς B || 10–11 τοῦ . . . ͵γτιε′ om. A || 10, 11, 12 et 14, 15 ἦν ἔτος] ἔτος B om. A || 12 οὐσιμάρης A οὐσιμάρη B || 19 ῥαμεσσῆ ἰουβασσῆ A ῥαμεσσηὶ οὐβασῆ B || 22 ἐπίκωμος B υἱὸς ἐπίκομος A || 23 ἦν om. B || 24 κόρης B κόρρης A || 25 ἦν ἔτος A ἔτους B || 28–29 lemmata om. A^m

Θηβαίων Αἰγυπτίων ιγ' ἐβασίλευσε Ῥαύωσις, ὅ ἐστιν ἀρχικράτωρ, ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσϛα'.

Θηβαίων Αἰγυπτίων ιδ' ἐβασίλευσε Βιύρης ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτδ'.

Θηβαίων Αἰγυπτίων ιε' ἐβασίλευσε Σαῶφις κωμαστής, κατὰ δὲ ἐνίους 5 *χρηματιστής, ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτιδ'.*

191 ## ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ

Σικυωνίων δεύτερος ἐβασίλευσεν Εὔρωψ ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γσϛα'.

Κατὰ τὸ κ' ἔτος Εὐρωπος τούτου τοῦ δευτέρου βασιλέως Σικυωνίων, 10 *ἤτοι Πελοποννησίων, γεννᾶται ὁ παρ' Ἑβραίοις Ἀβραάμ. ἐκ τούτου φασί τινες τὴν Εὐρώπην προσαγορευθῆναι πᾶσαν ἤπειρον ἑνὶ ὀνόματι καὶ οὕτω μέχρι νῦν ὀνομάζεσθαι, τοῦτ' ἔστι τὴν ἀντικειμένην τῇ μεγάλῃ Ἀσίᾳ γῆν.*

Σικυωνίων γ' ἐβασίλευσε Τελχὶν ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτλϛ'.

Σικυωνίων δ' ἐβασίλευσεν Ἆπις ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτξε'. 15

Σικυωνίων ε' ἐβασίλευσε Θελξίων ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γτϛ'.

ΚΟΣΜΟΥ ΕΤΗ

Γενεὰ κβ'

Ἰσαὰκ ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυιγ'.

Ἰσαὰκ γέλως μεθ' ἡδονῆς ἑρμηνεύεται. διὰ γὰρ τὸ ἐπιμειδιάσαι τὴν 20 *Σάρραν τῇ θείᾳ τοῦ ἐν γήρᾳ τοκετοῦ ἐπαγγελίᾳ οὕτω κέκληται κατὰ τὴν περατικὴν διάλεκτον.*

192 *Μαστιφὰμ ὁ ἄρχων τῶν δαιμονίων, ὥς φησιν ἡ λεπτὴ Γένεσις, προσελθὼν τῷ θεῷ εἶπεν· εἰ ἀγαπᾷ σε Ἀβραάμ, θυσάτω σοι τὸν υἱὸν αὐτοῦ.*

8 *τούτου τῷ θ' ἔτει Νίνος τέθνηκεν καὶ ἐβασίλευσε β' Σεμίραμις ἡ γυνὴ αὐτοῦ Ἀσσυρίων* 25 || **10** *τῷ β' ἔτει Εὔρωπος γεννᾶται Ἀβραάμ*

8 Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 30 || **10** Euseb. 2, 20, 4 || **12** cf. Iustin. 7, 1, 6 || **14** Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 32 || **19** Gen. 25, 26 || **20** ps. Sym. f. 31v = Cedr. 52, 1; cf. Gen. 17, 17; 18, 12; 21, 6–7, Ioseph. Ant. Iud. 1, 213 || **23**–p. 117, **9** ps. Sym. f. 31v = Cedr. 53, 8 || **23** Iubil. 17, 16 || **25** cf. Euseb. 2, 20e.f (anno 31) || **26** cf. Euseb. 2, 10, 4 (anno 22)

1 *ἀρχικράτωρ* **A** *ἀρχηκράτωρ* **B** || **2** *,γσϛα'* **A** *,γϛα'* **B** || **3** *ἦν* om. **B** || **5** *κωμαστής* **B** *κομαστής* **A** || **6** *ἦν ἔτος* om. **B** || **8** *Εὔρωψ* Go.m *εὔροψ* **A** *εὔρωψ* **B** | *ἦν* om. **B** || **9** *,γσϛα'* **A** *,γϛα'* **B** || **10** *κ'*] anno 22 Euseb. | *εὔροπος* **A** *εὔρωπος* **B** || **14** *Τελχὶν* Scal. *τελχὴν* **AB** | *κθ'*] ann. 20 Euseb. || **15** *ἦν ἔτος* om. **A** || **16** *ἦν ἔτος*] *ἔτος* **A** *ἦν* **B** || **21** *σάρραν* **B** *σάρρα* **A** || **22** *περατικὴν* **AB** *ἑβραικὴν* ps. Sym. || **24** *ἀγαπᾷ σε* **B** *ἀγαπάτω* **A** *ἀγαπᾶσαι* ps. Sym. || **25–26** lemmata om. **A**m

Τῷ ,γυλζʹ ἔτει τοῦ κόσμου, κεʹ τοῦ Ἰσαάκ, προσήνεγκεν Ἀβραὰμ τὸν Ἰσαάκ, ὥς φησιν Ἰώσηππος, ἐν τῷ ὄρει Σιών.

Σάρρα ἐτῶν ρκζʹ ἐτελεύτησε, καὶ ἐτάφη ἐν Χεβρών, ἣ νῦν Ἐλευθερόπολις καλεῖται, ἐν τῷ σπηλαίῳ ὃ ὠνήσατο ὁ Ἀβραὰμ παρὰ Ἐφρὼν τετρα- 5 *κοσίων διδράχμων ἐπὶ μαρτύρων τῶν υἱῶν Χέτ· ὡς ἐκ τούτου δοκεῖν μήπω τὰ διὰ γραμμάτων συμβόλαιά ποτε χρηματίζειν, ἅπερ Βαβυλωνίων εὑρήματα λέγουσιν οἱ νεώτεροι ἐκ γῆς Χαλδαίων κομισθέντα Φοίνιξι πρώτοις μεταδοθῆναι ὑπὸ Ἀβραάμ, ἀφ' ὧν Ἕλληνες ὁμολογοῦσι ταῦτα μετειληφέναι. Σάρραν τινὲς τῷ λβʹ ἔτει τοῦ Ἰσαάκ φασι τελευτῆσαι.*

10 *Ἰσαὰκ ἐτῶν μʹ γενόμενος ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουήλ. Βαθουὴλ δὲ ἦν υἱὸς Ναχώρ. οὗτος ηʹ καὶ τελευταῖος. ὀκτὼ γὰρ ἦσαν ἀπὸ Μελχᾶς αὐτῷ παῖδες. Ναχὼρ δὲ ὁ πατὴρ Βαθουὴλ ἦν ἀδελφὸς Ἀβραάμ. οὗτος ἔσχεν ἀπὸ Μελχᾶς ὀκτὼ παῖδας, ὡς εἴρηται, ὧν ὁ ἔσχατος Βαθουὴλ ἦν πατὴρ Ῥεβέκκας καὶ Λάβαν τοῦ πενθεροῦ Ἰακώβ. τοῦ δὲ κόσμου ἦν* 15 *ἔτος ,γυνβʹ.*

Ῥεβέκκα στεῖρα οὖσα μετὰ εἴκοσιν ἔτη ἐγέννησε δύο ἐπὶ τὸ αὐτὸ τὸν **193** *Ἰακὼβ καὶ τὸν Ἡσαῦ. τῷ ξʹ ἔτει αὐτοῦ Ἰσαὰκ ἐγέννησε τὸν Ἰακώβ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυοβʹ.*

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

20 *Ἀσσυρίων εʹ ἐβασίλευσεν Ἄρειος ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυγʹ.*

Ἀσσυρίων ςʹ ἐβασίλευσεν Ἀράλιος ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυλγʹ.

Ἀσσυρίων ζʹ ἐβασίλευσε Ξέρξης ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυογʹ.

Ἀσσυρίων ηʹ ἐβασίλευσεν Ἀρμαμίθρης ἔτη ληʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυοζʹ.

25

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων κδʹ ἐβασίλευσε Ῥαμεσσῆ Οὐάφρου ἔτη κθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυμβʹ.

3 *περὶ Σάρρας ὅτε ἀπέθανε· ὅτι ἡ ποτὲ Χεβρὼν Ἐλευθερόπολίς ἐστι νῦν ἐν ᾗ ἐστιν ὁ τάφος τοῦ Ἀβραάμ*

1 Ioseph. Ant. Iud. 1, 227 || 3 Gen. 23, 1–16 || 6 cf. Iubil. 12, 25–27, Euseb. Praep. Euang. 9, 17, 3–4 = ps. Eupolemus FGrHist 724 F 1 = Alex. Pol. FGrHist 273 F 19 || 8 cf. Herodot. 5, 58 || 9 Iubil. 15, 17 || 10–15 ps. Sym. f. 31v = Cedr. 58, 23 || 10 Gen. 24, 15 || 11 Gen. 25, 20 || 12 Gen. 22, 20–23 || 16 ps. Sym. f. 32r = Cedr. 59, 5; Gen. 25, 20–26 || 20 Castor FGrHist 250 F 2 = Euseb. 1, 30, 36 || 26 ps. Manetho (Sothis) FGrHist 609 F 28

6 *μήπω τὰ* **B** *μήποτε* **A** || 8 *ἀφ'* Go.m *ἐφ'* **AB** || 9 *τῷ λβʹ ἔτει* **B** *λβʹ ἔτη* **A** || 10 *Ῥεβέκκαν* Di. *ῥεβέκαν* **B** *ῥεβέκκα* **A** | *βαθουὴλ* **A**c**B** *φαθουὴλ* ante corr. **A** || 11 *οὗτος* om. **B** || 14 *τοῦ πενθεροῦ* **B** *τὸν πενθερὸν* **A** || 17 *ἠσαῦ* **B** ps. Sym. *ἰσαάκ* **A** || 18. 21 *ἦν* om. **B** || 23 *ἀρμαμίθρης* **A** *ἀρμαμήθρης* **B** || 24 *,γυοζʹ*] recte *,γφγʹ*, nam *,γυοζʹ* ad filum Aegyptiorum pertinet || 28–29 lemma om. **A**m

Αἰγυπτίων κε' ἐβασίλευσε Κόγχαρις ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ‚γυοα'.
Τούτῳ τῷ ε' ἔτει τοῦ κε' βασιλεύσαντος Κογχάρεως τῆς Αἰγύπτου ἐπὶ τῆς ις' δυναστείας τοῦ Κυνικοῦ λεγομένου κύκλου παρὰ τῷ Μανεθῷ ἀπὸ τοῦ πρώτου βασιλέως καὶ οἰκιστοῦ Μεστραῒμ τῆς Αἰγύπτου πληροῦνται ἔτη 194 *ψ' βασιλέων κε', τοῦτ' ἔστιν ἀπὸ τοῦ καθολικοῦ κοσμικοῦ ‚βψος' ἔτους,* 5 *καθ' ὃν χρόνον ἡ διασπορὰ γέγονεν, ἐν τῷ λδ' ἔτει τῆς ἡγεμονίας Ἀρφαξάδ, ε' δὲ ἔτει τοῦ Φαλέκ. καὶ διεδέξαντο Τανῖται βασιλεῖς δ', οἳ καὶ ἐβασίλευσαν Αἰγύπτου ἐπὶ τῆς ιζ' δυναστείας ἔτη σνδ', ὡς ἑξῆς ἐστοιχείωται.*
Ἰώσηππος δὲ ἐν τῷ δευτέρῳ πρὸς ἔλεγχον Ἀπίωνος λόγῳ περὶ τῆς ἐξ Αἰγύπτου πορείας τοῦ λαοῦ γενομένης ἱστορῶν ἐπὶ τοῦ ιβ' μετὰ τοὺς προ- 10 *γραφέντας κε', τοῦτ' ἔστιν ἐπὶ τοῦ Μισφραγμουθώσεως, ἤτοι Φαραώ, ϛ' βασιλέως Αἰγύπτου, κατὰ τὴν ιη' παρὰ τῷ Μανέθωνι δυναστείαν, λζ' ὄντος ἀπὸ τοῦ Μεστραΐμ, χρόνον ἡμῖν ἐξέθετο Αἰγυπτίων βασιλέων κγ', ἐτῶν δὲ φϛδ', ἀρξάμενος ἀπὸ τοῦ κοσμικοῦ ‚γυοζ' ἔτους καὶ λήξας εἰς τὸ ‚δο' ἔτος, οὐκ ἐν πᾶσιν ὁμοφωνήσας τῷ Μανεθῷ κατὰ τοὺς μερικοὺς τῶν* 15 *βασιλέων χρόνους, οὔτε μὴν τελείως ἐν τῇ τούτων ὁμαδικῇ στοιχειώσει, ὡς δειχθήσεται ἐν τῇ πινακικῇ αὐτῶν στοιχειώσει. ἐν γὰρ τῇ κανονικῇ τοῦτο παρήκαμεν διὰ τὴν σύγχυσιν.*
Ἰστέον δὲ ὅτι οἱ παρὰ τῷ Ἰωσήππῳ οὗτοι κγ' οἱ αὐτοί εἰσι τοῖς παρὰ τῷ Μανέθωνι ἐπὶ τῆς ιζ' δυναστείας καὶ ιη' καὶ ιθ' φερόμενοι ἐν χρόνοις 20 *‚φϛβ'. οὗτος γὰρ ἀρξάμενος ἀπὸ τοῦ ‚γυοε' ἔληξεν εἰς τὸ ‚δξζ' ἔτος τοῦ κόσμου. ἡμεῖς δὲ μᾶλλον τῷ Ἰωσήππῳ διὰ τὴν γραφικὴν συμφωνίαν ἐν* 195 *τούτῳ ἑπόμενοι ἀπὸ τοῦ ‚γυοζ' ἔτους τοῦ κόσμου στοιχειοῦμεν ἐφεξῆς ἕως τοῦ ‚δο' ἔτους, ὡς ὑποτέτακται.*
Αἰγυπτίων κϛ' ἐβασίλευσε Σιλίτης ἔτη ιθ'. 25
Πρῶτος τῶν ϛ' τῆς ιζ' δυναστείας παρὰ Μανεθῷ· τοῦ δὲ κόσμου ἦν ἔτος ‚γυοζ'.

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Θηβαίων ις' ἐβασίλευσε Σαωφὶς β' ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ‚γτμγ'. 30
Θηβαίων ιζ' ἐβασίλευσε Μοσχερῆς Ἡλιόδοτος ἔτη λα'. τοῦ δὲ κόσμου ἦν ἔτος ‚γτο'.

2 cf. supra 41, 10 = ps. Manetho (Sothis) FGrHist 609 F 25 || **9–24** cf. Ioseph. c. Ap. 1, 74–92 = Manetho FGrHist 609 F 8 || **25–27** ps. Manetho (Sothis) FGrHist 609 F 28, cf. Ioseph. c. Ap. 1, 77 = Manetho F 8 (*Σάλιτις*) || **29** ps. Eratosthenes Aeg. Anagraphe FGrHist 610 F 1

1 *κόγχαρις* **A** *κογχάρης* **B** || **4** *μεστραΐμ* **B** *μεστρὲμ* **A** || **7** *ἔτει* **B** *ἔτη* **A** | *τανῖται* **A** *τανεῖται* **B** || **9** *ἐν τῷ δευτέρῳ . . . λόγῳ*] *ἐν τοῖς β' λόγοις* Gelzer 2, 211 || **16** *ὁμαδικῇ* **B** *νομαδικῇ* **A** || **17** *ὡς . . . στοιχειώσει* om. **A** || **20** *καί*[1] **B** *καὶ ὁ* **A** || **21** *‚γυοε'* Go.[m] *‚γυσε'* **AB** || **31** *μοσχερῆς* **B** *μόσχερις* **A**

Θηβαίων ιη' ἐβασίλευσε Μοσθῆς ἔτη λγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυα'.

Θηβαίων ιθ' ἐβασίλευσε Παμμῆς Ἀρχονδὴς ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυλδ'.

5 *Θηβαίων κ' ἐβασίλευσεν Ἀπάππους μέγιστος. οὗτος, ὥς φασι, παρὰ ὥραν μίαν ἐβασίλευσεν ἔτη ρ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυξθ'.*

Θηβαίων κα' ἐβασίλευσεν Ἐχεσκοσοκάρας ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφξθ'.

Θηβαίων κβ' ἐβασίλευσε Νίτωκρις γυνὴ ἀντὶ τοῦ ἀνδρός, ὅ ἐστιν Ἀθηνᾶ
10 *νικηφόρος, ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφο'.*

Θηβαίων κγ' ἐβασίλευσε Μυρταῖος Ἀμμωνόδοτος ἔτη κβ'. τοῦ δέ κόσμου ἦν ἔτος ,γφος'. 196

ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ

Σικυωνίων ς' ἐβασίλευσεν Αἴγυδρος ἔτη λδ'. τοῦ δὲ κόσμου ἦν ἔτος
15 *,γυμβ'.*

Σικυωνίων ζ' ἐβασίλευσε Θουρίμαχος ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυος'.

Σικυωνίων η' ἐβασίλευσε Λεύκιππος ἔτη νγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφκα'.

20 *Σικυωνίων θ' ἐβασίλευσε Μέσαππος ἔτη μζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφοδ'.*

Σικυωνίων ι' ἐβασίλευσεν Ἔραστος ἔτη μς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχκα'.

Τινὲς τὸν αὐτόχθονα Κρῆτα πρῶτον Κρήτης βασιλεῦσαί φασι κατὰ
25 *τόνδε τὸν χρόνον ὃν ἀνωτέρω ἱστορήσαμεν, κατὰ ἄλλους ἐπὶ Νινύα, ἐπισημηνάμενοι ὅτι τε εἷς ἐστι τῶν λεγομένων Κουρητῶν καὶ ὅτι Ζεὺς παρ' αὐτῷ κρυβεὶς ἐτράφη καὶ ὅτι ἡ νῆσος Κρήτη πρῶτον ἐξ αὐτοῦ προσηγορεύθη.*

5 *περὶ τοῦ βασιλεῦσαι Ἄπαππον* || **24** *πόθεν προσηγορεύθη ἡ Κρήτη*

13 Castor FGrHist 250 F 2 = Euseb. 1, 82, 2 || **24** Euseb. 2, 26[f] || **26** Euseb. 2, 22[c, d]

1 *μοσθῆς* **B** *μουσθὶς* **A** || **3** *παμμῆς ἀρχονδὴς* **B** *πάμμος ἀρχόνδης* **A** || **4** *ἦν* om. **B** || **7** *ἐχεσκοσοκάρας* **B** *ἐχεσχὸς ὀκάρας* **A** || **8** *,γφξθ'* **B** *,γφζθ'* **A** || **9** *νίτωκρις* **A** *μιτροκὶς* **B** || **12** *,γφος'* Go.[m] *,γφςη'* **AB** cf. 125,11 || **15** *,γυμβ'* **B** *,γυμε'* **A** || **20** *μέσαππος* **B** *μέσασπος* **A** *Messapus* Euseb. || **21** *,γφοδ'* **A** *,γφκα'* **B** || **24** *Κρῆτα* Go.[m] *κριτᾶν* **A** *ἀκρητὰν* **B** || **25** *τόνδε* **B** *δέ* **A** || **26** *κουρητῶν* **B** *κουριτῶν* **A** || **27** *κρυβεὶς* **B** *κρυβὸς* **A** || **29** prius lemma om. **A**[m]

ΚΟΣΜΟΥ ΕΤΗ

Γενεὰ κγ'

Ἰακὼβ ἐτῶν πβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυογ'.

197 *Κολλυρίδας ποιήσασα Ῥεβέκκα, ὥς φησιν Ἰώσηππος, ἔδωκε τῷ Ἰακὼβ καὶ εἰσήγαγε μεθ' ἑτέρων δώρων διὰ Ἰσαὰκ πρὸς Ἀβραάμ, καὶ εὐλόγησεν* 5 *αὐτὸν Ἀβραὰμ καὶ εὐλογῶν αὐτὸν πολυτρόπως καὶ κατέχων αὐτὸν ἐν τοῖς κόλποις αὐτοῦ ἐτελεύτησεν, ἀφυπνώσαντος τοῦ Ἀβραὰμ τῷ ιε' ἔτει τῆς ζωῆς Ἰακώβ.*

Τῷ με' ἔτει Ἰακὼβ Ἠσαῦ καὶ αὐτὸς ὢν ἐτῶν με' (τοῦ δὲ κόσμου ἦν ἔτος ,γφιβ') ἔλαβε δύο γυναῖκας, Ἰουδείν, τὴν θυγατέρα Βεὴρ τοῦ Χετ- 10 *ταίου, καὶ τὴν Βασεμάθ, θυγατέρα Αἰλὼν τοῦ Εὐαίου, ὥς φησιν ἡ γραφή· καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ρ', ὥστε καὶ μετὰ τὸ ρ' ἔτος ἔκλεψεν ὁ Ἰακὼβ τὰς τοῦ Ἠσαῦ εὐλογίας ταῖς μητρικαῖς εἰσηγήσεσι· προεῖχε δὲ αὐτὰς παρὰ τοῦ πατριάρχου Ἀβραάμ, ὡς Ἰώσηππος βεβαιοῦται, καὶ πιστὸς ὁ λόγος.* 15

Ἰώσηππός φησιν ὅτι ὁ Ἰακὼβ ἐτῶν ὑπάρχων ξγ' οὐκ ἔγνω ὅλως γυναῖκα, ὡς αὐτὸς ἐξεῖπε τῇ μητρὶ Ῥεβέκκᾳ.

Ὁ Ἀφρικανὸς οζ' ἐτῶν λέγει τὸν Ἰακὼβ ἐλθεῖν εἰς Μεσοποταμίαν, ὡς ἐκ τῆς γραφῆς. ἡ δὲ γραφὴ οὐδαμοῦ τοῦτο φαίνεται λέγουσα, ἄλλως τε, εἰ τοῦτο δῶμεν, ἔσται ὁ Ἰωσὴφ κατὰ τὸ ϛς' τοῦ Ἰακὼβ γεννηθείς, 20 *ὅπερ ἀδύνατον.*

198 *Τῷ ογ' ἔτει τοῦ Ἰακώβ, τοῦ δὲ κόσμου ,γφμε', κατὰ τὸν ἀκριβῆ λόγον τῆς ἑαυτοῦ ζωῆς ἀπέδρα ὁ Ἰακώβ, καὶ δουλεύσας ἔτη ζ' ἔλαβε τὴν Λείαν καὶ ἐγέννησε τὸν Ῥουβὴν τῷ π' ἔτει καὶ τὸν Συμεὼν τῷ πα', τὸν δὲ Λευὶ τῷ πβ', τὸν Ἰούδαν τῷ πγ', τὸν Δὰν τῷ πε', τὸν Νεφθαλεὶμ τῷ πϛ', τὸν* 25 *Γὰδ τῷ πζ', τὸν Ἀσὴρ τῷ πη', τὸν Ἰσσάχαρ τῷ πθ', τὸν Ζαβουλὼν καὶ τὴν Δεῖναν ἐκ Λείας τῷ ϙ', τὸν Ἰωσὴφ ἐκ τῆς Ῥαχὴλ τῷ ϙα'. καὶ ἔμεινε παρὰ τῷ Λάβαν ἄλλα δύο ἔτη, τῷ ϙγ' ἀπέδρα ἀπὸ τοῦ οἴκου Λάβαν.*

5 *περὶ τῆς εὐλογίας τοῦ Ἰσαάκ* || 13 *μετὰ ρ' ἔτη τοῦ Ἰσαὰκ εἴληφε τὴν εὐλογίαν ὁ Ἰακώβ*

3 cf. Gen. 29, 34, Iubil. 28, 14 || 4–11 ps. Sym. f. 32ʳ = Cedr. 59, 9 || 4–8 ps. Ioseph., cf. Iubil. 22, 4–23, 1; cf. Iohann. Anag. f. 111ʳ || 9–12 Gen. 26, 34–35 || 12–13 Gen. 27, 1–9 || 14–15 ps. Ioseph., cf. Iubil. 22 || 16–17 ps. Sym. f. 32ʳ = Cedr. 59, 16; ps. Ioseph., cf. Iubil. 25, 4 || 18 Africanus fr. 15 || 22 – p. 121, 4 ps. Sym. f. 32ʳ = Cedr. 59, 17 || 22 cf. Gen. 29–31, Iubil. 28, 1–29, 5

3 ἰακὼβ **B** ἰακὼβ ἦν **A** || 5 διὰ ἰσαὰκ πρὸς ἀβραάμ ps. Sym. πρὸς ἰσαάκ **B** παρὰ ἰσαάκ **A** || 6 ἀβραὰμ **A** ps. Sym. ἰσαὰκ **B** || 9 με' **AB** ps. Sym. μ' Gen. annus mundi μ' postulat || 10 δύο **B** δὲ δύο **A** | ἰουδείν **B** ps. Sym. ἰουδήθ **A** || 13 καὶ μετὰ **A** μετὰ **B** | ὁ om. **B** || 18 λέγει **B** λέγεται **A** | τὸν ἰακὼβ ἐλθεῖν **B** tr. **A** || 23 λείαν **B** λίαν **A** || 24 Ῥουβὴν Go.ᵐ ῥουβὶν **AB** || 26 ἰσσάχαρ **B** ἰσάχαρ **A** || 27 Δεῖναν Di. δεῖνα **AB** δίναν ps. Sym.

Τινὲς βεβαιοῦνται ὡς ἐκ τῆς γραφικῆς ἀκολουθίας ὅτι μετὰ τὸ λαβεῖν
τὴν Ῥαχὴλ τὸν Ἰακὼβ ἤρξατο τίκτειν ἡ Λεία. ἐπεὶ πῶς ε′ ἔστιν ὁ Δὰν
ἀπὸ Βαλλᾶς παιδίσκης Ῥαχήλ, καὶ ϛ′ ὁ Νεφθαλείμ, ἐὰν ἀπὸ α′ ἔτους
Λείας ἐγένοντο, εἶτα ζ′ ὁ Γὰδ ἀπὸ Ζελφᾶς καὶ οἱ ἐφεξῆς;
5 Ἰώσηππος λέγει ζ′ ἡμέρας τὸν Ἰακὼβ δουλεῦσαι τῷ Λάβαν μετὰ τὸν
γάμον Λείας, καὶ μετὰ τὰς ζ′ ἡμέρας λαβεῖν τὴν Ῥαχήλ, καὶ μετὰ ταῦτα
εἶναι παρὰ τῷ Λάβαν ἕως τῆς ἀναχωρήσεως αὐτοῦ.

Οὔτε κατὰ τὸν Ἀφρικανόν μοι δοκεῖ δυνατὸν εἶναι τὸν Λευὶ γεννηθῆναι
τῷ πζ′ ἔτει τοῦ Ἰακὼβ οὔτε κατὰ τὸν Εὐσέβιον τῷ αὐτῷ πζ′. εἰ γὰρ ὁ
10 Ἰωσὴφ μ′ ἐτῶν ἦν τῷ ρλ′ ἔτει τοῦ Ἰακώβ, ἡνίκα κατῆλθε πρὸς αὐτὸν εἰς
Αἴγυπτον, ἀνάγκη πᾶσα τὸν Ἰακὼβ ϙα′ αὐτοῦ ἔτει γεννῆσαι τὸν Ἰωσὴφ
ἐκ τῆς Ῥαχήλ. ὁ δὲ Λευὶ ὁμολογουμένως πρὸ Ἰωσὴφ θ′ ἔτεσιν, ἢ τοὐλάχι- 199
στον η′, προγεγενημένος ἦν οὕτως

α′ Λευὶ ἔτος α′ τοῦ τρίτου υἱοῦ Λείας.
15 β′ Ἰούδας μετὰ Λευὶ τέταρτος υἱὸς Λείας.
γ′ Δὰν ἐκ Βαλλᾶς παιδίσκης Ῥαχήλ.
δ′ Νεφθαλεὶμ ἐκ τῆς αὐτῆς Βαλλᾶς.
ε′ Γὰδ ἐκ Ζελφᾶς παιδίσκης Λείας.
ϛ′ Ἀσὴρ ἐκ τῆς αὐτῆς Ζελφᾶς.
20 ζ′ Ἰσσάχαρ πέμπτος υἱὸς Λείας.
η′ Ζαβουλὼν ἕκτος υἱὸς Λείας.
θ′ Δείνα θυγάτηρ Λείας.
ι′ Ἰωσὴφ πρῶτος υἱὸς Ῥαχήλ.

Ἰδοὺ δὴ φανερὸν ὅτι ἐκ τῶν ϙα′ ἐτῶν τοῦ Ἰακὼβ ἀφαιρουμένων θ′,
25 ἀναστρεφόντων ἡμῶν ἀπὸ τοῦ Ἰωσὴφ ἐπὶ τὸν Λευὶ πβ′ ὑπολειφθήσονται·
καλῶς ἄρα ἡμῖν ἐστοιχείωται ὁ Λευὶ τῷ πβ′ ἔτει τοῦ Ἰακὼβ γεννηθείς.

Γενεὰ κδ′

Λευὶ ἔτη μζ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφνε′.

1 Gen. 29, 28–32 ‖ 5 ps. Ioseph., cf. Iubil. 28, 8–9 ‖ 8 Africanus fr. 16 ‖ 9 Euseb. 1, 46, 29; cf. Anon. Matr. 9, 4, Niceph. 85, 10 et infra 134, 5 ‖ 10 Gen. 41, 46; 45, 6; 47, 8–9 ‖ 12 cf. Iubil. 28, 14. 24 ‖ 28 cf. Ex. 6, 16, Iubil. 44, 14, Euseb. 1, 46, 30, Anon. Matr. 10, 5

5 τῷ B τὸν A ‖ 9 πζ′[2] AB Niceph. πϛ′ Euseb. 1, Anon. Matr. et infra ‖ 11 ἔτει om. A | πρὸ B παρὰ A ‖ 13 προγεγενημένος Go.[m] προγεγεννημένος B προσγεγενημένος A | οὕτως Go.[m] οὗτος AB ‖ 24 ἀφαιρουμένων B ἀφαιρούμενον A

200 ʼΑφρικανοῦ

Ἀπὸ Ἀδὰμ τοίνυν ἐπὶ τὴν τελευτὴν Ἰωσὴφ καὶ τῆσδε τῆς βίβλου γενεαὶ μὲν κγʹ, ἔτη δὲ ͵γφξγʹ.

Διαμαρτάνει προφανῶς ἔτη ριʹ. τῷ γὰρ αὐτῷ ͵γφξγʹ ἔτει τοῦ κόσμου ἐγεννήθη Ἰωσήφ, ὡς ὑπόκειται. τῷ θʹ ἔτει τῆς ζωῆς τοῦ Λευὶ ἐγέννησε 5 *Ῥαχὴλ τὸν Ἰωσὴφ τῷ Ἰακώβ. ἦν δὲ τῆς ζωῆς Ἰακὼβ ἔτος ϛαʹ, κόσμου δὲ ͵γφξγʹ.*

Πρῶτον ἔτος τῆς ζωῆς Ἰωσήφ, τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφξγʹ.

Τῷ ϛγʹ ἔτει Ἰακώβ, ιαʹ δὲ τοῦ Λευὶ καὶ γʹ τοῦ Ἰωσὴφ ἀπέδρα Ἰακὼβ ἀπὸ Μεσοποταμίας, καὶ τῷ ἀδελφῷ συντυχὼν δώροις κατήλλαξε. τοῦ 10 *δὲ κόσμου ἦν ἔτος ͵γφξεʹ.*

Ὁ Ἰακὼβ Ἰσραὴλ μετεκλήθη διαβαίνων τὸν Ἰορδάνην, καὶ ἐπευλογήθη ιβʹ ἔτει τοῦ Λευί. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφξϛʹ.

Ἰακὼβ ἀποδεκατώσας τὰ ἑαυτοῦ τὸν Λευὶ ιηʹ ἐτῶν ὄντα ἀρχιερέα ἀνέδειξεν, ιʹ ὄντα ἀπὸ τοῦ ἐσχάτου κατὰ τὸν τῆς ἀναστροφῆς λόγον. Ῥουβὴν 15 *γὰρ διὰ τὴν παλλακὴν τοῦ πατρὸς αὐτοῦ ἐστερήθη βασιλείας καὶ ἱερωσύνης, πρωτότοκος ὤν, ἔτει κοσμικῷ ͵γφοβʹ.*

Ῥαχὴλ ἐν τῷ τίκτειν τὸν Βενιαμὶν ἐτελεύτησε, καὶ ἐτάφη μεταξὺ Βηθλεὲμ καὶ Ἱερουσαλὴμ εἰς τὸν ἱππόδρομον. ἦν δὲ τοῦ Λευὶ ἔτος καʹ, τοῦ δὲ 201 *κόσμου ἦν ἔτος ͵γφοεʹ. ταύτης ἐγὼ τὴν λάρνακα τῆς γῆς ὑπερκειμένην* 20 *πολλάκις ἐκεῖσε παροδεύων ἐπὶ Βηθλεὲμ καὶ τὴν παλαιὰν λεγομένην λαύραν τοῦ ὁσίου Χαρίτωνος ἑώρακα.*

Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν διὰ φθόνον ἐπράθη ἑπτακαιδέκατον ἔτος ἄγων μετὰ εʹ ἔτος τῆς τελευτῆς Ῥαχήλ, ἐπισήμως ὑπὸ θεοῦ ἐνυπνιαζόμενος καὶ ὑπὸ τοῦ πατρὸς διὰ πολλὴν φρόνησιν ἀγαπώμενος. τοῦ δὲ κό- 25 *σμου ἦν ἔτος ͵γφοθʹ.*

Τῷ ͵γφπθʹ ἔτει τοῦ κόσμου, τοῦ δὲ Λευὶ λεʹ, Ἰωσὴφ καθείρχθη ἐν τῷ δεσμωτηρίῳ.

9 *Ση. πότε ἐπανῆλθεν Ἰακὼβ ἐκ Μεσοποταμίας* || **12** *πότε μετεκλήθη Ἰακὼβ Ἰσραήλ* || **20** *ποῦ ἐστὶ ἡ λάρναξ τῆς Ῥαχήλ* 30

1 Africanus fr. 21 || **6–7** cf. ps. Sym. f. 32r post Cedr. 59, 20 || **9** cf. Gen. 31, 17, Iubil. 29, 5 || **10** cf. Gen. 33, 8, Iubil. 29, 13 || **12** ps. Sym. f. 32r = Cedr. 60, 3; cf. Gen. 32, 29 || **14–17** ps. Sym. f. 32r = Cedr. 60, 7; cf. Gen. 35, 22; 49, 3–4, Iubil. 32, 3–4 || **18–22** ps. Sym. f. 32r = Cedr. 60, 15; cf. Gen. 35, 16–20, Iubil. 32, 33–34 || **23–26** Gen. 37, 2–19, Iubil. 34, 10; cf. Chron. Pasch. 110, 17 || **23–24** ps. Sym. f. 32v = Cedr. 62, 5 || **27** Gen. 39, 20; Iubil. 39, 11–14

4 *διαμαρτάνει* **B** *διαμαρτάνη* **A** | *αὐτῷ* om. **B** || **13** *ἔτει* om. **A** || **15** *ῥουβὴν* **B** *ῥουβὶμ* **A** || **16** *ἱερωσύνης* **A** *ἱεροσύνης* **B** || **18** *βενιαμὶν* **B** *βενιαμὴν* **A**

Τῷ λη' ἔτει τῆς ζωῆς Λευί, ρκ' τοῦ Ἰακώβ, τοῦ δὲ κόσμου ,γφϙβ', Ἰωσὴφ ἐπὶ τῆς ἀρχῆς Αἰγύπτου ἀναβιβάζεται, ὅπερ ἦν τῆς μὲν τοῦ Ἰωσὴφ ἔτος λ', ὥς φησιν ἡ γραφή, Ἀφώφεως δὲ τῆς βασιλείας τοῦ καὶ Φαραὼ ἔτος ιζ'. εἰσὶν οὖν τὰ τῆς ἐν Αἰγύπτῳ εὐθηνίας ἔτη ζ' ἀπὸ τοῦ
5 *λα' ἔτους Ἰωσήφ, λθ' τοῦ Λευί, ρκα' Ἰακώβ. τῷ δὲ λη' Ἰωσὴφ ἤρξατο ἡ λιμὸς καὶ μετὰ δύο ἔτη κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον, ρλ' ἔτει αὐτοῦ, τοῦ δὲ Ἰωσὴφ μ'.*

Τῷ ρκ' ἔτει τοῦ Ἰακὼβ ἐτελεύτησεν ὁ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ ζήσας ἔτη ρπ'. ἐτάφη δὲ ὑπὸ Ἰακὼβ καὶ Ἡσαῦ τῶν παίδων αὐτοῦ.

10 *Ἡ ποιμενικὴ σκηνὴ τοῦ Ἰακὼβ ἐν Ἐδέσῃ σῳζομένη κατὰ τοὺς χρόνους Ἀντωνίνου Ῥωμαίων βασιλέως διεφθάρη κεραυνῷ, ὥς φησιν ὁ Ἀφρικα-* 202 *νός, ἕως τῶν χρόνων αὐτοῦ Ἀντωνίνου ἱστορήσας.*

Ἰακὼβ ἀπαρεσθεὶς τοῖς ὑπὸ Συμεὼν καὶ Λευὶ πραχθεῖσιν ἐν Σικίμοις διὰ τὴν τῆς ἀδελφῆς φθορὰν εἰς τοὺς ἐπιχωρίους, θάψας ἐν Σικίμοις οὓς
15 *ἐφέρετο θεοὺς παρὰ τὴν πέτραν ὑπὸ τὴν θαυμασίαν τερέβινθον, ἥτις μέχρι νῦν εἰς τιμὴν τῶν πατριαρχῶν ὑπὸ τῶν πλησιοχώρων τιμᾶται, μετῆρεν εἰς Βαιθήλ· ταύτης παρὰ τὸ πρέμνον βωμὸς ἦν, ὥς φησιν ὁ Ἀφρικανός, τῆς τερεβίνθου, ἐφ' ὃν τὰς ἐκτενὰς ἀνέφερον ἐν ταῖς πανηγύρεσι τῆς χώρας ἔνοικοι, ἡ δ' οὐ κατεκαίετο δοκοῦσα πιπρᾶσθαι. παρὰ ταύτην ὁ*
20 *τάφος Ἀβραὰμ καὶ Ἰσαάκ. φασὶ δέ τινες ῥάβδον εἶναί τινος τῶν ἐπιξενωθέντων ἀγγέλων τῷ Ἀβραὰμ φυτευθεῖσαν αὐτόθι.*

Τῆς Γενέσεως

Τῷ Ἡσαῦ ἔφη ἐν ταῖς εὐλογίαις ὁ Ἰσαάκ· ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσεις τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου, πλημμελήσῃς εἰς
25 ***θάνατον.***

1 *ὅτι τῷ ρκ' ἔτει τοῦ Ἰακὼβ Ἰωσὴφ ἤρξατο τῆς βασιλείας* || **6** *ὅτι ρλ' ἐτῶν κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον* || **8** *ὅτι Ἰσαὰκ ρπ' ἐτῶν ἐκοιμήθη Ἰακὼβ ἄγοντος ἔτος ρκ'*

1 Gen. 41, 46 || **3** cf. Euseb. 1, 68, 1 || **4** Gen. 41, 48 || **6** Gen. 45, 6–7; 47, 8–9 || **8** Gen. 35, 28; ps. Sym. f. 32[v] = Cedr. 62, 7; cf. Euseb. 2, 32[e] || **10** Africanus fr. 17 || **13–15** Gen. 34, 30–35, 5 || **17–19** Africanus fr. 18 || **23** Gen. 27, 40, Iubil. 26, 34

4 *τὰ τῆς* **B** *ταύτης* **A** || **6** *ἡ* **B** *ὁ* **A** | *ἔτει* **B** *ἔτη* **A** || **8** *ὁ*[1] om. **B** || **11** *ῥωμαίων βασιλέως* **B** tr. **A** || **17** *βαιθήλ* **B** *βεθήλ* **A** | *παρὰ τὸ πρέμνον* **A** *παρὰ πραίμνον* **B** || **19** *πιπρᾶσθαι* **A** *πηπράσθαι* **B** *πίπρασθαι* Di. *πιμπρᾶσθαι* Go.[m] || **21** *φυτευθεῖσαν* **A** *φυτεύθησαν* **B** || **24. 25** *πλημμελήσῃς εἰς θάνατον* om. Gen., secl. Di.; similia autem habet Iubil., *thou shalt sin a complete sin unto death* || **26** *ρλ'* **B**[m] *λ'* **A**[m]

Ἰωσήππου

203 *Τῷ ρνγ' ἔτει τοῦ Ἰσαὰκ ἐπανῆλθεν Ἰακὼβ πρὸς αὐτὸν ἀπὸ Μεσοποταμίας. καὶ ἀναβλέψας Ἰσαὰκ καὶ ἰδὼν τοὺς υἱοὺς Ἰακὼβ ηὐλόγησε τὸν Λευὶ ὡς ἀρχιερέα καὶ τὸν Ἰούδαν ὡς βασιλέα καὶ ἄρχοντα.*

Ἡ Ῥεβέκκα ᾔτησε τὸν Ἰσαὰκ ἐν τῷ γήρᾳ παραινέσαι τῷ Ἡσαῦ καὶ τῷ Ἰακὼβ ἀγαπᾶν ἀλλήλους. καὶ παραινέσας αὐτοῖς προεῖπεν ὅτι ἐὰν ἐπαναστῇ τῷ Ἰακὼβ ὁ Ἡσαῦ, εἰς χεῖρας αὐτοῦ πεσεῖται. μετὰ οὖν τὸ τελευτῆσαι τὸν Ἰσαὰκ κινηθεὶς ὑπὸ τῶν υἱῶν ὁ Ἡσαῦ καὶ ἀθροίσας ἔθνη ἦλθε κατὰ τοῦ Ἰακὼβ καὶ τῶν υἱῶν αὐτοῦ εἰς πόλεμον. Ἰακὼβ δὲ ἀποκλείσας τὰς πύλας τῆς βάρεως παρεκάλει τὸν Ἡσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν. τοῦ δὲ μὴ ἀνεχομένου, ἀλλ' ὑβρίζοντος καὶ ὀνειδίζοντος, βιασθεὶς Ἰακὼβ ὑπὸ τοῦ Ἰούδα ἐνέτεινε τόξον καὶ πλήξας κατὰ τοῦ δεξιοῦ μαζοῦ τὸν Ἡσαῦ κατέβαλε. τοῦ δὲ θανόντος ἀνοίξαντες τὰς πύλας οἱ υἱοὶ Ἰακὼβ ἀνεῖλον τοὺς πλείστους. ταῦτα ἐν λεπτῇ Γενέσει φέρεται.

Λευὶ ἐγέννησε τὸν Καὰθ μζ' ἔτος ἄγων. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχβ'. 15

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων θ' ἐβασίλευσε Βήλωχος ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφμα'.

Ἀσσυρίων ι' ἐβασίλευσε Βαλαιὸς ἔτη νβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφος'.

204 *Ἀσσυρίων ια' ἐβασίλευσε {Σέθως ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχλζ'.}* 20
⟨Ἀλταδὰς ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχκη'.⟩

Ἀσσυρίων ιβ' ἐβασίλευσε Μαμυθὸς ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχξ'.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων κζ' ἐβασίλευσε Βαίων ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γυϛϛ'.

Αἰγυπτίων κη' ἐβασίλευσεν Ἀπαχνᾶς ἔτη λϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γφμ'. 25

1 ps. Ioseph., ex libro Iubilaeorum || **2** Iubil. 31, 13–20 || **5–14** ps. Sym. f. 32r–32v = Cedr. 60, 21–61, 13 || **5** Iubil. 35, 9–17 || **7** Iubil. 37, 1–38, 4 || **15** cf. Ex. 6, 16, Iubil. 44, 14, Euseb. 1, 46, 30, Anon. Matr. 10, 5 || **17** cf. Annianum apud Eliam Nisib. 15, 17, Castor FGrHist 250 F 1 = Euseb. 1, 31, 4 || **24** ps. Manetho (Sothis) FGrHist 609 F 28

3 *καὶ ἰδὼν* **B** *εἶδεν* **A** || **5** *γήρᾳ* Di. *γήρει* **AB** || **8** *ὁ* om. **A** || **9** *υἱῶν* **A** *υἱὸν* **B** || **13** *οἱ* om. **B** || **15** *καὰθ* **A** *καὰκ* **B** | *ἦν* om. **B** || **20** *Σέθως . . . ,γχλζ'* seclusi, nam pertinet ad filum Aegyptiorum infra 142, 26 | *,γχλζ'* **B** *,γχλς'* **A** || **21** *Ἀλταδὰς . . . ,γχκη'* restitui ex Eusebio et Anniano || **24** et **25** *ἦν* om. **B**

Αἰγυπτίων κθ' ἐβασίλευσεν Ἄφωφις ἔτη ξα'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφος'.

Τοῦτον λέγουσί τινες πρῶτον κληθῆναι Φαραώ, καὶ τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τὸν Ἰωσὴφ ἐλθεῖν εἰς Αἴγυπτον δοῦλον. οὗτος 5 κατέστησε τὸν Ἰωσὴφ κύριον Αἰγύπτου καὶ πάσης τῆς βασιλείας αὐτοῦ τῷ ιζ' ἔτει τῆς ἀρχῆς αὐτοῦ, ἡνίκα καὶ τὴν τῶν ὀνείρων διασάφησιν ἔμαθε παρ' αὐτοῦ καὶ τῆς θείας συνέσεως αὐτοῦ διὰ πείρας γέγονεν. ἡ δὲ θεία γραφὴ καὶ τὸν ἐπὶ τοῦ Ἀβραὰμ βασιλέα Αἰγύπτου Φαρῶα καλεῖ.

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

10 Θηβαίων κδ' ἐβασίλευσεν Οὐοσιμάρης κραταιός, ὅ ἐστιν ἥλιος, ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γφϙη'.

Θηβαίων κε' ἐβασίλευσε Σεθίνιλος, ὅ ἐστιν αὐξήσας τὸ πάτριον κράτος, 205 ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχι'.

Θηβαίων κς' ἐβασίλευσεν Σεμφρουκράτης, ὅ ἐστιν Ἡρακλῆς Ἀρπο- 15 κράτης, ἔτη ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχιη'.

Θηβαίων κζ' ἐβασίλευσε Χουθὴρ Ταῦρος τύραννος ἔτη ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχλς'.

Θηβαίων κη' ἐβασίλευσε Μευρὴς Φιλόσκορος ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχμγ'.

20 Θηβαίων κθ' ἐβασίλευσε Χωμαεφθὰ κόσμος Φιλήφαιστος ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχνε'.

Θηβαίων λ' ἐβασίλευσε Σοικούνιος Ὀχοτύραννος ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχξς'.

ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ

25 Σικυωνίων ια' ἐβασίλευσε Πλημναῖος ἔτη ν', κατὰ δὲ ἄλλους μη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχξζ'.

Σικυωνίων ιβ' ἐβασίλευσεν Ὀρθόπολις ἔτη ξγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψιζ'.

Σικυωνίων ιγ' ἐβασίλευσεν Ἐχυρεὺς ἔτη νε'. τοῦ δὲ κόσμου ἦν ἔτος 30 ͵γψπ'.

7 τίς ἐκλήθη πρῶτος φαραώ

3 cf. Euseb. 1, 68, 1, Ioseph. c. Ap. 1, 80 || 8 Gen. 41, 1 || 10 ps. Eratosthenes Aegypt. Anagraphe FGrHist 610 F 1 || 25 cf. Castor FGrHist 250 F 2 = Euseb. 1, 82, 9

10 *Οὐοσιμάρης* Jablonski *θυοσιμάρης* A *θυωσιμάρης* B || 12 *σεθίνιλος* B *θίνιλλος* A || 13 *ἦν* om. B || 17 et 19 *ἔτος* om. A || 20 *χωμαεφθὰ* B *χομαεφθὰ* A || 21 *͵γχνε'* B *͵γχε'* A || 22 *σοικούνιος* B *συκούνιος* A || 23, 26, 27 et 29 *ἦν ἔτος* om. A || 25 *ἔτη ν' . . . μη'*] annos 48 Euseb. || 31 *πρῶτος* B[m] *ὁ* A[m]

206 ΚΟΣΜΟΥ ΕΤΗ

Γενεὰ κε'

Καὰθ ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχβ'.

Τῷ β' ἔτει τῆς λιμοῦ κατῆλθον οἱ ἀδελφοὶ Ἰωσὴφ εἰς Αἴγυπτον, ὅπερ ἦν τοῦ μὲν Ἰωσὴφ λθ' ἔτος, τοῦ δὲ Ἰακὼβ ρκθ', τοῦ δὲ Λευὶ μζ', κόσμου 5 *δὲ ,γχα'. προσελθόντες δὲ ἀγοράσαι σῖτον διεγνώσθησαν ὑπ' αὐτοῦ ἀγνοούμενοι, καὶ αἰτιαθέντες κατασκοπεῖν ὅμηρον κατέλιπον τὸν Συμεὼν μετὰ πολλὰς ἀπολογίας· ἐν οἷς τὰ κατὰ τὸν Βενιαμὶν καὶ τὸ κόνδυ, ὅ ἐστιν εἶδος ποτηρίου, καὶ ὁ ἀναγνωρισμὸς τοῦ Ἰωσὴφ πρὸς αὐτούς.*

Τῷ α' ἔτει τῆς ζωῆς Καάθ, ὅπερ ἦν τοῦ μὲν Ἰακὼβ ρλ', τοῦ δὲ Λευὶ μη', 10 *κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον πρὸς Ἰωσήφ, ὡς φησιν ἡ θεία γραφὴ ὅτι 'εἶπε δὲ Ἰακὼβ τῷ Φαραῷ· αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου ἃς παροικῶ ρλ' ἔτη.' Ἰωσὴφ δὲ ἦν ἐτῶν μ'.*

Τῷ αὐτῷ ρλ' ἔτει τοῦ Ἰακώβ, διότι, ὥς φασιν οἱ περὶ τὸν Ἀφρικανόν, ο' ἔζησεν ὁ Ἰωσὴφ ἔτη μετὰ τὸ παροικῆσαι τὸν Ἰακὼβ ἐν Αἰγύπτῳ, τὸ ζ' 15 *καὶ τελευταῖον ἔτος τῆς λιμοῦ, τὸ ε' ἔτος Καάθ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχς'.*

Ἰακὼβ ἐν τῷ καιρῷ τῆς τελευτῆς αὐτοῦ προτυπῶν τὸ ζωοποιὸν τοῦ 207 *σταυροῦ σημεῖον τοὺς υἱοὺς Ἰωσὴφ σταυροειδῶς εὐλόγησεν, ἐναλλὰξ ἐπιθεὶς τὰς χεῖρας, τὴν δεξιὰν ἐπὶ τὸν Ἐφραὶμ καὶ τὴν ἀριστερὰν ἐπὶ τὸν* 20 *Μανασσῆν. ὁ δὲ Ἰωσὴφ τὸν Μανασσῆν ἐν τοῖς δεξιοῖς τοῦ Ἰακὼβ ἔστησεν ὡς πρωτότοκον, τὸν δὲ Ἐφραὶμ ἐν τοῖς ἀριστεροῖς.*

Τῷ ,γχκ' ἔτει τοῦ κόσμου, Καὰθ δὲ ιη', ἤτοι νζ' τῆς ζωῆς Ἰωσήφ, ἐτελεύτησεν Ἰακώβ, καὶ ἐτάφη ὑπὸ Ἰωσὴφ καὶ τῶν λοιπῶν τέκνων αὐτοῦ ἐν τῷ σπηλαίῳ τῷ διπλῷ εἰς Χεβρών. 25

Ἰακὼβ δὲ κατελθὼν πρὸς Ἰωσὴφ εἰς Αἴγυπτον ἐν οε' ψυχαῖς κατῳκίσθη ἐν γῇ Γεσέμ, ἥτις ἐστὶν ἡ πρὸς τῇ Αἰγύπτῳ Ἀραβία.

18 *Ση. σταυροειδῶς ἡ εὐλογία τῶν υἱῶν Ἰωσήφ* || 23 *ὅτι Ἰακὼβ ρμζ' ἐτῶν ἐτελεύτησεν* || 26 *ὅτι ἡ Γεσὲμ ἡ ἐν Αἰγύπτῳ Ἀραβία ἐστί*

3 cf. Ex. 6, 18, Iubil. 44, 14, Euseb. 1, 43, 31, Anon. Matr. 10, 8, Chron. Epit. 12, 20, Chron. Pasch. 112, 20, Lib. Gen. p. 114 || 4 Gen. 42, 1–24 || 8 Gen. 44 || 10–13 ps. Sym. f. 32ᵛ = Cedr. 62, 10; Gen. 47, 9 || 14 Africanus fr. 20 || 18 Gen. 48, 13–15; cf. Epist. Barnab. 13 || 23 Gen. 47, 28, Iubil. 45, 13–14; ps. Sym. f. 32ᵛ = Cedr. 62, 14 || 26 Gen. 46, 8–27, Iubil. 44, 8–34 || 27 – p. 127, 3 ps. Sym. f. 32ᵛ = Cedr. 62, 15

1 *κόσμου* B *κοσμικοῦ* A || 3 *ἔτη ξ'*] ann. 63 Euseb., Anon. Matr. ann. 60 Chron. Epit., Chron. Pasch., Lib. Gen. | *ἦν ἔτος* om. A || 5 *κόσμου* B *κοσμικοῦ* A || 8 *βενιαμὶν* A *βενιαμὴν* B || 15 *ὁ* om. B || 16 *τῆς* B *τοῦ* A || 19 *υἱοὺς ἰωσὴφ* B tr. A || 20, 21 *τὸν μανασσῆν* B *μανασῆν* A || 26 *δὲ* om. B | *οε'*] ita LXX et Acta Apost. 7, 14 *70* in uersione Hebraica et Iubil.

Ῥουβὴν ὁ πρῶτος υἱὸς Ἰακὼβ συνελθὼν τῇ παλλακῇ τοῦ πατρὸς αὐτοῦ τῶν τε πρωτοτοκίων ἀφῃρέθη καὶ ἱερωσύνης καὶ βασιλείας, καὶ τὰ μὲν πρωτοτόκια ἔλαβον οἱ υἱοὶ τοῦ Ἰωσὴφ διὰ τὴν τοῦ πατρὸς σωφροσύνην, ἡ δὲ βασιλεία τῷ Ἰούδᾳ ἐδόθη, διότι καὶ αὐτὸς ἐν γυναικὶ ἐδικαιώθη τῇ 5 *Θάμαρ ἑαυτὸν κατακρίνας καὶ μὴ διαφθείρας αὐτὴν ὡς μοιχαλλίδα, καὶ ὅτι πρὸς ζῆλον θεοῦ καὶ ἐκδίκησιν ἑτοιμοτέρα ἡ τούτου δέδεικται φυλή. ἱερωσύνη τῷ Λευὶ ἐδόθη, ὅτι δέκατος ὑπάρχων ἀπὸ τοῦ ἐσχάτου τῶν υἱῶν Ἰακὼβ σὺν πᾶσι τοῖς ὑπάρχουσι τοῦ πατρὸς τῷ θεῷ ἀπεδεκατώθη, καθὼς προσηύξατο ὁ Ἰακὼβ λέγων· καὶ πάντα ὅσα ἂν μοι δῷς ἀποδεκα-* 10 *τώσω αὐτά. καὶ ὅτι ὁ Ἰσαὰκ ἀναβλέψας ὅτε παρεγένετο ὁ Ἰακὼβ ἐκ Μεσοποταμίας, καὶ ἰδὼν τὸν Λευὶ καὶ τὸν Ἰούδαν, εὐλόγησε τὸν μὲν ὡς ἱερέα,* 208 *τὸν δὲ ὡς βασιλέα, καθά φησιν Ἰώσηππος.*

Ῥουβὴν πολὺς καὶ ἀναρίθμητος διὰ τὸ περισῶσαι τὸν Ἰωσὴφ ἐκ τῶν ἀδελφῶν ἀφανιζόμενον.

15 *Ἰσραηλῖται κοινῶς λέγονται πάντες οἱ ἐκ τῶν ιβʹ φυλῶν κατ᾽ ἐξοχὴν ἐκ τοῦ πατρὸς Ἰσραήλ· Ἰουδαῖοι δὲ ὅτι τῶν λοιπῶν διαφθαρεισῶν ἡ τοῦ Ἰούδα διεφυλάχθη φυλή.*

Τῷ ͵γχξαʹ ἔτει τοῦ κόσμου ἐγέννησεν ὁ Καὰθ τὸν Ἄμβραμ, ξʹ ἔτος ἄγων· ἕτεροι δὲ τῷ ͵γχϛʹ ἔτει τοῦ κόσμου φασίν.

20 Γενεὰ κϛʹ

Ἄμβραμ ἔτη οεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχξβʹ.

Μετὰ οʹ ἔτη τῆς καθόδου τοῦ Ἰακὼβ ἐν Αἰγύπτῳ ἐτελεύτησεν Ἰωσήφ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γχοβʹ.

Τῷ ͵γχοβʹ ἔτει τοῦ κόσμου, ἤγουν τῷ ιβʹ τῆς ζωῆς Ἄμβραμ πατρὸς 25 *Μωυσέως, ἐτελεύτησεν Ἰωσὴφ ζήσας ἔτη ριʹ, ὥς φησιν ἡ βίβλος τῆς Γενέσεως οὕτως· καὶ ἐτελεύτησεν Ἰωσὴφ ὢν ἐτῶν ριʹ. ἕως τούτου τοῦ ͵γχοβʹ κοσμικοῦ ἔτους ἱστορεῖ ἡ αὐτὴ θεόπνευστος πρώτη βίβλος.*

Ὁ μέντοι Ἀφρικανὸς ἔτη ρθʹ διαμαρτήσας κατ᾽ ἔλλειψιν οὕτω γράφει·

21 *ὅτι Μωυσῆς υἱὸς Ἄμβραμ ἔκγονος Καὰθ υἱοῦ Λευί, ὁ Λευὶ ἐγέννησεν τὸν Καάθ*

1 Gen. 48, 5–6 || **4** Gen. 38, 15–26 || **7** Iubil. 32, 2–3 || **9** Gen. 28, 22 || **10** ps. Ioseph. ex Iubil. 31, 15–20 || **13** Gen. 37, 21–25 || **18** cf. supra 126, 3 || **19** Africanus fr. 20 (supra 126, 17) || **21** cf. Ex. 6, 20, Euseb. 1, 46, 32, Anon. Matr. 11, 8, Lib. Gen. p. 114, Chron. Epit. 12, 20, Chron. Pasch. 114, 6 || **22–26** Gen. 50, 26 || **22** et **26** cf. ps. Sym. f. 32v = Cedr. 62, 16 || **28** Africanus fr. 21

1 *ῥουβὴν* **B** *ῥουβὶν* **A** || **2** *ἱερωσύνης* **A** *ἱεροσύνης* **B** || **5** *μοιχαλλίδα* **B** *μοιχαλίδα* **A** || **6** *θεοῦ* om. **A** || **9** *ὁ* om. **B** | *δῷς* **A** *δὸς* **B** || **13** *ῥουβὴν* **B** *ῥουβὶν* **A** || **16** *ἡ*] *οἱ* **AB** || **18, 21** et **24** *ἄμβραμ* **B** *ἄβραμ* **A** || **19** cf. 126, 3 || **21** *ἔτη*] *ἔτος* **AB** | *οεʹ*] *70* Euseb., Anon. Matr., Lib. Gen. *75* Chron. Epit., Chron. Pasch. | *͵γχξβʹ* **B** *͵γχοβʹ* **A** || **29** *ἄμβραμ* **Bm** *ἀβραάμ* **Am** | *ὁ Λευὶ* om. **Bm**

209 **'Αφρικανοῦ**

Ἀπὸ Ἀδὰμ τοίνυν ἐπὶ τελευτὴν Ἰωσὴφ καὶ τῆσδε τῆς βίβλου γενεαὶ μὲν κγ', ἔτη δὲ ,γφξγ'.

Ὁ δὲ Εὐσέβιος ἀπὸ Ἀδὰμ ἕως πρώτου Ἀβραὰμ ἔτους ,γρπδ' ἔτη, καὶ ἀπὸ τοῦ πρώτου ἔτους Ἀβραὰμ ἕως τέλους Ἰωσήφ, ἐν ᾧ καταλήγει χρόνῳ τῆς Γενέσεως ἡ βίβλος, ἤγουν τῷ ρι' ἔτει τῆς ζωῆς Ἰωσήφ, ἔτη τξα' ἐπελογίσατο· γίνονται οὖν κατὰ Εὐσέβιον ἀπὸ Ἀδὰμ ἕως τῆς τελευτῆς Ἰωσὴφ ἔτη ,γφμε'. διαμαρτάνει δὲ οὗτος ἔτεσιν ρκζ' ὡς πρὸς ,γχοβ'. 5

Ἕως τοῦδε τοῦ ,γχοβ' ἔτους ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ἱστορεῖ Μωυσῆς ὁ θεόπτης ἐν τῇ πρώτῃ θεοπνεύστῳ τῆς Γενέσεως βίβλῳ. 10

Εὖ δ' ἂν εἴη κεφαλαιωδῶς ἐκθεμένου τὰ αὐτὰ ,γχοβ' κοσμικὰ ἀπὸ Ἀδὰμ ἔτη ἕως τῆς Ἰωσὴφ τελευτῆς ἐκ τῆς αὐτῆς ἱερᾶς βίβλου κατὰ τὴν τῶν ο' σοφῶν ἔκδοσιν οὕτω χωρῆσαι πρὸς τὴν τῶν ἐφεξῆς ἀκριβῆ κατὰ τὸ δυνατὸν χρονολογίαν. συντρέχει γὰρ τῷ ρι' ἔτει τῆς ζωῆς τοῦ σώφρονος Ἰωσὴφ τὸ αὐτὸ ,γχοβ' ἔτος ἐξ Ἀδάμ, ἐν ᾧ καὶ ἐτελεύτησε, μετὰ π' ἔτη τῆς ἡγεμονίας Αἰγύπτου. τριακοντούτης γὰρ αὐτῆς ἦρξε, ζήσας ἔτη ο' μετὰ τὴν τοῦ πατρὸς πρὸς αὐτὸν ἐν Αἰγύπτῳ πανοικικὴν κάθοδον καὶ αὐτόθι 15
210 *παγγενῆ παροικίαν, ἥτις γέγονε μετὰ ι' ἔτη τῆς ἀρχῆς αὐτοῦ κατὰ τὴν αὐτὴν θεόπνευστον γραφήν, τῶν ζ' διελθόντων τῆς εὐθηνίας ἐτῶν, τῷ δὲ τρίτῳ τῆς λιμοῦ κατελθόντος Ἰσραὴλ εἰς Αἴγυπτον, ἡνίκα καὶ ἦν αὐτὸς μὲν Ἰακὼβ ἐτῶν ρλ', ὡς ἔφη πρὸς Φαραὼ πρὸς αὐτοῦ ἐρωτηθείς, Ἰωσὴφ δὲ ἦν ἐτῶν μ', εἴπερ τριακοντούτης τῆς Αἰγύπτου τὴν ἀρχὴν ἐγκεχείρισται, δεκάτῳ δὲ τότε ἔτει μετ' αὐτὴν ἀπέλαβε τὸν πατέρα καὶ τοὺς ἀδελφούς, ὡς ἐντεῦθεν ἡμῖν καὶ ἄλλο τι τῶν ἀναγκαίων συναποδείκνυσθαι ζήτημα· τὸν μὲν Ἰωσὴφ κατὰ τὸ ϙα' ἔτος Ἰακὼβ τεχθῆναι αὐτῷ ἐκ τῆς Ῥαχήλ, πρῶτον ἐπὶ θυγατρὶ μιᾷ Δείνᾳ καὶ παισὶν ἄρρεσι ι'. τούτοις κατὰ τὸν τῆς ἀναστροφῆς λόγον ἐν ἕνδεκα τοὐλάχιστον ἔτεσι πρὸ Ἰωσὴφ τεχθεῖσιν, ἑνὸς ἔτους ἑκάστῳ νεμομένου κατὰ τὴν τῶν λογίων ἔμφασιν, τὸν Λευὶ τῷ πβ'. εἰσὶν οὖν οἱ πάντες ἐν Μεσοποταμίᾳ παῖδες ι' καὶ θυ-* 20 25

2 *ὅτι ἀπὸ Ἀδὰμ ἕως τῆς Ἰωσὴφ τελευτῆς γενεαὶ κγ', ἔτη ,γχοβ'· ψεύδονται δὲ Ἀφρικανὸς καὶ Εὐσέβιος λέγοντες ,γφξγ'* || 9 *ἕως τούτου ἱστορεῖ ὁ Μωυσῆς* || 12 *ὅτι ὁ συγγραφεὺς τοῖς ο' ἑρμηνευταῖς ἕπεται* 30

4 Euseb. 1, 45, 22 || 7 Euseb. 2, 36[c] || 16 Gen. 41, 46–48; 45, 6; 47, 9 || 25 – p. 129, 26 cf. supra 121 || 30 ps. Sym. f. 34[r] = Cedr. 74, 11

8 *διαμαρτάνει* Go. *διαμαρτάνη* **AB** | *πρὸς* **B** *πρὸ* **A** || 10 *πρώτῃ* **B** *πρώτη τῇ* **A** || 15 *τὸ αὐτὸ* **B** *τῷ αὐτῷ* **A** || 19.20 *τῷ δὲ τρίτῳ* **B** *τοῦ δὲ τρίτου* **A** || 21 *αὐτοῦ* **A** *αὐτὸν* **B** || 22 *ἦν* om. **B** || 27 *πρὸ* Go.[m] *πρὸς* **AB** || 28 *νεμομένου* Di. *νεμομένῳ* **AB** || 30–32 lemmata om. **A**[m]

γάτηρ μία Δείνα, καὶ ἐπὶ πᾶσιν ἔσχατος μὲν τῇ τάξει, ιβʹ γὰρ ἀπὸ Ῥουβήν, ὁ Ἰωσήφ, πρῶτος δὲ ἐκ τῆς Ῥαχὴλ κατὰ τὸ ϛαʹ ἔτος Ἰακὼβ γεννηθείς, ὡς προαποδέδεικται. εἰ δὲ κατὰ ἀντιστροφὴν τῶν χρόνων τῆς ἑκάστου γενέσεως ἀπαρίθμησις ἀρχομένοις ἀπὸ τοῦ Ἰωσὴφ καὶ λήγουσιν ἐπὶ τὸν 5 *Ῥουβήν, οὕτω πως ἔχει.*

Ἰωσὴφ δὲ δωδέκατος καὶ ἔσχατος τῶν ἐν Μεσοποταμίᾳ παίδων τοῦ Ἰακὼβ ἐγεννήθη τῷ ϛαʹ ἔτει αὐτοῦ ἐκ τῆς Ῥαχὴλ πρῶτος· Δείνα ἑπτάπαις Λείας πρὸ ἑνὸς ἔτους Ἰωσὴφ ἐγεννήθη τῷ ϛʹ ἔτει Ἰακὼβ ἑνδεκάτη. Ζαβουλὼν ἕκτος υἱὸς Λείας πρὸ δύο ἐτῶν τοῦ Ἰωσὴφ ἐγεννήθη ιʹ ἀπὸ Ῥου- 211 10 *βήν· Ἰσσάχαρ πέμπτος υἱὸς Λείας πρὸ ἐτῶν γʹ τοῦ Ἰωσὴφ ἐγεννήθη· τέταρτος ὢν πρὸ αὐτοῦ Ἀσὴρ ἐκ Ζελφᾶς παιδίσκης Λείας βʹ, ἀπὸ δὲ Ἰωσὴφ εʹ κατὰ ἀναστροφὴν καὶ ὄγδοος ἀπὸ Ῥουβήν. Γὰδ πρῶτος ἐκ Ζελφᾶς παιδίσκης Λείας, ϛʹ ἀπὸ Ἰωσὴφ κατὰ ἀναστροφὴν καὶ ζʹ ἀπὸ Ῥουβήν· Νεφθαλεὶμ βʹ υἱὸς Βαλλᾶς παιδίσκης Ῥαχήλ, ηʹ ἀπὸ Ἰωσὴφ* 15 *κατὰ ἀναστροφὴν καὶ εʹ ἀπὸ Ῥουβήν· Ἰούδας δʹ υἱὸς Λείας, θʹ ἀπὸ Ἰωσὴφ κατὰ ἀναστροφὴν καὶ δʹ ἀπὸ Ῥουβήν· Λευὶ γʹ υἱὸς Λείας, ιʹ ἀπὸ Ἰωσὴφ ἀναστρέφοντι καὶ γʹ ἀπὸ Ῥουβήν, ἐγεννήθη τῷ πατριάρχῃ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῷ πβʹ ἔτει αὐτοῦ, ὡς πρόδηλόν ἐστι. τοῦτον ἀριθμήσας ἀπὸ τοῦ Βενιαμὶν ἔτι ὄντος ἐν τῇ γαστρὶ Ῥαχὴλ ιʹ ὄντα ἐν ἄρρεσιν, ἀφιέρωσε* 20 *τῷ θεῷ καὶ ἀρχιερέα ἀνέδειξεν, ὡς Ἰώσηππος, κατὰ τὸν τῆς ἀναστροφῆς λόγον, συναποδεκατώσας αὐτῷ πάντα τὰ ὑπάρχοντα καὶ ἀναθέμενος τῷ θεῷ, καθὰ προσηύξατο πορευόμενος εἰς Μεσοποταμίαν ὅτι 'καὶ πάντα ὅσα ἄν μοι δῷς ἀποδεκατώσω αὐτά'. Συμεὼν βʹ υἱὸς Λείας τῷ παʹ ἔτει Ἰακὼβ ἐγεννήθη· Ῥουβὴν πρωτότοκος Ἰακὼβ υἱὸς καὶ Λείας τῷ πʹ* 25 *ἔτει Ἰακὼβ ἐγεννήθη. σαφῶς ἄρα παρίσταται ἡμῖν ἐκ τούτων ὅτι πρὸ ζʹ ἐτῶν ἦλθεν Ἰακὼβ πρὸς Λάβαν τῷ ογʹ ἔτει τῆς ζωῆς αὐτοῦ.*

Οὕτως προδιειλημμένων τῶν περὶ τῆς ἑκάστου τῶν πατριαρχῶν γενέσεως χρόνων ἀκριβοῦς θεωρίας ἐγκείσθω καὶ τὰ ἀπὸ Ἀδὰμ ἕως τε- 212 λευτῆς Ἰωσὴφ ἔτη.

30 Ἀπὸ Ἀδὰμ πάλιν

Ἀδὰμ γενόμενος ἐτῶν σλʹ ἐγέννησε τὸν Σήθ, καὶ ἐπέζησεν ἔτη ψʹ καὶ ἀπέθανε.

18–23 ps. Ioseph.; cf. Iubil. 31, 15–20, Gen. 28, 22 || **31**–p. 132, **7** computationes ex Gen. 5 iuxta uersionem LXX; cf. Annianum apud Eliam Nisib. 7, 33 et supra passim

1 et infra constanter *ῥουβὴν* **B** *ῥουβὶν* **A** || **5** *ἔχει* **B** *ἔχειν* **A** || **6** *δὲ* om. **B** || **10** *ἰσσάχαρ* **B** *ἰσάχαρ* **A** || **19** *βενιαμὶν* **A** *βενιαμὴν* **B** || **24** *ἰακὼβ* **B** *αὐτοῦ ἰακὼβ* **A** || **28** *τὰ* **A** *τῷ* **B**

Σὴθ γενόμενος ἐτῶν σεʹ ἐγέννησε τὸν Ἐνώς, καὶ ἐπέζησεν ἔτη ψζʹ καὶ ἀπέθανε. τούτου τῷ ψʹ ἔτει, ἤτοι τῷ ϡλʹ ἔτει τοῦ κόσμου, ⟨Ἀδὰμ⟩ ἀπέθανεν.

Ἐνὼς γενόμενος ἐτῶν ϙςʹ ἐγέννησε τὸν Καϊνᾶν τῷ χκεʹ ἔτει τοῦ κόσμου, τϛεʹ τοῦ Σήθ, καὶ ἐπέζησεν ἔτη ψιεʹ ἕως τοῦ ͵ατμʹ κοσμικοῦ ἔτους. 5
τούτου τῷ υϛεʹ ἔτει Ἀδὰμ ἀπέθανε, τῷ δὲ ψζʹ αὐτοῦ ὁ Σήθ.

Καϊνᾶν γενόμενος ἐτῶν ϙοʹ ἐγέννησε τὸν Μαλελεὴλ τῷ ψϛεʹ ἔτει τοῦ κόσμου, φξεʹ ἔτους Σήθ, τξʹ δὲ τοῦ Ἐνώς· καὶ ἐπέζησεν ἔτη ψμʹ ἕως τοῦ ͵αφλεʹ κοσμικοῦ ἔτους. τούτου τῷ τεʹ ἔτει Ἀδὰμ ἀπέθανε, τῷ δὲ φιζʹ αὐτοῦ ὁ Σήθ, τῷ δὲ ψιεʹ αὐτοῦ ὁ Ἐνώς. 10

Μαλελεὴλ γενόμενος ἐτῶν ϙξεʹ ἐγέννησε τὸν Ἰάρεδ τῷ ϡξʹ ἔτει τοῦ κόσμου, ψλʹ τοῦ Σήθ, φκεʹ τοῦ Ἐνώς, τλεʹ τοῦ Καϊνᾶν, καὶ ἐπέζησεν ἔτη ψλʹ ἕως ͵αχϛʹ κοσμικοῦ ἔτους. τούτου τῷ ϙλεʹ ἔτει Ἀδὰμ ἀπέθανε, τῷ
213 *δὲ τμζʹ αὐτοῦ ὁ Σήθ, καὶ τῷ φμεʹ τοῦ αὐτοῦ Μαλελεὴλ ὁ Ἐνώς· τῷ δὲ ψμʹ αὐτοῦ ἔτει Καϊνᾶν ὁ πατὴρ αὐτοῦ.* 15

Ἰάρεδ γενόμενος ἐτῶν ϙξβʹ ἐγέννησε τὸν Ἐνώχ, τῷ δὲ ͵αρκβʹ ἔτει τοῦ κόσμου, ὅπερ ἦν τοῦ μὲν Σὴθ ωϛβʹ, τοῦ δὲ Ἐνὼς χπζʹ, τοῦ δὲ Καϊνᾶν υϛζʹ, τοῦ δὲ Μαλελεὴλ τκζʹ. ὁ αὐτὸς δὲ Ἰάρεδ ἐπέζησεν ἔτη ωʹ ἕως τοῦ ͵αϡκβʹ ἔτους τοῦ κόσμου. τοῦ δὲ αὐτοῦ Ἰάρεδ ἔτει ϙπβʹ Σὴθ ἀπέθανεν, Ἐνὼς δὲ τῷ τπʹ, Καϊνᾶν δὲ φοεʹ αὐτοῦ Ἰάρεδ· Μαλελεὴλ δὲ ὁ πατὴρ 20
αὐτοῦ τῷ ψλʹ τοῦ Ἰάρεδ ἔτει θνήσκει.

Ἐνὼχ γενόμενος ἐτῶν ϙξεʹ ἐγέννησε τὸν Μαθουσάλα τῷ ͵ασπζʹ ἔτει τοῦ κόσμου. τούτου, φημὶ δὴ τοῦ Ἐνώχ, ἔτει κʹ Σὴθ ἀπέθανεν. ἦν δὲ τοῦ μὲν Ἐνὼς ἔτος, καθʼ ὃ ὁ Ἐνὼχ ἐγέννησε τὸν Μαθουσάλα, ωνβʹ, τοῦ δὲ Καϊνᾶν χξβʹ, τοῦ δὲ Μαλελεὴλ υϛβʹ, τοῦ δὲ Ἰάρεδ τκζʹ. οὗτος ὁ Ἐνὼχ 25
ἐπέζησε μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα ὁρώμενος ὑπὸ τῶν τηνικαῦτα ἀνθρώπων ἔτη σʹ, καὶ εὐαρεστήσας τῷ θεῷ μετετέθη καὶ οὐχ εὑρίσκετο. μετετέθη δὲ τῷ ͵αυπζʹ ἔτει τοῦ κόσμου. τῷ οὖν κʹ ἔτει αὐτοῦ, ὡς προείρηται, Σὴθ μετήλλαξε. τῷ δὲ σιηʹ ἔτει αὐτοῦ Ἐνὼχ ἀπέθανεν Ἐνώς.

Μαθουσάλα γενόμενος ἐτῶν ϙξζʹ ἐγέννησε τὸν Λάμεχ τῷ ͵αυνδʹ ἔτει τοῦ 30
κόσμου, ὅπερ ἦν τοῦ μὲν Καϊνᾶν ἔτος ωκθʹ, τοῦ δὲ Μαλελεὴλ χνθʹ, τοῦ δὲ Ἰάρεδ ἔτος υϛδʹ, τοῦ δὲ Ἐνὼχ τλβʹ ἔτος. ὁ δʼ αὐτὸς Μαθουσάλα μετὰ
214 *τὸ γεννῆσαι τὸν Λάμεχ ἐπέζησεν ἔτη ωβʹ μέχρι τοῦ ͵βσνϛʹ ἔτους τοῦ κόσμου. οὗτος μακροβιώτατος πάντων τῶν πρὸ αὐτοῦ ἀποθανόντων γέ-*

2 et 6 *τούτου τῷ* Di. *τούτῳ τῷ* **B** *τῷ τῷ* **A** || **2** *ἤτοι τῷ* **A** *ἤτοι* **B** | *Ἀδὰμ* addidi om. **AB** || **6** *υϛεʹ* Go.^{m} *ϛεʹ* **AB** || **8** *φξεʹ* Go.^{m} *φξʹ* **AB** || **9** *τούτου* **B** *τούτῳ* **A** || **11** *ϙξεʹ* **B** *ϙξʹ* **A** || **12** *τλεʹ τοῦ* **A** *τλεʹ τὸν* **B** || **14** *δὲ*^{2} om. **A** || **15** *καινᾶν* **B** *καὶν* **A** || **18** *ωʹ* **B** *βʹ* **A** || **18–19** *τοῦ . . . ἔτους* **A** *τὸ . . . ἔτος* **B** || **19** *ἔτει* **B** *ἔτη* **A** | *σὴθ* **B** *σὴμ* **A** || **20** *φοεʹ αὐτοῦ* Go.^{m} *φοʹ ἑαυτοῦ* **AB** || **23** *ἔτει κʹ* **B** *ἔτη κʹ* **A**

*γονεν. οὗτος κατὰ τὰς ἁπανταχοῦ τῆς Γενέσεως βίβλους ὑπερέβη τὸν κατα-
κλυσμὸν ἔτεσι ιε', ὡς ἄπορον εἶναι ποῦ διεσώθη ἐν τῷ κατακλυσμῷ.*

*Τινὲς δέ φασιν, ὧν εἷς καὶ ὁ Εὐσέβιος, ἔχειν τινὰ τῶν ἀντιγράφων ὅτι
ψπβ' ἔτη ἐπέζησε μετὰ τὸ γεννῆσαι αὐτόν, ὡς γίνεσθαι τὸν πάντα τῆς
5 ζωῆς αὐτοῦ χρόνον ἔτη ϡμθ'. ὅπερ οὐκ εὖ ἔχειν δοκεῖ. ἔσονται γὰρ κατὰ
τοῦτον τὸν λόγον αἱ ἀνὰ πάσας τὰς ἐκκλησίας τοῦ θεοῦ ἱεραὶ βίβλοι τῆς
Γενέσεως διεσφαλμέναι, ϡξθ' ἔτη ἱστοροῦσαι τὸν Μαθουσάλα· ἔσται δὲ
καὶ Ἰάρεδ μακροβιώτερος αὐτοῦ ἔτη ιγ', ϡξβ' ζήσας ἔτη, ὅπερ οὐδενὶ
συμπεφώνηται. διόπερ οὐ χρὴ διὰ τὸ φάναι συναπολέσθαι αὐτὸν τοῖς ἐν
10 τῷ κατακλυσμῷ, διὰ τοῦτο ϡμθ' μόνα ἔτη βεβιωκέναι.*

*Ἀλλὰ οὐδὲ τῷ Ἀφρικανῷ πειθόμεθα προστιθέντι τὰ αὐτὰ κ' ἔτη καὶ
ϡπθ' λέγοντι τοῦ Μαθουσάλα ἀντὶ ϡξθ'. λοιπὸν οὖν κρεῖσσον εἶναι δοκεῖ
ταῖς καθ' ὅλην τὴν οἰκουμένην ἑπομένους ἱεραῖς βίβλοις ϡξθ' λέγειν τῆς
ζωῆς Μαθουσάλα, εἰ καὶ τὸν κατακλυσμὸν ὑπερβέβηκεν ἔτεσι ιε', τοῦ
15 θεοῦ κἀκεῖνον ἴσως, ὡς τὸν Ἐνώχ, περισώσαντος παραδόξως καθ' οὓς
οἶδε τρόπους καὶ τόπους.*

Λάμεχ γενόμενος ἐτῶν ρπη' ἐγέννησε τὸν Νῶε τῷ ͵αχμβ' ἔτει τοῦ 215
*κόσμου, ὅπερ ἦν τοῦ Μαλελεὴλ μὲν ἔτος ωμζ', τοῦ δ' Ἰάρεδ χπβ', τοῦ
δ' Ἐνὼχ φκ', ὅπερ ἐστὶ μετὰ τὴν μετάθεσιν αὐτοῦ ἔτος ρνε'. τὸ αὐτὸ δ' ἔτος
20 τνε' ἐχρημάτιζε τοῦ Μαθουσάλα. ἐπέζησε δὲ Λάμεχ μετὰ τὸ γεννῆσαι
αὐτὸν τὸν Μαθουσάλα ἔτη φλε' μέχρι τοῦ ͵βροε' κοσμικοῦ ἔτους, καὶ ἀπέ-
θανε πρὸ ξη' ἐτῶν τοῦ κατακλυσμοῦ. ὁ αὐτὸς Λάμεχ πρῶτος ἐν τοῖς γεν-
άρχαις ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς Μαθουσάλα ἔτεσιν πα', τοῦτ' ἔστι
τῷ ωπη' τοῦ ὀγδόου ἐξ Ἀδὰμ Μαθουσάλα ἔτει. κατὰ δὲ τὸ σλς' ἔτος τοῦ
25 Λάμεχ ὁ Μαλελεὴλ ἀπέθανεν, ὁ δὲ Ἰάρεδ κατὰ τὸ υξη' τοῦ αὐτοῦ Λάμεχ
ἔτος. ὁ μέντοι θεῖος Ἐνὼχ τῷ λγ' ἔτει τοῦ Λάμεχ μετετέθη.*

*Νῶε ἐτῶν φ' ἐγέννησε τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ ͵βρμα' ἔτει τοῦ
κόσμου, τοῦ δὲ Νῶε ἔτει μθ' Μαλελεὴλ ἀπέθανεν, ὁ δὲ Ἰάρεδ τῷ σπ' τοῦ
Νῶε. Μαθουσάλα δὲ ἔτος ἦν κατὰ τὸ ͵βρμα' ἔτος τοῦ κόσμου, λέγω δὲ
30 τῷ φ' ἔτει τοῦ Νῶε, καθ' ὃ καὶ ὁ πρῶτος υἱὸς αὐτοῦ Σὴμ ἐγεννήθη ωνε',*

3 *Ση. τί λέγει περὶ Μαθουσάλα* || **20** *Ση. περὶ τοῦ Μαθουσάλα* || **22** *ὅτι πρῶτος ἐν τοῖς γενάρχαις ἀπέθανεν ὁ Λάμεχ πρὸ τοῦ ἰδίου πατρὸς Μαθουσάλα*

3 Euseb. 1, 38, 24 || **11** Africanus fr. 5–6, qui annos uiginti ad aetatem Mathusala cum genuit Lamech addidit sed non ad uitae summam || **32** cf. ps. Sym. f. 26r = Cedr. 27, 19

6 *αἱ ἀνὰ πάσας* **B** *αἱὰν ἁπάσας* **A** || **8** *ιγ'* Go.m *κγ'* **AB** || **9** *συναπολέσθαι* **B** *συναπολλέσθαι* **A** || **13** *ἑπομέναις* **A** *ἐπωμέναις* **B** || **18** *δὲ* om. **A** || **19** *τὸ αὐτὸ* **B** *τῷ αὐτῷ* **A** || **21** *͵βροε'*] recte *͵βροζ'* et infra (**22, 23** et **24**) *ξς', οθ', ως'* || **24** *ἔτει* **B** *ἔτη* **A** | *τὸ σλς' ἔτος* **B** *τῷ σλς' ἔτει* **A** || **25** *υξη'* Go.m *ξη'* **A** *ξηβ'* **B** || **30** *σὴμ ἐγεννήθη* **B** tr. **A** || **31–32** lemmata om. **A**m || **32** *πρὸ τοῦ* ps. Sym. *τοῦ* **B**m

τοῦ Λάμεχ πατρὸς Νῶε ἔτος χπζ', τῷ δὲ χ' ἔτει τοῦ Νῶε, ρ' δὲ τῆς ζωῆς τοῦ Σὴμ καὶ ϡνε' τοῦ μακροβιωτάτου Μαθουσάλα ὁ κατακλυσμὸς γέγονεν ἐπὶ τῆς γῆς. καὶ ἐπέζησε Μαθουσάλα σὺν τῷ αὐτῷ ἔτει τοῦ κατακλυσμοῦ ἕως ͵βσνς' κοσμικοῦ ἔτους λοιπὰ ἔτη ιε', εἴπερ ἀληθεῖς εἶναι πιστεύο- 216 *μεν τὰς περὶ αὐτοῦ καὶ τῶν πρὸ αὐτοῦ φερομένας ἐν ἱεραῖς δέλτοις* 5 *ἀψευδεῖς καὶ θεοπνεύστους ἱστορίας καὶ ἔτι τῶν μετ' αὐτῶν, ὡς ὑποταχθήσεται.*

Σὴμ ὁ πρῶτος υἱὸς Νῶε γενόμενος ἐτῶν ργ', ἔτους β' μετὰ τον κατακλυσμόν, ἐγέννησε τὸν Ἀρφαξὰδ τῷ ͵βσμγ' ἔτει τοῦ κόσμου, ὅπερ ἦν χα' τῆς ζωῆς τοῦ Νῶε. καὶ ἐπέζησεν φ' ἕως τοῦ ͵βψμβ' κοσμικοῦ ἔτους 10 *ὁ Σήμ. ὁ δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔζησεν ἔτη τν', καὶ ἀπέθανε τῷ ͵βφϙβ' ἔτει τοῦ κόσμου κατὰ τὸ υν' ἔτος τῆς τοῦ Σὴμ ζωῆς.*

Ἀρφαξὰδ γενόμενος ἐτῶν ρλε' ἐγέννησε τὸν Καϊνᾶν τῷ ͵βτοζ' ἔτει τοῦ κόσμου, καὶ ἔζησεν ἔτη τνε' ἕως τοῦ ͵βψλβ' κοσμικοῦ ἔτους· καὶ ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς Σὴμ ἔτεσι ι'. τινὰ δὲ τῶν ἀντιγράφων, ὡς καὶ Εὐσε- 15 *βίου, υγ' ἔχουσι τοῦ Ἀρφαξὰδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σάλα, οἷς οὐδ' ὅλως ἑπόμεθα, πάντη τῆς ἀληθείας τῶν χρόνων καὶ τῶν γενεῶν διημαρτηκόσιν. ἀντὶ γὰρ τοῦ Καϊνᾶν τὸν Σάλα φασὶ γεννηθῆναι τῷ Ἀρφαξὰδ Ἀφρικανός τε καὶ Εὐσέβιος, καὶ τὴν ιδ' γενεὰν τοῦ Σάλα ιγ' τάττουσι, μνήμην τοῦ δευτέρου Καϊνᾶν οὐδ' ὅλως ποιησάμενοι, ὃν αἱ πανταχοῦ τῆς* 20 *Γενέσεως ἱεραὶ βίβλοι καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τοῦ Ἀρφαξὰδ υἱὸν ἐκδεδώκασι καὶ ιγ' ἀπὸ Ἀδάμ, πατέρα δὲ τοῦ Σάλα ιδ' ἀπὸ Ἀδὰμ ὄντος.*

217 *Καϊνᾶν γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Σάλα τῷ ͵βφζ' ἔτει τοῦ κόσμου, καὶ ἐπέζησεν ἔτη υλ'. τινὰ δὲ τῶν ἀντιγράφων τλ' περιέχουσι.*

Σάλα γενόμενος ἐτῶν ρλ' ἐγέννησε τὸν Ἔβερ τῷ ͵βχλζ' ἔτει τοῦ κό- 25 *σμου, καὶ ἐπέζησε Σάλα τλ' ἔτη ἕως τοῦ ͵βϡξζ' κοσμικοῦ ἔτους. τῷ δὲ σκε' ἔτει τοῦ Σάλα Ἀρφαξὰδ ἀπέθανεν.*

Ἔβερ γενόμενος ἐτῶν ρλδ' ἐγέννησε τὸν Φαλὲκ τῷ ͵βψοα' ἔτει τοῦ κόσμου, καὶ ἔζησεν Ἔβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Φαλὲκ ἔτη σο' ἕως τοῦ ͵γμ' κοσμικοῦ ἔτους. τῷ οὖν ρ' ἔτει Ἔβερ, ὅπερ ἦν ͵βψλς' ἔτος τοῦ 30

30 *ὁ πύργος ρ' ἔτει τοῦ Ἔβερ ἤρξατο οἰκοδομεῖσθαι*

8—p. 133, **13** computationes iuxta Gen. 11, 10—26 in uersione LXX; cf. Annianum apud Eliam Nisib. 8, 7—16 et supra passim || **15** Euseb. 1, 42, 2 || **18** cf. Anon. Matr. 3, 3, Chron. Epit. 10, 16, Hippolyt. fr. 1 || **21** Luc. 3, 36 || **24** cf. Anon. Matr. 3, 7

4 *πιστεύομεν* **A** *πιστεύωμεν* **B** || **6** *θεοπνεύστους* **B** *θεοπνεύστοις* **A** || **8** *ἐτῶν* om. **A** | *ργ'*] *ρα'* supra 87, 27 || **14** *τνε'*] *υλ'* supra 88, 4 et Gen.[v] *τλ'* Gen.[E] || **16** *αὐτὸν τὸν*] *αὐτὸν* **A** *τὸν* **B** || **18** *διημαρτηκόσιν* **B** *διημαρτηκέναι* **A** | *τῷ* **B** *τὸν* **A** || **23** *ἐτῶν* om. **A** || **24** *υλ'* Gen.[E] *τλ'* Gen.[v] || **27** *σκε'*] *σκ'* **AB** || **29** *σο'* **AB** Gen.[E] *το'* Gen.[v] || **31** lemma om. **A**[m]

κόσμου, ἤρξαντο οἰκοδομεῖν τὸν πύργον. τῷ δὲ ρμʹ, ἤτοι κοσμικῷ ͵βψοςʹ, συνεχύθησαν αἱ γλῶσσαι, ἔτει εʹ τῆς ζωῆς Φαλέκ, καὶ διεσπάρησαν ἔτει ςʹ, ὥς τινες ἠκριβολογήσαντο οὐκ ἀπεικότως οἶμαι.

Φαλὲκ γενόμενος ἐτῶν ρλʹ ἐγέννησε τὸν Ῥαγαῦ, καὶ ἔζησεν ἔτη σθʹ. 5 †*καὶ ἀπέθανε πρὸ τοῦ ἰδίου πατρὸς καὶ οὗτος Ἔβερ δεύτερος μετὰ τὸν Λάμεχ ἔτη σλʹ.*†

Ῥαγαῦ γενόμενος ἐτῶν ρλβʹ ἐγέννησε τὸν Σεροὺχ τῷ ͵γλγʹ ἔτει τοῦ κόσμου, σξβʹ ἔτει τοῦ Φαλέκ.

Σεροὺχ γενόμενος ἐτῶν ρλʹ ἐγέννησε τὸν Ναχὼρ τῷ ͵γρξγʹ ἔτει τοῦ 10 *κόσμου.*

Ναχὼρ γενόμενος ἐτῶν οθʹ ἐγέννησε τὸν Θάρα τῷ ͵γσμβʹ ἔτει τοῦ κόσμου.

Θάρα γενόμενος ἐτῶν οʹ ἐγέννησε τὸν Ἀβραάμ· ἐπέζησε δὲ ἔτη ρλεʹ 218 *ἕως τοῦ λεʹ ἔτους τοῦ Ἰσαάκ· τούτου ρμεʹ ἔτει Ἀβραὰμ καταλιπὼν αὐτὸν* 15 *ἐν Χαρρὰν παρῴκησεν εἰς γῆν Χαναὰν κατὰ θεῖον χρησμόν, γεννηθεὶς μὲν τῷ ͵γτιγʹ ἔτει τοῦ κόσμου, ἐπιβὰς δὲ τῆς ἐπηγγελμένης γῆς τῷ ͵γτπζʹ ἐξ Ἀδάμ, οεʹ ὄντι τῆς ζωῆς αὐτοῦ ἔτει.*

Ἀβραὰμ γενόμενος ἐτῶν ρʹ ἐξ ἐπαγγελίας ἐγέννησε τὸν Ἰσαάκ.

Ἰσαὰκ γενόμενος ἐτῶν ξʹ ἐγέννησε τὸν Ἰακὼβ τῷ ͵γυογʹ ἔτει τοῦ 20 *κόσμου. τὸ δ' αὐτὸ ἦν καὶ τοῦ Ἀβραὰμ ἔτος ρξαʹ, ὡς εἶναι δῆλον ὅτι ὁ Ἰακὼβ κατὰ τὸ ροεʹ ἔτος Ἀβραάμ, ἐν ᾧ μετήλλαξεν, ιδʹ ἐτῶν ἦν τοὐλάχιστον.*

Ἰακὼβ ἔτει πβʹ τῆς ζωῆς αὐτοῦ ἐγέννησε τὸν Λευί, καθὼς ἐν τῇ προλαβούσῃ συντάξει σαφῶς ἀποδέδεικται. ἀνάγκη γὰρ ἅπασα μεταξὺ τῆς 25 *γενέσεως Ἰωσὴφ καὶ Λευὶ θʹ μεσεμβολεῖν ἔτη, ἐπεὶ καὶ ἔνατος ἐτέχθη μετ' αὐτόν. ἀποδείκνυται δὲ Ἰωσὴφ ἐκ τῆς γραφῆς τῷ ϟαʹ Ἰακὼβ τεχθείς, εἴ γε ρκʹ ἔτει τοῦ πατρὸς λʹ ἔτος ἄγων ἐπὶ τῆς ἀρχῆς Αἰγύπτου ἀναβιβάζεται. συναποδέδεικται δὲ καὶ Λευὶ διὰ τοῦτο πρὸ θʹ ἐτῶν αὐτοῦ τῷ πβʹ ἐξ ἀνάγκης γεννηθεὶς τοῦ Ἰακὼβ ἔτει. καὶ ἔτι πρὸς τούτοις ἐπισυνάγε-*

30 18 *περὶ τοῦ μεγάλου πατριάρχου Ἀβραάμ*

5 cf. ps. Sym. f. 26r = Cedr. 28, 4; Africanus fr. 9 mortem Phalec ad annum 3000 assignauit || **15** Gen. 12, 4 || **18** Gen. 21, 5 || **19** Gen. 25, 26 || **21** Gen. 25, 7 || **23** cf. supra 120, 22 sqq. || **27** Gen. 41, 26

2.3 *ἔτει ςʹ* **B** *ἔτη ςʹ* **A** || **4** et **7** *ῥαγαῦ* **B** *ῥαγὰμ* **A** || **5** *οὗτος* **B** *οὕτως* **A** || **8** *ἔτει* **B** *ἔτη* **A** || **9** et **11** *ἐτῶν* om. **A** || **11** *θάρα* **B** *θάρρα* **A** || **13** *θάρα* **B** *θάρρα* **A** || **14** *τοῦ λεʹ* **B** *λʹ* **A** | *ἔτει* **B** *ἔτη* **A** || **15** *εἰς γῆν* **B** *ἐν γῇ* **A** || **18** *ἐξ ἐπαγγελίας* hoc loco **B** post *ἰσαάκ* **A** || **20** *τὸ δ' αὐτὸ* Go.m *τῷ δ' αὐτῷ* **AB** | *τοῦ* **B** *τῷ* **A** || **21** *ἐν ᾧ* om. **A** || **23** *ἔτει* **B** *ἔτη* **A** || **25** *ἐπεὶ* **B** *ἑπτὰ* **A** || **26** *αὐτὸν* **B** *αὐτῶν* **A** || **27** *ἔτει* **B** *ἔτη* **A** || **28** *πρὸ* **B** *πρὸς* **A** || **29** *τοῦ* **B** *τῷ* **A** | *ἔτει* **B** *ἔτη* **A** | *ἔτι* **A** *ἔτει* **B** || **30** lemma om. **A**m

219 ται πρὸ δέκα τῆς γενέσεως ἐτῶν τοῦ Λευὶ παραγενέσθαι τὸν Ἰσραὴλ εἰς Μεσοποταμίαν. ζ' γὰρ ἔτη δουλεύσας ὑπὲρ τῆς Ῥαχὴλ πρῶτα καὶ παρὰ γνώμην τῇ Λείᾳ μιχθεὶς τρίτον ἔσχε παῖδα τὸν Λευὶ παρ' αὐτῆς ἐν τρισὶν ἔτεσι δηλονότι. ὥστε οὔτε τῷ Ἀφρικανῷ πιστευτέον πζ' ἔτει τοῦ Ἰακὼβ λέγοντι γεννηθῆναι τὸν Λευὶ οὔτε τῷ Εὐσεβίῳ λέγοντι τῷ πς' ἔτει. 5 κατ' ἄμφω γὰρ ἢ τῷ ϛϛ' ἢ τῷ ϛε' τῆς ζωῆς Ἰακὼβ εὑρεθήσεται γεννηθεὶς ὁ Ἰωσήφ· ὅπερ ἀσύμφωνον τῇ θείᾳ γραφῇ παριστώσῃ τοῦτον ἐτῶν λ' ἄρξαντα τῆς Αἰγύπτου καὶ μετὰ τὰ δέκα ἔτη, ἑπτὰ λέγω τῆς εὐθηνίας καὶ τρία τῆς λιμοῦ, ἀπολαβόντα τὸν πατέρα Ἰσραὴλ πανοικὶ ρλ' ἐτῶν, σερακοντούτην ὄντα δηλονότι. ὥστε ἐκ τούτων ἀκριβῶς παρίσταται ἡ 10 ἑκατέρου γένεσις, καὶ οὕτως ἡμῖν στοιχειωθήσεται ἔχουσι καὶ ἑτέρους μεταγενεστέρους ἐκκλησιαστικοὺς ἱστορικοὺς συνᾴδοντας, μὴ μέντοι μετὰ τῆς προκειμένης αἰτιολογίας καὶ ἀκριβοῦς ἀποδείξεως.

Ἰακὼβ ἔτει ϛα' ἐγέννησε τὸν Ἰωσήφ, ἔσχατον πάντων τῶν ἐν Μεσοποταμίᾳ τεχθέντων αὐτῷ παίδων, πρῶτον δὲ ἐκ τῆς Ῥαχήλ. Ἰωσὴφ δὲ 15 μετὰ τὴν ἐν γῇ Χαναὰν ἐπάνοδον τοῦ πατρὸς φθόνῳ τῶν ἀδελφῶν δοῦλος πραθεὶς κατήχθη εἰς Αἴγυπτον τῷ ρζ' ἔτει τοῦ Ἰακώβ, αὐτὸς ὢν ἐτῶν ιζ', καὶ μετὰ ιγ' ἔτος ἐτῶν ὑπάρχων λ' τὴν ἡγεμονίαν Αἰγύπτου ἐγχειρίζεται 220 ἐπὶ Ἀφώφεως Φαραῶ βασιλέως Αἰγύπτου, κατὰ τὴν δυναστείαν, τῷ ρκ' ἔτει τοῦ πατρός. καὶ μετὰ ἔτη ι', ἕβδομον μὲν τῆς εὐθηνίας, τρίτον δὲ τῆς 20 λιμοῦ, κατῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον, ἔτει μ' τοῦ Ἰωσήφ, ρλ' ἄγοντος ἔτος, καὶ ἐπέζησεν ἐν Αἰγύπτῳ ἔτη ιζ', ὡς ἡ θεία γραφὴ τῆς Γενέσεως μαρτυρεῖ.

Ἦν δ' ἄρα καὶ Ἰωσὴφ κατὰ τὴν ἀκόλουθον ἀπαρίθμησιν ἐν τῷ καιρῷ τοῦ θανάτου Ἰακὼβ ἐτῶν νζ'. τοῦ δὲ πατρὸς αὐτοῦ τῷ ρμζ' τῆς ζωῆς 25 αὐτοῦ μεταλλάξαντος ἔτει, ὅπερ ἦν κοσμικὸν ͵γχιθ', αὐτὸς ἐπέζησεν Ἰωσὴφ ἔτη λοιπὰ νγ'. ὁμοῦ γίνονται ἔτη τῆς ζωῆς Ἰωσὴφ ρι', κόσμου δὲ ͵γχοβ'. μέχρι μὲν οὖν τῆς αὐτοῦ τελευτῆς ἡ ἱερὰ Γένεσις ἱστορεῖ, μηδαμοῦ χρόνους ἡμῖν τοῦ Λευὶ διαγράφουσα, καθ' οὓς ἐγέννησε τὸν Καὰθ ἢ τοὺς τοῦ Καάθ, καθ' οὓς οὗτος τὸν Ἄμβραμ ἢ ὁ Ἄμβραμ τὸν Μωυσῆν. 30

19 ἐπὶ Ἀφώφεως Φαραῶ ὁ Ἰωσὴφ ἐβασίλευσε

2 Gen. 29, 30 || 4 Africanus fr. 16 || 5 Euseb. 1, 46, 29 || 7–10 Gen. 41, 46–49; 45, 6; 47, 8–9 || 22 Gen. 47, 28 || 27 Gen. 50, 26 || 29 Ex. 6, 16–20

1 δέκα τῆς Go.[m] δεκάτης **AB** || 2 ὑπὲρ **B** περὶ **A** || 4 ἔτει **B** ἔτη **A** || 7 θείᾳ om. **B** || 9 τῆς **B** τοῦ **A** || 10 σερακοντούτην **AB** τεσσαρακοντούτην maluerunt Go., Di. || 14 ἔτει **B** ἔτη **A** || 16 τὴν ἐν γῇ χαναὰν ἐπάνοδον **B** τὴν ἐπάνοδον τῆς ἐν γῇ χαναὰν **A** || 20 εὐθηνίας **A** εὐθηνείας **B** || 21 ἔτει **B** ἔτη **A** | ἄγοντος **B** ἄγων **A** || 29 καθ' οὓς **B** καθὼς **A** || 30 ἄμβραμ ... ἄμβραμ **B** ἀβραὰμ ... ἀβραὰμ **A**

Ἡ δὲ τῶν υλ′ ἐτῶν ἀπαρίθμησις τῆς ἐν γῇ Χαναὰν παροικίας τοῦ
Ἰσραὴλ καὶ ἐν Αἰγύπτῳ, κατὰ τὴν πρὸς Ἀβραὰμ τοῦ θεοῦ πρόρρησιν,
κατὰ πάντας τοὺς ἑρμηνευτὰς καὶ ἱστορικοὺς ἀπὸ τοῦ ε′ καὶ ο′ ἔτους
ἀριθμεῖται· καὶ ἔστιν ἀπὸ τοῦ αὐτοῦ οε′ ἔτους Ἀβραὰμ ἕως τελευτῆς
5 Ἰωσὴφ καὶ τῆς βίβλου τῆς Γενέσεως ἔτος τῆς αὐτῆς παροικίας σ′ οὕτως·
ἀπὸ οε′ ἔτους Ἀβραὰμ ἕως γεννήσεως τοῦ Ἰσαὰκ ἔτη κε′. Ἰσαὰκ ἐγέν-
νησε τὸν Ἰακὼβ ἔτει αὐτοῦ ξ′. Ἰακὼβ ἐτῶν ρλ′ μετῆρε πρὸς Ἰωσὴφ εἰς
Αἴγυπτον, δεκάτῳ ἔτει τῆς ἀρχῆς αὐτοῦ καὶ μ′ τῆς ζωῆς ὑπάρχοντι. ἔζησε 221
δὲ Ἰωσὴφ μετὰ τὸ ρλ′ ἔτος Ἰσραήλ, ἤτοι τὸ μ′ τῆς ζωῆς αὐτοῦ, ἔτη ο′.
10 ἦν ἄρα κατὰ μὲν τὸ ρλ′ ἔτος Ἰακὼβ ἔτος τῆς θείας προρρήσεως καὶ τῆς
ἐν γῇ Χαναὰν παροικίας σιε′, ὡς ἅπαντες σὺν τῇ γραφῇ καθομολογοῦσι,
κόσμου δὲ ,γχ′. ἐπέζησε δὲ Ἰωσὴφ ἔτη ο′ τῆς ἐν Αἰγύπτῳ παροικίας.
λείπονται δὲ εἰς ἀναπλήρωσιν τῶν υλ′ ἐτῶν ἀπὸ ρι′ Ἰωσὴφ ἔτους ἕως ἐξ-
όδου καὶ ἐλευθερίας υἱῶν Ἰσραήλ, ἥτις γέγονεν ἐπὶ Μωυσέως π′, λοιπὰ
15 ἔτη ρμε′. τούτων ὁμολογουμένων ἔχομεν τὰ π′ Μωυσέως, τὰ δὲ λοιπὰ ξε′
ἀπὸ τελευτῆς Ἰωσὴφ καὶ τῆς βίβλου τῆς Γενέσεως ⟨ἕως⟩ πρώτου ἔτους
Μωυσέως σεσίγηνται τῇ γραφῇ μηδαμοῦ φερόμενα, μόνον δὲ ἐκ τῆς
προκειμένης πρόσθεν ἀφαιρέσεως τῶν υλ′ τῆς παροικίας ἡμῖν ὄντα πρό-
δηλα, ὅτι ξε′ ἔτη εἰσὶν ἀπὸ τῆς τελευτῆς Ἰωσὴφ ἐπὶ τὴν Μωυσέως γέν-
20 νησιν, ἅτινα γενεαλογεῖν ἀπὸ Ἰωσὴφ καὶ κατιέναι ἐπὶ Μωυσέα ἀδύνατον
διὰ τὸ ἐξ ἄλλης φυλῆς τὸν αὐτὸν κατάγεσθαι Μωυσέα τῆς Λευιτι-
κῆς. ἀνάγκη δὴ πᾶσα λοιπὸν ἐνταῦθα παραθεμένους τὰ φανερῶς τῇ
γραφῇ λελεγμένα καὶ πᾶσιν ὁμολογούμενα ὡς ἐπ' ἄλλην ἀναδραμεῖν
ἀρχήν.

25 Τὸ πρῶτον ἔτος Λευί, τοῦτο δὲ ἦν, ὡς πρὸ βραχέος δέδεικται, κατὰ τὸ
πβ′ τοῦ Ἰακώβ, τὸ δ' αὐτὸ πάλιν τῆς μὲν ἐν τῇ Χαναντίτιδι γῇ παροικίας
ἔτος ἦν ρξζ′ οὕτως· ὁ Ἀβραὰμ ἀπὸ οε′ ἔτους ἐπὶ ρκε′ ἔτη. Ἰσαὰκ ἕως 222
πρώτου Ἰακὼβ ξ′. Ἰακὼβ ἕως πρώτου ἔτους Λευὶ πβ′. ὁμοῦ ρξζ′ λοιπὰ

6 ὅτι ἀπὸ οε′ ἔτους Ἀβραὰμ ἕως γεννήσεως Ἰσαὰκ ἔτη κε′ || 7 ὅτι ρλ′ ἐτῶν ὁ Ἰακὼβ
30 ὑπάρχων κατῆλθεν εἰς Αἴγυπτον ι′ ἔτει τῆς βασιλείας αὐτοῦ τοῦ Ἰωσήφ || 13 ὅτι ἀπὸ
ρι′ ἔτους Ἰωσὴφ ἕως ἐξόδου Ἰσραηλιτῶν ρμε′ λείπονται πρὸς ἀναπλήρωσιν τῶν υλ′ ||
18 ὅτι ἐκ φυλῆς Λευὶ ἦν Μωσῆς καὶ διὰ τοῦτο οὐ γενεαλογεῖται μετὰ Ἰωσήφ· ξε′ δ'
ἔτη εἰσὶν ἀπὸ τῆς τελευτῆς Ἰωσὴφ ἕως γεννήσεως Μωσέως || 25 ὅτι πβ′ ἔτος τοῦ
Ἰακὼβ πρῶτον ἔτος ἦν τοῦ Λευί

2 Gen. 15, 13 || 14 Ex. 7, 7

1 τῆς B τοῖς A || 3 ἑρμηνευτὰς B ἑρμηνεύσαντας A | τοῦ om. B || 5 ἔτος B
ἔτους A || 6 τοῦ om. A || 7 μετῆρε B μετῆρας A || 9 τὸ[2] Go.[m] τῷ AB | ἔτη Go.
ἔτει AB || 10 τὸ B τῷ A || 12 ,γχ′] ,γχβ′ supra 126, 3 || 13 ἔτους B ἔτος A ||
15 ἔχομεν A ἔχωμεν B || 16 ἕως Go.[m] om. AB || 25 βραχέος Di. βραχέως AB |
κατὰ τὸ B κατὰ τῷ A || 26 τὸ δ' αὐτὸ B τῷ δ' αὐτῷ A || 29–34 lemmata om. A[m]

*τῶν υλ′ τῆς παροικίας σξγ′. ἅτινα μαρτυρούμενα μὲν ὑπὸ τῆς γραφῆς
οὐδαμοῦ φαίνεται πλὴν τῶν π′ Μωυσέως. τὰ δὲ λοιπὰ ρπγ′ ἀπὸ πρώτου
ἔτους Λευὶ ἕως πρώτου ἔτους Μωυσέως οὕτως πᾶσιν ἀψευδῶς συμπεφώνη-
ται.*

Λευὶ ἐτῶν μζ′ ἐγέννησε τὸν Καάθ· Καὰθ ἐτῶν ξ′ ἐγέννησε τὸν Ἄμ- 5
*βραμ. Ἄμβραμ ἐτῶν οε′ ἐγέννησε τὸν Μωυσῆν. Μωυσέως ἔτος α′. ὁμοῦ
γίνονται ρπγ′ ἀπὸ πρώτου ἔτους Λευὶ ἐπὶ πρῶτον ἔτος Μωυσέως. ἐπὶ δὲ
τὸ πα′ ἔτος τοῦ αὐτοῦ Μωυσέως, καθ᾽ ὅ τι ἐξ Αἰγύπτου πορείας τοῦ
Ἰσραὴλ ἡγήσατο, ἔτη σξγ′. ἦν δὲ καὶ αὐτὰ ἀπὸ οε′ ἔτους Ἀβραὰμ ἐπὶ τὸ
α′ ἔτος Λευὶ ρξζ′ ἔτη. ὁμοῦ τῆς ἐν γῇ Χαναὰν καὶ Αἰγύπτου παροικίας* 10
*Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν πατριαρχῶν ἔτη υλ′ ἕως πα′ ἔτους
Μωυσέως.*

*Μή τις δὲ νομιζέτω διαφωνεῖν τὴν περὶ τῶνδε τῶν χρόνων ἔννοιαν πρὸς
τοῦ θεοῦ τῷ Ἀβραὰμ εἰρημένην, ἐν τῇ Γενέσει μέν, ᾗ φησι ʽγινώσκων γνώ-
σῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐ-* 15
*τοὺς καὶ κακώσουσι καὶ ταπεινώσουσιν αὐτοὺς υ′ ἔτη᾽, ἐν δὲ τῇ βίβλῳ τῆς
Ἐξόδου ʽἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν αὐτοὶ καὶ οἱ*
223 *πατέρες αὐτῶν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν ἔτη υλ′. καὶ ἐγένετο μετὰ
τὰ υλ′ ἔτη, ἐξῆλθε πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός.᾽ ἄμφω
γὰρ ἀληθῆ, τά τε υ′ μετὰ τὸ ρ′ ἔτος Ἀβραὰμ ἀριθμούμενα ἀπὸ τῶν χρό-* 20
*νων Ἰσαὰκ ἔτη, ὃς ἦν καὶ κυρίως σπέρμα αὐτοῦ ἐξ ἐπαγγελίας θεοῦ καὶ
πίστεως, τά τε υλ′ ἀπὸ τοῦ οε′ ἔτους Ἀβραὰμ καὶ τῆς πρώτης παροικίας
εἰς γῆν Χαναάν. τὸ δὲ ʽδουλώσουσι καὶ κακώσουσι καὶ ταπεινώσουσι᾽
διεζευγμένως καὶ ἀπροσδιορίστως νοητέον τῶν υ′ ἐτῶν, ὡς ἂν τις εἴποι·
πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ ἔτη υ′ καὶ δουλώσουσι καὶ* 25
*κακώσουσιν αὐτό. ὁ γάρ τοι τῆς δουλείας χρόνος ἐν ὅλοις ἔτεσιν εὑρίσκε-
ται τοῖς ἀπὸ τελευτῆς Ἰωσὴφ ἕως πα′ ἔτους Μωυσέως συμπεραιούμενος
ρμε′, ἀρξάμενος μὲν ἐκ κουφοτέρων τῶν συμφορῶν μετὰ τὴν Ἰωσὴφ
λῆξιν, αὐξηθεὶς δὲ κατὰ πρόσβασιν κατὰ Μωυσέα καὶ Ἀαρὼν καὶ τοὺς
ἀμφ᾽ αὐτούς.* 30

5 *ὅτι ἡ ἀναπλήρωσις τῶν ⟨υ⟩λ′ ἐτῶν μετὰ τῶν ρπγ′ ἀπὸ α′ ἔτους Λευὶ ἕως α′ ἔτους
Μωυσέως συμπεφώνηται* || **10** *ὅτι ἀπὸ τοῦ οε′ ἔτους Ἀβραὰμ ἕως α′ ἔτους Μωυσέως
πληροῦνται τὰ υλ′ ἔτη* || **20** *ὅτι ἀπὸ τῆς γεννήσεως τοῦ Ἰσαὰκ ἀριθμοῦνται μ′ ἔτη* ||
27 *Ση. ὅτι ἀπὸ τελευτῆς Ἰωσὴφ ἕως πα′ ἔτους Μωυσέως τὰ τῆς δουλείας ἀριθμοῦν-
ται ἔτη ρμε′* 35

2–6 cf. Euseb. 1, 46, 30, Anon. Matr. 10, 5–11, 10, Chron. Pasch. 112–114,
Lib. Gen. p. 114 || **8** Ex. 7, 7 || **14** Gen. 15, 13 || **17** Ex. 12, 40–41

1 *μὲν* om. **B** | *ὑπὸ* **B** *ἀπὸ* **A** || **5.6** *ἄμβραμ. ἄμβραμ* **B** *ἀβράμ. ἀβρὰμ* **A** || **8** *τὸ
πα′ ἔτος* **A** *τῷ πα′* **B** || **15 et 16** *-ουσιν* ter **B** *-ωσιν* ter **A** || **18** *αἰγύπτῳ* **B** *αἰ-
γύπτου* **A** || **19** *τὰ* om. **A** | *ἡ* om. **B** || **31–35** lemmata om. **A**[m] || **33** *μ′*] recte *υ′*

Καὶ ταῦτα μὲν ἐν βραχεῖ τῷ πέρατι τῆς Γενέσεως ἐπισεσήμανται χρησιμεύοντα κἂν τοῖς πρὸ Μωυσέως καὶ ἐπ' αὐτοῦ καὶ μετ' αὐτὸν χρόνοις, περὶ ὧν ἥ τε τῆς Ἐξόδου καὶ τοῦ Λευιτικοῦ Ἀριθμῶν τε καὶ Δευτερονομίου περιέχουσιν ἱεραὶ βίβλοι.

5 *Ὑπολείπεται δὲ ἡμῖν μικρὰ περὶ τῶν δώδεκα φυλάρχων πατριαρχῶν διαλαβεῖν πρὸ τῆς κατὰ μέρος κανονογραφίας. οὗτοι δὴ τὸν ἀριθμὸν ὄντες ιβ' τῷ Ἰακὼβ παῖδες ἐκ δ' γυναικῶν, δύο μὲν ἐλευθέρων τῆς Λείας καὶ τῆς Ῥαχήλ, δύο δὲ παιδισκῶν Ζελφᾶς καὶ Βαλᾶς, Ῥουβὴν πάντων ἦν τῷ* 224 *χρόνῳ πρωτότοκος καὶ τῇ φύσει, ὃς τῇ παλλακῇ συνελθὼν τοῦ πατρὸς* 10 *ἱερωσύνην ἀφῃρέθη καὶ βασιλείαν σὺν τοῖς πρωτοτοκίοις. ηὐλόγηται δὲ καὶ πολὺς ἐν ἀριθμῷ γέγονε τὸν Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν διαφθαρῆναι μὴ συγχωρήσας. φασὶ δ' ὅτι καὶ ἀνῆλθε μὲν ἐπὶ τὴν πατρικὴν κοίτην, οὐ συνῆλθε δὲ τῇ παλλακῇ. ὅπερ οὐ συμφωνεῖ τῇ γραφῇ. τούτοις τοῖς πρωτοτοκίοις ἐτιμήθησαν οἱ υἱοὶ Ἰωσὴφ τοῦ σώφρονος παῖδες, ὅτι τε ἐν γυ-* 15 *ναικὶ τοῦ Ῥουβὴν ἀτιμωθέντος Ἰωσὴφ ἐν γυναικὶ τῇ Αἰγυπτίᾳ μὴ συνελθὼν ἐδοξάσθη καὶ ὅτι πρωτότοκος ἐκ Ῥαχήλ. τούτοις Ἰσραὴλ τὰς χεῖρας ἐναλλὰξ καὶ σταυροειδῶς ἐπιθείς, τῷ Μανασσῇ μὲν ἐκ δεξιῶν ἑστῶτι ὡς πρωτοτόκῳ τοῦ Ἰωσὴφ τὴν ἀριστεράν, τῷ δὲ Ἐφραὶμ τὴν δεξιάν, καίπερ ἐξ ἀριστερῶν ἑστῶτι, ὡς β', προφητικοῖς ηὐλόγησεν ὄμμασί τε καὶ* 20 *ἰδιοποιήσατο, φυλάρχους ἀναδείξας τοὺς δύο καὶ πατριάρχας ἀντὶ Ἰωσήφ.*

Οὗτος γὰρ καθ' ἑαυτὸν οὐκ ἐνηρίθμηται, ἀλλ' ἀντὶ τοῦ Λευὶ σὺν τῷ Ἐφραΐμ. ἡ γὰρ τοῦ Λευὶ φυλὴ ἱερατικὴ οὖσα τῶν ιβ' χωρίς ἐστι καὶ καθ' ἑαυτήν. τιμῆς δὲ τοιαύτης ἠξιώθη, ὅτι τε ἀπὸ Ῥουβὴν τρίτος ὁ Λευὶ καὶ ὅτι κατὰ ἀναστροφὴν ἀπὸ τοῦ ὑστάτου πάντων Βενιαμὶν δέκατος 25 *εὑρεθεὶς ἐν τῷ καιρῷ τῆς ἀποδεκατώσεως πάντων τῶν προσόντων τῷ πατρὶ τῷ θεῷ ἀφιερώθη. φεύγων γὰρ τὸν Ἡσαῦ ὁ Ἰακὼβ ηὔξατο ὁπόσα* 225 *ἂν κτήσαιτο ἀποδεκατώσειν κυρίῳ.*

Ἄλλως τε εἰ ἀπὸ τοῦ Ῥουβὴν ὁ δέκατος Ἀσὴρ ἱερώθη, παιδίσκης ἂν ἱεράτευεν ἐπονείδιστον γένος, ὅπερ οὐκ ἤρεσε τῷ θεῷ. μετὰ δὲ τὸ εὐλο-

30 *5 περὶ τῶν ιβ' φυλάρχων πατριαρχῶν ‖ 10 διὰ τί ηὐλογήθη Ῥουβὴν εἰς πλῆθος ‖ 14 Ση. ξένον· διὰ τί ἐτιμήθησαν οἱ τοῦ Ἰωσὴφ παῖδες ‖ 29 Ση. ὅτι μετὰ τὸ εὐλογηθῆναι τοὺς υἱοὺς τοῦ Ἰωσὴφ ηὐλογήθησαν οἱ τοῦ Ἰακὼβ παῖδες ὑπ' αὐτοῦ*

9 Gen. 35, 22 ‖ 11 Gen. 37, 21 ‖ 12–13 cf. libr. Talmud. Shabat 55b ‖ 13–20 Gen. 39, 10; 48, 13–20 ‖ 16 cf. Ep. Barnab. 13 ‖ 21 Dt. 18, 1; 33, 17 ‖ 22–27 cf. Iubil. 32, 2–3 ‖ 29 Gen. 49

6 *δὴ τὸν ἀριθμὸν* **B** *δὲ τῶν ἀριθμῶν* **A** ‖ 8 et infra *ῥουβὴν* **B** *ῥουβὶν* **A** ‖ 10 *πρωτοτοκίοις* **A** *πρωτοτόκοις* **B** ‖ 11 *πολὺς* **B** *πολλοῖς* **A** ‖ 13 *δὲ* om. **A** ‖ 18 *τῷ* **B** *τὸν* **A** ‖ 27 *ἀποδεκατώσειεν* **A** *ἀποδεκατώσει ἐν* **B** *ἀποδεκατῶσαι* maluit Di. ‖ 30–32 lemmata om. **A**[m]

γῆσαι τὸν Ἰακὼβ τοὺς υἱοὺς Ἰωσήφ, προσκαλεσάμενος τοὺς υἱοὺς αὐτοῦ εὐλόγησε πάντας ἀπὸ Ῥουβὴν ἀρξάμενος.

Ἐλθὼν δὲ ἐπὶ τὸν Ἰούδαν ὡς βασιλέα ηὐλόγησεν, ὅτι, φασί, καὶ αὐτὸς ἐν γυναικί, τῇ ἰδίᾳ νύμφῃ Θάμαρ, ἐδικαιώθη, ἀγνοίᾳ ἁμαρτήσας καὶ ἑαυτὸν κατακρίνας. ταύτην ἐκ γένους Ἀβραὰμ οὖσαν, ὥς τινες, ὁ Ἤρ υἱὸς Ἰούδα, 5 ὡς ἐκ τῆς γῆς Χαναντίδος, ὢν ἀνήρ, αὐτὸς πρῶτος οὐκ ἔγνω αὐτήν. ὁμοίως δὲ καὶ ὁ Αὐνὰν ὁ ἀδελφὸς αὐτοῦ τὸ ἴδιον σπέρμα ἠφάνιζε τῆς αὐτῆς μητρός, παῖς ὢν Σαύας, ἥτις ἐκώλυσε καὶ τὸν Σηλὼμ ζευχθῆναι τῇ Θάμαρ, τῷ αὐτῷ μίσει κρατουμένη.

Λευὶ ἐτῶν ρλζʹ ἐτελεύτησεν ἐν Αἰγύπτῳ τῷ κηʹ ἔτει τοῦ Ἀμβραμ 10 πατρὸς Μωυσέως. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχςʹ.

Τῷ ξβʹ ἔτει Ἀμβραμ ἐγεννήθη Μαρία ἡ ἀδελφὴ Μωυσέως. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψκδʹ.

Τῷ οβʹ ἔτει Ἀμβραμ ἐγεννήθη Ἀαρών. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψλδʹ.

226 *Τὸν δὲ Μωυσέα τεχθέντα μετὰ τριμηνιαῖον χρόνον οἱ γονεῖς ἐν θήβῃ 15 κατησφαλτωμένῃ καταθέμενοι Ἀμβραμ καὶ Ἰωχάβετ ἡ μήτηρ πρὸς ταῖς ὄχθαις τοῦ ποταμοῦ, φόβῳ τοῦ προστάγματος Φαραώ, μὴ ζωογονεῖσθαι πᾶν ἄρρεν Ἑβραίοις κελεύσαντος, ἔρριψαν, τοῦτο μὲν διὰ πολλὴν ἀστειότητα κατοκνοῦντες θανάτῳ τοιοῦτον κάλλος ἐξαφανίσαι, τοῦτο δ' ὅτι προκεχρηματίστο θεόθεν τὰ κατ' αὐτὸν τῷ πατρὶ θεοφιλεῖ ὄντι, καθώς τινες τῶν 20 ἐκ περιτομῆς ἱστορήκασιν, ὅτι γε τοῦ Ἰσραὴλ καθηγήσεται καὶ ὅτι τὴν Αἰγυπτίων δυναστείαν θείῳ συντρίψει πολέμῳ. τοῦτον ἡ θυγάτηρ Φαραώ περιτυχοῦσα κατά τινα θείαν πρόνοιαν καὶ τὸ κάλλος ἐκπλαγεῖσα τοῦ βρέφους ἐν τῷ περιιέναι σὺν ταῖς ἅβραις τοὺς αὐτόθι λειμῶνας, πολλαῖς θηλαῖς ἀλλοτρίαις προσαγαγοῦσα, πάσας εὗρεν ἀποστρεφόμενον· τρο- 25 φῷ δὲ χρησαμένη τῇ ἰδίᾳ μητρὶ Ἰωχάβετ ὡς ἀλλοτρίᾳ, τῇ συμβουλῇ*

4 *διὰ τί ἐδικαιώθη Ἰούδας* || 12 *ὅτι ξβʹ ἔτει τοῦ Ἀβραὰμ ἐγεννήθη Μαρία ἡ ἀδελφὴ Μωσέως καὶ τῷ οβʹ ἔτει αὐτοῦ Ἀαρών* || 15 *Ση. περὶ τοῦ Μωσέως* || 20 *Ση. ὅτι θεοφιλὴς ἦν Ἀμβραμ πατὴρ Μωσέως καὶ ἐχρηματίσθη περὶ αὐτοῦ* || 26 *Ση. ξένον· περὶ τοῦ Μωσέως ὅτι οὐκ ἠθέλησεν θηλάσαι ξένην θηλείαν* 30

3 Gen. 38 || 10 Ex. 6, 16 || 12 cf. Ex. 2, 4; 6, 20 || 14 cf. Chron. Pasch. 115, 11, Ex. 7, 7 || 15 Ex. 2, 1–4, Iubil. 47, 3–4, Ioseph. Ant. Iud. 2, 221 || 19 Ioseph. Ant. Iud. 2, 215–216 || 22–p. 139, 4 Ex. 2, 5–12, Iubil. 47, 5–8, Ioseph. Ant. Iud. 2, 224–228 || 25–p. 139, 5 cf. ps. Sym. f. 34ᵛ = Cedr. 75, 14

3 *ηὐλόγησεν* **B** *εὐλόγησεν* **A** || 6 *τῆς γῆς*] *γῆς* **A** *τῆς* **B** || 8 *σηλὼμ* **A** *σιλὼμ* **B** || 10 *ἐτῶν* om. **A** || 10 et 12 *ἄμβραμ* **B** *ἀβρὰμ* **A** || 11 *ἦν ἔτος* om. **A** || 13 *ἔτος* om. **A** || 14 *ἄμβραμ* **B** *ἀβραὰμ* **A** || 15 *τριμηνιαῖον* **A** *τριμηναῖον* **B** || 16 *ἄμβραμ καὶ ἰωχάβετ ἡ* **B** *μάμβραμ καὶ ἰωχὰμ ἔτι* **A** || 18 *ἄρρεν* **B** *ἄρσεν* **A** | *τοῦτο* Di. *τοῦτον* **AB** || 19 *ἐξαφανίσαι* **A** *ἐξαφανῆσαι* **B** || 20 *τῶν* **B** *τὸν* **A** || 21 *καθηγήσεται* **A**ᶜ *καθηγήσηται* **B** et **A** ante corr. || 24 *ἅβραις* Go.ᵐ *αὔραις* **AB** || 25 *θηλαῖς* **B** *θηλείαις* **A** || 27–30 lemmata om. **A**ᵐ

Μαρίας τῆς ἀδελφῆς, ἣ καὶ παρείπετο σκοποῦσα ῥιφέντι τὸ ἐκβησόμενον, ὡς οἰκεῖον ἢ ἀλλοτρίᾳ τὸν παῖδα τροφεύεσθαι κελεύεται, μισθοὺς ὑποσχομένη τῆς τιτθείας, Μωυσέα τε μετονομάζει μετὰ τὴν πρώτην ἡλικίαν ἀνδρυνθέντα, διότι, φησίν, 'ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην', τὸν Μελχίαν 5 ὑπὸ τῶν γονέων πρὶν κληθέντα.

Ἦν δ' ἄρα διπλῆ τις καὶ ἀξία τῶν ἐπ' αὐτῷ πραχθέντων ἡ τηλικαύτη 227 *προσηγορία. Μελχίας γὰρ βασιλεὺς ἑρμηνεύεται· Μωυσῆς δὲ ἐκ τοῦ ὕδατος τῇ ἱερᾷ παρ' Αἰγυπτίοις φωνῇ.*

Ὁ δὲ αὐτὸς υἱὸς τῇ θυγατρὶ Φαραὼ Θερμούθιδι, τῇ καὶ Φαρίῃ, βασιλίδι 10 οὔσῃ εἰσποιηθεὶς καὶ πᾶσαν Αἰγυπτίων ἀσκηθεὶς παίδευσιν ὡς βασιλίδος υἱός, δικαίως ἂν κληθείη κατὰ κόσμον βασιλεὺς ἐξ ὕδατος, ἵνα τὰ μετὰ ταῦτα κατὰ τὴν ἐρυθρὰν ἐπ' αὐτῷ πραχθέντα περὶ τὴν τοῦ λαοῦ δι' αὐτῆς πορείαν καὶ τὸν ὄλεθρον Αἰγυπτίων ἐν αὐτῇ τις ἐάσας τὴν ἐν τοῖς βασιλείοις ἀναγωγὴν αὐτοῦ καταμάθοι καὶ ἔτι τὴν κατὰ τῶν Αἰθιό-15 πων στρατηγικὴν εὐδοκίμησιν, ἔνθα φασὶ πολιορκηθῆναι τὴν Αἰθιόπων Σαβᾶ καλουμένην πόλιν παρ' αὐτοῦ καὶ προδοθῆναι τελείως ὑπὸ Θαρβῆς θυγατρὸς τοῦ τηνικαῦτα βασιλέως Αἰθιόπων, ἁλούσης τῆς κόρης τῷ Μωυσέως ἔρωτι. τοσαύτην γὰρ αὐτῷ μαρτυροῦσιν αἵ τε θεῖαι γραφαὶ αἵ τε λοιπαὶ ἱστορίαι καὶ πρὸ τῆς θεοπτίας τὴν ὡραιότητα, ὡς πάντας ὁρῶν-20 τας αὐτὸν ἐπιλανθάνεσθαι καὶ καταλιμπάνειν τὸ ἐν χερσὶ σπουδαζόμενον.

Ταύτῃ τοι καὶ ἡ θυγάτηρ Φαραὼ Θέρμουθις αὐτὸν υἱοθετήσατο, καὶ Θαρβῆ θυγάτηρ Αἰθιόπων βασιλέως ἐκπλαγεῖσα τὸ κάλλος αὐτοῦ τὴν εἰρημένην Σαβᾶ μητρόπολιν, ὡς Ἰώσηππος, προὔδωκεν, ἣν χρόνοις ὕστε-25 ρον Καμβύσης ἑλὼν ὁ Κύρου Μερόην εἰς ὄνομα καλεῖσθαι τῆς ἀδελφῆς ἐκέλευσε. φασὶ δ' ὅτι ποτὲ τοῦτον ἡ θετὴ μήτηρ Φαρία προσαγαγοῦσα τῷ 228 *Φαραῷ τὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον βασιλικὸν ἀφελὼν περιέθηκε τῷ Μωυσῇ νηπιάζοντι· τοῦτον δὲ ῥίψαντα καταπατῆσαι αὐτὸν λόγος.*

5 *ὅτι Μωυσῆς ὑπὸ τῶν γονέων Μελχίας προεκλήθη* || 7 *τί ἑρμηνεύεται Μελχίας* 30 *καὶ τί Μωσῆς* || 10 *περὶ Μωσέως ὅτι βασιλεὺς ἐκλήθη* || 18 *περὶ τῆς ὡραιότητος Μωσέως τί λέγει* || 25 *ὅτι ἡ Σαβᾶ πόλις Μερόη καλεῖται* || 28 *τί λέγει περὶ Μωσέως πῶς κατεπάτησε τὸν βασιλικὸν στέφανον*

4–7 cf. Clem. Alex. Strom. 1, 21, [Philon.] 11 A || 9–11 Iubil. 47, 5 || 14–26 cf. Ioseph. Ant. Iud. 2, 231. 249–253, Euseb. Praep. Euang. 9, 27, 7–19 || 23–28 cf. ps. Sym. f. 34^{v} = Cedr. 75, 20 || 25 cf. Pomp. Trog. fr. 30a = Ampel. 13, 2 || 26–p. 140, 3 cf. Ioseph. Ant. Iud. 2, 232–235

3 *τιτθείας* **B** *τιθείας* **A** || 6 *ἐπ' αὐτῷ* **B** *ὑπ' αὐτῶν* **A** || 16 *παρ'*] *πρὸ* **AB** || 20 *καταλιμπάνειν* **A** *καταλειμπάνειν* **B** || 22 *υἱοθετήσατο* **B** *υἱοθετήσασα* **A** || 23 *θυγάτηρ* **B** *θυγάτηρ φαραὼ* **A** || 24 *προὔδωκεν* **A** *προύδεκεν* **B** || 29–32 lemmata om. **A**^{m}

Τὰ μέντοι τῶν Ἑβραίων ἄρρενα, φησὶν Ἰώσηππος, ἀναιρεῖσθαι προσέταξε Φαραῶ, δεινοῦ τινος Ἑβραίων ἱερογραμματέως πρόρρησιν εἰπόντος ἀκούσας, ὅτι γεννώμενον παιδίον τὴν Αἰγυπτίων ἀρχὴν καταλύσει. τοιαύτη τις ἐκ βρέφους τῷ Μωυσῇ θεία χάρις προσῆπται καὶ δύναμις καὶ ἐν τοῖς Αἰγυπτίων βασιλείοις ἐξουσία ἕως τοῦ χρόνου τῆς ζωῆς Φαρίης καὶ 5 *Ἀμώσιος Φαραῶ, τοῦ κατὰ τινὰς μὲν πατρός, καθ' ἑτέρους δὲ ἀδελφοῦ αὐτῆς. ἄμφω γὰρ παῖδας αὐξηθῆναι βούλονται τοῦ πρὸ Ἀμώσιος, ἐφ' οὗ καὶ Μωυσέα γεννηθῆναι βεβαιοῦνται.*

Ἀλλ' ἡμῖν ἐπὶ Ἀμώσιος ἐπιλελόγισται ἔτη δύο αὐτοῦ κατὰ Ἴναχον πρῶτον Ἄργους βασιλέα, καθ' ὃν καὶ πάντες οἵ τε ἐκ περιτομῆς οἵ τε ἐκ 10 *χάριτος ἱστορικοί, Ἰώσηππος καὶ Ἰοῦστος, Κλήμης ὁ ἱερὸς στρωματεύς, Τατιανός τε καὶ Ἀφρικανὸς συνομολογοῦσι κατὰ Ἴναχον γεννηθῆναι Μωυσέα καὶ κατὰ Φορωνέα τὸν Ἰνάχου παῖδα καὶ Νιόβης ἀκμαῖον, κατὰ Ἄπιδα δὲ τῆς ἐξ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ ἡγήσασθαι, τὰς ἀποδείξεις καὶ ἐκ τῶν παρ' Ἕλλησι δοκουμένων ὑποσχόντες ἱστορικῶν, οἷς* 15 229 *μόνος ὁ Καισαρεὺς Εὐσέβιος καὶ ἑαυτῷ ἀντιπίπτων χρόνοις ὕστερον κατὰ Κέκροπα τὸν διφυῆ, πρῶτον Ἀθήνησι βασιλέα, μετὰ Ὤγυγον καὶ τὸν ἐπ' αὐτοῦ κατακλυσμὸν ἔφη γενέσθαι Μωυσέα, καίτοι τῶν εἰρημένων ἐπιμνησθεὶς σοφωτέρων ἀνδρῶν· πρὸς ὃν ἐν τοῖς προλαβοῦσιν ἀρκούντως οἶμαι τῆς ἀληθείας ἡμῖν ὁ λόγος διήνυσται καὶ περιττὸν ἐνταῦθα ταυτο-* 20 *λογεῖν.*

Μωυσῆς οὖν ἀνδρωθεὶς καταλιμπάνει τὴν ἀνθρωπίνην πᾶσαν εὐημερίαν καὶ πρὸς τοὺς ὁμοφύλους χωρεῖ κακοχουμένους. καὶ κατανοήσας δέ ποτε τύπτοντα Αἰγύπτιόν τινα τῶν Ἑβραίων, πατάξας τῇ ἄμμῳ κρύβει.

Αὖθίς τε δυσὶ μαχομένοις Ἑβραίοις πειρασθεὶς καταστεῖλαι τὴν μάχην, 25 *φονεὺς τοῦ χθὲς ἀναιρεθέντος Αἰγυπτίου δημοσίως ἐλέγχεται πρὸς τοῦ Ἑβραίου, καὶ ὁ λόγος ἐπὶ τὸν κρατοῦντα τῆς Αἰγύπτου χωρεῖ. κἀντεῦθεν εἰς γῆν Μαδιὰμ ὑποχωρεῖ, μείζονος φιλοσοφίας ἀρχὴν ἐσχηκὼς τὴν ἐρημικὴν καὶ διεζευγμένην ζωὴν τῶν πολλῶν. ταύτῃ καθαρθεὶς ἕως π'*

9–12 cf. ps. Sym. f. 34^v = Cedr. 76, 4 ‖ **11–15** ps. Ioseph., cf. c. Ap. 2, 15, Iustus FGrHist 734 F 2, Clem. Alex. Strom. 1, 101, Tatian. ad Graec. 38, African. fr. 22 ‖ **16** Euseb. 2, 12, 1–7 ‖ **22–27** Ex. 2, 11–15 ‖ **28**–p. 141, 2 cf. Iubil. 48, 1, Euseb. 2, 41^r, Chron. Pasch. 118, 1–2

2 δεινοῦ A δινοῦ B ‖ **3** γεννώμενον A γεννόμενον B | καταλύσει A καταλύσῃ B ‖ **4** προσῆπται A προσῆπτε B ‖ **7** παῖδας B παῖδες A ‖ **13** νιόβης A νηοβῆς B | ἀκμαῖον A ἀκμὰς B ‖ **15** ὑποσχόντες Di. ὑποσχόντι AB ‖ **19** ἀρκούντως A ἀρκοῦντος B ‖ **20** διήνυσται A διήνοισται B ‖ **22** καταλιμπάνει A καταλειμπάνει B | τὴν ἀνθρωπίνην πᾶσαν B πᾶσαν τὴν ἀνθρωπίνην A ‖ **24** τῶν ἑβραίων B τὸν ἑβραῖον A ‖ **28** ἀρχὴν B ἀρχικὴ A

αὐτοῦ τῆς ζωῆς ἔτους, ἀπὸ μʹ τῆς ζωῆς ἔτους ποιμαίνων κατὰ τὸ Σιναῖον ὄρος, θεοφανείας τινὸς ἐν σταθηρᾷ μεσημβρίᾳ καταξιοῦται φοβερᾶς, κρείττονι φωτὶ τοῦ ἡλιακοῦ τὰς ὄψεις καταυγασθείς.

Ἐφ' ᾧ θαμβηθεὶς θάμνον ἀτενίσας ὁρᾷ βάτον πυροειδῶς ἐξάπτοντα καὶ 5 *τοῖς κλάδοις ὡς ἐν δρόσῳ συνθάλλοντα. πρὸς οἷς τὴν ἀκοὴν φωνῇ καλούσῃ μειζόνως ἐκπλαγεὶς ἀνυπόδετος καὶ ἀβαρὴς δερματίνων περιβόλων προσ-* 230 *βῆναι τῷ ὄρει καὶ τῆς γῆς, ὡσεὶ τηλικούτῳ φωτὶ περιήστραπτο, προσψαῦσαι κελεύεται. καὶ δὴ προσελθὼν εὐλαβείᾳ πολλῇ τὰς ὄψεις ἐπὶ θείοις αὐτῷ ῥήμασι λαλουμένοις ἀποστρέφεται, καὶ τὴν ἡγεμονίαν τῶν ὁμοφύ-* 10 *λων μετὰ πλείστην παραίτησιν ἐγχειρίζεται. σημείοις δὲ καὶ τέρασι καθοπλισθεὶς εἰς Αἴγυπτον ἅμα δυσὶ παισὶ καὶ γυναικὶ κάτεισιν, ᾧτινί τις ἄγγελος ἐπιστὰς λέγεται θάνατον ἀπειλεῖν, ὃν ἱλεώσατο καίπερ οὖσα ἀλλόφυλος ἡ γυνὴ τῷ τῆς περιτομῆς αἵματι τοῦ παιδός· συναντήσας δ' αὐτῷ Ἀαρὼν θεόθεν σταλεὶς κοινολογεῖται περὶ τῆς τοῦ λαοῦ συνελεύ-* 15 *σεως εἰς μίαν ἐκκλησίαν καὶ περὶ τῶν λαληθησομένων αὐτοῖς ὡς ἐκ θεοῦ ῥημάτων, ὅσα τε περὶ τῆς ἐλευθερίας ἐχρῆν ἀγγελθῆναι τοῖς χρόνῳ πολλῷ πεποιηκόσιν, οὔτε γεγονότος, καὶ τῶν περὶ τὴν ῥάβδον καὶ τὴν χεῖρα Μωυσέως ἀπολευκουμένην καὶ αὖθις ἀποκαθισταμένην θαυμάτων καὶ ποτάμιον ὕδωρ αἱματούμενον, πρὸς αὐτὸν ἤδη λοιπὸν ἠγωνίζετο Φαραώ. εἰς* 20 *γὰρ τὸν λεγόμενον Μισφραγμούθωσιν ἐλθόντες καὶ τοὺς θείους παρρησίᾳ ποιούμενοι διεδείκνυντο λόγους· ἐφ' οἷς χαλεπήνας ὁ τύραννος ἐπέτεινε τοῖς Ἰσραηλίταις τὴν κάκωσιν, ἀντισοφισάμενος μὲν καὶ διὰ γοητικῆς μαγγανείας φαντασίᾳ μόνῃ καὶ οὐκ ἐνεργείᾳ τοῖς εὐεξαπατήτοις τὸν νοῦν* 231 *παραδεικνύσης, αἰσχυνθεὶς δὲ σὺν τοῖς γόησι καταβρωθεισῶν αὐτοῖς τῶν* 25 *ῥάβδων ὑπὸ τῆς ῥάβδου Μωυσέως.*

1 *ὅτι ἐν μεσημβρίᾳ ἠξιώθη Μωυσῆς τῆς θεοφανείας ὅτε καὶ τὴν βάτον εἶδεν· περὶ τῆς βάτου* || **10** *πότε ἐνεχειρίσθη τὴν ἡγεμονίαν τῶν ὁμοφύλων* || **12** *Ση. ὅτι καὶ γυναῖκα συνέπειρεν ὁ Μωσῆς καὶ τὰ βʹ παιδία* || **13** *περιέτεμε ἡ γυνὴ τὰ παιδία καίπερ ἀλλόφυλος οὖσα* || **14** *Ἀαρὼν συνήντησεν ἐκ θεοῦ ἐμπνευσθείς* || **25** *πρώτη πληγὴ* 30 *αἷμα· βʹ ἡ τῶν βατράχων· γʹ ἡ τῶν σκνιπῶν· δʹ τῆς κυνομυίας· εʹ θάνατος τῶν κτηνῶν· ϛʹ ὁ αἰθαλώδης κονιορτός· ζʹ τῆς χαλάζης αἱ φλυκτῖδες· ηʹ ἡ ἀκρίς· θʹ τὸ ψηλαφητὸν σκότος· ιʹ θάνατος τῶν πρωτοτόκων*

2–10 Ex. 3, 1–6 || **2–3** cf. ps. Sym. f. 34ᵛ = Cedr. 132, 1 || **9–13** cf. ps. Sym. f. 34ᵛ = Cedr. 132, 2 || **10–13** Ex. 4, 24–26, Iubil. 48, 2 || **13–19** Ex. 4, 27–31 || **19–21** cf. Ioseph. c. Ap. 1, 86 || **21–25** Ex. 5, 1–5; 7, 8–13 || **29–32** ps. Sym. f. 35ʳ = Cedr. 132, 15

1 *αὐτοῦ τῆς ζωῆς* B *τῆς ζωῆς αὐτοῦ* A || **4** *θαμβηθεὶς* B *θαυμασθεὶς* A || **5** *συνθάλλοντα* B *συνθάλποντα* A || **13** *συναντήσας* A *συναντίσας* B || **17** *οὔτε* A *οὐ* B || **18** *ἀποκαθισταμένην* B *ἀποκαθισταμένων* A || **23** *μαγγανείας* A *μαγγανίας* B || **24–25** *αἰσχυνθεὶς ... Μωυσέως* om. B || **24** *δὲ*] *τε* A || **26–32** lemmata om. Aᵐ || **30** *σκνιπῶν* ps. Sym. *σκνηπῶν* Bᵐ || **32** *ψηλαφητὸν* ps. Sym. *ψηλαφιτὸν* Bᵐ

Ὁρῶν δ' αὐτὸν ὁ Μωυσῆς ἀπειθοῦντα τῷ θεῷ σὺν τοῖς περὶ αὐτὸν πρώτην ἐπάγει κοινὴν τῷ ἔθνει πληγήν, αἷμα τὸ πᾶν ὕδωρ προστάγματι ποιήσας θεοῦ, ὡς καὶ τὴν γῆν ὅλην Αἰγύπτου καὶ τοὺς λίθους καὶ τὰ ξύλα τοῦ αἵματος γέμειν. Μωυσῇ δὲ καὶ Ἀαρὼν καὶ τοῖς Ἑβραίοις ἐπίνετο τὸ ὕδωρ. ἔνθεν γὰρ καὶ τοῖς γόησιν ἀντεσοφίσθη' τὸ παρὰ τοῖς Ἑβραίοις 5 *εὑρισκόμενον ὕδωρ αἷμα δοκεῖν φαίνεσθαι.*

Τὸ δ' αὐτὸ νοητέον καὶ ἐπὶ τῆς δευτέρας πληγῆς τῶν βατράχων, Αἰγυπτίους μὲν πάντας τῷ πάθει μαστίζεσθαι, μόνην δὲ τὴν Ἑβραίων ζωὴν καθαρεύειν τοῦ μύσους. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν σκνιπῶν καὶ τῆς κυνομυίας, τοῦ τε θανάτου τῶν κτηνῶν καὶ τῶν ἐπὶ τῷ αἰθαλώδει κονιορτῷ 10 *φλυκτίδων, τῆς χαλάζης μετὰ βροντῶν διαφθειρούσης, τῆς ἀκρίδος, τοῦ ψηλαφητοῦ σκότους, καὶ ἐπὶ πᾶσι τοῦ θανάτου τῶν πρωτοτόκων ἔν τε ἀνθρώποις, ἕως αὐτοῦ Φαραῶ, καὶ ἐν κτήνεσιν· ὃν ἔφυγον τῇ προχύσει τοῦ αἵματος ἐπὶ τῶν σταθμῶν καὶ τῆς φλιᾶς. σκυλεύσαντες δὲ Αἰγυπτίους ἐξῆλθον κατὰ τὴν αὐτὴν νύκτα ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ ἔτει πα' Μωυσέως* 15 *ἀρχομένῳ.*

232 *Τῶν δὲ χρόνων ἡ τάξις ἀπὸ πρώτου Μωυσέως ἑξῆς ἐν τῷ κανόνι συντέτακται.*

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων ιγ' ἐβασίλευσεν Ἀσχάλιος ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχς'. 20
Ἀσσυρίων ιδ' ἐβασίλευσε Σφαῖρος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψιη'.
Ἀσσυρίων ιε' ἐβασίλευσε Μάμυλος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψμ'.
Ἀσσυρίων ις' ἐβασίλευσε Σπαρθέως ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψο'.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ 25

Αἰγυπτίων λ' ἐβασίλευσε Σέθως ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχλζ'.
Αἰγυπτίων λα' ἐβασίλευσε Κήρτως ἔτη κθ' κατὰ Ἰώσηππον, κατὰ δὲ τὸν Μανεθῶ ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχπζ'.

1–6 Ex. 7, 14–25 || 2–9 cf. ps. Sym. f. 35r = Cedr. 132, 10 || 4–5 cf. Ioseph. Ant. Iud. 2, 295 || 7–16 Ex. 8, 1–13, 20 || 20 cf. Annianum apud Eliam Nisib. 15, 21–24, Castor. FGrHist 250 F 1 = Euseb. 1, 31, 8 || 26 ps. Manetho (Sothis) FGrHist 609 F 28

1 τῷ om. B || 7 τὸ δ' αὐτὸ B τῷ δ' αὐτῷ A || 9 σκνιπῶν A σκνηπῶν B || 10 αἰθαλώδει Di. αἰθαλώδη AB || 12 ψηλαφητοῦ A ψηλαφιτοῦ B || 15 Σοκχὼθ Ex. σοκχὸθ AB || 20 ἀσχάλιος AB Βασχάλεος 144, 9 *Machchaleos* Euseb. *Magchalaeus qui et Manchalaeus* Elias Nisib. | ἔτη κη'] ann. 28 Annian., 30 Euseb. || 21 ἔτη κβ'] ann. 22 Annian., 20 Euseb. || 21, 22, 23, 26 et p. 143, 1 ἦν ἔτος om. A || 23 σπαρθέως A σπαρθέος B *Sparaethus* Euseb. | ἔτη μβ'] ann. 42 Annian., 40 Euseb. || 27 κήρτως B κήρτος A || 28 ἔτη om. B | ἦν om. B

Αἰγυπτίων λβʹ ἐβασίλευσεν Ἀσὴθ ἔτη κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψιςʹ.
Οὗτος προσέθηκε τῶν ἐνιαυτῶν τὰς εʹ ἐπαγομένας, καὶ ἐπὶ αὐτοῦ, ὥς
φασιν, ἐχρημάτισεν τξεʹ ἡμερῶν ὁ Αἰγυπτιακὸς ἐνιαυτός, τξʹ μόνον ἡμε- 233
ρῶν πρὸ τούτου μετρούμενος. ἐπὶ αὐτοῦ ὁ μόσχος θεοποιηθεὶς Ἆπις
5 *ἐκλήθη.*
Αἰγυπτίων λγʹ ἐβασίλευσεν Ἄμωσις ὁ καὶ Τέθμωσις ἔτη κςʹ. τοῦ δὲ
κόσμου ἦν ἔτος ,γψλςʹ.

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Θηβαίων λαʹ ἐβασίλευσε Πετεαθυρῆς ἔτη ιςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος
10 *,γψκςʹ.*
Θηβαίων λβʹ ἐβασίλευσε ⟨Ἀμμενέμης ἔτη κςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος
,γψμβʹ.
Θηβαίων λγʹ ἐβασίλευσε⟩ Ἀμμενέμης βʹ ἔτη κγʹ. τοῦ δὲ κόσμου ἦν
ἔτος ,γψξηʹ.
15 *Θηβαίων λδʹ ἐβασίλευσε Σιστοσιχερμῆς Ἡρακλῆς κραταιὸς ἔτη νεʹ.*
τοῦ δὲ κόσμου ἦν ἔτος ,γψςαʹ.
Θηβαίων λεʹ ἐβασίλευσε Μάρης ἔτη μγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος
,γωμςʹ.
Θηβαίων λςʹ ἐβασίλευσε Σιφόας ὁ καὶ Ἑρμῆς, υἱὸς Ἡφαίστου, ἔτη εʹ.
20 *τοῦ δὲ κόσμου ἦν ἔτος ,γωπθʹ.*

ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ

Σικυωνίων ιδʹ ἐβασίλευσε Μαραθώνιος ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν ἔτος
,γωλεʹ.
Σικυωνίων ιεʹ ἐβασίλευσε Μαράθιος ἔτη κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωξεʹ. 234
25 *Σικυωνίων ιςʹ ἐβασίλευσε Κόραξ ἔτη λʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωπεʹ.*

2 *ὅτι ἐπὶ τούτου προσετέθη τῶν εʹ ἡμερῶν τοῦ ἐνιαυτοῦ ἡ αὔξησις καὶ ἐγένοντο τξεʹ* || 4 *ὅτι ἐπὶ τούτου καὶ ὁ μόσχος Ἆπις* || 6 *ἐπὶ τούτου καὶ ὁ Μωσῆς ἐγεννήθη*

2 cf. schol. Platon. Tim. 21 E = Manetho FGrHist 609 F 7 || 4 cf. Euseb. 2, 28[f], Herodot. 3, 28 || 9 ps. Eratosthenes Aeg. Anagraphe FGrHist 610 F 1 || 22 cf. Castor. FGrHist 250 F 2 = Euseb. 1, 82, 11

1 *ἀσῆθ* **A** *ἀσσῆθ* **B** || 3 *μόνον* **B** *μόνων* **A** || 6 *λγʹ* **B** *γʹ* **A** | *κςʹ* **B** *κβʹ* **A** || 7 *ἦν ἔτος* om. **A** || 8 titulum om. **A** || 9 *πετεαθυρῆς* **B** *πεντεαθυρὶς* **A** | et infra per utramque tabulam *ἦν ἔτος* om. **A** || 11–13 *Ἀμμενέμης . . . λγʹ ἐβασίλευσε* add. v. Gutschmid || 13 *Ἀμμενέμης* v. Gutschmid *σταμενεμῆς* **A** *σταμμενέμης* **B** || 15, 17 et 19 *λδʹ, λεʹ, λςʹ* **B** *λγʹ, λδʹ, λεʹ* **A** || 17 *μάρης* **B** *μάρις* **A** || 19 *σιφόας* **B** *σιφωὰς* **A** *Σιφθὰς* v. Gutschmid || 24 *,γωξεʹ* **A** *,γωνεʹ* **B** || 26–28 lemmata om. **A**[m]

Σικυωνίων ιζ' ἐβασίλευσεν Ἐποπεὺς ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψιε'. Σικυωνίων ιη' ἐβασίλευσε Λαομέδων ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψμζ'.

ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ

Δευτέρα μετὰ τὴν Σικυωνίων βασιλείαν κατὰ τὴν Εὐρώπην λέγεται γενέσθαι καὶ αὕτη ἀρχαιοτάτη τῶν Ἀργείων χρόνοις ὕστερον ὀνομαζομένων ἀπό τινος Ἄργου βασιλεύσαντος. ταύτης πρῶτος Ἴναχος ἐβασίλευσεν ἔτη ν', ἀφ' οὗ καὶ ἡ χώρα πρῶτον Ἰναχία ἐλέγετο ἕως Ἄργου. βασιλεύει δὲ Ἴναχος κατὰ Βασχάλεον ιγ' βασιλέα Ἀσσυρίων ἔτους αὐτοῦ γ', τῆς δὲ Ἀσσυρίων ἀρχῆς ἔτη υνγ', καθ' ὃν Αἰγύπτου μὲν Κήρτως, Σικυωνίων δὲ Πλημναῖος ἐβασίλευσεν. ὁ δὲ χρόνος τῆς αὐτοῦ βασιλείας ἀσύμφωνος φέρεται παρ' Ἕλλησι διὰ τὴν ἀρχαιότητα, καθάπερ τῶν λοιπῶν. ἔστι δὲ κατὰ τοὺς πολλοὺς ἀπὸ μὲν τοῦ πρώτου Ἰνάχου ἕως τοῦ θ' Σθενέλου ἐτῶν υιγ'. τὸν δὲ Σθένελον Δαναὸς ἐκβαλὼν ἐκράτησε τοῦ Ἄργους, ὡς 235 *μαρτυροῦσι πάντες ἱστορικοί, σὺν τοῖς ἀπογόνοις ἔτη ρξβ'. ὁμοῦ ἔτη φοε' ἀπὸ Ἰνάχου ἐπὶ Ἀκρίσιον ε' ἀπὸ Δαναοῦ βασιλέως τοῦ Ἄργους.*

Μετὰ δὲ Ἀκρίσιον ἔσχατον τῶν Δαναϊδῶν εἰς Μυκήνας μετετέθη ἡ βασιλεία τῶν Ἀργείων κατὰ Εὐρυσθέα τὸν Σθενέλου τοῦ Περσέως. καὶ διεδέξαντο τὴν βασιλείαν οἱ Πελοπίδες ὧν πρῶτος ἐβασίλευσε Πέλοψ, ἀφ' οὗ καὶ ἡ χώρα Πελοπόννησος. οὗτος Ὀλυμπίων προέστη. βασιλεύει δὲ ἔτη νγ'. ἐν δὲ τοῖς πρὸ αὐτοῦ ἔτεσι διαφωνεῖται ἔτη κζ', κατὰ Οἰνόμαον ἴσως ὑπονοούμενα, μετατεθείσης τῆς ἀρχῆς εἰς Μυκήνας μετὰ Ἀκρίσιον ἐπὶ Εὐρυσθέως, ὃν οἱ μὲν πρὸ Πέλοπος ἔτη φασὶ βασιλεῦσαι πγ', οἱ δὲ μετὰ Πέλοπα ἔτη με'.

Εἶτα Πελοπίδες· μετὰ Πέλοπα Ἀτρεὺς καὶ Θυέστης ἔτη ξε', μεθ' οὓς Ἀγαμέμνων Ἀτρέως παῖς ἔτη σὺν ἀδελφῷ Μενελάῳ κατὰ μὲν τινὰς λγ', κατὰ δὲ ἄλλους λ' ἢ καὶ κη'. Αἴγισθος ζ' ἢ ιζ'. Ὀρέστης Ἀγαμέμνονος υἱὸς καὶ Πένθιλος καὶ Κομήτης ἔτη νη'.

5 *ὅτι β' βασιλεία ἀπὸ τῆς Σικυωνίων ἡ Ἀργείων βασιλεία· κατὰ δὲ τὸν Ἴναχον ἀρχαία ἐστί, πρώτη γὰρ δι' αὐτὸν Ἰναχεία ἐλέγετο* 30

5 cf. Dexipp. FGrHist 100 F 1, Castor. FGrHist 250 F 3 = Euseb. 1, 83, 28 || 10 cf. Chron. Synt. 84, 3 || 15 – p. 145, 3 cf. Castor. FGrHist 250 F 3 = Euseb. 1, 84, 14; Chron. Synt. 86 – 87, Exc. Barb. 38b – 39a

1 *ἔτη λβ'*] ann. 35 Euseb. || 2 *ἔτη μγ'*] ann. 40 Euseb. || 7 *ἀπὸ* **B** *ὑπὸ* **A** || 10 *κήρτως;* **B** *κίρτος* **A** || 14 *υιγ'*] 370 in filo Syncelli, 382 Euseb., 322 Chron. Synt., 414 Exc. Barb. || 15 *ρξβ'*] 178 in filo Syncelli, 142 Euseb., 176 Chron. Synt., 172 Exc. Barb. || 16 *ἀκρίσιον* **A** *ἀκράσιον* **B** || 18 *διεδέξαντο* **B** *διεδέξατο* **A** || 20 *προέστη* **B** *πρόεστιν* **A** || 23 *ὃν* Go.[m] *ὧν* **AB** || 25 *οὓς* **B** *οὗ* **A** || 26 – 27 *λγ' ... κη'*] ann. 33 Exc. Barb., 30 Euseb., 18 (non 28) Chron. Synt. et infra || 27 *καὶ* om. **A** | *ζ' ἢ ιζ'*] ann. 7 Exc. Barb., 8 Chron. Synt., 17 Euseb. || 28 *πένθιλος* **A** *πενθεῖλος* **B** | *Κομήτης* Di. *κομίτης* **AB** || 29 – 30 lemma om. **A**[m]

Ἡρακλειδῶν κάθοδος, οἱ Πελοπόννησον λαβόντες ἐκράτησαν μετὰ τοὺς Πελοπίδας ἔτη νη'. ἀφ' ἧς ἐπὶ τὴν Ἰώνων ἀποικίαν ἔτη ξ', ἀπὸ δὲ τῆς Ἰώνων ἀποικίας ἐπὶ πρώτην ὀλυμπιάδα ἔτη ἀναγράφουσιν σξζ'.

Ἀρχὴ βασιλείας Ἀργείων 236

5 *Ὧν πρῶτος βασιλεὺς Ἴναχος ἔτη νς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γχϛβ'. Οὔ μοι δοκεῖ καλῶς ὁ Ἀφρικανὸς ἐν γ' λόγῳ τῶν ἱστορικῶν αὐτοῦ φάναι τὴν Ἀργείων βασιλείαν τῷ σ' ἔτει τῆς Ἀσσυρίων βασιλείας ἄρξασθαι ἐπὶ Ἀρείου ε' βασιλέως Ἀσσυρίων. ἔσται γὰρ κατὰ τοῦτο Μωυσῆς πρὸς τῷ τέλει τῆς ζωῆς Ἀβραὰμ τεχθείς, εἴ γε πάντες ὁμολογοῦσι τὸ πρῶτον 10 ἔτος Ἀβραὰμ κατὰ τὸ μδ' ἔτος Νίνου τοῦ δευτέρου βασιλεύοντος μετὰ Βῆλον Ἀσσυρίων. Βήλου γὰρ νε', Νίνου μδ', Ἀβραὰμ ρα'. ἔσται ἄρα Μωυσῆς κατὰ τὸ ρα' ἔτος Ἀβραάμ, ὅπερ ἀδύνατον. ὁμολογεῖ δὲ αὐτὸν κατὰ Ἴναχον.*

Ἀργείων β' ἐβασίλευσε Φορωνεὺς ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψμη'. 15 Φορωνεὺς παῖς Ἰνάχου καὶ Νιόβης πρῶτος λέγεται νόμους καὶ κριτήρια παρ' Ἕλλησι θέσθαι. φασὶ δέ τινες Νιόβην Φορωνέως εἶναι θυγατέρα, ὅπερ οὐκ ἀληθές.

ΣΠΟΡΑΔΗΝ

Κατὰ τούτους τοὺς χρόνους ἐβασίλευσε Κρήτης Κρὴς αὐτόχθων, ὃν 20 ἕνα λέγουσι τῶν Κουρήτων, παρ' οἷς ὁ παρ' Ἕλλησι λεγόμενος ψευδώνυμος θεὸς Ζεὺς κρυφθεὶς ἀνετράφη, καὶ Κρήτης ἐτυράννησεν. ἐξ αὐτοῦ τοῦ Κρητὸς ἡ νῆσος ὠνομάσθη Κρήτη. τοὺς αὐτούς φασι Κούρητας κτίσαι πόλιν Κνωσὸν ἐν Κρήτῃ καὶ ἱερὸν Κυβέλης μητρός. 237

Ἄργος καὶ Σικυὼν πόλεις Πελοπόννησος.

25 1 *ὅτι Ἡρακλεῖδαι ἐκράτησαν Πελοπονήσου ἔτη νη'* || 19 *πόθεν ὠνομάσθη Κρήτη*

5 cf. Castor. FGrHist 250 F 3 = Euseb. 1, 83, 28 || 6 Africanus fr. 23 || 9 cf. Euseb. 2, 20, 1–5 || 13 Africanus fr. 22 || 14 cf. Castor. FGrHist 250 F 3 = Euseb. 1, 83, 31 || 15–17 Euseb. 2, 29[e] || 15–16 ps. Sym. f. 36[r] = Cedr. 138, 14 || 19 Euseb. 2, 22[c] || 21–22 cf. ps. Sym. f. 36[r] = Cedr. 138, 15

1–2 *οἱ ... ἔτη νη'* redundat; om. Euseb. || 5 *ἔτη νς'*] ann. 50 Euseb. | *ἦν* om. B | *ἔτος* A *ἔτη* B || 9 et infra constanter *Ἀβραὰμ* Go. *ἄβραμ* A *ἄμβραμ* B Di. || 11 *βήλου* B *βῆλον* A || 14 et 15 *φορωνεὺς* A *φωρονεὺς* B || 15 *νιόβης* A *νιωβῆς* B || 16 *νιόβην φορωνέως* A *νιωβὴν φωρονέως* B || 19 *κρὴς* B om. A || 20 *λεγόμενος* om. B | *ψευδώνυμος* B *ψευδόμενος* A || 23 *Κυβέλης* Di. *σκυβέλης* B *σκυβέλλης* A || 24 *Ἄργος* Di. *ἄργους* AB | *Ἄργος ... Πελοπόννησος* secl. Di. || 25 lemmata om. A[m]

Ἡ θυγάτηρ Ἰνάχου Ἰὼ εἰς Αἴγυπτον ἐλθοῦσα Ἶσις ὠνομάσθη, ἣν Αἰγύπτιοι σέβουσιν Ἶσιν Φαρίαν καλοῦντες διὰ τὸ πρώτως ἐν Φάρῳ τῇ νήσῳ παραγενέσθαι. φασὶ δὲ αὐτήν τινες γημαμένην Τηλεγόνῳ τὸν Ἔπαφον γεννῆσαι.

Ἀπὸ Ἰνάχου ποταμὸς Ἴναχος ἐν Ἄργει ὠνομάσθη καὶ ὁ Βόσπορος 5 *ἐπώνυμος τῆς Ἰοῦς.*

Κάσος καὶ Βῆλος Ἰνάχου παῖδες πρὸς τῷ Ὀρόντῃ ποταμῷ καὶ τὴν νῦν Ἀντιόχειαν τῆς Συρίας πόλιν ἔκτισαν.

Νιόβῃ γαμετῇ Ἰνάχου, μητρὶ δὲ Φορωνέως πρώτῃ γυναικῶν ἐμίγη Ζεύς, ἐξ ἧς ἔσχεν Ἆπιν υἱόν, τὸν Σάραπιν. 10

Κατὰ τοὺς αὐτοὺς χρόνους μυθεύονται Ἕλληνες μιγῆναι τὸν αἰσχρότατον Δία καὶ τῇ θυγατρὶ Ἰνάχου, ἣν καὶ βοῦν ἐποίησεν, ἀφ' ἧς ὁ Βόσπορος ἐκλήθη.

238 *Πᾶσα παρ' Ἕλλησι θαυμαζομένη πρᾶξις ἀπὸ τῶν Ἰνάχου χρόνων καὶ Φορωνέως εἰς τὰ μετέπειτα φέρεται. διὸ καὶ Πλάτων ἐν Τιμαίῳ τῷ δια-* 15 *λόγῳ τῶν Φορωνέως ἐπιμέμνηται χρόνων ὡς πάνυ παλαιῶν καὶ Νιόβης καὶ τοῦ κατὰ Ὤγυγον ἀρχαιοτάτου κατακλυσμοῦ, ὃς λέγεται κατὰ Φορωνέα καὶ Ἆπιδα γενέσθαι.*

Θεσσαλία

Κατὰ τούτους τοὺς χρόνους πρῶτος ἐβασίλευσε Θεσσαλίας ὁ Γραικοῦ 20 *παῖς Θέσσαλος, ἀφ' οὗ καὶ ἡ χώρα ἕως νῦν ὠνόμασται.*

*Ὤγυγος πρῶτος βασιλεὺς Ἀκτῆς, τῆς νῦν Ἀττικῆς, τούτοις τοῖς χρόνοις ἐγνωρίζετο. Ὤγυγος ἐν Ἀκτῇ * * * Τριτώνιδι λίμνῃ Ἀθηνᾶ παρ' Ἕλλησιν ὠνομάσθη.*

Τελχῖνες καὶ Καρσιάται πρὸς Φορωνέα καὶ Παρρασίους ἐπολέμησαν. 25

1 *τίς ἐστιν Ἰὼ καὶ πῶς λέγεται Ἶσις*

1 Euseb. 2, 27[f] || **3** Euseb. 2, 43[h] || **5** Euseb. 2, 27[f] || **7** cf. Iohann. Malal. 28, 1–30, 3 || **9** Euseb. 2, 30[h] || **11** Euseb. 2, 42[m] || **14** cf. Euseb. 1, 85, 9; 2, 29[f]; Clem. Al. Strom. 1, 103 (Acusilaus FGrHist 2 F 23) || **15** Plato Tim. 22A || **20** Euseb. 2, 30[g] || **22–24** cf. Euseb. 2, 30[k]; Ecl. Hist. 176, 2 || **25** Euseb. 2, 30[l]

3 *Τηλεγόνῳ* Go.[m] *τινὶ λέγωνον* A *τὴν λεγόνω* B || **6** *ἰοῦς* A *ἰσοῦς* B || **7** *τῷ* A *τὸ* B | *Ὀρόντῃ* Di. *ὀρέντῃ* A *ὀρέντι* B || **9** *νιόβῃ* A *νηωβῇ* B | *φορωνέως* A *φωρονέως* B || **11** *αἰσχρότατον* A *ἐσχρότατον* B || **12** *δία* B *δίαν* A | *ἣν καὶ* Go.[m] *ἡ ὖν καὶ* A *ἡ υἱν καὶ* B legebatur fortasse *ἠοῖν καὶ*, id est *Ἰοῖ, ἣν καί*, uel sim. || **23–24** corrigenda fortasse ex Ecl. Hist.: *ἐν δὲ τῇ Ἀττικῇ τῇ πάλαι Ἀκτῇ καλουμένῃ Ὤγυγος ἔκτισεν Ἐλευσῖνα καὶ ἄλλας πόλεις, καθ' ὃν πρὸς τῇ Τριτώνιδι λίμνῃ παρθένος ἐφάνη, ἣν Ἕλληνες Ἀθηνᾶν ὠνόμασαν* || **25** *καρσιάται* A *καρρσιάται* B | *παρρασίους* A *παρασίους* B || **26** lemma om. A[m]

ΚΟΣΜΟΥ ΕΤΗ

Μωυσέως ἔτη ρκ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψλζ΄.

Τῷ ͵γωις΄ ἔτει τοῦ κόσμου, Μωυσέως π΄, πληρωθέντι καὶ ἀρξαμένῳ πα΄, πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, κατὰ τὴν σελήνην ιδ΄, μεσούσης τῆς νυκ- 5 *τός, κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ ἕως πρωτοτόκου τῆς αἰχμαλω-* 239 *τίδος τῆς ἐν τῷ λάκκῳ καὶ ἕως πρωτοτόκου παντὸς κτήνους. καὶ ἀνέστη Φαραὼ καὶ πάντες οἱ θεράποντες αὐτοῦ καὶ πάντες οἱ Αἰγύπτιοι, καὶ ἐγενήθη κραυγὴ μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτῳ. οὐ γὰρ ἦν οἰκία ἐν ᾗ οὐκ* 10 *ἦν ἐν αὐτῇ τεθνηκός. καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν νυκτός, καὶ εἶπεν αὐτοῖς· ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ λαοῦ ὑμεῖς καὶ οἱ υἱοὶ Ἰσραήλ· βαδίζετε καὶ λατρεύσατε κυρίῳ τῷ θεῷ ὑμῶν, καθὰ λέγετε. καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, καθάπερ εἰρήκατε. εὐλογήσατε δὴ κἀμέ.*

15 *Καὶ κατεβιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς. εἶπον γὰρ ὅτι ʽπάντες ἡμεῖς ἀποθνήσκομεν᾿. ἀνέλαβε δὲ ὁ λαὸς τὸ στέας αὐτῶν πρὸ τοῦ ζυμωθῆναι, τὰ φυράματα αὐτῶν ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν ἐπὶ τῶν ὤμων αὐτῶν, καὶ ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ καὶ ἱματισμόν. καὶ κύριος ἔδωκε χάριν* 20 *τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων. καὶ ἔχρησαν αὐτοῖς, καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους.*

Ἀπάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ εἰς χ΄ χιλιάδας πεζῶν οἱ ἄνδρες πλὴν τῆς ἀποσκευῆς, καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς καὶ πρόβατα καὶ βόες καὶ κτήνη πολλὰ σφόδρα. καὶ ἔπεψαν τὸ 25 *στέας, ὃ ἐξήνεγκαν ἐξ Αἰγύπτου, ἐγκρυφίας ἀζύμους· οὐ γὰρ ἐζυμώθη.* 240 *ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἠδυνήθησαν ἐπιμεῖναι, οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν.*

Ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναάν, ἔτη υλ΄. καὶ ἐγένετο μετὰ υλ΄

30 **3** *ἐνταῦθα τὰ περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραήλ* ‖ **4** *ὅτι π΄ ἔτος Μωσέως ἐπληρώθη καὶ ἀρξαμένου πα΄ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων* ‖ **23** *ὅτι ἐπίμικτος πολὺς συνανέβη τοῖς Ἰσραηλίταις*

2 Deut. 34, 7 ‖ 3 Ex. 7, 7; 12, 1–4 ‖ 4 – p. 148, 4 Ex. 12, 29–42

1 *ἔτη* **B** *ἔτος* **A** ‖ **2** *ἦν ἔτος* om. **A** ‖ **9** *πάσῃ* **B** *πᾶσι* **A** | *ἐν ᾗ* **B** *ἐνὶ* **A** ‖ **10** *μωυσῆν* **B** *μωυσῆ* **A** ‖ **11** *ἐξέλθετε* **B** *ἐξέλθατε* **A** ‖ **14** *δὴ* **B** *δὲ* **A** ‖ **15** *τὸν λαὸν* **B** *τῶν λαῶν* **A** ‖ **16** *ἀποθνήσκομεν* **A** *ἀποθνήσκωμεν* **B** | *ἀνέλαβε* **B** *ἀνελάβομεν* **A** ‖ **17** et **25** *στέας* **AB** *σταῖς* Ex. ‖ **18** *ᾔτησαν* **B** *ᾐτήσαντο* **A** ‖ **19–20** *ἱματισμόν . . . Αἰγυπτίων. καὶ* om. **A** ‖ **22** *ῥαμεσσῆ* **A** *ῥαμεσῆ* **B** ‖ **23** *πολὺς* **B** *πολλοῖς* **A** ‖ **24** *ἔπεψαν* **B** *ἔπεμψαν* **A** ‖ **26** *ἐξέβαλον* **B** *ἐξέβαλλον* **A** | *ἠδυνήθησαν* **A** *ἐδυνήθησαν* **B** ‖ **27** *ἑαυτοῖς* **B** *ἑαυτοὺς* **A** ‖ **30** lemma (3) om. **B**[m] ‖ **30–32** lemmata (4, 24) om. **A**[m]

ἔτη ἐξῆλθε πᾶσα ἡ δύναμις κυρίου ἐκ γῆς Αἰγύπτου. νυκτὸς προφυλακή ἐστι κυρίῳ, ὥστε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. ἐκείνη ἡ νὺξ αὐτὴ προφυλακή ἐστι τῷ κυρίῳ, ὥστε εἶναι πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἰς γενεὰς αὐτῶν.

Τούτους ὁ θεὸς ἐξαγαγὼν ἐξ Αἰγύπτου οὐκ ἤγαγε τὴν σύντομον ἐπὶ Φυλιστιεὶμ ὁδόν, ἢ τὴν διὰ μέσου τῆς Σερβωνίδος λίμνης καὶ τῆς κατ' Αἴγυπτον θαλάσσης ἔτι συντομωτέραν, ἀλλὰ κύκλῳ διὰ νοτιωτέρας γῆς καὶ θαλάσσης ἐρυθρᾶς, ὡς ἂν μὴ παλινδρομήσωσι μεταμεληθέντες εἰς Αἴγυπτον οἱ ἀπειθεῖς. 5

Τριῶν δὲ ἡμερῶν ἀποστᾶσιν αὐτοῖς Αἰγύπτου ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ καὶ ἐκ Σοκχὼθ εἰς Νουθὼμ παρὰ τὴν ἔρημον καὶ ἀπὸ Νουθὼμ ἀνὰ μέσον Μαγδώλου καὶ ἀνὰ μέσον θαλάσσης ἐρυθρᾶς ἀπέναντι τῆς ἐπαύλεως καὶ ἐξ ἐναντίας Βεελσεφὼν ἔδοξαν Αἰγυπτίοις πλανᾶσθαι, καίτοι στύλῳ πυρὸς ὁδηγούμενοι νυκτός, ἡμέρας δὲ στύλῳ νεφέλης, οὐ τῆς συνήθους ἐξ 10 *ἀτμῶν καὶ ἀναθυμιάσεων συνισταμένης, συμπηλουμένου τοῦ ἀέρος ἐξ* 241 15 *ὁμιχλώδους συστάσεως τοῖς πνεύμασι πρὸς ἑαυτόν, ἀλλ' ἄλλης τινὸς ὑψηλοτέρας τῆς ἀνθρωπίνης ἐννοίας θαυμαστῶς ἐπιτειχιζούσης αὐτοῖς, ἡμέρας τὴν τῆς ἡλιακῆς ἀκτῖνος φλόγωσιν, πολλὴν οὖσαν κατὰ τὴν οἴκησιν τῆς χώρας ἐκείνης, καὶ δροσοειδῶς σκιαζούσης τὸν λαόν, ἀφ' ἑσπέρας δὲ ἕως ὄρθρου καταλαμπούσης, ὑφ' ἧς ὁδηγούμενοι πρὸς τὸ ἐρυθραῖον ἦλθον πέλαγος.* 20

Τούτους Φαραὼ σὺν ἅρμασι καὶ ἵπποις καὶ τοῖς ἐκλεκτοῖς Αἰγύπτου τριστάταις καταλαβὼν μέσους ἔσχεν αὐτοῦ καὶ τῶν θαλαττίων ὑδάτων πάσης φυγῆς ἠπορημένους, βοῶντας δὲ μόνον πρὸς κύριον, ὡς τὰ λόγια, καὶ Μωυσέως καταγογγύζοντας, ὅτι γε συμφερούσης δουλείας ἀπήλλαξε καὶ ἐρημοταφεῖς κατέστησεν· ἀλλὰ θαρρεῖν αὐτοὺς παραινέσας τοῖς χείλεσι, κατὰ νοῦν δὲ σφόδρα πονούμενος, ἔπληξε ῥάβδῳ τὴν θάλασσαν, ὡς ὑπὸ θεοῦ προστάττεται, κατὰ τὴν ἑωθινὴν τῆς νυκτὸς ὥραν, καὶ τὸν λαὸν ὡς ἐν ἠπείρῳ δι' αὐτῆς διαβιβάσαι, τῆς ἡμέρας ἤδη καταυγαζούσης· ὃ δὴ καὶ γέγονε. πλήξαντος γὰρ Μωυσέως κατάκρουτον αἰγιαλὸν τοῦ ὕδατος τὸ πᾶν ὑπερράγη πέλαγος ἕως ἄκρου τῆς ἀντικειμένης ὄχθης, συμ- 25 30

5 *ὅτι οὐ διῆλθον οἱ Ἰσραηλῖται τὴν σύντομον ὁδὸν ἀλλὰ κύκλῳ διὰ τῆς ἐρυθρᾶς* || 14 *Ση. ὅτι οὐκ ἦν ἡ νεφέλη ἡ συνήθη ἀλλὰ ξένης τινὸς ὑψηλοτέρας ἀνθρωπίνης ἐννοίας*

5–6 Ex. 13, 17 || 10–14 Ex. 13, 18–14, 2 || 22–30 Ex. 14, 9–11. 21–22

1 *ἔτη* om. A | *ἡ* om. B || 3 *προφυλακή ἐστι* B tr. A || 6 *ἢ* B *ἦν* A || 7 *διὰ νοτιωτέρας* Di. *διανοητοτέρας* A *διανοτειωτέρας* B || 11 *εἰς Νουθὼμ*] *ἐν Ὀθὸμ* Ex. || 13 *βεελσεφὼν* B *βελεσεφῶν* A | *αἰγυπτίοις* B *αἰγυπτίους* A || 13–14 *στύλῳ . . . στύλῳ* B *στύλοι . . . στύλη* A || 15 *συμπηλουμένου* B *συμπληρουμένου* A || 22 *τούτους* B *τούτοις* A || 26 *αὐτοὺς* B *αὐτοῖς* A || 27 *νοῦν* B *νοοῦν* A || 32–33 lemmata om. A[m]

πεπηγότων καὶ τῶν κυμάτων τοῖς ὕδασιν, οἷόν τι συμβαίνειν φιλεῖ περὶ τὴν θερμὴν ὕαλον, εἰ κατὰ ἓν ῥαγείη μέρος, πρὸς τὸ ἕτερον πέρας ἡ ῥῆξις εὐθυτόμως διεξέρχεται. οὕτω τε σὺν τῷ πλήθει ποσὶ διῆλθεν ἀβρόχοις **242** *πυθμένα, θαλαττίων τείχεσιν ὑδάτων καὶ κυμάτων περιφρουρούμενος.*

5 *Οἱ δὲ Αἰγύπτιοι, τοῦ θεοῦ συντάξαντος αὐτοῖς τὴν παρεμβολὴν ἐν στύλῳ πυρὸς καὶ νεφέλης, ἤτοι βρονταῖς καὶ ἀστραπαῖς ὄμβροις τε καὶ χαλάζαις, ἔφυγον ὑπὸ τὸ ὕδωρ τῆς ἐρυθρᾶς θαλάσσης, καὶ ἐξετίναξε κύριος ὁ θεὸς πάντας τοὺς Αἰγυπτίους ἐν αὐτῇ σὺν τῷ Φαραῷ, Μωυσέως ἐπιστραφέντος καὶ ἐγκαρσίως τῇ ῥάβδῳ πλήξαντος τὰ ὕδατα σταυρικῷ τύπῳ προστάξει* 10 *θεοῦ· φασὶ δέ τινες προεκβρασθέντας Αἰγυπτίους νεκροὺς ἐνόπλους εὑρεθῆναι, οὓς Ἰουδαῖοι διαβάντες ἐσκύλευσαν πρὸς τῷ πέρατι τῆς ἐρυθρᾶς.*

Ἐξάραντες δὲ ἀπὸ τῆς ἐρυθρᾶς ἦλθον ὁδὸν ἡμερῶν γ΄ εἰς ἔρημον Σοὺρ ἄνυδρον δίψει φρυγόμενοι, ἔνθα πάλιν Μωυσέως καταστασιάζουσι ὕδατι πικρῷ λίμνης τινὸς ἀπότου παρεμβάλλοντες, Μερρᾶς διὰ τοῦτο καλουμέ- 15 *νης, ἧς τὸ πικρὸν ξύλου τινὸς ἐμβολῇ Μωυσῆς ἰάσατο θεόθεν ὑποδειχθέντος εἰς τύπον τοῦ ζωοποιοῦ ξύλου τοῦ σταυροῦ. ἐκεῖθεν ἦλθον εἰς Ἐλείμ, τῆς νεφέλης μετανισταμένης αὐτοῖς ἑκάστοτε κατὰ βούλησιν θεοῦ καὶ πάλιν ἱσταμένης κατὰ τοὺς τόπους τῆς ἀναπαύσεως, σημαινούσης τε τῇ στάσει τὰς μονὰς καὶ τῇ κινήσει τὰς μεταστάσεις ἀεὶ παρ᾽ ὅλον τὸν χρό-* 20 *νον τῆς ἐν ἐρήμῳ διατριβῆς.*

Εὗρον δὲ εἰς Ἐλεὶμ ιβ΄ πηγὰς ὑδάτων ποτίμων καὶ φοίνικας ο΄. τύποι δὲ **243** *τῶν τοῦ σωτῆρος ἡμῶν ἦσαν αὗται μαθητῶν, οἵτινες τοῖς θείοις νάμασι τῆς εὐαγγελικῆς διδασκαλίας τὸν νοητὸν κατήρδευσαν Ἰσραὴλ σὺν τοῖς ο΄ συμφοιτηταῖς καθ᾽ ὅλην διασπαρεῖσι τὴν οἰκουμένην ὑπὸ τῶν ιβ΄. ἀπὸ* 25 *δὲ Ἐλεὶμ ἦλθον ἐν τῇ ἐρήμῳ Σινᾶ. αὕτη μέσον Ἐλεὶμ καὶ ὄρους Σινᾶ κεῖται. ἐνταῦθα κατεβόων Μωυσέως καὶ Ἀαρὼν λέγοντες· ὤφελον ἐν Αἰγύπτῳ πληγαῖς θεοῦ τεθνήκαμεν ἀπολαύοντες τῶν ἐν αὐτῇ κρεῶν καὶ ἄρτων. δίδοται δ᾽ αὐτοῖς ἄρτος οὐκ ἐκ γῆς, ἀλλ᾽ ἀπ᾽ οὐρανοῦ δροσοειδῶς καταρρέων καὶ κρυσταλλοειδῶς πηγνύμενος, ἐμφερὴς κορίου σπέρματι*

30 **3** *Ση. ξένον* || **10** *τί λαλεῖ περὶ τῶν νεκρωθέντων Αἰγυπτίων* || **17** *Ση. περὶ τῆς νεφέλης* || **28** *τί ἦν ὁ ἄρτος*

5–9 Ex. 14, 24–28 || **10–11** cf. ps. Sym. f. 31r = Cedr. 137, 4; Ioseph. Ant. Iud. 2, 349; Euseb. Praep. Euang. 9, 29, 16 = Demetrius FGrHist 722 F 5 || **12–15** Ex. 15, 22–25 || **15–16** cf. Tertull. adv. Iudaeos 13 || **21** Ex. 15, 27 || **21–24** cf. Tertull. c. Marc. 4, 24, ps. Sym. f. 36r = Cedr. 137, 8 || **25**–p. 150, **2** Ex. 16, 1–3. 14. 31

3 *εὐθυτόμως* **B** *εὐθυστόμως* **A** || **7** *θαλάσσης* om. **B** | *ἐξετίναξε* **A** *ἐξετείναξε* **B** || **9** *ἐγκαρσίως* **A** *ἐνκαρσίως* **B** || **12** *ἐξάραντες . . . ἐρυθρᾶς* om. **A** || **13** *δίψει* **A** *δίψῃ* **B** || **15** *ξύλου τινὸς* **B** tr. **A** || **16** *ἐλὴμ* **AB** || **21** *ἐλεὶμ* **A** *ἐλὴμ* **B** | *φοίνικας ο΄* **AB** *ο΄ στελέχη φοινίκων* ps. Sym. Ex. || **24** *ὑπὸ* **B** *ἀπὸ* **A** || **25** *ἐλεὶμ* **A** *ἐλὴμ* **B** (bis) || **26** *ὤφελον* **B** *ὤφελλον* **A** || **30–31** lemmata om. **A**m

λευκῷ κατὰ τὸν ὄρθρον· τὸ δὲ γεῦμα ὡς ἐγκρὶς ἐν μέλιτι. ὅπερ ἀγνοοῦντες
οἱ ἀπειθεῖς ἠρώτων 'τί ἐστι;' πρὸς ἀλλήλους· διὸ καὶ μάννα κέκληται. μέ-
τρον ἑκάστῳ τῆς συλλογῆς πρὸς θεοῦ ὥριστο γομόρ, τῷ δυνατῷ καὶ ἀδυ-
νάτῳ, ὅπερ ὁ πλέον συλλέξας τὸ αὐτὸ μέτρον ἔχων ηὑρίσκετο καὶ ὁ ὀλίγον
ὁμοίως. τῷ γὰρ πλεονάζοντι παραδόξως ἠλαττοῦτο καὶ τῷ λειπομένῳ 5
προσετίθετο. τούτου μοῖρα φυλαττομένη εἰς αὔριον εἰς φύσιν σκωλήκων
μετεποιεῖτο χωρὶς τῆς ἡμέρας τῶν σαββάτων, ὃ καὶ παραδοξότατον ἦν.
τὸ γὰρ αὐτὸ συλλεγόμενον καὶ ἴσον ταῖς ἄλλαις ἡμέραις ἐν τῇ πρὸ τῶν
σαββάτων ἡμέρᾳ διπλοῦν ἐγένετο ταῖς δύο ἡμέραις ἐπαρκοῦν, τῇ παρα-
244 *σκευῇ τε καὶ τῷ σαββάτῳ, μηδ' ὅλως διαφθειρόμενον. ἐτύπου δὲ καὶ τοῦτο* 10
τὸ ἀδιάφθορον τοῦ δεσποτικοῦ σώματος κατὰ τὸν καιρὸν τῆς ὑπὲρ ἡμῶν
αὐτοῦ ταφῆς, σταυρῷ μὲν καὶ τοῖς ἥλοις καὶ τῇ λόγχῃ φυσικῶς πεπονθὸς
ὁμοιοπαθῶς ἡμῖν τὰ τῆς φθορᾶς νύγματα δι' οἶκτον χωρὶς πάσης ἁμαρ-
τίας, διαφθορὰν δὲ καὶ διάλυσιν μηδ' ὅλως ὑπομεμενηκός. ἔχει μέντοι καὶ
ἄλλους λόγους μυστικῶς εἰκονίζοντας τόδε τὸ μάννα, τήν τε πάναγνον 15
θεομήτορα καὶ τὸν κατ' ἀρετὴν βίον, περὶ ὧν οὐ πρόκειται νῦν λέγειν.
τοῦτο μὲν οὖν τὸ μάννα κομισθὲν ἐκ τῆς Παρθικῆς εἶδον ἐγὼ καὶ μετέσχον
αὐτοῦ, τῆς αὐτῆς γεύσεως ὄν, ἀλλ' οὐχ οὕτω πλουσίως οἷον ὤφθη ποτέ,
οὐδὲ κατὰ τήνδε τὴν ἔρημον. κατὰ δὲ τὰς ἑσπέρας αὐτοῖς εἶδος πετεινῶν
ἀνέβαινε καὶ ἐκάλυπτε τὴν παρεμβολήν, ὀρτυγομήτρα λεγόμενον, πρὸς 20
βρῶσιν. ἔφαγον τοίνυν τὸ μάννα τεσσαράκοντα ἔτη πολλάκις αὐτὸ βδε-
λυξάμενοι ὡς διάκενον ἄρτον οἱ τῶν θείων ἀνάξιοι παροχῶν. ἀπέθετο
δὲ καὶ Ἀαρὼν ἐν στάμνῳ χρυσῇ γομὸρ τοῦ μὰν ἐναντίον τοῦ θεοῦ εἰς τὰς
γενεὰς αὐτῶν, ὃν τρόπον κύριος συνέταξε τῷ Μωυσῇ.

Ἀπὸ τῆς ἐρήμου Σινᾶ ἀπάραντες διὰ ῥήματος κυρίου ἦλθον εἰς Ῥαφι- 25
δεὶν ἄνυδρον τόπον, ἔνθα λοιδορηθεὶς Μωυσῆς σφόδρα πρὸς τοῦ λαοῦ
εὐξάμενος τῷ θεῷ χρησμοδοτεῖται πατάξαι ῥάβδῳ τὴν πέτραν καὶ δοῦναι
245 *τοῖς παραπικρασταῖς ὕδατα. καὶ ἐπωνόμασε τὸν τόπον πειρασμὸς καὶ λοι-*

7 *Ση. ξένον· περὶ πλείονος καὶ ἐλάττονος καὶ φυλακῆς ὅτι τὸ συναγόμενον τῇ πα-*
ρασκευῇ ἤρκει καὶ τῷ σαββάτῳ, ἐν δὲ ταῖς ἄλλαις ἡμέραις τὸ φυλαττόμενον σκωλήκων 30
ἔβρυεν || **17** *τί λέγει περὶ τοῦ μάννα*

2–16 cf. ps. Sym. f. 36r = Cedr. 137, 13 || **2–10** Ex. 16, 17–24 || **10–14** cf. Ev. Iohann. 6, 48–51 || **19–24** Ex. 16, 13. 33–35 || **25–28** Ex. 17, 1–7

1 *ἐγκρὶς* Go. *ἐνκρὶς* **AB** || **3** *γομόρ* **A** *γόμωρ* **B** | *ἀδυνάτῳ*] *ἀσθενεῖ* ps. Sym. || **4** *ηὑρίσκετο* **B** *εὑρίσκετο* **A** || **11** *ἀδιάφθορον* **AB** *ἀδιάφθορον δηλοῦν* ps. Sym. || **12** *πεπονθὸς* Di. *πεπονθὼς* **AB** || **13** *τὰ* **A** *κατὰ* **B** || **14** *ὑπομεμενηκός* **B** *ὑπομεμενηκώς* **A** || **17** *παρθικῆς εἶδον* **A** *παρθηκῆς ἴδον* **B** || **18** *ὂν* Di. *ὧν* **AB** || **23** *γομὸρ* **A** *γομὼρ* **B** | *μὰν*] ita hoc loco **AB** cum Ex. || **24** *κύριος συνέταξε* **A** tr. **B** || **25** *ῥαφιδεὶν* **B** *ῥαφιδὴν* **A** || **29–31** lemmata om. **A**m

δόρησις. ἔνθα Ἀμαλὴκ ἐλθὼν ἐπολέμησε τὸν Ἰσραήλ, οἷς ἐπιπέμψας Μωυ-
σῆς Ἰησοῦν τὸν τοῦ Ναυῆ, καλούμενον Αὐσῆ πρὸ τούτου, μετὰ δυνάμεως ἐκ-
λεκτῆς στρατηγόν, αὐτὸς τῇ τῶν χειρῶν ἐκτάσει σταυροειδῶς τυπούμενος
προσανεῖχε τῷ θεῷ. μέχρι μὲν οὕτω ταύτας ἐτύπου Μωυσῆς ἐπαίρων εἰς
5 ὕψος, ἐκράτει τῶν ἐναντίων ὁ Ἰσραήλ, ἡνίκα δ' ἂν καθῆκε ταύτας διὰ
βάρος, ἡττῶντο. τότε ἐπικαθίσας λίθῳ ὑπὸ Ἀαρὼν καὶ Ὤρ ἕως ἡλίου
δυσμῶν τὰς χεῖρας ἐξέτεινε στηριζόμενος· καὶ Ἰησοῦς ἅπαντα τὸν Ἀμαλὴκ
ἐν φόνῳ μαχαίρας ἐτροπώσατο, τῇ τῆς νίκης αἰτίᾳ σταυροειδεῖ τῶν χει-
ρῶν ἐκτάσει τοῦ νομοθέτου τροπαίῳ χρησάμενος.

10 Τότε Ἰοθὼρ ὁ τοῦ Ῥαγουὴλ γαμβρὸς Μωυσέως παρεγένετο πρὸς αὐτὸν
σὺν γυναικὶ αὐτοῦ Σεπφώρᾳ καὶ δυσὶ παισὶν ἐξ αὐτῆς τεχθεῖσι τῷ Μωυσῇ
κατὰ τὴν ἔρημον Μαδιὰμ τῆς εὐδαίμονος Ἀραβίας πλησιάζουσαν τῷ ὄρει
Σινᾷ, περὶ οὗ καὶ ὁ θεῖος ἀπόστολος ἔφη· 'τὸ δὲ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν
Ἀραβίᾳ, ἥτις ἐστὶ διαθήκη εἰς δουλείαν γεννῶσα.' ὀνόματα δὲ τοῖς παισὶν
15 ἦν Γηρσὰμ καὶ Ἐλίεζερ· τούτοις οὐδὲν ἄξιον μνήμης πέπρακται.

Ἀκούσας δὲ Ἰοθὼρ τὰ κατ' Αἴγυπτον καὶ τὴν ἐρυθρὰν θαύματα ἐξέστη
καὶ εὐλόγησε τὸν θεόν, θύσας αὐτῷ ὁλοκαυτώματα. καὶ συνεστιαθεὶς
Μωυσῇ καὶ Ἀαρὼν καὶ πᾶσι τοῖς πρεσβυτέροις Ἰσραήλ, περί τε δικαστη- 246
ρίων χρηστὰ συμβουλεύσας ἀνέζευξεν εἰς Μαδιὰμ προπεμφθεὶς ὑπὸ Μωυ-
20 σέως.

Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου
τῇ ἡμέρᾳ ταύτῃ ἦλθον εἰς τὴν ἔρημον τὴν Σινά, καὶ παρέβαλλεν ἐκεῖ
Ἰσραὴλ κατέναντι τοῦ ὄρους, καὶ Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ.
τότε μυσταγωγηθεὶς Μωυσῆς τὰ πρὸς τὸν λαὸν καταβὰς ἀπήγγειλε τοῖς
25 πρεσβυτέροις, τῶν δὲ συνθεμένων ὑπείκειν θεῷ κατὰ πάντα, ἀνήγαγε
πρὸς τὸν θεὸν τοὺς λόγους αὐτῶν. καὶ καταβὰς πάλιν διεμαρτύρατο τῷ
λαῷ πάντων μολυσμῶν καθαρθῆναι καὶ περιρραντισμοῖς ἀφαγνίσασθαι
τρισὶν ἡμέραις ἀπεχομένους καὶ τοῦ γάμου. τῇ δὲ τρίτῃ ἡμέρᾳ πρὸς ὄρθρον
φωναὶ καὶ ἀστραπαὶ γεγόνασι καὶ νεφέλη γνοφώδης ἐπὶ τοῦ ὄρους, ὡς
30 ἀφανὲς ἐν κύκλῳ τοῦ ὄρους εἶναι τῷ γνόφῳ συνειλημμένον φοβεράν τε

10 πενθερὸς Μωσέως

1–9 Ex. 17, 8–13; cf. ps. Sym. f. 36r = Cedr. 138, 7 || **10–15** Ex. 18, 1–6 || **13–14** Gal. 4, 24–25 || **16–20** Ex. 18, 8–27 || **21**–p. 152, **4** Ex. 19, 1–3. 7–8. 14–19. 25

1 ἐπολέμησε **B** ἐπολέμει **A** || **2** ναυῆ **A** ναὴ **B** || **5. 6** διὰ βάρος **A** διαβαρῶς **B** || **8** ἐτροπώσατο **AB** κατετροπώσατο ps. Sym. | σταυροειδεῖ Di. σταυροειδῆ **AB** || **15** γηρσὰμ **B** γιρσὰμ **A** || **16** ἰοθὼρ **A** ἰωθὼρ **B** | ἐξέστη **B** ἐξέστι **A** || **17** θε-όν **B** κύριον **A** || **19** συμβουλεύσας ἀνέζευγεν **B** συμβουλεύσασαν ἔζευξεν **A** || **22** σινά **A** Ex.[AF] σιναί **B** σεινά Ex.[v] || **27** περιρραντισμοῖς Di. περὶ ῥαντι-σμοῖς **A** περιραντισμοῖς **B** || **30** τοῦ ὄρους εἶναι **B** τὸ ὄρος εἶναι **A** || **31** lemma om. **A**[m]

τὴν θέαν ἐμποιεῖν τοῖς ὁρῶσι καπνιζόμενον κύκλῳ πυρὶ καὶ σάλπιγγος καταπλήκτῳ φωνῇ περιηχούμενον. ἐφ' οἷς ἅπας ἐξέστη ὁ λαὸς αὐξανομένης σφόδρα τῆς φωνῆς τῆς σάλπιγγος ἐπὶ τῇ καταβάσει τοῦ θεοῦ ἐπὶ τοῦ ὄρους, Μωυσέως τε διαλεγομένου καὶ τοῦ θεοῦ ἀποκρινομένου. τότε ἐλάλησε κύριος πρὸς Μωυσῆν τὴν νομικὴν δεκάλογον. 5

α' Ἐγώ εἰμι κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου.

247 *β' Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις ἑαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα.*

γ' Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ κενῷ. οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. 10

δ' Μνήσθητι τῇ ἡμέρᾳ τῶν σαββάτων ἁγιάζειν αὐτήν.

ε' Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς.

ϛ' Οὐ μοιχεύσεις.

ζ' Οὐ φονεύσεις. 15

η' Οὐ κλέψεις.

θ' Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου.

ι' Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε 20 *παντὸς κτήνους αὐτοῦ οὔτε ὅσα τῷ πλησίον σού ἐστιν.*

Αὕτη ἡ δεκάλογος γενικῶν ἐντολῶν ἐστι διάταξις.

Ταῦτα τὰ θεῖα διδάγματα φοβερᾷ τινι ἐνάρθρῳ φωνῇ διατέτακται, ὁρῶντος τοῦ λαοῦ καὶ ἀκούοντος, ἧς τὸ κατάπληκτον καὶ ἀκοαῖς δυσάντητον 248 *μὴ φέροντες ᾔτησαν διὰ Μωυσέως τὰ λοιπὰ τῶν ἐφεξῆς ἰδικῶς αὐτοῖς ἐν* 25 *πεντήκοντα κεφαλαίοις νομοθετηθέντα λαληθῆναι.*

Ἦσαν δὲ περί τε οἰκετῶν καὶ φόνων ἑκουσίων καὶ ἀκουσίων, ἀτιμίας γονέων καὶ κακολογίας, κλοπῆς, πατάξεως ἐν μάχαις πρὸς ζωὴν καὶ πρὸς θάνατον, ἐλευθέρων πρὸς ἐλευθέρους καὶ δεσπότου πρὸς δοῦλον καὶ ἀν-

6 *οὗτοι οἱ δέκα λόγοι οὓς εἶπεν κύριος ὁ θεὸς τῷ Μωσῇ ἐν ὄρει Σιναί* 30

6 – p. 154, 4 cf. ps. Sym. f. 35r.v = Cedr. 132, 21 – 135, 17 || 6 – 21 Ex. 20, 1 – 17 || 23 Ex. 20, 18 – 19 || 27 – p. 153, 21 Ex. 21, 1 – 23, 11

2 *ἐξέστη* B *ἐξέστι* A || 3.4 *ἐπὶ τοῦ* A *τοῦ* B || 6 *ὁ ἐξαγαγὼν* AB Ex.AF *ὅστις ἐξήγαγον* Ex.V || 7 *ποιήσεις* A *ποιήσῃς* B | *ἑαυτῷ* AB *σεαυτῷ* ps. Sym. et Ex. || 9 *λήψῃ* A ps. Sym. *λήψει* B *λήμψει* Ex. || 11 *τῇ ἡμέρᾳ* AB *τὴν ἡμέραν* Ex. || 12 *σου*[1] A ps. Sym. om. B || 23 *διδάγματα* A ps. Sym. *διατάγματα* B || 26 *νομοθετηθέντα* A ps. Sym. *νομοθετηθέντων* B || 27 *ἑκουσίων καὶ ἀκουσίων* B tr. A || 28 *μάχαις* B ps. Sym. *μαχαίραις* A || 29 *δοῦλον* B *δούλου* A || 30 lemma om. Bm

*ὁρῶν πρὸς ἔγκυον γυναῖκα, καὶ ἐκβολῆς ὀφθαλμοῦ δούλου καὶ δούλης, κε-
ρατισμοῦ ταύρου πρὸς θάνατον καὶ τοῦ κυρίου αὐτοῦ, καὶ ὀρυγῆς λάκκου
καὶ κτηνῶν ἐμπτώσεως ἐν τούτῳ, κερατισμοῦ ταύρου πρὸς ταῦρον, κλο-
πῆς μόσχου καὶ θανῆς τοῦ κλέπτου ἐν τῷ διορύγματι κατὰ βοσκημάτων,
5 καὶ ἅλωνος ἐμπρησμοῦ, παρακαταθήκης ἀργυρίου καὶ χρυσίου, καὶ ὑπο-
ζυγίων καὶ παντοίων κτηνῶν χρήσεως παρὰ τῷ πλησίον, φθορᾶς παρθέ-
νου, καὶ θανάτου φαρμακοῦ, κτηνοβασίας, καὶ θυσίας εἰδώλων, κακώ-
σεως προσηλύτου καὶ ὀρφανῶν καὶ χηρῶν, δανειζομένων, κακολογίας εἰς
θεὸν καὶ ἄρχοντας λαοῦ, ἀπαρχῶν ἅλωνος καὶ ληνοῦ, πρωτοτόκων υἱῶν
10 μόσχων τε καὶ προβάτων καὶ ὑποζυγίων, τοῦ εἶναι αὐτοὺς ἄνδρας ἁγίους
θεῷ, καὶ κρέα θηριάλωτον μὴ ἐσθίειν, ἀλλὰ κυσὶν ἀπορρίπτειν, μὴ παρα-
δέχεσθαι ἀκοὴν ματαίαν, μὴ συμμαρτυρεῖν ἀδίκῳ, μὴ συνεῖναι πολλοῖς
ἐπὶ κακίᾳ, μὴ ἐκκλῖναι μετὰ πολλῶν κρίσιν, μήτε ἐλεῆσαι πτωχὸν ἐν κρί-
σει, ἀποστρέφειν καὶ ἀποδιδόναι τὸν βοῦν καὶ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ
15 πλανώμενον εὑρόντα, καὶ πεπτωκὸς ὑπὸ τὸν γόμον συνεγείρειν, μὴ δια-* 249
*στρέφειν κρίσιν πένητος δικαίαν, ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀφίστασθαι,
μὴ ἀναιρεῖν ἀθῷον καὶ δίκαιον, μὴ δικαιοῦν τὸν ἀσεβῆ, δῶρα μὴ λαμ-
βάνειν ὡς ἐκτυφλοῦντα βλέποντας καὶ τὸ δίκαιον λυμαινόμενον, προσήλυ-
τον εὖ ποιεῖν, ἓξ ἔτη σπείρειν τὴν γῆν καὶ τῷ ζ' ἄφεσιν αὐτῇ παρέχειν εἰς
20 ἀπόλαυσιν πτωχοῖς ἢ θηρίοις, ὁμοίως καὶ τὸν ἀμπελῶνα καὶ τὸν ἐλαιῶνα
ἓξ ἡμέρας ἐργάζεσθαι τῆς ἑβδομάδος, τῷ δὲ σαββάτῳ ἀναπαύεσθαι.*

*Ὀνόματι θεὸν ἀλλότριον μὴ ὀμνύειν, μήτε προσφέρειν διὰ στόματος.
τρεῖς καιροὺς τοῦ ἔτους ἑορτάζειν· τὴν ἑορτὴν τῶν ἀζύμων πρώτην ἑπτὰ
ἡμερῶν τῷ μηνὶ τῶν νέων ἤτοι κατὰ τὴν πρώτην τοῦ ἔαρος πανσέληνον,
25 δευτέραν ἑορτὴν θερισμοῦ πρωτογεννημάτων, καὶ τρίτην συναγωγῆς
ἔργων τοῦ ἀγροῦ συντελείας ἀπὸ ἐξόδων ἐνιαυτοῦ. μὴ ὀφθῆναι κενὸν ἐνώ-
πιον κυρίου, καὶ πᾶν ἄρσεν ὀπτάνεσθαι ἐνώπιον κυρίου κατὰ τὰς τρεῖς
ἑορτὰς ταύτας. μὴ θύειν ἐπὶ ζύμῃ αἷμα θυσιάσματος κυρίου, ἀλλ' ἐπ' ἀζύ-
μοις· μὴ μένειν ἕως πρωὶ στέαρ τῆς ἑορτῆς, καὶ τὰς ἀπαρχὰς τῶν πρω-
30 τογεννημάτων τῆς γῆς εἰσάγειν εἰς τὸν οἶκον τοῦ θεοῦ. ἐφ' ἅπασι μὴ ἕψειν
ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.*

22–31 Ex. 23, 13–19

1 *ὀφθαλμοῦ* **B** ps. Sym. *ὀφθαλμῶν* **A** Cedr. || **5** *ὑποζυγίων* **B** ps. Sym. *ὑποζυγίου* **A** || **11** *θηριάλωτον* **B** ps. Sym. *θηριάλωτα* **A** || **13** *μὴ ἐκκλῖναι* **B** ps. Sym. *καὶ ἐκκρῖναι* **A** || **15** *εὑρόντα* **A** ps. Sym. *εὑρῶντα* **B** || **20** *πτωχοῖς ἢ θηρίοις* **AB** *πτωχῶν ἢ θηρίων* ps. Sym. || **22** *θεὸν ἀλλότριον* **AB** *θεῶν ἀλλοτρίων* ps. Sym. || **25** *πρωτογεννημάτων* ps. Sym. *πρωτωγεννημάτων* **A** *πρωτογενημάτων* **B** Ex. | *τρίτην* ps. Sym. *τρίτον* **AB** || **26** *ἔργων* **B** Cedr. *ἔργον* **A** ps. Sym. || **27** *ἄρσεν* **AB** *ἀρσενικὸν* ps. Sym. || **30** *ἕψειν* Cedr. *ἑψεῖν* **AB** ps. Sym.

Ταῦτα τὰ δικαιώματα τοῦ θεοῦ Μωυσῆς ἐλθὼν ἀπήγγειλε τῷ λαῷ μετὰ
250 *καὶ ἄλλων τινῶν θείων παραινέσεων, καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς μιᾷ φωνῇ*
λέγοντες· πάντας τοὺς λόγους κυρίου ποιήσομεν καὶ ἀκουσόμεθα. καὶ ἔγρα-
ψε ταῦτα πάντα. τότε ὀρθρίσας ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος
καὶ ιβʹ λίθους κατὰ φυλὴν ἔστησε· καὶ θύσας τῷ θεῷ μόσχους προσέχεε 5
τὸ ἥμισυ τοῦ αἵματος πρὸς τὸ θυσιαστήριον· ἐπανέγνω τε αὖθις εἰς τὰ ὦτα
τοῦ λαοῦ τὸ βιβλίον τῆς διαθήκης, καὶ εἶπον· πάντα ὅσα ἐλάλησε κύριος
ποιήσομεν καὶ ἀκουσόμεθα. καὶ λαβὼν τὸ ἄλλο ἥμισυ τοῦ αἵματος τῶν
θυσιῶν ἐν κρατῆρι κατεσκέδασε τοῦ λαοῦ καὶ εἶπεν· ἰδοὺ τὸ αἷμα τῆς δια-
θήκης ἧς διέθετο πρὸς ἡμᾶς κύριος περὶ πάντων τῶν λόγων τούτων. 10
Παραλαβὼν δὲ Μωυσῆς τὸν Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ σὺν ἄλλοις
οʹ τῆς γερουσίας ἀνέβη, οὗ εἱστήκει ὁ θεὸς τοῦ Ἰσραήλ. καὶ εἶδον τὸν τό-
πον καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον λίθου σαπφείρου καὶ ὥσπερ
εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαρότητι, καὶ τῶν ἐπιλέκτων τοῦ
Ἰσραὴλ οὐ διεφώνησεν οὐδὲ εἷς. καὶ ὤφθησαν ἐν τῷ τόπῳ, καὶ ἔφαγον καὶ 15
ἔπιον.
Τοῖς οὖν γενικοῖς καὶ ἰδικοῖς νόμοις Μωυσῆς προκαταρτηθεὶς τὴν διά-
νοιαν ἐπὶ τὴν ἀκρώρειαν ἀνελθεῖν ὑπὸ τοῦ θεοῦ προσετάχθη, ἔνθα σὺν
Ἰησοῦ τῷ τοῦ Ναυῆ μόνῳ προσαναβὰς ἐπὶ τελειοτέραν μυσταγωγίαν
ἀνάγεται, ναοῦ τινος αὐτῷ παραδειχθέντος παμποικίλου καὶ δυσερμηνεύ- 20
251 *του, προπυλαίοις καὶ στύλοις καὶ παραπετάσμασι τραπέζῃ τε καὶ λύχνοις*
καὶ θυμιατηρίῳ καὶ ἀνεπιβάτοις ἀδύτοις κεκαλλωπισμένου· ὧν τὴν τῆς
κατασκευῆς ἱστορίαν οὐ γραφῇ παραδοῦναι μόνῃ κελεύεται, ἀλλὰ καὶ αὐ-
τοῖς ἔργοις ὅσον ἀνθρώποις ἐκμιμήσασθαι δυνατὸν τὴν ἄυλον ἐκείνην καὶ
θαυμαστὴν δημιουργίαν ἐν ὑλικῇ κατασκευῇ διὰ τῶν κατὰ γῆν εὑρισκο- 25
μένων τιμιωτάτων ὑλῶν ἐκμιμήσασθαι σκηνῆς τύπῳ συμπεριφερομένης
τοῖς ἐκ τόπου τόπον ἀμείβουσι μετανάσταις.
Ἐν δὲ τῇ κατασκευῇ πλέον μὲν ὁ χρυσὸς παρελήφθη κύκλῳ περικεχυμέ-
νος τοῖς στύλοις, κατὰ δὲ τὰς κορυφὰς καὶ τὰς βάσεις καὶ ὁ ἄργυρος, ἔστι
δέ που καὶ ὁ χαλκὸς ἐν κεφαλαῖς καὶ βάσεσι τῶν ἀργυρῶν κιόνων. ὁ δὲ 30
περίβολος τοῦ ναοῦ καὶ ὁ τῶν κιόνων ὄροφος τά τε παραπετάσματα καὶ
καταπετάσματα πάντα δι' ὑφασμάτων ὑακινθίνων καὶ πορφυρῶν καὶ κοκ-

1–10 Ex. 24, 3–8 ‖ 11–16 Ex. 24, 9–12 ‖ 18–27 cf. Ex. 24, 12–25, 8 ‖ 28–p. 155, 3 Ex. 26, 31–27, 21

3 *ποιήσομεν* ps. Sym. *ποιήσωμεν* **AB** | *ἀκουσόμεθα* **B** ps. Sym. *ἀκουσώμεθα* **A** ‖ 6 *πρὸς* **B** *εἰς* **A** | *τὰ* om. **B** ‖ 7 *εἶπον* **B** *εἰπὼν* **A** ‖ 8 *ποιήσομεν καὶ ἀκουσόμεθα* Ex. *ποιήσωμεν καὶ ἀκουσώμεθα* **AB** ‖ 10 *ἡμᾶς* **AB** *ὑμᾶς* Ex. | *τῶν λόγων τούτων* **B** *τὸν λόγον τοῦτον* **A** ‖ 11 *ναδὰβ* **B** *ναδὰμ* **A** ‖ 12 *εἶδον* Ex. *ἰδὼν* **AB** ‖ 13 *λίθου* **AB** *πλίνθου* Ex. ‖ 26 *τύπῳ* **B** *τύπον* **A** ‖ 27 *τόπον ἀμείβουσι* **A** *τόπων ἀμείβουσαν* **B** ‖ 28 *παρελήφθη* **A** *παρελείφθη* **B**

κίνων βαπτῶν καὶ τοῦ λαμπροῦ καὶ αὐτοφυοῦς λευκοτάτου βύσσου ἐμπείρως καθυφασμένων. ἔν τισι δὲ καὶ λίνον καὶ τρίχες καὶ ἐρυθρὰ δέρματα παρελήφθη πρὸς τὴν κατάλληλον ἑκάστου χρείαν.

Ἐφ' οἷς ἱερατικὴ στολὴ δι' ἐπωμίδων ἐκ διαφόρων βαφῶν, ἐξ ὧν ἦν καὶ
5 τὸ καταπέτασμα πεποικιλμένον, πλέον ἐχουσῶν τοῦ χρυσοῦ νήματος, τῶν τε πορπῶν καθ' ἕτερον μέρος, αἳ συνέχουσι τὰς ἐπωμίδας σμαράγδοις ἐν κύκλῳ διαχρύσοις περισφίγγουσαι, τῇ χλοερᾷ φύσει τῶν λίθων διαλαμπουσῶν, αὐτῶν τε τῶν λίθων ἐγγεγλυμμένα τὰ τῶν πατριαρχῶν ἀνὰ ἓξ 252 ἐχόντων ὀνόματα, καὶ τὰ τούτων ἀπηρτημένα κοσμίως ἀσπίδια κατὰ τὸ
10 ἔμπροσθεν μέρος, αἵ τε καθ' ἑκάτερον μέρος ἀπὸ τῆς πόρπης ἄνωθεν καθιέμεναι τῶν ἀσπίδων διάπλοκοι σειραὶ ἐπ' ἀλλήλων διαλλὰξ κατά τινα ῥυθμὸν ἐκ χρυσοῦ δικτυοειδῶς πεπλεγμέναι καὶ βαφαῖς συνηνθισμέναι.

Τούτοις ἑξῆς τὸ λόγιον τῶν κρίσεων τοῦ στήθους προβεβλημένον τοῦ ἀρχιερέως κατὰ ῥυθμὸν τῆς ἐπωμίδος ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορ-
15 φύρας καὶ κοκκίνου κεκλωσμένον κατεσκεύαστο καὶ βύσσου, τετράγωνον, διπλοῦν, ἰσόπλευρον, σπιθαμῆς μῆκος καὶ πλάτος ιβ', λίθοις ἐν τέτρασι στίχοις κειμένοις καὶ ἐγκαθυφασμένοις οὕτως.

Πρῶτος στίχος λίθων τριῶν, σάρδιον, τοπάζιον καὶ σμάραγδος. δεύτερος στίχος ἄνθραξ, σάπφειρος, ἴασπις. τρίτος στίχος λιγύριον, ἀχάτης,
20 ἀμέθυστος. τέταρτος στίχος χρυσόλιθος, βηρύλλιον, ὀνύχιον. οὗτοι οἱ ιβ' λίθοι, φέροντες τὰ τῶν ιβ' φυλῶν ὀνόματα τοῦ Ἰσραὴλ ἐγγεγλυμμένα καθ' ἕνα αὐτῶν, περικεχρυσωμένοι καὶ ἐνδεδυμένοι χρυσίῳ καθαρῷ ἐπὶ τοῦ λογίου ἦσαν. τὸ δὲ λόγιον κροσσοῖς συμπεπλεγμένοις ἁλυσιδέτοις ἐκ χρυσίου καθαροῦ καὶ δυσὶ δακτύλοις χρυσοῖς ἀπεκρέματο τῶν ὤμων
25 τοῦ ἀρχιερέως συμβεβλημένοις μηχανήμασι σφιγκτοῖς πρὸς τὰς δύο ἐπωμίδας, ὡς κεῖσθαι αὐτὸ κατὰ μέσον τοῦ στήθους τοῦ ἀρχιερέως ἐν ταῖς εἰσόδοις ταῖς εἰς τὸ ἅγιον· ἐπὶ δὲ τὸ λόγιον, φησί, τῆς κρίσεως ἐπιθήσεις τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρών, ὅταν 253 εἰσπορεύηται εἰς τὸ ἅγιον ἔναντι κυρίου, καὶ οἴσει Ἀαρὼν ἔναντι κυρίου
30 τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ στήθους διὰ παντός.

Περὶ τούτου τοῦ λογίου φησὶν ὁ Ἰώσηππος ἐν τρίτῳ ὅτι οἱ δύο σαρδώνυχοι οἱ ἐπὶ τῶν ὤμων τοῦ ἀρχιερέως καὶ οἱ ἐπὶ τοῦ στήθους δωδεκάλιθοι

6 *τί ἐστι πόρπη· πόρπη ἐστὶν ἡ φίβλα, ἡ περόνη* || **27** *τί ἦν τὸ λόγιον*

4–12 Ex. 28, 4–14 || **13–30** Ex. 28, 15–26 || **31** Ioseph. Ant. Iud. 3, 216–218

1 αὐτοφυοῦς **B** αὐτοφαοῦς **A** || **2** λίνον **B** λίνων **A** || **11** ἐπ'] ἐν **AB** || **13** προβεβλημένον **B** προβεβλημένων **A** || **17** στίχοις **A** στοιχεὶ **B** || **23** ἁλυσιδέτοις Ex.[AF] ἀλυσειδέτοις **A** ἀλύσει δὲ τοῖς **B** ἁλυσιδώτοις Ex.[v] || **28** τοῦ om. **B** || **29** εἰσπορεύηται Ex. εἰσπορεύεται **B** εἰσπορευόμενος **A** || **31** ὁ om. **A** | σαρδώνυχοι **A** σαρδόνυχοι **B**

λόγιον ἐκαλοῦντο διὰ τὸ σημαίνειν ἔκ τε τῆς αὐγῆς τὰ χρηστὰ καὶ ἐκ τῆς ἐπισκοτήσεως τὰ δεινὰ ἐν πολέμοις καὶ ἄλλοις παντοίοις πράγμασι τῷ Ἰσραήλ. ἡ δὲ τοιαύτη σημασία δήλωσις ἐλέγετο καὶ ἀλήθεια ἐν τῷ λογίῳ θεόθεν ἀναφαινομένη, ἥτις κατὰ ἁμαρτίας τοῦ λαοῦ, φησίν, ἐπαύσατο ἐνεργοῦσα τῶν Ἰωσήππου χρόνων πρότερον ἔτεσι διακοσίοις. 5

Μετὰ τὸ λόγιον ὑποδύτην ποδήρη ὅλον ὑακίνθινον ὑφαντὸν ἔνδον τῶν ἐπωμίδων ἐξ αὐχένος εἰς πόδας κατιόντα προστέτακται, τοῖς τῶν κοσυμβῶν διαστήμασιν εὐπρεπῶς κεκοσμημένον, τὸ κράσπεδόν τε ἐξ ὑφαντικῆς ποικιλίας καὶ χρυσῶν ἀπαρτημάτων ἔχοντα κώδωσι καὶ ῥοΐσκοις ἐκ παραλλήλου κεκαλλωπισμένον τεκτήνασθαι. εἶτα πέταλον χρυσοῦν ἁγίῳ τινὶ 10 *καὶ ἀρρήτῳ χαράγματι κατασεσημασμένον ἐπιτίθεσθαι τῷ μετώπῳ τοῦ ἀρχιερέως, καὶ κίδαριν καὶ ζώνην. καὶ ὁ τῶν κρυφίων κόσμος καὶ ὅσα* 254 *ἄλλα περὶ ἱερατικῆς ἐκπέφανται δι' αἰνιγμάτων ἀρετῆς ἐν περιβολῇ σχήματος.*

Ταῦτα πάντα ἐν ἡμέραις μʹ μυηθεὶς καὶ ὅσα λοιπὰ κατὰ μέρος περὶ κατα- 15 *σκευῆς τῆς σκηνῆς καὶ ἱερωσύνης καὶ θυσιῶν καὶ ἐξιλασμῶν, ἔτι τε δύο πλάκας ἱερὰς καὶ θεοτεύκτους οἷόν τι δῶρον ἀχειροποίητον ἐκ θεοῦ λαβὼν θείῳ δακτύλῳ γεγραμμένας κατῄει ταύτας ἐπιφερόμενος, εἰπόντος πρὸς αὐτὸν τοῦ θεοῦ· βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν, ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου. παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ ἧς ἐνετεί-* 20 *λω αὐτοῖς. ἐποίησαν ἑαυτοῖς μόσχον καὶ προσκεκυνήκασιν αὐτῷ καὶ τεθύκασιν αὐτῷ, καὶ εἶπαν· οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. καὶ νῦν ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ ἰσχυρότερον ἢ τοῦτο. ταῦτα πρὸς αὐτὸν εἰπόντος, αὐτοῦ τε δεηθέντος ὑπὲρ αὐτῶν καὶ ἐξιλασαμένου οὕτω κατῄει.* 25

Ἀκούσας δὲ Ἰησοῦς τὴν φωνὴν τοῦ λαοῦ κραζόντων λέγει πρὸς Μωυσῆν· φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ. καὶ λέγει Μωυσῆς· οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ' ἰσχὺν οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἀκούω ἐγώ. ἡνίκα δὲ ἤγγισε τῇ παρεμβολῇ παρὰ τὸν μόσχον καὶ τοὺς χορούς, ὀργισθεὶς θυμῷ Μωυσῆς ἔρριψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ 30

3 *ὅτι σʹ ἔτη ἐπαύσατο ἐνεργοῦσα ἡ σημασία ἐν τῷ λογίῳ ἢ καὶ ἐλέγετο ἀλήθεια*

6 **Ex. 28, 27–36** || **15** cf. **Ex. 31, 18; 32, 7–15** || **26** **Ex. 32, 17–20**

[**AB** (72, 22–156, 28)] **2** *ἐπισκοτήσεως* **A** *ἐπισκοτίσεως* **B** || **6** *ὑποδύτην* **B** *ὑποδέτην* **A** | *ὑφαντὸν* **B** *ὑφαντῶν* **A** || **7** *κοσυμβῶν* **B** *κοσύμβρων* **A** || **8** *κεκοσμημένον* **B** *κεκοσμημένων* **A** || **9** *ποικιλίας* **B** *ποικίλλης* **A** || **20** *σου* **A** *μου* **B** || **21** *προσκεκυνήκασιν* **B** *προσκεκοινήκασιν* **A** || **23** *ἐκτρίψω* **B** *ἐκτρίβω* **A** || **28** *οὐδὲ φωνὴ ἐξαρχ-*] explicit **B** f. 38ᵛ post quod excidit folium unum || **29** *παρὰ* **A** *ὁρᾷ* **Ex.** || **31** lemma om. **A**ᵐ

τὰς δύο πλάκας καὶ συνέτριψεν αὐτὰς ὑπὸ τὸ ὄρος, καὶ λαβὼν τὸν μόσχον κατέκαυσεν αὐτὸν ἐν πυρὶ καὶ κατήλεσεν αὐτὸν λεπτόν, καὶ ἔσπειρεν αὐτὸ ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισεν αὐτὸ τοῖς Ἰσραηλίταις. 255

Ἔνθα δὴ θυμῷ καὶ ζήλῳ θεοῦ κατὰ τῶν ἀσεβῶν κινηθεὶς καὶ ἐμφυλίῳ 5 πολέμῳ τὸ θεῖον ἱλεωσάμενος τῇ καθάρσει τῶν ἡγησαμένων τῆς μανίας, ἄλλην ἡμερῶν τεσσαρακοντάδα νηστεύει, καθὰ καὶ τὸ πρότερον, μηδενὸς προσδεηθεὶς τῶν συνήθων τῇ φύσει βρώματος, ἀλλ' ἄλλῳ τρόπῳ βιοτεύων ἐξηλλαγμένῳ, πλάκας τε λαμβάνει, χερσὶν αὐτοῦ Μωυσέως εἰργασμένας, θείᾳ δὲ δυνάμει γεγραμμένας. τότε εἶδε καὶ τὴν δόξαν κυρίου παρὰ τὴν 10 τῆς πέτρας ὀπὴν καθίσας.

Καὶ ἐδοξάσθη τῷ προσώπῳ, ὡς μὴ δύνασθαι ἀτενίζειν τῷ προσώπῳ αὐτοῦ κατελθόντος ἀπὸ τοῦ ὄρους τόν τε Ἀαρὼν καὶ τοὺς υἱοὺς Ἰσραήλ. αὐτὸς δὲ ἠγνόει ὅτι δεδόξασται ἡ ὄψις αὐτοῦ ἕως τοῦ λαλῆσαι αὐτοῖς καὶ ἰδεῖν ὅτι ἐφοβοῦντο ἐγγίσαι αὐτῷ. μετὰ δὲ τὸ λαλῆσαι αὐτοῖς ὅσα ἐνετεί-15 λατο κύριος αὐτῷ, ἐπέθηκε κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ. ἡνίκα δ' ἂν εἰσεπορεύετο ἔναντι κυρίου περιῃρεῖτο τὸ κάλυμμα.

Τότε τὴν σκηνὴν ἐπήξατο παραδοὺς τὰ νομικὰ καὶ τὴν θείαν ἱερωσύνην κατὰ τὴν θείαν ὑφήγησιν, ἐμπλήσαντος τοῦ θεοῦ τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρῆ τὸν τοῦ Ὢρ ἐκ φυλῆς Ἰούδα πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ 20 ἐπιστήμης ἀρχιτεκτονεῖν πάντων, ποιεῖν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν καὶ λιθουργεῖν τὸν λίθον καὶ πᾶν ξύλον σὺν τῷ Ἐλιὰβ τῷ τοῦ Ἀχισαμὲχ ἐκ φυλῆς Δάν.

Τοῦτον τὸν Βεσελεὴλ Ἰώσηππος υἱὸν εἶναι Μαρίας τῆς ἀδελφῆς Μωυσέως διαβεβαιοῦται καὶ τοῦ Ὢρ, ὃς σὺν τῷ Ἀαρὼν ἀνεῖχε τὰς χεῖρας 25 Μωυσέως κατὰ τοῦ Ἀμαλήκ. καὶ πιθανὸς ὁ λόγος. ἄλλοι τὸν Ὀζιὴλ φασιν 256 εἶναι ἄνδρα Μαρίας, οὐκ ἔχοντες δεῖξαι πόθεν. φησὶ δὲ Ἰώσηππος ὅτι ἐν ἑπτὰ μησὶν ἐτελειώθη πάντα τὰ ἔργα τῆς σκηνῆς καὶ τῇ πρώτῃ ἡμέρᾳ τοῦ πρώτου μηνὸς τοῦ δευτέρου ἔτους τῆς ἐξόδου ἔστη. τοῦτο δὲ καὶ ἡ γραφὴ τῆς Ἐξόδου μαρτυρεῖ πέρας ἐν τούτοις ἔχουσα.

30 Τὰ ἐν τῇ τρίτῃ Μωυσαϊκῇ βίβλῳ τοῦ λεγομένου Λευιτικοῦ περί τε προσαγόντων καὶ προσαγομένων θυσιῶν ὑπὸ τοῦ λαοῦ καὶ τῶν ἱερέων περί τε ἱλασμοῦ ἁμαρτιῶν καὶ εἰσόδου τῶν ἱερέων καὶ ἐξόδου εἰς τὰ ἅγια, χρίσεώς

4 cf. Ex. 32, 25–35; 33, 22; 34. 1. 28 || 11 Ex. 34, 29–35 || 17 Ex. 35, 30–34 || 23 Ioseph. Ant. Iud. 3, 105 || 25 cf. Numer. 3, 19 || 26 Ioseph. Ant. Iud. 3, 201 || 29 Ex. 40, 15 || 30 Leuit. 10, 1–2

2 αὐτὸ] αὐτὸν Ex. || 3 ἐπὶ A Ex.[AF] ὑπὸ Ex.[v] || 9 δὲ δυνάμει Di. tr. A || 10 καθίσας Di. καθήσας A || 25 πιθανὸς Di. πειθανὸς A || 28 ἔστη] ita A ἔτη legebant et deleuerunt Go. Di. || 32 χρίσεώς Di. χρήσεως A

τε Ἀαρὼν καὶ τῶν παίδων αὐτοῦ Ναβὰδ καὶ Ἀβιοὺδ καὶ προχειρισμοῦ αὐτῶν, οἳ καὶ διεφθάρησαν κατ' αὐτὸ μετὰ πολλὰς ἡμέρας πῦρ χειρόηθες τοῖς θυσιαστηρίοις προσφέροντες, ὅπερ προαπηγόρευτο, πυρὸς οὐρανίου τὰς θυσίας καταναλίσκοντος ἀεί, ἐξ οὗ καὶ θυμιᾶν ἐχρῆν, τά τε περὶ τὸν ἐγκαινισμὸν τῆς σκηνῆς καὶ τῶν ἱερῶν καὶ λοιπῶν ἠθικῶν νομίμων καὶ 5 *κολάσεων τοῖς παραβαίνουσιν, ὅσα τε τῶν τετραπόδων καὶ πετεινῶν καὶ νηκτῶν βρώσιμα, καὶ περὶ τοῦ λιθοβοληθέντος διὰ τὴν βλασφημίαν υἱοῦ τῆς Ἰσραηλίτιδος καὶ τοῦ Αἰγυπτίου ἐν τῇ πρὸς τὸν Ἑβραῖον μάχῃ, καὶ περὶ τοῦ μὴ δεῖν ὅλως προσφέρειν ἀλόγως τὸ θεῖον ὄνομα, κατὰ τοῦτο τὸ δεύτερον ἔτος τῆς ἐξόδου Αἰγύπτου πέπρακταί τε καὶ διατετύπωται.* 10

Τῷ δ' αὐτῷ δευτέρῳ ἔτει μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἐλάλησε κύριος 257 *πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινᾶ, ὥς φησιν ἡ τετάρτη Μωυσαϊκὴ βίβλος τῶν Ἀριθμῶν, ἐξαριθμῆσαι τὸν λαὸν ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, καὶ εὑρέθησαν μυριάδες ξ' καὶ ͵γφν' χωρὶς τῶν Λευιτῶν. οὗτοι γὰρ ταχθέντες προστάγματι θεοῦ λειτουργεῖν τῷ Ἀαρὼν καὶ φυλάσσειν τὰς φυλακὰς αὐ-* 15 *τοῦ καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ καὶ ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου, ἀντὶ πρωτοτόκων τῷ θεῷ ἐλογίσθησαν τῶν ιβ' φυλῶν· οἳ καὶ ἐπισκεπέντες εὑρέθησαν χιλιάδες κβ'. ἐφ' οἷς ἀριθμοῦνται τὰ προσενεχθέντα εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου παρὰ τῶν ἀρχόντων τῶν ιβ' φυλῶν ἐν ἡμέραις ιβ' καὶ ὁ τῶν Λευιτῶν ἀφαγνισμός· καὶ αἱ δύο* 20 *σάλπιγγες αἱ ἀργυραῖ γεγόνασιν ἐλαταὶ καὶ αἱ σημασίαι αὐτῶν ἐτάχθησαν πρὸς τὸ ἐξαίρειν τὰς παρεμβολὰς καὶ πρὸς τοὺς πολεμίους.*

Τῇ δὲ εἰκάδι τοῦ αὐτοῦ δευτέρου μηνὸς ἔτους δευτέρου τῆς ἐξόδου ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῆς ἐρήμου Σιναῒ ἦλθον εἰς τὴν ἔρημον Φαράν, ἀναβάσης τῆς νεφέλης ἀπὸ τῆς σκηνῆς τοῦ μαρτυρίου. ἡ δὲ κιβωτὸς δια- 25 *θήκης κυρίου προεπορεύετο αὐτῶν ἐπὶ τρεῖς ἡμέρας. διεγόγγυζον οὖν οἱ Ἰσραηλῖται κατὰ θεοῦ καὶ ἀνηλώθησάν τινες κεραυνοῖς· ὅθεν ὁ τόπος ἐμπυρισμὸς ἐκλήθη. ἔκλαιόν τε οἱ λοιποὶ δι' ἐπιθυμίαν κρεῶν καὶ ἰχθύων τῶν ἐν Αἰγύπτῳ, σικύων τε καὶ πεπόνων καὶ πράσων κρομμύων τε καὶ σκόρδων, μισοῦντες τὸ μάννα.* 30

Τότε δίδονται πρὸς βοήθειαν Μωυσέως ἄνδρες ο' κατὰ πνεῦμα θεόθεν 258 *κοινωνήσαντες αὐτῷ, ὧν δύο τινὲς Ἐλδὰδ καὶ Μωδὰδ τῶν καταγεγραμμένων ὄντες ὑπὸ Μωυσέως ἐν τοῖς ο' μὴ εὑρεθέντες ἐν τῇ σκηνῇ σὺν τοῖς ξη' προεφήτευσαν ἀπόντες ἐν τῇ παρεμβολῇ. τότε δίδοται αὐτοῖς ὀρτυγο-*

4 Leuit. 24, 10–23 || 11 Numer. 1, 1–4. 44–46 || 14 Numer. 3, 39 || 18 Numer. 7, 10–8, 22; 10, 1–10 || 23 Numer. 10, 11–12 || 25 Numer. 10, 33; 11, 1–3 || 28 Numer. 11, 4–6 || 31 Numer. 11, 24–34

[**AB** (158, 34–172, 17)] 22 *ἐξαίρειν* Num. *ἐξάρειν* **A** *ἐξάγειν* Di. || 34 *τότε*] incipit **B** f. 39r | *δίδοται* **A** *δέδοται* **B**

μήτρα, καίτοι Μωυσέως διστάζοντος ἀπείρως, ὡς ἐμφορηθέντες πληγῆναι διὰ τὸ ἀκόρεστον ὑπὸ τοῦ θεοῦ καὶ ἀποθανεῖν πολλοὺς σφόδρα. τὸ δὲ ὄνομα τοῦ τόπου μνήματα κληθῆναι ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν ἐπιθυμητὴν λαόν.

5 *Ἀπὸ μνημάτων ἐπιθυμίας ἦλθον εἰς Ἀσηρώθ, καὶ ἐλάλησαν κατὰ Μωυσέως ἡ ἀδελφὴ αὐτοῦ Μαριὰμ καὶ Ἀαρὼν μεμφόμενοι ὅτι γυναῖκα ἔλαβεν Αἰθιόπισσαν Μωυσῆς, καὶ ὅτι λελάληκεν ὁ θεὸς καὶ ἡμῖν ὡς κἀκείνῳ. καὶ ἤκουσε κύριος καὶ ἐξήλεγξεν αὐτούς. καὶ Μαριὰμ ἐλεπρώθη, ἕως Μωυσῆς ὁ πάντων τῶν τηνικαῦτα ἀνθρώπων πραότατος ἐδεήθη κυ-* 10 *ρίου, καὶ ἰάθη· πλὴν ἠφορίσθη ἔξω τῆς παρεμβολῆς ἡμέρας ζ′.*

Ἐξ Ἀσηρὼθ ἦλθον πρὸς τῇ ἐρήμῳ Φαρὰν καὶ ἀπέστειλε Μωυσῆς κατὰ πρόσταγμα κυρίου ἄνδρας ιβ′ ἀρχηγούς, ἕνα κατὰ φυλήν, ἐν οἷς ἦν Χαλὲβ τῆς φυλῆς Ἰούδα, εἷς τῶν ιβ′, καὶ Αὐσῆς, ἤγουν Ἰησοῦς υἱὸς Ναυή, ἐκ φυλῆς Ἐφραίμ, κατασκοπῆσαι τὴν γῆν Χαναάν· οἳ πορευθέντες μεθ' ἡμέ- 15 *ρας μ′ ἐπανῆλθον, φέροντες τοῦ καρποῦ τῆς γῆς βότρυν σὺν τῷ κλήματι ἐπ' ἀναφορέως καὶ ῥόας καὶ σῦκα ἐπ' ἄλλων, δεικνύντες τῷ λαῷ τὴν τῆς* 259 *γῆς ἀρετήν. οἱ δὲ ἄλλοι δέκα κατεπτόησαν τὸν λαόν, τὴν γῆν εἰπόντες πονηρὰν κατεσθίουσαν τοὺς οἰκήτορας, καὶ ἄνδρας οἰκεῖν ἐν αὐτῇ φοβερούς, πρὸς οὓς ἑαυτοὺς ὡς ἀκρίδας φαίνεσθαι ἔλεγον.*

20 *Ἀναλαβοῦσα δὲ θρῆνον ἡ πᾶσα συναγωγὴ παννύχιον ἔκλαιον καταγογγύζοντες Μωυσέως καὶ Ἀαρὼν καὶ 'ὤφελον ἀπεθάνομεν ἐν Αἰγύπτῳ' βοῶντες 'ἢ κἂν ἐν τῇ ἐρήμῳ ταύτῃ', ἐβουλεύοντό τε τὰ περὶ τῆς εἰς Αἴγυπτον ἐπανόδου, τίς ὁ στρατηγήσων ἔσται αὐτοῖς. Μωυσῆς τε καὶ Ἀαρὼν ἐπὶ πρόσωπον ἔπεσον ἐνώπιον τοῦ λαοῦ. μόνοι δὲ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ* 25 *Χαλὲβ διαρρήξαντες τὰ ἱμάτια ἐπὶ τῇ ἀλόγῳ δειλίᾳ τήν τε γῆν ἔλεγον θαυμαστὴν καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ κατάβρωμα ἔσεσθαι αὐτοῖς, ὅτι κύριος ἀφέστηκεν ἀπ' αὐτῶν. ἀλλ' οὗτοι μὲν ἔμελλον καταλιθοβολεῖσθαι λέγοντες τὰ ἀληθῆ, καὶ ἐθυμώθη κύριος ἐπὶ τὸν λαὸν τοῦ ἐκτρῖψαι αὐτόν, εἰ μὴ ἐξιλεώσατο Μωυσῆς τὸν θεόν. πλὴν ὤμοσε μὴ ὄψεσθαι αὐτοὺς πάν-* 30 *τας, ὅσοι δὲ κατὰ τοῦτον ἤδη τὸν τρόπον ἐπείρασαν τὸν κύριον, ἰδόντες*

5 *περὶ τῆς γυναικὸς Μωσέως τῆς Αἰθιοπίσσης ὅτι κατεμέμφοντο τὸν Μωσέα Ἀαρὼν καὶ Μαριὰμ διότι αὐτὴν ἔλαβεν* || **11** *περὶ τῶν ἀποσταλέντων ἀνδρῶν κατασκοπῆσαι τὴν γῆν Χαναάν*

5 Numer. 11, 35 – 12, 15 || **11** Numer. 13, 1. 4. 7. 9. 25 – 28. 33 – 34 || **20** Numer. 14, 1 – 11. 20 – 25. 36 – 38

2 *πολλοὺς* **B A**[m] *αὐτοὺς* **A** || **5** et **11** *ἀσηρὼθ* **B** *ἀσιρῶθ* **A** || **7** *λελάληκεν* **B** Num.[v] *ἐλάλησεν* **A** Num.[AF] | *κἀκείνῳ* **B** *κἀκεῖνον* **A** || **12** *Χαλὲβ* Num. *χαλὲκ* **AB** || **16** *τῷ λαῷ* **B** *τὸν λαὸν* **A** || **17** *κατεπτόησαν* **A** *κατεπτώησαν* **B** || **21** *ὤφελον* Di. *ὄφειλον* **AB** *ὄφελον* Num. | *ἀπεθάνομεν* Num. *ἀπεθάνωμεν* **AB** || **24** *ναυῆ* **A** *ναὴ* **B** || **25** *χαλὲβ* **B** *χαλὲμ* **A** | *διαρρήξαντες* **B** *διαρήξαντες* **A** || **30** *τοῦτον ἤδη τὸν* Di. *τὸν ἤδη τοῦτον* **AB** || **31 – 33** lemmata om. **A**[m]

τὴν δόξαν αὐτοῦ καὶ τὰ σημεῖα τὰ κατ᾽ Αἴγυπτον καὶ ἐν τῇ ἐρήμῳ, τούτους πάντας μὴ ἰδεῖν τὴν ἐπηγγελμένην γῆν, πλὴν Χαλὲβ καὶ Ἰησοῦ καὶ τῶν
260 παίδων τοῦ λαοῦ τῶν μὴ εἰδότων κακίαν, ἀλλὰ πάντας κατὰ τὴν αὐτὴν ἔρημον ἀναλωθήσεσθαι ἐπὶ ἄλλα ἔτη λη΄, ὡς ᾐτήσαντο. οἱ δὲ ἄλλοι δέκα ἄνδρες οἱ συγκατάσκοποι Ἰησοῦ καὶ Χαλὲβ ἀπέθανον θείᾳ πληγῇ ὡς 5 ψευσάμενοι κατὰ τοῦ θεοῦ καὶ τῆς αὐτοῦ ἐπαγγελίας.

Ἐπὶ τούτοις ἐπένθησεν ὁ λαὸς σφόδρα καὶ ἀνέβησαν παρὰ γνώμην Μωυσέως πολεμῆσαι πρὸς Ἀμαλήκ, ἔνθα πολλοὶ ἀνηρέθησαν τοῦ Ἰσραήλ. τότε ἀνηρέθη κατὰ πρόσταγμα θεοῦ τις εὑρεθεὶς ξυλευόμενος ἐν σαββάτῳ. τότε καὶ κατὰ Μωυσέως ἀνέστησαν Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν 10 συναποστατήσαντες ἀρχηγοὺς ἄνδρας σν΄, ὧν Δαθὰν μὲν καὶ Ἀβειρὼν σὺν γυναιξὶ καὶ τέκνοις καὶ πάσῃ τῇ ἀποσκευῇ κατεπόθησαν ὑπορραγείσης αὐτοῖς τῆς γῆς, Κορὲ δὲ καὶ οἱ σὺν αὐτῷ σν΄ πυρίφλεκτοι γεγόνασι· τοῦ δὲ λαοῦ ἔπεσον χιλιάδες ιδ΄ καὶ ψ΄. ἔλαβε δὲ Μωυσῆς ἀφ᾽ ἑκάστης φυλῆς ῥάβδον κατὰ πρόσταγμα κυρίου, καὶ ἀπέθετο τὰς ιβ΄ ἐν τῇ σκηνῇ κατα- 15 γεγραμμένας τῷ ὀνόματι τῶν φυλῶν καὶ τὴν ῥάβδον Ἀαρὼν μέσον αὐτῶν γεγραμμένην τῷ οἴκῳ Λευί, ἥτις εὑρέθη βλαστήσασα τῇ ἐπαύριον μέσῃ τῶν λοιπῶν ῥάβδων βλαστοὺς καὶ ἄνθη καὶ κάρυα εἰς πίστιν τοῖς ἀνηκόοις.

Ἦλθον δὲ εἰς τὴν ἔρημον Σιναῒ τῷ πρώτῳ μηνὶ τοῦ μ΄ ἔτους τῆς ἐξόδου καὶ κατέμεινεν Ἰσραὴλ ἐν Κάδης. ἐκεῖ ἐτελεύτησε Μαρία καὶ ἐτάφη. ὁ δὲ 20
261 τόπος ἄνυδρος· ἔνθα καταβοήσαντες Μωυσέως τοσοῦτον παρεπίκραναν τὸν ἠπιώτατον, ὥστε διαστεῖλαι ἐν τοῖς χείλεσιν αὐτοῦ, κελεύσαντος αὐτῷ τοῦ θεοῦ πλῆξαι τὴν πέτραν τῇ ῥάβδῳ τοῦ Ἀαρών, καὶ εἰπεῖν πρὸ τοῦ πατάξαι αὐτήν· ἀκούσατέ μου οἱ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξωμεν ὑμῖν ὕδωρ; ἐφ᾽ οἷς πατάξας ἐξήγαγεν ὕδατα εἰς πλησμονὴν 25 αὐτοῖς καὶ τοῖς κτήνεσιν αὐτῶν.

Τότε εἶπεν ὁ θεὸς αὐτῷ τε καὶ τῷ Ἀαρών· οὐ μὴ εἰσάξετε τὸν λαὸν εἰς τὴν γῆν τῆς κληρουχίας, διότι οὐκ ἐπιστεύσατέ μοι. τὸ δὲ ὕδωρ λοιδορίας ἐκλήθη.

Τότε Μωυσῆς ἐπρεσβεύσατο πρὸς βασιλέα Ἐδὼμ διελθεῖν διὰ τῆς χώρας 30 αὐτοῦ. καὶ οὐχ ὑπήκουσεν αὐτῷ Ἐδώμ. ἐκκλίνας δὲ ἐξ Ἐδὼμ ἦλθεν εἰς

27 διὰ τί οὐκ εἰσῆλθε Μωυσῆς εἰς τὴν γῆν τῆς ἐπαγγελίας

7 Numer. 14, 44–45; 15, 32–36; 16, 1–2. 28–35; 17, 16–23 || 19 Numer. 20, 1–2. 9–13 || 30 Numer. 20, 14. 20–29

3–4 πάντας ... ἀναλωθήσεσθαι B πάντες ... ἀναλωθήσεσθε A || 10 ἀνέστησαν A ἀντέστησαν B || 15.16 καταγεγραμμένας τῷ ὀνόματι B καταγεγραμμένα τὰ ὀνόματα A || 18 κάρυα B κάρυια A || 19 ἦλθον A Num. ἦλθεν B || 22 αὐτῷ B αὐτοῦ A || 23 τῇ ῥάβδῳ B τῆς ῥάβδου A || 27 ὁ θεὸς hoc loco B post ἀαρών A | εἰσάξετε A εἰσάξεται B || 32 lemma om. A[m]

ὄρος τὸ Ὢρ σὺν παντὶ Ἰσραήλ· ἔνθα ἀναβιβάσας Ἀαρὼν τὸν ἀδελφὸν
αὐτοῦ ἐνώπιον τοῦ λαοῦ ἐξέδυσε τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσεν αὐτὰ
Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ κατὰ πρόσταξιν θεοῦ. καὶ ἀπέθανεν Ἀαρὼν ἐκεῖ
ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους.

5 Τῷ μ' ἔτει τῆς ἐξόδου Ἀαρὼν τελευτήσαντος Ἐλεάζαρ υἱὸς αὐτοῦ ἀρχιε-
ράτευσε. τότε ὁ Χαναναῖος παρεδόθη τῷ Ἰσραὴλ καὶ ἀνεθεματίσθη σὺν
ταῖς πόλεσιν αὐτοῦ, ὅθεν ὁ τόπος ἀνάθεμα λέγεται. ἀπὸ τοῦ ὄρους Ὢρ
ἀπάραντες ἦλθον ἐπὶ θάλασσαν ἐρυθράν, κύκλῳ γῆς Ἐδώμ· καὶ κατελάλη-
σαν τοῦ θεοῦ καὶ Μωυσέως περὶ ἄρτου καὶ ὕδατος, μεμφόμενοι τὸ μάννα
10 ὡς διάκενον ἄρτον. καὶ ἐπαπέστειλεν αὐτοῖς κύριος ὄφεις ἀναιροῦντας. καὶ **262**
εὐξάμενος Μωυσῆς ὑπὲρ αὐτῶν προσετάγη ποιῆσαι χαλκοῦν ὄφιν, πρὸς
ὃν ἀποβλέποντες κείμενον ἐπί τινος σημείου ἔζων οἱ δηχθέντες.

Ἔνθεν ἀπάραντες εἰς Ὠβὼθ ἦλθον, ἐκ δὲ Ὠβὼθ εἰς Ἀχελαίην κατὰ
πρόσωπον Μωάβ, κἀκεῖθεν ἦλθον εἰς φάραγγα Ζαρέθ. ἀπὸ φάραγγος
15 Ζαρὲθ εἰς τὸ πέραν ἦλθον Ἀρνῶν κατὰ τὸ φρέαρ, ὃ εἶπε κύριος πρὸς
Μωυσῆν· συνάγαγε τὸν λαὸν καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν· ἀπὸ τοῦ φρέατος
εἰς Μαθναΐ, ἀπὸ Μαθναῒ εἰς Ναχαιήλ, καὶ ἀπὸ Ναχαιὴλ εἰς Βαμώθ, καὶ
ἀπὸ Βαμὼθ εἰς Νάπην ἐν τῷ πεδίῳ Μωάβ· καὶ ἀπέστειλε Μωυσῆς πρὸς
Σηὼν βασιλέα τῶν Ἀμορραίων, αἰτῶν παρελθεῖν διὰ τῆς γῆς αὐτοῦ. καὶ
20 οὐκ ἔδωκε Σηών, ἀλλ' ἐξῆλθε πολεμῶν τὸν Ἰσραήλ. καὶ ἐπάταξεν αὐτὸν ὁ
Ἰσραὴλ ἐν μαχαίρᾳ, καὶ ἐκυρίευσε τὴν γῆν καὶ τὰς πόλεις αὐτῶν, ὧν ἦν
πρωτεύουσα Ἐσεβών, καὶ κατῴκησεν ἐν αὐταῖς.

Ἐπιστρέψαντες δὲ ἐπὶ Βασάν, ἥ ἐστι Σκυθόπολις, ἐξῆλθεν Ὢγ βασιλεὺς
Βασὰν πολεμῶν τὸν Ἰσραήλ. καὶ ἐπάταξεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ
25 καὶ τὸν λαὸν αὐτοῦ καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ.

Ἐκεῖθεν ἀπάραντες ἦλθον εἰς Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ
Ἱεριχώ. τότε Βαλὰκ υἱὸς Σεπφὼρ βασιλεὺς Μωὰβ ἀκούσας τὰ περὶ τοῦ
Σηὼν καὶ τοῦ Ὤγ, ὅπως παρεδόθησαν τῷ Ἰσραήλ, ἐφοβήθη σφόδρα· καὶ **263**
μεταπεμψάμενος Βαλαάμ τινα διαβόητον μάντιν καὶ οἰωνοσκόπον, δαιμό-

30 **11** *ποῦ ἐγένετο ὁ χαλκοῦς ὄφις* || **23** *ὅτι ἡ Σκυθόπολις Βασὰν ἐλέγετο πρότερον* ||
29 *ὅτι ὁ Βαλὰκ μετεπέμψατο Βαλαὰμ τὸν μάντιν*

5 Numer. 21, 1–9 || **13** Numer. 21, 10–26 || **23** cf. ps. Sym. f. 36r = Cedr.
138, 17. Ioseph. Ant. Iud. 5, 83 (*Βηθησανών*), Iohann. Antioch. FHG 4, 552 (*Νύ-
σαν*) || **23–25** Numer. 21, 33–35 || **26** Numer. 22, 1–35; 26, 63

3 *τὸν υἱὸν αὐτοῦ* **B** Num. *τὸν ἴδιον αὐτοῦ υἱὸν* **A** || **5** *ἀρχιεράτευσε* **B** *ἱεράτευ-
σε* **A** || **10** *ἐπαπέστειλεν* **B** *ἐξαπέστειλεν* **A** *ἀπέστειλεν* Num. || **13** *ἀχελαίην* **A**
ἀχελσεεὶν **B** *ἀχελγαὶ* Num.AF *χαλγαεὶ* Num.v || **15** *εἰς τὸ πέραν ἦλθον* **B** tr. **A** ||
18 *μωάβ* **B** *νωάμ* **A** || **22** *Ἐσεβών* Num. *ἐσσεβών* **B** *εὐσεβών* **A** || **23** et **24** *βα-
σὰν* **B** *βασσᾶν* **A** || **25** *αὐτοῦ*1 om. **B** | *ἐκληρονόμησαν* **B** *ἐκληρονόμησε* **A** ||
26 *Μωὰβ* Num. *μωὰμ* **AB** || **28** *ἐφοβήθη* **A** *ἐφοβήθησαν* **B** || **30–31** lemmata
om. **A**m || **31** *Βαλὰκ*] *βαλαὰκ* **B**m

νων ἐνεργείᾳ πολλοὺς τροπωσάμενον κατὰ θεοῦ συγχώρησιν, ἥτις καὶ τούτῳ τὰ πρῶτα τὴν ἀπέλευσιν ὁράμασι διεκώλυε, τὸ δὲ δεύτερον ἐπιτρέψασα τί πράξοι τῇ φωνῇ τῆς ὄνου μὴ εὐοδοῦσθαι ἐσήμανε δι' ἣν ὤδινε κατὰ τοῦ Ἰσραὴλ ἔννοιαν, ἄλλην αὐτῷ μηδαμόθεν ἐπινοῶν ἔσεσθαι φθορὰν ἢ διὰ τοῦ μολυσμοῦ τοῦ εἰς τὰς ἀλλοφύλους, δι' οὗ καὶ εἰδωλολατρεῖν 5 *αὐτοὺς εὐχερῶς κατεσκέπτετο, ἐδυσώπει διὰ τῆς συνήθους κακοτεχνίας ἐπῳδαῖς τισι τὸν Ἰσραὴλ καὶ ἀραῖς ἀποστρέψασθαι.*

Ὁ δὲ θύσας ἐπὶ βωμοὺς ζ' κατὰ διαφόρους τόπους κατὰ πάντας ἔνθους γενόμενος ἐκ τρίτου τὸν Ἰσραὴλ εὐλόγησεν ἄκων ἐνώπιον Βαλὰκ καὶ τῶν ἀρχόντων Μωάβ, ὡς προφητείαν καὶ ἄντικρυς εἶναι τὴν αὐτὴν εὐλογίαν 10 *τῆς εἰθισμένης δαιμονιώδους αὐτῷ ἐπικλήσεως καὶ ἀρᾶς.*

Μετὰ δὲ ταῦτα συνεβούλευσεν αὐτῷ περὶ τῆς πορνείας τοῦ λαοῦ, καὶ ἐβεβηλώθη ὁ λαὸς εἰς τὰς Μωαβίτιδας καὶ εἰς τὰς θυσίας τοῦ Βεελφεγώρ. καὶ ὠργίσθη κύριος καὶ προσέταξε τῷ Μωυσῇ παραδειγματίσαι τοὺς ἀρχηγοὺς τῆς λύσσης ἔναντι τοῦ ἡλίου, καὶ ἀναιρεθῆναι παρὰ τῶν ὁμο- 15 *φύλων τοὺς μιανθέντας πορνείᾳ καὶ εἰδωλολατρείᾳ. καὶ ἀνῃρέθησαν κδ' χιλιάδες. τότε καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν θείῳ ζήλῳ διήλασε* **264** *τοὺς ἐν ἀσχημοσύνῃ παρανομοῦντας· ἦσαν δὲ ἀνὴρ Ἰσραηλίτης Ζαμβρὶ υἱὸς Σαλὼμ ἄρχων υἱῶν Συμεὼν καὶ γυνὴ Μαδιανῖτις, Χασβὶ θυγάτηρ Σοὺρ ἄρχοντος ἑνὸς Μαδιάμ. ἐξιλεώσατο τὴν θείαν ὀργὴν ἐκ τοῦ λαοῦ καὶ* 20 *ἐλογίσθη αὐτῷ εἰς διαθήκην ἱερατείας αἰώνιον καὶ τὸ σπέρμα αὐτοῦ, ὅτι ἐζήλωσε τῷ θεῷ αὐτοῦ.*

Μετὰ δὲ τὴν πληγὴν ἠρίθμησε Μωυσῆς καὶ Ἐλεάζαρ τὸν λαὸν προστάξει θεοῦ. καὶ εὗρε χιλιάδας ἑξακοσίους καὶ χιλίους ψλ' ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω χωρὶς τῶν Λευιτῶν, οἵτινες ἰδίως εὑρέθησαν ἀριθμῷ τρεῖς καὶ κ' 25 *χιλιάδες πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω. αὕτη ἡ ἀπαρίθμησις ἐν Ἀραβὼθ Μωὰβ γέγονε πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ. ἐν τούτοις πᾶσιν οὐκ ἦν ἄνθρωπος τῶν ὑπὸ Μωυσέως καὶ Ἀαρὼν ἐν τῇ ἐρήμῳ Σιναΐ καταριθμηθέντων πλὴν Χαλὲβ υἱοῦ Ἰεφοννὴ καὶ Ἰησοῦ υἱοῦ τοῦ Ναυή· ὅτι κύριος εἶπε πάντας ἀποθανεῖν ἐν τῇ ἐρήμῳ, ἀπὸ τοῦ τρίτου ἔτους τῆς* 30

8 *πῶς ηὐλόγησεν ὁ Βαλαὰμ τὸν Ἰσραήλ*

8 Numer. 23, 1–24, 25 ‖ 12 Numer. 25, 1–4. 7–9 ‖ 18 Numer. 25, 11–25 ‖ 23 Numer. 26, 1. 51. 62–65

4 *κατὰ τοῦ* Go.[m] *ἀτάκτου* **AB** | *ἐπινοῶν* om. **B** ‖ 5 *δι' οὗ* **B** *διὸ* **A** ‖ 9 *βαλὰκ* **B** *χαλὰκ* **A** ‖ 11 *εἰθισμένης* **A** *ἠθισμένης* **B** ‖ 18 *ζαμβρὶ* **A** Num.[AF] *ζαμβρεὶ* **B** Num.[v] ‖ 19 *χασβὶ* Num.[AF] *χασύβη* **A** *χασβεὶ* **B** Num.[v] ‖ 26 *ἀρσενικὸν* **B** *ἀρσενικοῦ* **A** | *μηνιαίου* Di. *μηναίου* **AB** ‖ 27 *μωὰβ* **B** *μωὰμ* **A** ‖ 29 *Ἰεφοννὴ* Num. *ἰεφθονὴ* **A** *ἰεφωννὴ* **B** ‖ 31 lemma om. **A**[m]

*ἐξόδου ἕως μ' ἔτη λη' περιάξας αὐτοὺς ὧδε κἀκεῖσε ἕως τοῦ ἐξαναλωθῆ-
ναι αὐτούς.*

*Τότε προσελθοῦσαι αἱ θυγατέρες Σαλπαὰδ τοῦ Ὀφὲρ υἱοῦ Γαλαάδ,
δήμου Μανασσῆ, αἳ ἦσαν ε', ᾐτήσαντο κατασχεῖν ἀποθανόντος τοῦ πα-
5 τρὸς αὐτῶν ἐν τῇ ἐρήμῳ καὶ μὴ καταλείψαντος ἄρρενα. καὶ ἐδόθη αὐταῖς
προστάξει θεοῦ κληρονομία πατρικὴ μέσον τῶν ἀδελφῶν αὐτῶν· καὶ κύ-* 265
*ριος ἐνομοθέτησεν, ἐὰν ἀποθάνῃ ἄνθρωπος μὴ ἔχων υἱόν, κληρονομεῖσθαι
ὑπὸ τῆς θυγατρός· εἰ δὲ οὐκ ἔστιν αὐτῷ θυγάτηρ, ὁ ἀδελφὸς αὐτοῦ κληρο-
νομήσει αὐτόν· ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοί, ὁ ἀδελφὸς τοῦ πατρὸς αὐτοῦ·
10 εἰ δὲ μήτε τοῦ πατρὸς ἀδελφοί εἰσι, δίδοσθαι τὰ αὐτοῦ τῷ ἀγχιστεύοντι
αὐτῷ ἐκ τῶν συγγενῶν. ἀλλὰ ταῦτα τοῖς ἄρχουσιν οὐκ ἀρέσκει τοῦ κόσμου,
οὗ χάριν ἔνοχοι τῆς θείας δίκης πεφύκασιν.*

*Ἐκ τούτων ἐπιπέμψας Μωυσῆς μυρίους δισχιλίους κατὰ τῶν υἱῶν Μα-
διὰμ διὰ ῥήματος κυρίου ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν γῇ Μαδιὰμ καὶ τοὺς
15 πέντε βασιλεῖς αὐτῶν καὶ τὸν μάντιν Βαλαὰμ σὺν αὐτοῖς, ἐν ῥομφαίᾳ ἐκ-
δικήσας τὸν Ἰσραὴλ ἐξ αὐτῶν· οὗτος γὰρ συνεβούλευσε τὸν Βαλὰκ κατα-
πορνεῦσαι τὸν Ἰσραὴλ εἰς τὰς θυγατέρας Μαδιάμ. τὰς δὲ παρθένους μό-
νας ἐζωογόνησε Μωυσῆς. ἡ δὲ προνομὴ γῆς Μαδιὰμ αὕτη προβάτων χι-
λιάδες χοε', βοῶν χιλιάδες οβ', ὄνοι χιλιάδες ξα', παρθένοι αἳ οὐκ ἔγνω-
20 σαν κοίτην ἀνδρὸς χιλιάδες λβ', χωρὶς χρυσίου καὶ ἀργυρίου καὶ τῶν λοι-
πῶν σκύλων.*

*Τότε οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ,
ἔχοντες κτήνη πολλά, ἰδόντες κτηνοτρόφον τὴν χώραν Ἰαζὴρ καὶ τὴν χώ-
ραν Γαλαὰδ προσῆλθον πρὸς Μωυσῆν καὶ Ἐλεάζαρ αἰτοῦντες δοθῆναι
25 ταύτας αὐτοῖς ἐν κλήρῳ. καὶ συνέστησεν αὐτοῖς Μωυσῆς Ἐλεάζαρ καὶ
Ἰησοῦν υἱὸν Ναυὴ καὶ τοὺς ἄρχοντας Ἰσραὴλ καὶ εἶπεν· ἐὰν διαβῶσιν οἱ* 266
*υἱοὶ Ῥουβὴν καὶ υἱοὶ Γὰδ μεθ' ὑμῶν τὸν Ἰορδάνην, πᾶς ἐνωπλισμένος εἰς
πόλεμον ἔναντι κυρίου, καὶ κατακυριεύσητε τῆς γῆς τῆς ἀπέναντι ὑμῶν, καὶ
δώσετε αὐτοῖς τὴν γῆν Γαλαὰδ ἐν κατασχέσει. καὶ εἶπον οἱ υἱοὶ Ῥουβὴν
30 καὶ οἱ υἱοὶ Γάδ· οὕτως ποιήσομεν. καὶ ἔδωκε Μωυσῆς τοῖς υἱοῖς Ῥουβὴν*

18 *τίς ἡ προνομὴ καὶ πόση*

3 Numer. 27, 1. 3. 7–11 ‖ **11** Numer. 36, 1–13 ‖ **13** Numer. 31, 3–8. 16–18. 32–35. 52 ‖ **22** Numer. 32, 1–5. 28–38

3 *θυγατέρες Σαλπαὰδ* Num. *θυγατέραις ἀλπαὰδ* A *θυγατέρες ἀλπαὰδ* B ‖ **4** *δή-μου* om. A ‖ **16** *Βαλὰκ* Di. *βαλαὰκ* AB ‖ **22** *οἱ* om. A (bis) | *ῥουβὴν* B *ῥου-βὶν* A ‖ **25** *αὐτοῖς*[2] B *αὐτοὺς* A ‖ **26** *υἱὸν* Num. *υἱοῦ* A *υἱῷ* B | *τοὺς ἄρχοντας* Num. *τοῖς ἄρχουσιν* AB | *οἱ* om. A ‖ **27, 29** et **30** *ῥουβὴν* B *ῥουβὶν* A ‖ **27** *ὑμῶν* B *ἡμῶν* A | *ἐνωπλισμένος* A *ἐνοπλησμένος* B ‖ **28** *κατακυριεύσητε* A *κατεκυριεύ-σητε* B ‖ **29** *δώσετε* A *δώσεται* B ‖ **30** *ποιήσομεν* Num. *ποιήσωμεν* AB ‖ **31** lemma om. A[m]

καὶ τοῖς υἱοῖς Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ υἱῶν Ἰωσὴφ τὴν βασιλείαν Σηὼν βασιλέως τῶν Ἀμορραίων καὶ τὴν βασιλείαν Ὢγ βασιλέως τῆς Βασὰν καὶ τὴν γῆν καὶ τὰς πόλεις αὐτῆς πέραν τοῦ Ἰορδάνου, πόλεις ιβʹ.

Αὗται μὲν οὖν αἱ ἐπισημότεραι φέρονται πράξεις ἐν βίβλῳ δʹ Μωυσέως, 5 *ἃς πρὸς ταῖς ἄλλαις ταῖς προεπιτμηθείσαις ἡμῖν παρεθέμεθα σὺν ταῖς ἐπισήμοις ἀπάρσεσι τῶν παρεμβολῶν καὶ τοῖς τόποις ἐν οἷς παρενέβαλον, ἐν πᾶσι τῇ θείᾳ γραφῇ κατακολουθοῦντες καὶ πάντα ἐξ αὐτῆς ἀναλεξάμενοι, πρός τε ἡμετέραν ὠφέλειαν καὶ κεφαλαιώδη τῶν ἐντυγχανόντων. τὰς γὰρ κατὰ μέρος ἀπάρσεις ἤτοι τοὺς σταθμούς, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύ-* 10 *πτου, ὁ αὐτὸς θεοδίδακτος νομοθέτης πρὸς τῷ τέλει τῆς ἱερᾶς βίβλου τῶν Ἀριθμῶν ἔγραψε, καὶ ὅτι Ἀαρὼν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐτελεύτησεν ἐν Ὢρ τῷ ὄρει, πέμπτῳ μηνὶ ἀρχομένῳ, ἐτῶν ὑπάρχων ρκγʹ, καὶ τὰ λοιπὰ τὰ μέχρι τοῦ ὄρους Ἀβαρεὶμ πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ, ἔνθα καὶ ἐνετείλατο τοῖς υἱοῖς Ἰσραὴλ ὅπως χρήσονται* 15 267 *καὶ ἐχθρανοῦσι τοῖς ἔθνεσι τοῖς παραδοθησομένοις αὐτοῖς καὶ πόθεν ἔσται τὰ ὅρια τῆς κατασχέσεως αὐτῶν, καὶ ἕως ποῦ κατά τε λίβα καὶ δυσμὰς καὶ βορρᾶν καὶ ἀνατολὴν καὶ νότον ταῖς θʹ ‿φυλαῖς, καὶ περὶ τῶν κατακληρονομούντων αὐτοῖς τὴν γῆν ἀρχόντων ἀνδρῶν καθʹ ἑκάστην φυλήν, ὧν πρῶτοι Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυή, καὶ ἔτι περὶ τοῦ κλήρου τῶν* 20 *Λευιτῶν καὶ τῶν ἓξ πόλεων τῶν φυγαδευτηρίων, περί τε φόνων καὶ τοῦ κλήρου τῶν θυγατέρων Σαλπαάδ. καὶ ἐπλήρωσε τὴν αὐτὴν τετάρτην τῶν Ἀριθμῶν βίβλον.*

Ἐπειδὴ δὲ ἐν τῇ αὐτῇ ἱερᾷ βίβλῳ τῶν Ἀριθμῶν μετὰ τὴν ἐπίσκεψιν τοῦ λαοῦ ἐν Ἀραβὼθ Μωὰβ γενομένην ὑπὸ Μωυσέως καὶ Ἐλεάζαρ κατὰ τὸ 25 *αὐτὸ μʹ ἔτος τῆς ἐξόδου, τελευτήσαντος ἤδη τοῦ Ἀαρὼν πρὸ ὀλίγου καὶ πάσης τῆς γενεᾶς τῶν ἀπειθῶν προκαταναλωθείσης, εἶπε κύριος πρὸς Μωυσῆν· ἀνάβηθι εἰς τὸ ὄρος ἐν τῷ πέραν τοῦ Ἰορδάνου, τοῦτο ὄρος Ναβαῦ, καὶ ἰδὲ τὴν γῆν Χαναὰν καὶ προστεθήσῃ πρὸς τὸν λαόν σου καὶ σὺ*

25 *ποῦ ἐκοιμήθη Μωσῆς* 30

10 Numer. 33, 1–40 ‖ **14** Numer. 33, 48–36, 13 ‖ **24** Numer. 27, 12–23, Deut. 32, 48–52

1 *τῷ ἡμίσει* Num. *τὸ ἥμισυ* **AB** ‖ **3** *βασὰν* **B** *βασσᾶν* **A** ‖ **9** *καὶ* om. **B** ‖ **14** *ἀβαρεὶμ* **AB** Num. *σαβαρείμι* **A**^m ‖ **15** *χρήσονται* **B** *χρήσανται* **A** ‖ **16** *ἐχθρανοῦσι* Di. *ἐχθρανῶσι* **AB** ‖ **18** *βορρὰν* **B** *βόρρα* **A** | *κατακληρονομούντων* **B** *καʹ κληρονομούντων* **A** ‖ **20** *ναυὴ* **A** *ναὴ* **B** ‖ **25** *μωὰβ* **B** *μωὰμ* **A** ‖ **28** *ἐν τῷ* om. **A** | *Ναβαῦ* Num. *ναβᾶθ* **A** *ναβᾶβ* **B** ‖ **29** *προστεθήσῃ* Num. *προστεθεῖσῃ* **AB** ‖ **30** lemma om. **A**^m

καθὰ καὶ Ἀαρὼν ὁ ἀδελφός σου, διότι παρέβητε τὸ ῥῆμά μου ἐν τῇ ἐρήμῳ Σιναΐ ἐν τῷ ἀντειπεῖν τὴν συναγωγὴν τοῦ ἁγιάσαι με· οὐχ ἡγιάσατέ με ἐπὶ τῷ ὕδατι ἐναντίον αὐτῶν· τοῦτό ἐστιν ὕδωρ ἀντιλογίας Κάδης ἐν τῇ ἐρήμῳ Σιναΐ.˼ αὐτὸς δὲ ᾐτήσατο τὸ προχειρισθῆναι πρὸς τοῦ θεοῦ τὸν 5 *ποιμανοῦντα τὸν Ἰσραὴλ μετ' αὐτόν. ἔλαβέ τε Ἰησοῦν τὸν τοῦ Ναυὴ* 268 *θείᾳ ψήφῳ, καὶ στήσας ἔναντι Ἐλεάζαρ καὶ παντὸς Ἰσραὴλ ἐπέθηκε τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτὸν καὶ συνέστησεν αὐτόν, καθὰ ἐνετείλατο αὐτῷ κύριος.*

Ταῦτα πάντα ἀνακεφαλαιωσάμενος ἐν τῇ ε' βίβλῳ τοῦ Δευτερονομίου, 10 *τά τε τῆς ὁδοιπορίας τῶν τε κατ' αὐτὴν παραβάσεων καὶ τὴν πατρῴαν αὐτῶν ἀπείθειαν, ἥτις αὐτῷ τε καὶ Ἀαρὼν τῷ ἀδελφῷ αὐτοῦ γέγονε θείας ὀργῆς καὶ ἀποφάσεως αἰτία, μὴ ἐπιβῆναι τῆς ἐπηγγελμένης αὐτοῖς γῆς ἀναμνήσας, ὅπως τε ἐπὶ λ' καὶ η' ἔτη περιεπόλουν εἰς Κάδης Βαρνὴ ἐπιστραφέντες πρὸς τὴν τῆς ἐρυθρᾶς ἔρημον, ἐκύκλουν τὸ ὄρος Σηεὶρ ἐφ' ἡμέ-* 15 *ρας πολλάς, καὶ πάλιν ἀπὸ τούτου ἐπεστράφησαν πρὸς βορρᾶν, ἕως διέπεσον πᾶς ἀπειθὴς ἐν ἐρήμῳ, καίτοι τῆς ὅλης ὁδοῦ ἀπὸ Κάδης Βαρνὴ ἕως φάραγγος Ζαρὲθ μὴ οὔσης ε' ἡμερῶν, ὡς ἡμεῖς ἐπειράθημεν, ἥτις αὐτοῖς καταρεμβευομένοις ὑπὸ τοῦ θεοῦ ἐν λ' καὶ η' χρόνοις διήνυσται.*

20 *Τούτων οὖν αὐτοὺς ἀναμνήσας ὁ θεῖος νομοθέτης καὶ πολλὰ περὶ εἰδωλολατρείας καὶ τῶν λοιπῶν ἀπηγορευμένων ἐθνικῶν ἐθῶν παραινέσας διδάσκει τὰς θείας νομοθεσίας, πολλάκις ἐπαναλαμβανόμενος καὶ ἀναμιμνήσκων αὖθις τῶν κατὰ τὴν ἔρημον θείων πειρατηρίων, ἀπολογούμενος ἔν τισιν ὅτι ʽδιὰ τοῦτο ὑμᾶς ἐκάκωσε κύριος καὶ ἐλιμαγχόνησεν ἐν τῇ* 25 *ἐρήμῳ πειράζων ὑμᾶς, εἰ φυλάξετε τὰς ἐντολὰς αὐτοῦ, καὶ μὴ φυλάξαντας* 269 *οὐ τελείως διέφθειρεν, ἐμοῦ πολλάκις ὑπὲρ ὑμῶν δεηθέντος, ἀλλ' ἐψώμισε τὸ μάννα, ἵνα γνῶτε ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ τῷ ἐκπορευομένῳ διὰ στόματος θεοῦ· ἐπαίδευσεν ὑμᾶς ὡς εἴ τις παιδεύσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, καὶ ἐτροφοφόρησεν ἄμοχθον ζωὴν* 30 *χαρισάμενος. ἄρτον οὐκ ἐφάγετε καὶ οἶνον καὶ σίκερα οὐκ ἐπίετε ἔτη μ'. τὰ ἱμάτια ὑμῶν οὐκ ἐπαλαιώθη, οὐδὲ τὰ ἱμάντια κατετρίβη τῶν ποδῶν ὑμῶν.'*

17 *πόσων ἡμερῶν ἐστιν ἀπὸ Κάδης ἕως Ζαρέδ*

9 Deut. 2, 1. 14–16 || **16** cf. ps. Sym. f. 36ʳ = Cedr. 138, 3 || **20** Deut. 8, 1–6; 29, 4–5

2 *ἡγιάσατέ* **B** Num. *ἡγιάσετέ* **A** || **3** *ἐπὶ* **A** Num. *ἐν* **B** | *ἐναντίον* **A** Num.ᴬ *ἔναντι* Num.ᵛ *ἐνώπιον* **B** || **4** *τὸ* om. **B** || **12** *αὐτοῖς γῆς* **B** *γῆς αὐτῆς* **A** || **13** *Βαρνὴ* Num. *βαρνεῖ* **AB** || **14** *Σηεὶρ ἐφ'* Di. *σηειρέφ* **B** *σιηρέφ* **A** || **17** *βαρνὴ* **A** *βαρνεῖ* **B** | *ζαρὲθ* **A** ps. Sym. Num.ᶠ *ζαρὲδ* **B** *ζαρὲτ* Num.ᵛ || **20** *αὐτοὺς* om. **A** || **27** *ἐπὶ* **A** Deut. *ἐν* **B** || **33** lemma om. **A**ᵐ

Μετὰ τούτους τοὺς λόγους καὶ ἄλλους πλείστους ἀξιοθέους καὶ χάριτος θείας πεπληρωμένους ἀναγράψας ἐν βίβλῳ παρέδωκε τοῖς ἱερεῦσιν ἀποθέσθαι ἐκ πλαγίου τῆς διαθήκης τοῦ μαρτυρίου, καταστήσας Ἰησοῦν υἱὸν Ναυὴ τοῦ Ἰσραὴλ ἄρχειν ἀντ' αὐτοῦ θείᾳ ψήφῳ καὶ τὴν δευτέραν ᾄσας ᾠδήν, ἣν πάντα τὸν λαὸν ἐκμαθεῖν προσέταξε κύριος, ὡς μέγα τι 5 *χρῆμα καὶ θεῖον τοῖς εἰς ἀνάμνησιν ἐσόμενον παραδούς.*

Τῷ ια' μηνὶ τοῦ μ' ἔτους τῆς ἐξ Αἰγύπτου πορείας, ρκ' ὄντι τῆς ζωῆς αὐτοῦ, εὐλογήσας πάντας ἀνῆλθεν εἰς ὄρος Ναβαῦ ἤτοι Ἀβαρεὶμ κείμενον ἐν τῇ Μωαβίτιδι πέραν τοῦ Ἰορδάνου κατὰ πρόσωπον Ἱεριχοῦς. καὶ κατοπτεύσας τὴν ἐπηγγελμένην τῷ Ἰσραὴλ γῆν ἐτελεύτησεν ἐκεῖ κατὰ πρόσ- 10
270 *ταγμα θεοῦ, καὶ ἐτάφη ἐν Γαὶ ἐγγὺς οἴκου Φογώρ· καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ. οὗτος ὁ μέγας θεόπτης καὶ προφήτης παιδαγωγός τε καὶ νομοθέτης τοῦ Ἰσραὴλ ἐτῶν ρκ' τελευτήσας οὐκ ἠμαυρώθη τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἰκότως· τούτοις γὰρ τὴν θείαν δόξαν ἑώρακεν, οὐδὲ τὰ περὶ τὸ πρόσωπον διὰ γῆρας ἐρυτιδώθη. ὅμοιος αὐτῷ προφήτης, ὥς* 15 *φησιν ἡ γραφή, οὐκ ἀνέστη, ᾧ ὤφθη κατὰ πρόσωπον κύριος, ἕως Ἰωάννου τοῦ βαπτιστοῦ.*

Ὁ αὐτὸς θεοδίδακτος πρῶτος ἐν ἀνθρώποις ἱστορίαν ἔγραψε χρονικὴν ἀπὸ Ἀδὰμ ἕως τοῦ ρκ' ἔτους αὐτοῦ, ὅπερ ἐστὶ κοσμικὸν ,γωνς' κατὰ τήνδε τὴν ἀκριβῆ χρονολογίαν. 20

Μετὰ τὴν τελευτὴν Μωυσέως εἶπε κύριος τῷ Ἰησοῦ υἱῷ Ναυή· ἀναστὰς διάβηθι τὸν Ἰορδάνην σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι αὐτοῖς. πᾶς τόπος οὗ ἐὰν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐτόν, ὃν τρόπον εἴρηκα τῷ Μωυσῇ, τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου καὶ ἕως τῆς θαλάσσης τῆς μεγάλης 25 *ἀφ' ἡλίου δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν. καὶ ἐνετείλατο Ἰησοῦς τοῖς γραμματεῦσι λαλῆσαι παντὶ τῷ λαῷ ἑτοιμασθῆναι καὶ ἐπισιτίσασθαι, ἵνα*

8 *εἰς τὸ ὄρος πέραν τοῦ Ἰορδάνου κατὰ πρόσωπον Ἱεριχῶ Μωσῆς ἀναβὰς ἐκοιμήθη* || **19** *στοιχείωσις ἀκριβὴς τὰ ἀπὸ Ἀδὰμ ἔτη ἕως τῆς τελευτῆς Μωυσέως· ἀπὸ δὲ τοῦ α' ἔτους Ἰησοῦ τοῦ Ναυῆ ἕως α' ἔτους Ἰωακεὶμ ἔτη ,γ πῶς οὐκ οἶδα προτρέχουσι* 30

1 Deut. 31, 1–9 || **7–20** cf. ps. Sym. f. 36[r,v] (Gelzer 2, 368, om. Cedr.) || **7** Deut. 32, 48–52 || **10** Deut. 34, 5–10 || **15** cf. Matt. 11, 11–15 || **21** Iosua 1, 1–4 || **26** Iosua 1, 10–11

1 *ἀξιοθέους* **B** *ἀξιωθέους* **A** || **3** *πλαγίου* **A** *πλαγείου* **B** || **6** *ἐσόμενον* **B** *ἐσομένοις* **A** || **8** *πάντας* **B** *πάντα* **A** | *ναβαῦ* **B** *ναβὰμ* **A** | *ἀβαρεὶμ* **B** *ἀμαρεῖμ* **A** || **11** *ἐν γαὶ* **B** *ἐγγαὶ* **A** *ἐν γαίῳ* ps. Sym. || **14** *αὐτοῦ* om. **B** || **15** *ἐρυτιδώθη* **B** *ἐρρυτιδώθη* **A** || **19** *,γωνς'* **AB** *,γωξζ'* ps. Sym. || **24** *αὐτὸν* **B** *αὐτῷ* **A** || **25** *μεγάλης* **AB** *ἐσχάτης* Ios. || **28–30** lemmata om. **A**[m] || **30** rectius fortasse *ἕως δ' ἔτους Ἰωακεὶμ ἔτη ,α,* cf. infra 258, 10

μετὰ τρεῖς ἡμέρας διαβῶσι τὸν Ἰορδάνην. καὶ ἀπέστειλεν ἐκ Σαττεὶμ δύο ἄνδρας κατασκοπεῦσαι τὴν γῆν τῆς Ἱεριχὼ καὶ τῆς Γαὶ δύο πόλεις. οἱ καὶ εἰσελθόντες εἰς Ἱεριχὼ παρὰ Ῥαὰβ τῇ πόρνῃ κατέλυσαν, ζητούμενοί τε 271 *ὑπὸ τοῦ βασιλέως Ἱεριχὼ ἐν τῷ οἴκῳ αὐτῆς ἀπεκρύβησαν, ὀμόσαντες*
5 *αὐτῇ τὰ περὶ τῆς σωτηρίας. ἐπανελθόντες δὲ πρὸς Ἰησοῦν ἐν Σαττεὶμ ἀπήγγειλαν τὰ τῆς κατασκέψεως. καὶ ὀρθρίσας Ἰησοῦς τῷ πρωὶ ἐκ Σαττεὶμ ἦλθεν εἰς τὸν Ἰορδάνην σὺν τῷ λαῷ. ἔνθα προαγνίσας τὸν Ἰσραὴλ διεβίβασε μετὰ τρεῖς ἡμέρας τὸν Ἰορδάνην, προηγουμένης τῆς κιβωτοῦ διαθήκης κυρίου σὺν τοῖς αἴρουσιν αὐτὴν ἱερεῦσιν· ὧν ἐπειδὴ μόνον οἱ πό-*
10 *δες ἐβάφησαν εἰς μέρος τοῦ ὕδατος, ἔστη τὰ ὕδατα καταβαίνοντα ἄνωθεν εἰς πῆγμα ἐν πόρρω διαιρεθὲν ἄναντες εἰς μέρος Καριαθιαρείμ· τὰ δὲ καταβαίνοντα κατέβη εἰς θάλασσαν Ἄραβα, θάλασσαν ἁλῶν, ἕως ἐξέλιπε. καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ. καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου, ἕως διέβη πᾶς ὁ λαὸς τὸν Ἰορ-*
15 *δάνην ἐπὶ ξηρᾶς, καὶ συνέταξεν Ἰησοῦς δώδεκα ἄνδρας ἐνδόξους τῶν υἱῶν Ἰσραὴλ διὰ ῥήματος κυρίου, καὶ ἀναλαβόντες λίθους ιβʹ ἐκ μέσου τοῦ Ἰορδάνου διεκόμισαν εἰς τὴν παρεμβολὴν εἰς μνημόσυνον.*

Ἔστησέ τε ἄλλους ιβʹ ***λίθους*** *Ἰησοῦς ἐν τῷ Ἰορδάνῃ, οὗ ἔστησαν οἱ πόδες τῶν αἰρόντων τὴν κιβωτὸν ἱερέων, καὶ εἰσὶν ἐκεῖ ἕως σήμερον. καὶ προσ-*
20 *έταξε τοῖς ἱερεῦσιν Ἰησοῦς, καὶ ἐγένετο ὡς ἐξῆλθον καὶ ἔθηκαν τοὺς πόδας ἐπὶ τῆς γῆς, κατέβη τὸ ὕδωρ ὁρμῆσαν ὡς ἦν πρότερον. αὐτοὶ δὲ ἀναβάντες ἐστρατοπέδευσαν ἐν Γαλγάλοις κατὰ ἀνατολὰς ἀπέναντι Ἱε-* 272 *ριχώ.*

Ταῦτα ἀκούσαντες οἱ βασιλεῖς τῶν Ἀμορραίων καὶ οἱ βασιλεῖς οἱ παρὰ
25 *τὴν θάλασσαν τῆς Φοινίκης κατετάκησαν ἐκπλαγέντες ταῖς διανοίαις. Ἰησοῦς δὲ θείᾳ προστάξει περιέτεμε τὸν λαὸν μαχαίραις πετρίναις ὅσοι διέβησαν τὸν Ἰορδάνην, ὅτι, φησίν, ἐπὶ τεσσαράκοντα καὶ δύο ἔτη ἀνέστραπται Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, καὶ διὰ τοῦτο ἦσαν οἱ πλεῖστοι τῶν μαχίμων ἀπερίτμητοι· τούτου δ' ἦν αἴτιον ὅτι καθ' ἑαυτοὺς ὄντες παντὸς*
30 *ἀλλογενοῦς κεχωρισμένοι χρείαν οὐκ εἶχον τῆς περιτομῆς. καλῶς ἄρα*

18 *τοὺς δώδεκα λίθους πλησίον τοῦ τάφου τοῦ Ἰωσὴφ ἔστησαν*

2 Iosua 2, 1–2. 14 || **5** Iosua 2, 23–3, 1; 3, 14–4, 8 || **18** Iosua 4, 9. 17–19 || **24–29** Iosua 5, 1–7 || **26**–p. 168, **2** cf. ps. Sym. f. 37r = Cedr. 141, 22

1 *ἐκ σαττεὶμ* **B** *ἐξ ἀττεὶμ* **A** || **2** *τὴν γῆν τῆς ἱεριχὼ καὶ τῆς γαὶ* **A** *τὴν γαὶ καὶ τὴν ἱεριχὼ* **B** *τὴν γῆν καὶ τὴν Ἰεριχὼ* Ios. || **3** *ῥαὰβ* **B** *ῥαβαὰμ* **A** || **6** *τῷ* om. **A** || **11** *καριαθιαρείμ* Ios.[AF] *καριαθειαρείμ* **A** *καριαθηαρείμ* **B** *καθιαιρείν* Ios.[v] || **12** *ἐξέλιπε* **A** *ἐξέλειπε* **B** || **16** *λίθους* **B** *πλίνθους* **A** || **18** *λίθους* om. **A** || **25** *ταῖς* **B** *τε ταῖς* **A** || **29** *τοῦτο* **AB** | *ἑαυτοὺς* **B** *ἑαυτοῖς* **A** || **31** lemma om. **A**[m]

εἴρηται τῷ θείῳ ἀποστόλῳ ὅτι οὔτε περιτομή τί ἐστιν οὔτε ἀκροβυστία, ἀλλὰ τήρησις ἐντολῶν.

Τῷ δὲ μβʹ ἔτει πεποιηκέναι δοκεῖ πως ἄπορον εἶναι· τεσσαράκοντα γὰρ ἔτη πανταχοῦ ἐν ταῖς λοιπαῖς θείαις γραφαῖς ὁ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ φαίνεται ἀναστραφείς, εἰ μή πού τις ἐνταῦθα τὸ πʹ ἔτος Μωυσέως καὶ τὸ πρῶτον Ἰησοῦ τοῦ Ναυῆ συναριθμεῖσθαι νοήσοι τοῖς ἐν τῇ ἐρήμῳ μʹ ἔτεσι καὶ οὕτως εἶναι μβʹ. 5

Οὗτοι περιτμηθέντες ἡσύχασαν ἕως τοῦ θεραπευθῆναι, καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου Γάλγαλα. καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ ιδʹ τοῦ πρώτου μηνὸς ἀπὸ ἑσπέρας ἐπὶ δυσμῶν εἰς Ἱεριχὼ ἐν τῷ πεδίῳ, καὶ ἔφαγον ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καινά, τοῦτ' ἔστιν ἀπὸ σίτου 10 *νέου, ὅπερ μέχρι νῦν ἔστιν ἰδεῖν ἐν Ἱεριχὼ κατὰ τὴν ἐαρινὴν ἰσημερίαν γενόμενον θερισμὸν σίτου νέου κατὰ τοὺς θερμοτέρους τόπους συμφθάζοντα. ἐξ οὗ καὶ ἡ κατὰ Ἱεροσόλυμα ἁγιωτάτη ἐκκλησία συνήθως προφέρει τὴν ἀναίμακτον θυσίαν τῷ καιρῷ τῆς ζωηφόρου ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν.* 273 15

Ἐν αὐτῇ, φησί, τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἀπὸ τοῦ σίτου τῆς γῆς, καὶ οὐκέτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα. ἐκαρπώσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. ὄντων δὲ αὐτῶν εἰς Ἱεριχὼ ἀναβλέψας Ἰησοῦς ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ· ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων; ὁ δὲ εἶπεν· ἐγὼ ἀρχιστράτηγος κυρίου δυνάμεως νῦν παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπε· δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ λέγει ὁ ἀρχιστράτηγος κυρίου πρὸς Ἰησοῦν· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐφ' ᾧ σὺ ἕστηκας τόπος ἅγιός ἐστι. 20 25

Καὶ Ἱεριχὼ συγκεκλεισμένη καὶ ὠχυρωμένη καὶ οὐδεὶς ἐξ αὐτῆς ἐξεπορεύετο οὐδὲ εἰσεπορεύετο. καὶ εἶπε κύριος πρὸς Ἰησοῦν· ἰδοὺ ἐγὼ παραδίδωμί σοι τὴν Ἱεριχὼ ὑπὸ χεῖρα καὶ τὸν βασιλέα αὐτῆς τὸν ἐν αὐτῇ, δυνα-

14 *Ση. ὅτι ἀπὸ σίτου νέου προσφέρει ἡ ἁγία πόλις τὸ ἅγιον πάσχα τὴν προσφορὰν ἐν τῇ θείᾳ μυσταγωγίᾳ* ‖ **20** *ποῦ εἶδεν Ἰησοῦς τὸν ἀρχιστράτηγον Μιχαήλ* 30

1–2 Ep. Roman. 2, 25–29 ‖ **8** Iosua 5, 8–11 ‖ **11** cf. ps. Sym. f. 37ʳ = Cedr. 142, 4 ‖ **14–16** cf. ps. Sym. f. 36ᵛ = Cedr. 138, 20 ‖ **17–26** Iosua 5, 12–15 ‖ **20**–p. 169, **15** cf. ps. Sym. f. 37ʳ = Cedr. 142, 5 ‖ **27** Iosua 6, 1–5

1 *ἀκροβυστία* **A** *ἀκροβυστεία* **B** ‖ **5** *τὸ πʹ ἔτος* **B** *τῷ πʹ ἔτους* **A** ‖ **6** *συναριθμεῖσθαι* **B** *συναριθμῆσαι* **A** ‖ **8** *ἕως* om. **A** ‖ **10** *τοῦ* **A** *τούτου* **B** | *δυσμῶν* **B** *δυσμὸν* **A** ‖ **11** *καινά* **B** *κενά* **A** ‖ **12** *νῦν* **B** *σήμερον* **A** ‖ **17** *ἐξέλιπε* **A** *ἐξέλειπε* **B** ‖ **18** *ἐκαρπώσαντο* **AB** *ἐκαρπίσαντο* Ios. ‖ **19** *χώραν* **AB** Ios.[AF] *κουρὰν* Ios.[V] ‖ **25** *λῦσον* **AB** Ios.[A] *λῦσαι* Ios.[V] ‖ **26** *ἐφ'* **B** Ios. *ἐν* **A** | *σὺ* **AB** Ios.[A] *νῦν* Ios.[V] ‖ **30–31** lemmata om. **A**[m]

τοὺς ὄντας ἰσχύι. σὺ δὲ περίστησον αὐτῇ πάντας τοὺς μαχίμους κύκλῳ.
καὶ ἔσται ὅταν σαλπίσωσι τῇ σάλπιγγι, ἀνακραγέτω πᾶς ὁ λαὸς ἅμα, καὶ
ἀνακεκραγότων αὐτῶν πεσεῖται πᾶν τὸ τεῖχος τῆς πόλεως αὐτόματον καὶ 274
εἰσελεύσεται πᾶς ὁ λαὸς ὁρμήσας ἕκαστος κατὰ πρόσωπον εἰς τὴν πόλιν.
5 καὶ ἐποίησεν Ἰησοῦς κατὰ τὸ ῥῆμα τοῦ ἀγγέλου ἐπὶ ἑπτὰ ἡμέρας κυκλῶν
τὴν πόλιν προηγουμένης τῆς κιβωτοῦ· καὶ τῇ ζʹ ἠλάλαξεν ὁ λαός, καὶ
τὰ τείχη κατέπεσε. καὶ εἰσελθόντες ἀνεθεμάτισαν αὐτὴν καὶ πάντα τὰ ἐν
αὐτῇ ἀπὸ ἀνθρώπου ἕως γυναικὸς καὶ ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου καὶ
ἕως μόσχου καὶ ὑποζυγίου ἐν στόματι ῥομφαίας, χωρὶς Ῥαὰβ τῆς πόρνης
10 καὶ τοῦ οἴκου αὐτῆς. καὶ ἐνεπυρίσθη Ἱεριχὼ σὺν πᾶσι τοῖς ἐν αὐτῇ πλὴν
ἀργυρίου καὶ χρυσίου καὶ χαλκοῦ καὶ σιδήρου· ταῦτα γὰρ θεῷ ἀφιερώθη.
ἐξ ὧν Ἄχαρ νοσφισάμενος υἱὸς Χαρμεὶ ⟨υἱοῦ Ζαμβρεὶ⟩ υἱοῦ Ζαρὰ φυλῆς
Ἰούδα ψιλὴν ποικίλην καὶ σʹ δίδραχμα ἀργυρίου καὶ γλῶσσαν χρυσῆν
ἐλιθοβολήθη ὑπὸ τοῦ Ἰσραὴλ σὺν τέκνοις καὶ γυναικὶ καὶ τοῖς ὑπάρχουσιν
15 εἰς φάραγγα Ἀχώρ. καὶ κατηράσατο Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν
Ἱεριχὼ ἔναντι κυρίου εἰπών· ἐπικατάρατος ἄνθρωπος ὅστις οἰκοδομήσει
τὴν πόλιν ἐκείνην, ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτήν, καὶ ἐν τῷ
ἐλαχίστῳ ἐπιστήσει τὰς πύλας αὐτῆς. καὶ ἐποίησεν οὕτως Ἀζὰ ὁ ἐκ Βαι-
θήλ· ἐν τῷ Ἀβειρὼν τῷ πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν καὶ ἐν τῷ
20 Σεγοὺβ τῷ διασωθέντι ἐλαχίστῳ ἐπέστησε τὰς πύλας αὐτῆς.

Τότε παρέδωκε κύριος τῷ Ἰησοῦ τὴν Γαὶ καὶ τὸν βασιλέα αὐτῆς. καὶ 275
ἐνεπύρισεν αὐτὴν χῶμα ἀοίκητον εἰς τὸν αἰῶνα καὶ ἐκρέμασε τὸν βασι-
λέα ἐπὶ ξύλου διδύμου ἕως ἑσπέρας. ταῦτα ἀκούσαντες οἱ κατοικοῦντες
Γαβαὼν πόλιν ἐπίσημον καὶ οἱ κατοικοῦντες τὰς πόλεις τοῦ Εὐαίου δεινό-
25 τητι σπονδὰς ἐποιήσαντο πρὸς Ἰησοῦν, πόρρωθεν παραγεγονέναι προσ-
ποιησάμενοι· οὓς ἐπιγνοὺς ὕστερον διακονεῖν καὶ ξυλοφορεῖν τῷ λαῷ
προσέταξε.

Τούτοις Ἀμορραῖοι ἐπεστράτευσαν ὡς αὐτομολήσασι πέντε βασιλεῖς
τῶν Ἰεβουσαίων, ὧν ἦν πρῶτος Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλὴμ σὺν
30 τοῖς στρατεύμασι. πρὸς οὓς ἀναβὰς Ἰησοῦς σὺν τῷ Ἰσραὴλ Γαβαωνίτας
μὲν ἐλυτρώσατο, τοὺς δὲ Ἀμορραίους κατέκοψε φεύγοντας σὺν τοῖς βασι-

5 Iosua 6, 14–7, 25 || **15** Iosua 6, 26 || **21–23** Iosua 8, 1. 28–29 || **23–27** Iosua 9, 1. 9. 21–22. 27; cf. ps. Sym. f. 37r = Cedr. 142, 12 || **28**–p. 170, **12** Iosua 10, 1–5. 10–16. 22–39

3 ἀνακεκραγότων Di. ἀνακεκραγέτω **AB** ἀνακραγέντων Ios.AF ἀνακραγόντων Ios.V || **12** ἄχαρ νοσφισάμενος **B** ἄχαρνος φησάμενος **A** | υἱοῦ Ζαμβρεὶ Ios. om. **AB** | υἱοῦ[2] Di. υἱὸς **AB** || **13** ψιλὴν Ios. ψέλλην **AB** || **19** ἀβειρὼν **B** ἀβηρῶν **A** || **19. 20** τῷ Σεγοὺβ om. Ios., cf. 3 Reg. 16, 34 || **20** Σεγοὺβ 3 Reg. σεγοῦς **AB** || **22** εἰς τὸν αἰῶνα om. **A** || **26** τῷ λαῷ ps. Sym. τῷ θεῷ **AB** τῇ συναγωγῇ Ios. || **29** ἀδωνιβεζὲκ **B** ἀδὼμ βεζὲκ **A** || **31** κατέκοψε **B** συνέκοψε **A**

λεῦσιν αὐτῶν. οἳ καὶ ἐν σπηλαίῳ κρυβόμενοι καταληφθέντες ἐκεῖ κατε-
κλείσθησαν ἕως κατέπαυσεν ὁ πόλεμος. ἔνθα πολλοὶ μὲν ὑπὸ τοῦ Ἰσραὴλ
κατεκόπησαν, πλείονες δὲ λίθοις χαλάζης οὐρανόθεν ἐπιρριπτομένοις
αὐτοῖς ἀπέθανον. τότε θείᾳ δυνάμει προσευξάμενος Ἰησοῦς ἔστησε τὸν
ἥλιον κατὰ Γαβαὼν καὶ τὴν σελήνην κατὰ φάραγγα Αἰλών, ἕως ἐξε- 5
πολέμησε τοὺς ἐχθρούς. καὶ ἐξαγαγὼν τοὺς ε' βασιλεῖς ἐκ τοῦ σπη-
λαίου προσέταξε τοὺς ἀρχηγοὺς τοῦ πολέμου τῶν υἱῶν Ἰσραὴλ κατα-
πατῆσαι τοὺς τραχήλους αὐτῶν, καὶ ἀπέκτεινεν αὐτοὺς καὶ παρέλαβε τὰς
276 *πόλεις αὐτῶν, αἳ ἦσαν αὐτοῖς πέντε, Μακηδὰ καὶ Λόμνα, Λαχείς, καὶ τὸν*
βασιλέα Γαζὲρ Ἱαρὰμ βοηθοῦντα τοῖς ἐν Λαχείς, τήν τε Ὀδολλὰμ καὶ τὴν 10
Χεβρών. τότε παρέλαβε καὶ τὴν Δαβεὶρ καὶ τὸν βασιλέα αὐτῆς καὶ τὰς
κώμας αὐτῆς καὶ πᾶσαν τὴν ὀρεινήν.

Ἰαβεὶν δὲ ὁ βασιλεὺς Ἀσὼρ ἀθροίσας τοὺς περὶ αὐτόν τε καὶ Σιδῶνα
τὴν μεγάλην βασιλεῖς, τούς τε ἀπὸ βορρᾶ καὶ τῆς πεδινῆς καὶ τοὺς ἀπὸ
ἀνατολῶν παραλίους Χαναναίους, Χορραίους τε καὶ Ἀμορραίους καὶ 15
Εὐαίους καὶ Ἰεβουσαίους καὶ Φερεζαίους καὶ Χετταίους τοὺς ὑπὸ τὴν
ἔρημον, πολλοὺς ὄντας ὡς ἡ ἄμμος τῆς θαλάσσης καὶ δυνατοὺς ἐν ἅρ-
μασι καὶ ἵπποις, ἦλθε πολεμῆσαι πρὸς τὸν Ἰησοῦν· οὓς πάντας παρα-
λαβὼν ἀνεῖλε σκυλεύσας αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν. πάντες οἱ βασι-
λεῖς οὓς παρέδωκε κύριος τῷ Ἰησοῦ κθ', ὧν τὰ ὀνόματα γέγραπται ἐν 20
βίβλῳ.

Ἰησοῦς δὲ πρεσβύτερος προβεβηκώς, καὶ προσέταξεν αὐτῷ κύριος,
καὶ ἐκληροδότησε πᾶσαν τὴν γῆν ταῖς θ' ͺφυλαῖς, αὐτὸς καὶ Ἐλεάζαρ ὁ
ἀρχιερεύς, ἔναντι κυρίου ἐν Σιλώμ. τῷ δὲ Ἰησοῦ ἐδόθη Θαμναθὰ ἐν ὄρει
Ἐφραίμ, καὶ τῷ Χαλὲβ υἱῷ Ἰεφοννὴ αἰτήσαντι ἐδόθη Χεβρών, ὃς καὶ 25
ἐξήλειψε τοὺς τρεῖς υἱοὺς Ἐνάκ, τοὺς καλουμένους γίγαντας. τῷ δὲ Γο-
277 *θονοὴλ ὁμομητρίῳ ἀδελφῷ αὐτοῦ υἱῷ Κενὲζ τῷ νεωτέρῳ, καταλαβομένῳ*
τὴν πόλιν τῶν γραμμάτων Καριαθσεφαρεὶ ἐν Δαβείρ, Ὀξὰν ἔπαθλον τὴν
ἑαυτοῦ θυγατέρα δέδωκε Χαλὲβ εἰς γυναῖκα.

4–6 cf. ps. Sym. f. 37^r = Cedr. 142, 16 || **13–19** Iosua 11, 1–4. 9 || **19–21** Iosua 12, 7–24; cf. ps. Sym. f. 37^r = Cedr. 142, 18 || **22** Ios. 13, 1; 15, 14–17; 19, 50–51

1 *καταληφθέντες* **Di.** *καταλειφθέντες* **AB** || **3** *λίθοις* **B** *λίθους* **A** | *ἐπιρριπτομένοις* **A** *ἐπιριπτουμένοις* **B** || **5** *Αἰλὼν* Ios. *ἐλὼμ* **AB** || **9** *λόμνα* **AB** *Λέβνα* Ios. | *λαχείς* **B** *λαχής* **A** || **10** *ἰαρὰμ* **B** *ἰαρὰβ* **A** *Αἰλὰμ* Ios. | *ἐν λαχεὶς* **B** *ἐλάχης* **A** | *ὀδολλὰμ* **B** *ὀδολὰμ* **A** || **11** *χεβρών* **B** *χεβρώμ* **A** || **13** *σιδῶνα* **A** *σιδόνα* **B** || **14** *βορρᾶ* **B** *βορρᾶν* **A** || **16** *φερεζαίους* **A** *φερεζώους* **B** || **17** *ὡς ἡ* **A** *ὡσεὶ* **B** *ὥσπερ ἡ* Ios. || **24** *σιλώμ* **AB** *Σηλὼ* Ios. || **25** *Ἰεφοννὴ* Ios. *ἰεφοννὶ* **B** *ἰεφωνία* **A** || **28** *γραμμάτων* Ios. *γραμματέων* **AB** | *καριαθσεφαρεὶ ἐν* **B** *καριὰθ σεφαρὶ ἐν* **A** om. Ios., sed cf. Iudic. 1, 11 (*Καριασσώφαρ*) | *ὀξὰν* **AB** *ἀχσὰν* Ios.^{A} *ἄσχαν* Ios.^{B}

Αἱ δὲ δύο ἥμισυ φυλαὶ τοῦ Ῥουβὴν καὶ τοῦ Γὰδ καὶ ἥμισυ φυλῆς Μανασσῆ εἰς τὰς οἰκείας κατασχέσεις ἐπανῆλθον, ἃς ἔδωκεν αὐτοῖς Μωυσῆς, ἔνθα γενόμενοι θυσιαστήριον ἤγειραν· οἷς πολεμῆσαι βουληθέντες οἱ ἀπὸ τῶν θ' ∪ φυλῶν ὡς ἁμαρτάνουσιν εἰς θεόν, ὅτι ποιοῦσιν ἔξω τῆς κιβωτοῦ 5 προσφοράν, ἐπαύσαντο μετ' εὐλαβείας ἀπολογησαμένων τῶν δύο ἥμισυ φυλῶν, καὶ τὸ παρ' αὐτοῖς θυσιαστήριον μαρτύριον προσηγόρευον. ἐδόθησαν δὲ καὶ τοῖς Λευίταις πόλεις μη'. τότε Ἰησοῦς συναγαγὼν τὸν Ἰσραὴλ ἅπαντα σὺν τοῖς ἄρχουσι πλεῖστα παραινέσας περὶ θεοσεβείας ἐξαπέστειλεν. αὐτὸς δὲ ἐτελεύτησε ζήσας ἔτη ρι', καὶ ἔθαψαν αὐτὸν ἐν Θαμνα- 10 σαρὰχ ἐν τῷ ὄρει Ἐφραΐμ ἐν ὁρίοις αὐτοῦ, συνθάψαντες αὐτῷ καὶ τὰς πετρίνας μαχαίρας.

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων ιζ' ἐβασίλευσεν Ἀσκατάδης ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γωιβ'.

15 *Ἀσσυρίων ιη' ἐβασίλευσεν Ἀμύντης ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γων'.*

Ἀσσυρίων ιθ' ἐβασίλευσε Βήλοχος ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γωϙε'. 278

Ἀσσυρίων κ' ἐβασίλευσε Βαλατόρης ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος 20 ͵γϡκ'.

Ἀσσυρίων κα' ἐβασίλευσε Λαμπρίδης ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γϡν'.

Ἀσσυρίων κβ' ἐβασίλευσε Σωσάρης ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γϡπ'.

25

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων λδ' ἐβασίλευσε Χεβρὼν ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψξβ'.

Αἰγυπτίων λε' ἐβασίλευσεν Ἀμεμφὶς ἔτη ιε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γψοε'.

1–11 Iosua 21, 41; 22, 9–12; 22, 34; 24, 1; 24, 28–30 || 9–11 cf. ps. Sym. f. 37r = Cedr. 142, 22 || 13 cf. Annianum apud Eliam Nisib. 15, 25–30; Castor. FGrHist 250 F 1 = Euseb. 1, 31, 12–21 || 26 ps. Manetho (Sothis) FGrHist 609 F 28

1 ῥουβὴν B ῥουβὶν A | Γὰδ Ios. γὰμ A γὰν B || 9 Θαμνασαρὰχ Go. θαμνὰς σαρὰχ AB θαμνασαχὰρ Ios.A θαμνασαχαρὰ Ios.v || 13 ἔτη λη'] ann. 38 Annian., ann. 40 Euseb. || 19 βαλατόρης B βαλετόρης A || 21 ἔτη λ'] ann. 32 Annian. et Euseb. || 27 ͵γψξβ' Go.m ͵γψξ' AB || 28 ἀμεμφὶς B ἀμέφης A

Αἰγυπτίων λς' ἐβασίλευσεν Ἀμενσῆς ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γψς'.

Αἰγυπτίων λζ' ἐβασίλευσε Μισφραγμούθωσις ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωα'.

Αἰγυπτίων λη' ἐβασίλευσε Μισφρὴς ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος 5 *,γωιζ'.*

Αἰγυπτίων λθ' ἐβασίλευσε Τούθμωσις ἔτη λθ'. τοῦ δέ κόσμου ἦν ἔτος ,γωμ'.

ΘΗΒΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Θηβαίων λζ' ἐβασίλευσε Φρουορῶ, ἤτοι Νεῖλος, ἔτη {ε'. τοῦ δὲ κόσμου 10 *ἦν ἔτος ,γωπθ'} ⟨ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωϛδ'.⟩*

279 *Θηβαίων λη' ἐβασίλευσεν Ἀμουθαρταῖος ἔτη ξγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡιγ'.*

Ἡ τῶν λη' βασιλέων τῶν κατ' Αἴγυπτον λεγομένων Θηβαίων, ὧν τὰ ὀνόματα Ἐρατοσθένης λαβὼν ἐκ τῶν ἐν Διοσπόλει ἱερογραμματέων παρ- 15 *έφρασεν ἐξ Αἰγυπτίας εἰς Ἑλλάδα φωνήν, ἐνταῦθα ἔληξεν ἀρχή, ἀρξαμένη μὲν ἀπὸ τοῦ ,βϡ' κοσμικοῦ ἔτους, ἔτεσιν ρκδ' μετὰ τὴν σύγχυσιν τῶν γλωσσῶν, λήξασα δὲ εἰς τοῦτο τῷ ,γϡοε' τοῦ κόσμου ἔτει.*

Τῶν δὲ τούτοις ἐφεξῆς ἄλλων νγ' Θηβαίων βασιλέων ὑπὸ τοῦ αὐτοῦ Ἀπολλοδώρου παραδεδομένων τὰς προσηγορίας περιττὸν ἡγούμεθα ἐν- 20 *ταῦθα ὡς μηδὲν συμβαλλομένας ἡμῖν παραθέσθαι, ἐπεὶ μηδὲ αἱ πρὸ αὐτῶν.*

⟨ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ⟩

Σικυωνίων ιθ' ἐβασίλευσε Σικυὼν ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡϛ'.

Σικυωνίων κ' ἐβασίλευσε Πόλυβος ἔτη μγ'. τοῦ δὲ κόσμου ἦν ἔτος 25 *,δλβ'.*

14 *τί λέγει περὶ τῶν Αἰγυπτίων γραμμάτων εἰς Ἑλλάδα μεταβληθέντων* || **18** *ἰστέον ὅτι ἡ πρώτη στοιχείωσις σύμφωνος ἀκριβῶς μετὰ ἔτη τῶν βασιλέων ἤγουν ἔτη ,γϡοε', ταύτη δὲ ἡ στοιχείωσις ἓν ἔτος ἔχει περισσόν· οἶμαι δὲ ὅτι αἱ προσθῆκαι καὶ ἐλλείψεις τῶν ἐτῶν ἐξ αἰτίας τῶν καλλιγράφων γεγόνασι* 30

10 ps. Eratosthenes Aegypt. Anagraphe FGrHist 610 F 1 || **24** cf. Castor. FGrHist 250 F 2 = Euseb. 1, 82, 21–29

[**AB** (158, 34–172, 17)] **6** *,γωιζ'* Go.[m] *,γωζ'* **AB** || **10** *φρουορῶ* **B** *φρουορῶν* **A** || **10–11** *ε' . . . ,γωπθ'* seclusi, nam repetitur perperam ex 143, 20 || **11** *ιθ' . . . ,γωϛδ'* restituit v. Gutschmid || **12** *ἀμουθαρταῖος* **B** *ἀμουθάρτιος* **A** || **17** *σύγχυσιν*] explicit **B** f. 44[v] post quod excidit folium unum || **23** titulum suppleuit Go. om. **A** || **24** *ἔτη μβ'*] ann. 45 Euseb. || **25** *Πόλυβος* Euseb. *πολύβιος* **A** | *ἔτη μγ'*] ann. 40 Euseb. || **27** *μεταβληθέντων*] *μετεβληθέντων* **B**[m] *καταβληθέντων* **A**[m] || **28–30** om. in lac. **B**[m]

Σικυωνίων κα΄ ἐβασίλευσεν Ἴναχος ἔτη με΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δοε΄.

Σικυωνίων κβ΄ ἐβασίλευσεν Ἥφαιστος ἔτη ι΄. τοῦ δὲ κόσμου ἦν ἔτος 280 *͵δϱκ΄.*

5 *Σικυωνίων κγ΄ ἐβασίλευσεν Ἄδραστος ἔτη ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϱλ΄.*

Σικυωνίων κδ΄ ἐβασίλευσε Πολυφείδης ἔτη λα΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϱλζ΄.

Σικυωνίων κε΄ ἐβασίλευσε Πελασγὸς ἔτη κ΄. τοῦ δὲ κόσμου ἦν ἔτος 10 *͵δϱξη΄.*

⟨ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ⟩

Ἀργείων γ΄ ἐβασίλευσεν Ἆπις ἔτη λε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵γωη΄.

Ὁ ἐπὶ Ὠγύγου παλαιότατος παρ᾽ Ἕλλησιν ἱστορούμενος ἐν Ἀκτῇ, τῇ νῦν Ἀττικῇ, κατακλυσμὸς τούτοις γέγονε τοῖς χρόνοις. διαφόρως γὰρ ἱστο- 15 ***ρεῖται, τῶν μὲν ἐπὶ Φορωνέως, τῶν δὲ ἐπὶ Ἄπιδος λεγόντων. ὁμοίως δὲ καὶ ἡ ἀπ᾽ Αἰγύπτου πορεία τοῖς Ἑλλήνων ἱστορικοῖς οὕτω φέρεται διαφόρως κατὰ τοὺς αὐτοὺς χρόνους τῷ ἐπὶ Ὠγύγου κατακλυσμῷ. συμφωνοῦσι δὲ τούτοις ἐν τούτῳ καὶ Ἰώσηππος καὶ Ἰοῦστος Ἰουδαῖοι ἱστορικοὶ καὶ τοῦ καθ᾽ ἡμᾶς λόγου Κλήμης ὁ στρωματεὺς καὶ Τατιανὸς καὶ Ἀφρι-*** 20 ***κανός, οὗ καὶ χρῆσιν ἑξῆς παραθώμεθα.***

Ἀφρικανοῦ

Ἐν τρίτῳ λόγῳ φησί· ***Ἱ Φαμὲν τοίνυν ἔκ γε τοῦδε τοῦ συντάγματος Ὤγυγον, ὃς τοῦ πρώτου κατακλυσμοῦ γέγονεν ἐπώνυμος, πολλῶν δια-*** 281 ***φθαρέντων διασωθεὶς κατὰ τὴν ἀπ᾽ Αἰγύπτου τοῦ λαοῦ μετὰ Μωυσέως*** 25 ***ἔξοδον, γεγενῆσθαι.*** ᾽ καὶ μετ᾽ ὀλίγα ***Ἱ Μετὰ δὲ Ὤγυγον διὰ τὴν ἀπὸ τοῦ κατακλυσμοῦ πολλὴν φθορὰν ἀβασίλευτος ἔμεινεν ἡ νῦν Ἀττικὴ μέχρι Κέκροπος ἔτη ϱπθ΄. τὸν μὲν γὰρ Ὤγυγον Ἀκταῖον ἢ τὰ πλασσόμενα τῶν ὀνομάτων οὐδὲ γενέσθαι φησὶν ὁ Φιλόχορος.*** ᾽ καὶ μεθ᾽ ἕτερα ***Ἱ Ἀπὸ Ὠγύγου τοίνυν ἐπὶ Κῦρον, ὅπως ἀπὸ Μωυσέως ἐπὶ τὸν αὐτοῦ χρόνον, ἔτη***

12 Castor FGrHist 250 F 3 = Euseb. 1, 83, 33 || 15 cf. Euseb. 1, 85, 6; 2, 31[g] | cf. Polemon. fr. 13 Müller || 18 Ioseph. c. Ap. 2, 15–17, Iustus FGrHist 734 F 2 || 19 Clem. Alex. Strom. 1, 101, Tatian. ad Graec. 38, Africanus fr. 22; cf. Euseb. Praep. Euang. 10, 10, 9–17 || 28 Philochorus FGrHist 328 F 92

1 *ἔτη με΄*] ann. 42 Euseb. || 3 *ἔτη ι΄*] ann. 8 Euseb. || 5 *ἔτη ζ΄*] ann. 4 Euseb. || 11 titulus in textu Go. in margine A || 14 et infra *κατακλυσμὸς* Di. *κατακλοισμὸς* A || 17 *αὐτοὺς* Scal. *αὐτοῦ* A || 24 *κατὰ* Euseb. et eadem manu post corr. A *μετὰ* ante corr. A || 25 *γεγενῆσθαι* Euseb. *γενήσεσθαι* A | *Ὤγυγον* Euseb. *ὠγύγου* A || 27 *τὸν μὲν γὰρ* A *τὸν γὰρ μετὰ* Euseb. || 29 *ὅπως* A *ὁπόσα* Euseb.

,ασλε΄. ἀλλὰ καὶ Ἑλλήνων δέ τινες ἱστοροῦσι κατὰ τοὺς αὐτοὺς χρόνους γενέσθαι Μωυσέα, Πολέμων μὲν ἐν πρώτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν λέγων· ἐπὶ Ἄπιδος τοῦ Φορωνέως μοῖρα τοῦ Αἰγυπτίων στρατοῦ ἐξέπεσεν Αἰγύπτου, οἳ ἐν τῇ Παλαιστίνῃ καλουμένῃ Συρίᾳ οὐ πόρρω Ἀραβίας ᾤκησαν· οὗτοι δηλονότι οἱ μετὰ Μωυσέως. Ἀπίων δὲ Ποσειδωνίου περιεργότατος 5 *γραμματικῶν ἐν τῇ κατὰ Ἰουδαίων βίβλῳ καὶ ἐν δ΄ τῶν ἱστοριῶν φησι κατὰ Ἴναχον Ἄργους βασιλέα Ἀμώσιος Αἰγύπτου βασιλεύοντος ἀποστῆναι Ἰουδαίους, ὧν γίνεσθαι Μωυσέα. μέμνηται δὲ καὶ Ἡρόδοτος τῆς ἀποστασίας ταύτης καὶ Ἀμώσιος ἐν τῇ δευτέρᾳ, τρόπῳ δέ τινι καὶ Ἰουδαίων, ἐν τοῖς περιτεμνομένοις αὐτοὺς καταριθμῶν.'* 10

Τοῦτον τὸν Ἄπίν φησι πρῶτον Αἰγυπτίοις νομισθῆναι θεὸν καὶ Σάρα- 282 *πιν κληθῆναι. οὗτος τὸν ἀδελφὸν Αἰγιαλέα τῆς Ἀχαΐας, ὥς φασι, κατέστησε βασιλέα. αὐτὸς εἰς Αἴγυπτον ἐστάλη σὺν ὄχλῳ.*

Τελχῖνες ἐκπεσόντες Πελοποννήσου Ῥόδον ᾤκησαν νῆσον τὴν καλουμένην Ὀφιοῦσαν. 15

Τότε Μέμφις ἐν Αἰγύπτῳ κατὰ τούτους ἐκτίσθη τοὺς χρόνους.

Σπάρτα ἐκτίσθη ὑπὸ Σπάρτου παιδὸς Φορωνέως.

〈ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ〉

Ἀργείων δ΄ ἐβασίλευσεν Ἄργος ἔτη ο΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωμγ΄.

Ἀργείων ε΄ ἐβασίλευσε Κρίασος ἔτη νε΄. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡιγ΄. 20

〈ΣΠΟΡΑΔΗΝ〉

Τούτοις τοῖς χρόνοις, ὥς φασι, Προμηθεὺς ἦν, ὃς ἐμυθεύετο πλάττειν ἀνθρώπους ἐξ ἀπαιδευσίας καὶ ἀλογίας εἰς παίδευσιν μετάγων, ὥς φησιν ὁ Πλάτων, ὁ τὴν παλαιὰν κωμῳδίαν, ἐν Σοφισταῖς· προμήθεια γάρ ἐστιν ἀνθρώποις ὁ νοῦς. ἑρμηνεύουσι δὲ οἱ Ἀναξαγόριοι τοὺς μυθώδεις θεοὺς 25

2 Polemon fr. 13 Müller || 5 Apion FGrHist 616 F 2 || 8 cf. Herodot. 2, 104. 162 || 11 cf. Euseb. 2, 32[g], Praep. Euang. 9, 9, 20, Clem. Alex. Strom. 1, 106, 4–5 = Aristippus FGrHist 317 F 1 || 14 Euseb. 2, 32[h]; cf. ps. Sym. f. 37[r] (Gelzer 2, 371, om. Cedr.) || 16 Euseb. 2, 32[i]; cf. Clem. Alex. Strom. 1, 106, 4 = Aristipp. FGrHist 317 F 1 || 19 Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 1–3 || 22–23 cf. African. fr. 22 = Euseb. Praep. Euang 10, 10, 23; Euseb. 2, 35[e] || 24 Plato comicus fr. 136 Edmonds || 25–p. 175, 2 cf. ps. Sym. f. 37[r] = Cedr. 144, 16; Iohann. Antioch. fr. 1, p. 540 Müller

1 *,ασλε΄* A *,ασλζ΄* Euseb. || 4 *οἳ* Euseb. *ἡ* A | *Ἀραβίας* Euseb. *ἀρραβίας* A || 5 *Ποσειδωνίου* Euseb. *ποσιδωνίου* A || 7 *Ἀμώσιος* Euseb. *ἀμώσιως* A || 8 *γίνεσθαι* A *ἡγεῖσθαι* Euseb. || 18 titulum suppleuit Go. om. A || 19 *,γωμγ΄* Go.[m] *,γωμθ΄* A || 20 *ἔτη νε΄*] ann. 54 Euseb. || 21 in textu Go. in margine A || 25 *ἀναξαγόριοι* A ps. Sym. *Ἀναξαγόρειοι* Iohann. Antioch.

νοῦν μὲν τὸν Δία, τὴν δὲ Ἀθηνᾶν τέχνην, ὅθεν καὶ τό· χειρῶν ὀλλυμένων ἔρρει πολύμητις Ἀθήνη.

Ἀφρικανοῦ· Καλλίθυια Πείραντος ἐν Ἄργει πρῶτον ἱεράτευσε τῆς Ἥρας. 283

Τούτοις τοῖς χρόνοις Ἄτλας ὁ Προμηθέως ἀδελφὸς ἄριστος ἀστρολόγος
5 *διέλαμπεν, ὡς ἐπιστήμης ἕνεκεν τὸν οὐρανὸν αὐτὸν φέρειν πεφήμισται. Εὐριπίδης δὲ τὸν Ἄτλαντα ὄρος εἶναί φησιν ὑπερνεφές.*

Οὗτος κατὰ τοὺς χρόνους Γοθονιὴλ ἤκμαζεν, ὡς μαρτυροῦσι πάντες οἱ ἐκ τοῦ καθ' ἡμᾶς λόγου ἱστορικοί, ἐν οἷς καὶ Ἀφρικανός φησιν 'Οἱ ἀπὸ τῆς Κουρητείας τῆς νῦν Ἀκαρνανίας Κουρῆτες καὶ Κορύβαντες Κνωσσὸν
10 *ᾤκισαν, οἱ τὴν ἐν ὅπλοις εὔρυθμον κίνησιν εὑρόντες.'*

Τούτοις τοῖς χρόνοις Σύρος ἱστορεῖται γεγονέναι γηγενής, οὗ ἐπώνυμος ἡ Συρία. ἄλλοι δὲ πρότερον ἔτεσιν ρ'. καὶ περὶ Προμηθέως δὲ καὶ Ἐπιμηθέως τὸ αὐτὸ διαφόρως ἱστοροῦσι καὶ Ἄτλαντος Ἄργου τε καὶ Ἰοῦς τῆς Προμηθέως θυγατρὸς καὶ Πανόπτου. οἱ μὲν γὰρ ὅτι κατὰ Κέκροπα
15 *τὸν διφυῆ γεγόνασιν, οἱ δ' ὅτι πρότερον ἔτεσιν ξ', ἄλλοι δὲ ς'.*

Πᾶσι δὲ τοῖς πρὸ αὐτοῦ σοφωτάτοις ἱστορικοῖς Χριστιανοῖς τε καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἀντιπίπτων Εὐσέβιος Κέκροπα τὸν διφυῆ πρῶτον βασιλεύσαντα μετὰ Ὤγυγον τῆς τότε μὲν Ἀκτῆς, νῦν δὲ Ἀττικῆς, ὃς ἦν 284 *κατὰ Φορωνέα καὶ τὸν μέγαν Μωυσέα πρὸ ἐτῶν τούτων, ἐν οἷς Κέκροψ*
20 *ἡμῖν ἐστοιχείωται λίαν ἀκριβῶς, ἐπὶ Μωυσέως γενέσθαι ἀλόγως ἀπεφήνατο τὸν αὐτὸν Κέκροπα καὶ ἀμαρτύρως.*

ΚΟΣΜΟΥ ΕΤΗ

Ἰησοῦ τοῦ Ναυὴ ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωνζ'.

Οἱ μετὰ Ἰησοῦν πρεσβύτεροι ἡγήσαντο τοῦ Ἰσραὴλ ἔτη ιη'. τοῦ δὲ
25 *κόσμου ἦν ἔτος ,γωπδ'.*

11 *διὰ τί ἐκλήθη Συρία*

3 Africanus fr. 24; cf. Euseb. 2, 37[c], Praep. Euang. 3, 8, 1 = Plutarch. de Daed. Plat. frag. || **4** Euseb. 2, 37[d] || **6** Euripid. fr. 1116 Nauck || **8** Africanus fr. 24, sed quo usque uerba Africani extendant non liquet. post *εὑρόντες* interpunxit et spatium reliquit B || **9–10** Euseb. 2, 42[g] || **11** Euseb. 2, 38[c] || **12–15** Euseb. 2, 40[e] || **17** Euseb. 2, 11–12 || **23** cf. Euseb. 1, 52, 12; 2, 46, 3; Anon. Matr. 12, 9; Chron. Pasch. 143, 18; Ecl. Hist. 187, 24 || **24** cf. Anon. Matr. 12, 10–13, 2 et infra 204, 2

[**AB** (175, 8–202, 8)] || **1** *χειρῶν* ps. Sym. *χεῖρον* **A** || **2** *ἔρρει* ps. Sym. *ἐρεῖ* **A** || **3** *Καλλίθυια Πείραντος* Go.[m] *καλλιθυσία σπείραντος* **A** | *ἱεράτευσε* Scal. *ἱερατεῦσαι* **A** || **6** *φησιν* Scal. *φασιν* **A** || **7** *Γοθονιὴλ* Di. *γαθονιὴλ* **A** || **8** *ἐν οἷς*] incipit f. 45[r] **B** || **9** *Κνωσσὸν* Di. *κνώσον* **AB** || **10** *ᾤκισαν* Scal. *ᾤκησαν* **AB** || **13** *Ἄργου* Scal. *ἄργος* **A** *ἄργους* **B** || **15** *οἱ δ'* **B** *οὐδ'* **A** || **22** titulum om. **A** || **23** *Ἰησοῦ* **B** *ἰησοῦς* **A** | *ἔτος* **A** *ἔτη* **B** || **23–25** *,γωνζ' . . . ἔτος* om. **A** || **26** lemma om. **B**[m]

Σημειωτέον ὅτι τὸν Φινεὲς υἱὸν Ἐλεάζαρ μετὰ ν' ἔτη φησὶν ἡ τῶν κριτῶν βίβλος παρεστάναι ἐνώπιον τῆς κιβωτοῦ ἐν τῷ πολέμῳ τῶν ια' φυλῶν κατὰ τῆς φυλῆς Βενιαμὶν περὶ τῆς μελισθείσης γυναικός.

Τὰ ὀστᾶ Ἰωσὴφ ἀνήγαγον ἐξ Αἰγύπτου οἱ υἱοὶ Ἰσραήλ, καὶ ἔθαψαν αὐτὸν ἐν Σικίμοις ἐν τῇ μερίδι τοῦ ἀγροῦ, ἣν ἐξώνηται ἀμνῶν ρ' ὁ Ἰακὼβ 5 *παρὰ τῶν υἱῶν Ἐμμώρ, φασὶ δ' ὅτι καὶ τῶν λοιπῶν πατριαρχῶν. ἀποθανόντος δὲ καὶ Ἐλεάζαρ τοῦ υἱοῦ Ἀαρὼν διεδέξατο τὴν ἱερωσύνην Φινεὲς ὁ υἱὸς αὐτοῦ. ἐτάφη δὲ καὶ Ἐλεάζαρ ἐν ὄρει Ἐφραίμ, ἐν Γαβαὰθ τῇ μερίδι Φινεὲς τοῦ υἱοῦ αὐτοῦ, ἔνθα καὶ αὐτὸς Φινεὲς τελευτήσας ἐτάφη ἱερατεύσας τοῦ Ἰσραὴλ ἕως τελευτῆς.* 10

285 *Οἱ δὲ υἱοὶ Ἰσραὴλ μετὰ τὴν Ἰησοῦ τελευτὴν καὶ τῶν πρεσβυτέρων ἐπηρώτησαν ἐν κυρίῳ· τίς ἀναβήσεται ἀφηγούμενος πολεμεῖν ἐπὶ τὸν Χαναναῖον; καὶ ἐρρήθη αὐτοῖς ὅτι Ἰούδας. καὶ ἀνέβη Ἰούδας καὶ Συμεών, καὶ ἔδωκε κύριος τὸν Χαναναῖον καὶ τὸν Φερεζαῖον ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἔλαβε τὸν Ἀδωνιβεζὲκ βασιλέα Ἱερουσαλήμ, καὶ τὴν πόλιν ἐνέπρησαν* 15 *πυρί. καὶ ἦν κύριος μετ' αὐτῶν, ἕως ἐποίησαν τὸ πονηρὸν ἔναντι αὐτοῦ. καὶ ἀπέδοτο αὐτοὺς ἔτη η' δουλεύειν τῷ Χουσαρσαθὼμ βασιλεῖ Συρίας Μεσοποταμίας.*

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων κγ' ἐβασίλευσε Λαμπραὴς ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δ. 20

Ἀσσυρίων κδ' ἐβασίλευσε Παννὰς ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δλ'.

Ἀσσυρίων κε' ἐβασίλευσε Σώσαρμος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δοε'.

Ἀσσυρίων κς' ἐβασίλευσε Μιθραῖος ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϞζ'. 25

Ἀσσυρίων κζ' ἐβασίλευσε Τεύταμος, ὁ καὶ Ταυτάνης παρά τισι λεγόμενος, ἔτη λβ'. ἐπὶ τούτου Ἴλιον Εὐσέβιός φησιν ἁλῶναι. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρκδ'.

1 Iudic. 20, 28 || 4 Iosua 24, 32–33, cf. Acta Apost. 7, 16 || 11 Iudic. 1, 1–8 || 16 Iudic. 3, 7–8 || 20 cf. Annianum apud Eliam Nisib. 15, 29–16, 1, Castor. FGr Hist 250 F 1 = Euseb. 1, 31, 22 || 27 Euseb. 2, 59[a]

1 *μετὰ ν' ἔτη* seclusit Go. rectius fortasse *μετὰ Ἰησοῦν ιη' ἔτη.* cf. Syn. Chron. (Paris. Coisl. 193 f. 242[v]) p. 219, 17 apud editionem Nicephori opusculorum de Boor, in quo Phineas annos 18 duxit in loco seniorum || 8 *ἐφραὶμ* **B** *ἐμφαὶμ* **A** || 12 *ἐπηρώτησαν* **A** *ἐπηρώτησεν* **B** | *ἐν* **B** Iudic.[A] *τῷ* **A** *διὰ τοῦ* Iudic.[v] || 13 *ἐρρήθη* **B** *ἐρήθη* **A** || 14 *φερεζαῖον* **A** *φεζαῖον* **B** || 15 *Ἀδωνιβεζὲκ* Iudic. *ἄδωνι βεζὲκ* **B** *ἀδὼν βεζὲκ* **A** || 17 *αὐτοὺς* **A** *αὐτοῖς* **B** | *χουσαρσαθὼμ* **B** *χουσαρσαθὼθ* **A** || 19 titulum om. **A** || 22 *ἔτη κβ'*] ann. 22 Annian., 19 Euseb. || 28 *,δρκδ'* Go. *,δρκ'* **AB**

Ἀσσυρίων κη' ἐβασίλευσε Τευταῖος ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνς'. 286

Ἀσσυρίων κθ' ἐβασίλευσεν Ἀραβῆλος ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσ'.

5 ## ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγύπτου μ' ἐβασίλευσεν Ἀμενῶφθις ἔτη λδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γωοθ'.

Οὗτος ὁ Ἀμενῶφθίς ἐστιν ὁ Μέμνων εἶναι νομιζόμενος καὶ φθεγγόμενος λίθος. ὃν λίθον χρόνοις ὕστερον Καμβύσης ὁ Περσῶν τέμνει, νομίζων
10 εἶναι γοητείαν ἐν αὐτῷ, ὡς Πολύαινος ὁ Ἀθηναῖος ἱστορεῖ. Αἰθίοπες ἀπὸ Ἰνδοῦ ποταμοῦ ἀναστάντες πρὸς τῇ Αἰγύπτῳ ᾤκησαν.

Αἰγυπτίων μα' ἐβασίλευσεν Ὧρος ἔτη μη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡιγ'.

Αἰγυπτίων μβ' ἐβασίλευσεν Ἀχενχερὴς ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος
15 ,γϡξα'.

Αἰγυπτίων μγ' ἐβασίλευσεν Ἀθωρὶς ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡπς'.

Αἰγυπτίων μδ' ἐβασίλευσε Χενχερὴς ἔτη κς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,διε'.

20 ## ΣΙΚΥΩΝΙΩΝ ΒΑΣΙΛΕΙΣ 287

Σικυωνίων κς' ἐβασίλευσε Ζεύξιππος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρπη'.

Ἕως τούτου τοῦ ,δσε' ἔτους τοῦ κόσμου ἡ τῶν Σικυωνίων ἤτοι Πελοποννησίων λεγομένων βασιλεία διήρκεσεν ἐν γενεαῖς μὲν ἤτοι βασιλεῦσιν
25 κς', ἔτεσιν ϡξζ'. ἀρξαμένη γὰρ τῷ καθολικῷ κοσμικῷ ,γσλθ' ἔτει κατε-

8 τίς ἦν ὁ Μέμνων || **10** περὶ τῶν Αἰθιόπων πόθεν ἦσαν καὶ ποῦ ᾤκησαν || **23** ἕως τούτου ἡ τῶν Πελοποννησίων βασιλεία· ἀσύμφωνά ἐστι τὰ ἔτη τῶν Σικυωνίων βασιλέων πρὸς τὴν στοιχείωσιν, ιβ' γὰρ ἔτη πλέον ὑπερηκόντισαν τῆς στοιχειώσεως· τοῦτο δὲ οἶμαι σφάλμα ἦν ἐκ τῶν καλλιγράφων

3 cf. Eliam Nisib. 16, 2: *Arbelus. Hunc Annius solus commemorat. 42* || **6** ps. Manetho (Sothis) FGrHist 609 F 28 || **8** Euseb. 2, 38[d] || **9** Polyaenus FGrHist 639 F 1 || **10** Euseb. 2, 38[e]; cf. Cedr. 86, 4 (om. ps. Sym.) || **12** ps. Manetho (Sothis) FGrHist 609 F 28 || **21** Castor FGrHist 250 F 2 = Euseb. 1, 81, 17–19; 82, 31

1 ἔτη μδ'] ann. 40 Annian. et Euseb. || **3** ἀραβῆλος A ἀραβίλος B || **5** *ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ* in textu B βασιλεῖς αἰγυπτίων in margine A || **6** et **8** ἀμενῶφθις A ἀμμενοφθὶς B || **8** οὗτος ὁ B οὗτος A || **12–18** ἦν ἔτος om. A || **20** titulum om. A || **25** ἔτεσιν om. A | ϡξζ' Go.[m] ,δξζ' AB *959* Euseb. 1, 81 *967* Euseb. 2, 173 (Arm.) *962* Euseb. 2, 64 (Hieron.) | ἔτει B ἔτη A || **26** περὶ ... ᾤκησαν in margine B, in textu A || **28** ὑπερηκόντισαν A[m] ὑπερηκόντησαν B[m]

παύθη ἐν τῷδε τῷ ,δσε' ἔτει. μεθ' οὓς κς' βασιλεῖς, ὥς φασιν, ἡγοῦντο αὐτῶν οἱ ἱερεῖς τοῦ Καρνίου ἔτη λγ'.

Ὁμοῦ τὰ πάντα τῆς Σικυωνίων ἀρχῆς ἔτη χίλια.

ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀργείων ς' ἐβασίλευσε Φόρβας ἔτη κε'. οὗτος Ῥόδου ἐκράτησε. τοῦ 5
δὲ κόσμου ἦν ἔτος ,γϡξη'.

Ἀργείων ζ' ἐβασίλευσε Τριόπας ἔτη λς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡϟγ'.

Ἀργείων η' ἐβασίλευσε Κρότωπος ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δκθ'.

Ἀργείων θ' ἐβασίλευσε Σθένελος ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δνγ'.

288 *Φασί τινες ὅτι μετὰ Σθένελον Ἄργους ἐβασίλευσε Γελάνωρ, ὃν Ἀργεῖοι* 10
τῆς ἀρχῆς παύσαντες Δαναὸν Ἄργους ἐβασίλευσαν. ὃς ἐκπεσὼν Αἰγύπτου καὶ κρατήσας τοῦ Ἄργους ἔνυδρον αὐτὸ κατεστήσατο.

Ὁ αὐτὸς Δαναὸς διὰ τῶν λεγομένων Δαναΐδων (αὗται δὲ ἦσαν αὐτῷ θυγατέρες ν') τοὺς ν' υἱοὺς τοῦ ἀδελφοῦ αὐτοῦ Αἰγύπτου διεχρήσατο χωρὶς ἑνὸς τοῦ Λυγκέως, ὃς καὶ ἐβασίλευσε μετ' αὐτόν. οὐκ ἄπιστον δὲ ἐν 15
βαρβάροις ἡ πολυτεκνία διὰ τὸ πλῆθος τῶν παλλακῶν.

ΣΠΟΡΑΔΗΝ

Ἡ Ἰὼ ἡ δευτέρα εἰς Αἴγυπτον ἐλθοῦσα κατά τινας, ἣ καὶ Ἶσις προσηγορεύθη Φαρία, γημαμένη Τηλεγόνῳ Ἔπαφον ἐγέννησεν. Ἔπαφος Ἰοῦς τῆς β' ἐβασίλευσεν Αἰγύπτου καὶ Μέμφιν ἔκτισε. 20

Κόρινθος ἡ πάλαι Ἐφύρα καλουμένη ἐκτίσθη.

Φοῖνιξ καὶ Κάδμος ἀπὸ Θηβῶν τῶν κατ' Αἴγυπτον ἐξελθόντες εἰς τὴν Συρίαν Τύρου καὶ Σιδῶνος ἐβασίλευσαν.

Βούσιρις Ποσειδῶνος καὶ Λιβύης τῆς Ἐπάφου παῖς τῶν κατὰ τὸν Νεῖλον τόπων ἐτυράννει καὶ τοὺς παροδεύοντας κατέθυε ξένους. 25

Τὸ ἐν Δελφοῖς ἱερὸν ἐνεπρήσθη ὑπὸ Φλεγύου.

21 *τί λέγει περὶ Κορίνθου ὅτι Ἐφύρα ἐκαλεῖτο*

4–9 Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 4–9 || **5** Euseb. 2, 40[g], cf. Diodor. 5, 58, 5 || **10** Euseb. 2, 45[h] || **11** Euseb. 2, 45[i] || **13** Euseb. 2, 46[f] || **18** Euseb. 2, 43[h] || **19** Euseb. 2, 44[f] || **21** Euseb. 2, 43[g]; cf. ps. Sym. f. 37[v] (Gelzer 2, 371, om. Cedr.) || **22** Euseb. 2, 46[i] || **24** Euseb. 2, 46[h] || **26** Euseb. 2, 47[c]

2 *καρνίου* B *κανίου* A || **5** *ἔτη κε'*] ann. 35 Euseb. || **6** et **7** *ἦν ἔτος* om. A || **7** *ἔτη λς'*] ann. 45 Euseb. || **8** *Κρότωπος* Go. *κρότοπος* AB | *ἔτη κδ'*] ann. 21 Euseb. || **8–9** *ἦν . . . ἔτος* om. A || **10** *γελάνωρ* B *γελάνων* A || **12** *αὐτὸ* B *αὐτῷ* A | *κατεστήσατο* B *κατεστήσαντο* A || **18** *ἡ ἰὼ* B *ἰὼ* A || **25** *τόπων* B *τόπον* A || **27** lemma om. A[m]

Κρητῶν ἐβασίλευσεν Ἀστέριος. 289

Εὐρώπῃ τῇ Φοίνικος μυθεύεται Ζεὺς μιγῆναι. ὁ δ' ἦν τεθνεώς, ὡς ἐν Κρήτῃ μαρτυρεῖ αὐτοῦ ὁ τάφος. αὐτὴ δ' ἦν Ἀστερίου τοῦ Κρητῶν βασιλέως γαμετή, ἐξ ἧς ἔσχε τρεῖς υἱούς, Μίνωα καὶ Ῥαδάμανθυν καὶ Σαρ-
5 *πηδόνα, οἳ καὶ Διὸς ἐμυθεύοντο παῖδες εἶναι.*

ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀθηναίων α' ἐβασίλευσε Κέκροψ ὁ διφυὴς ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡμε'.

Κέκροψ ὁ διφυὴς τῆς τότε Ἀκτῆς, νῦν δὲ Ἀττικῆς, ἐβασίλευσεν ἔτη ν',
10 *διὰ μῆκος σώματος οὕτω καλούμενος, ὥς φησιν ὁ Φιλόχορος, ἢ ὅτι Αἰγύπτιος ὢν τὰς δύο γλώσσας ἠπίστατο. οὗτος ἀπὸ τῆς Ἀθηνᾶς τὴν πόλιν Ἀθήνας ὠνόμασεν. ἐπὶ αὐτοῦ ἡ ἐν τῇ ἀκροπόλει ἐλαία πρώτως ἐφύη. ἀπ' αὐτοῦ δὲ Κεκροπία ἡ χώρα ἐκλήθη. οὗτος πρῶτος βοῦν ἐθυσίασε καὶ Ζῆνα προσηγόρευσεν, ὥς τινες. ἀπ' αὐτοῦ ἐπὶ πρώτην ὀλυμπιάδα βασιλεῖς*
15 *ις', ἄρχοντες δὲ διὰ βίου ια', ἔτη δὲ ψ'. κατὰ τούτους τὰ παρ' Ἕλλησι θαυμαστὰ δοκοῦντα μυθολογεῖται.*

Ἡ τῶν θεῶν κρίσις Ποσειδῶνος καὶ Ἀθηνᾶς ἐπὶ Κέκροπος μυθεύεται 290 *Ἕλλησι περὶ τῆς χώρας. τὸ ἐν Δήλῳ ἱερὸν Ἀπόλλωνος Δηλίου ὑπὸ Ἐρυσίχθονος υἱοῦ Κέκροπος ἱδρύνθη.*

20 *Χαλδαῖοι κατὰ Φοινίκων ἐστράτευσαν.*

Μουσικὸς ὁ Εὐκταίου καὶ Νύμφης ἤκμαζε.

Δευκαλίων βασιλεύειν τῶν κατὰ Παρνασσὸν ἤρξατο.

Κέκροψ Ἀθήνας τὰς καὶ Διάδας ἐν Εὐβοίᾳ ἔκτισεν. Εὐβοεῖς δὲ ταύτην Ὀρχομενὸν μετωνόμασαν.

25 *Ἕλλην υἱὸς Δευκαλίωνος ἐγνωρίζετο, ἀφ' οὗ Ἕλληνες οἱ Γραικοὶ μετεκλήθησαν. ἀμπελουργία ὑπὸ Διονύσου ἐγνωρίσθη, οὐχὶ τοῦ ἐκ Σεμέλης.*

Ἄρειος πάγος ἐκλήθη καὶ δικαστήριον κατέστη.

25 *πόθεν Ἕλληνες ἐκλήθησαν*

1 Euseb. 2, 47^{f} || 2 Euseb. 2, 47^{g} || 7 Castor FGrHist 250 F 4 = Euseb. 1, 86, 15 || 9–13 Euseb. 2, $41^{h,i}$; cf. ps. Sym. f. 37^{v} = Cedr. 144, 22 || 10 Philochorus FGrHist 328 F 93 || 14–16 Euseb. 2, 41^{g} || 17 Euseb. 2, 42^{i} || 18 Euseb. 2, 43^{i}; cf. ps. Sym. f. 37^{v} = Cedr. 145, 6 || 20–24 Euseb. 2, $42^{h,i,k,n}$ || 25–27 Euseb. 2, $43^{f,l,m}$; cf. ps. Sym. f. 37^{v} (Gelzer 2, 371, om. Cedr.)

3 *αὐτοῦ* om. **B** | *αὐτὴ* Scal. *ταύτῃ* **B** *ταῦτα* **A** || 4 *γαμετή* **B** *γαμετήν* **A** || 13 *ἐθυσίασε* Di. *ἐθαύμασε* **AB** ps. Sym. *immolans* Hieron. || 15 *τούτους* **B** *τούτοις* **A** || 18 *τὸ* Go. *τῶν* **AB** | *Ἐρυσίχθονος* Scal. *ἐρύχθονος* **AB** ps. Sym. || 23 *Διάδας* Go. *δύαδος* **AB** | *Εὐβοεῖς* Di. *εὐβόϊς* **A** *ἐβόης* **B** || 24 *ὀρχόμενον* **B** *ὠρχωμενὸν* **A** || 27 *ἄρειος* **A** *ἄριος* **B**

Τῷ με' ἔτει Κέκροπος τοῦ διφυοῦς πρώτου βασιλέως Ἀθηναίων τὴν ἐξ Αἰγύπτου πορείαν τοῦ Ἰσραὴλ διὰ Μωυσέως φησὶν ὁ Παμφίλου ἐμβρόντητος Εὐσέβιος γενέσθαι, ὅπερ κατὰ μὲν τὸν ἐκείνου παραλογισμὸν τῶν ἐξ Ἀδὰμ ἔτος ἦν ,γχπθ', κατὰ δὲ τὸν ἀληθῆ καὶ ἀκριβέστατον λόγον ,γϡπθ', κβ' δὲ Ἀώδ. 5

Ἡρακλέα τινές φασιν ἐν Φοινίκῃ γνωρίζεσθαι Δισανδὰν ἐπιλεγόμενον, ὡς καὶ μέχρι νῦν ὑπὸ Καππαδόκων καὶ Ἠλείων οὕτω καλεῖσθαι.

291

ΚΟΣΜΟΥ ΕΤΗ

Τῆς βίβλου τῶν κριτῶν ἔτη

Χουσαρσαθὼμ βασιλεὺς Συρίας Μεσοποταμίας ἐκράτησε τοῦ Ἰσραὴλ 10 *ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡβ'.*

Γοθονιὴλ πρῶτος κριτὴς τοῦ Ἰσραὴλ ἀνέστη ὑπὸ τοῦ θεοῦ δοθείς, ἀδελφὸς Χαλὲβ ὁ νεώτερος, ἐκ φυλῆς Ἰούδα, ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡι'.

Ὁ Ἰσραὴλ ἁμαρτήσας παρεδόθη τῷ Αἰγλὼμ βασιλεῖ Μωαβιτῶν ἔτη 15 *ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡν'.*

Ἀὼδ κριτὴς δεύτερος ἐπιστρέψαντι τῷ Ἰσραὴλ ἐδόθη παρὰ τοῦ θεοῦ. οὗτος ἀνελὼν τὸν Αἰγλὼμ βασιλέα Μωαβιτῶν ἡγήσατο τοῦ Ἰσραὴλ ἔτη π'. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡξη'.

Ἑβδομηκοστῷ ἔτει τοῦ Ἀὼδ φησιν ὁ Ἀφρικανὸς τὸν ἐπὶ Δευκαλίωνος 20 *κατακλυσμόν. ἀλλ' οὐκ ἔστι τοῦτο ἀκριβῶς ἀποδεῖξαι τῶν παρ' Ἕλλησι πάντων χρόνων διασφαλλομένων ὅσοι πρὸ τῆς πρώτης ὀλυμπιάδος ἱστόρηνται, πλὴν ὅτι τοῦ ἀληθοῦς ἐγγὺς ἐστοχάσατο, ἐπεὶ καὶ ἡμεῖς παραπλησίως, μὴ ἔχοντες ἄλλο τι περισσότερον δεῖξαι.*

Μετὰ τὴν τελευτὴν Ἀὼδ ἀνέστη Σεμέγαρ υἱὸς Ἀνάθ, καὶ ἔσωσε καὶ 25
292 *αὐτὸς τὸν Ἰσραὴλ πατάξας τοὺς ἀλλοφύλους. καὶ προσέθεντο οἱ υἱοὶ*

10 *τί λέγει περὶ τῶν Ἰσραηλιτῶν ὅτι ἐδούλευσαν τῷ βασιλεῖ Συρίας ἔτη η' διὰ τὸ ποιῆσαι πονηρόν, ὁμοίως καὶ τῷ βασιλεῖ Αἰγλώμ*

1 Euseb. 1, 46, 36; 2, 12, 1 || **6** Euseb. 2, 43[k]; cf. ps. Sym. f. 37[v] (Gelzer 2, 372, om. Cedr.) || **10–19** Iudic. 3, 7–14. 30; cf. ps. Sym. f. 47[r] (Gelzer 2, 372, om. Cedr.) || **20** Africanus fr. 25 || **25** Iudic. 3, 31–4, 3

4 *,γχπθ' . . . λόγον* om. **A** || **5** *,γϡπθ'* scripsi *,γϡθ'* **AB** || **6** *δισανδὰν* **B** ps. Sym. *διβδᾶν* **A** *Desanaus* Hieron. *desandas* Arm. || **7** *Ἠλείων*] *ἰλίων* **AB** | *οὕτω καλεῖσθαι* om. **B** || **10** *χουσαρσαθὼμ* **B** *χουσὰρ σαθῶμ* **A** | *τοῦ* **B** *τὸν* **A** || **11, 13, 16** et **19** *ἦν ἔτος* om. **A** || **12** *γοθονιὴλ* **A** *γοθονοὴλ* **B** || **21** *κατακλυσμόν* **B** *κατακλοισμόν* **A** || **26** *οἱ* om. **A**

*Ἰσραὴλ εἰδωλομανεῖν, καὶ ἀπέδοτο αὐτοὺς κύριος ἐν χειρὶ Ἰαβεὶν βασι-
λέως Χαναὰν ἔτη κ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δμη΄.*

*Δεβῶρρα προφῆτις γυνὴ Ἀφειδὼθ φυλῆς Ἐφραῒμ κατὰ τοὺς χρόνους
τούτους ἔκρινε τὸν Ἰσραήλ. διὰ ταύτης ἡγήσατο Βαρὰκ υἱὸς Ἀβινοεὶμ ἐκ
5 φυλῆς Νεφθαλεὶμ τῆς κατὰ Σισάρα μάχης τοῦ ἀρχιστρατήγου Ἰαβείν, καὶ
ἐκράτησε πάσης τῆς δυνάμεως αὐτοῦ. αὐτὸς δὲ τοῖς ποσὶ διαφυγὼν ὁ Σι-
σάρα ὑπὸ Ἰαὴλ γυναικὸς Χαβὲρ τοῦ Κιναίου ἀνῃρέθη πασσάλῳ κατὰ τῆς
γνάθου διαπαρείς. τότε ᾖσε Δεβῶρρα σὺν Βαρὰκ ᾠδὴν ἐπινίκιον τῷ θεῷ.
καὶ ἡσύχασεν ἡ γῆ ἔτη μ΄.*

10 *Δεβῶρρα σὺν Βαρὰκ ἡγήσατο τοῦ Ἰσραὴλ μ΄. τοῦ δὲ κόσμου ἦν ἔτος
͵δξη΄.*

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

*Ἀσσυρίων λ΄ ἐβασίλευσε Χάλαος ἔτη με΄. τοῦ δὲ κόσμου ἦν ἔτος
͵δσμβ΄.*

15 *Ἀσσυρίων λα΄ ἐβασίλευσεν Ἄνεβος ἔτη λη΄. τοῦ δὲ κόσμου ἦν ἔτος
͵δσπζ΄.*

Ἀσσυρίων λβ΄ ἐβασίλευσε Βάβιος ἔτη λζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτκε΄.

Βάβιος οὗτός ἐστιν ὁ παρ᾽ Ἕλλησι Τιθωνὸς λεγόμενος Ἀσσυρίων λβ΄ 293
*βασιλεύς. τούτου παῖς Μέμνων, ὃς συνεμάχησε τῷ Πριάμῳ κατὰ τῶν
20 Ἑλλήνων καὶ διεφθάρη ὑπὸ Ἀχιλλέως. φέρεται δὲ καὶ ἀντίγραφος τῆς
Πριάμου ἐπιστολῆς. ὁ αὐτός ἐστι δὲ καὶ δεύτερος Ταυτάνης.*

*Ἀσσυρίων λγ΄ ἐβασίλευσεν ⟨Θιναῖος⟩ ἔτη λ΄. τοῦ δὲ κόσμου ἦν ἔτος
͵δτξβ΄.*

Ἀσσυρίων λδ΄ ἐβασίλευσε Δέρκυλος ἔτη μ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτϙβ΄.

25
ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

*Αἰγυπτίων με΄ ἐβασίλευσεν Ἀχερρὴς ἔτη η΄ ἢ καὶ λ΄. τοῦ κόσμου ἦν
ἔτος ͵δμα΄.*

3 *ἄλλη δουλεία τοῦ Ἰσραήλ· περὶ Δεβόρρας* || **18** *τίς ἐστιν ὁ Βάβιος*

1–7 cf. ps. Sym. f. 47r (Gelzer 2, 372, **4–7** habet Cedr. 146, 21) || **3–9** Iudic. 4, 4.15. 21; 5, 1. 31 || **10** cf. Euseb. 1, 49, 3; 2, 53, 6 || **13–17** cf. Annianum apud Eliam Nisib. 16, 3–5, qui dicit hos reges solum ab Anniano relatos esse || **18** cf. Cephalion. FGrHist 93 F 1 = Euseb. 1, 30, 11 || **22–24** cf. Annianum apud Eliam Nisib. 16, 6–7, Castor. FGrHist 250 F 1 = Euseb. 1, 31, 31 || **26**–p. 182, **1** ps. Manetho (Sothis) FGrHist 609 F 28

1 *αὐτοὺς* **B** *αὐτοῖς* **A** || **3** *ἀφειδὼθ* **AB** ps. Sym. *Λαφειδὼθ* Iudic. || **4** *τούτους* **A** *τούτου* **B** | *ἀβινοεὶμ* **A** *ἀβεινοεὶμ* **B** || **5** *σισάρα* **A** *σεισάρα* **B** | *ἰαβεὶν* **B** *ἰωακεὶμ* **A** || **6** *ὁ σισάρα* ps. Sym. *ὁ σεισάρα* **B** *ὡς ἡσάρα* **A** || **7** *Χαβὲρ* Iudic. *χαμὲρ* **AB** ps. Sym. | *κιναίου* **A** *κειναίου* **B** || **8** *δεβῶρρα* **A** *δεβόρρα* **B** || **12** titulum om. **A** || **22** ⟨*Θιναῖος*⟩ Scal. || **23** *͵δτξβ΄* om. **B** || **25** in textu **B**, in margine **A** || **26** *ἀχερρὴς* **B** *ἀχερὴς* **A** || **27** et p. 182, **2** *͵δμα΄ . . . ͵δμθ΄* Go.m *͵δυμα΄ . . . ͵δυμθ΄* **AB** || **28** *περὶ Δεβόρρας* om. **A**m

Αἰγυπτίων μϛʹ ἐβασίλευσεν Ἁρμαῖος ὁ καὶ Δαναὸς ἔτη θʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δμθʹ.

Ἁρμαῖος ὁ καὶ Δαναὸς φεύγων τὸν ἀδελφὸν Ῥαμεσσῆν τὸν Αἴγυπτον ἐκπίπτει τῆς κατ' Αἴγυπτον βασιλείας αὐτοῦ, εἰς Ἑλλάδα τε ἀφικνεῖται.

Ῥαμεσσῆς δὲ ὁ ἀδελφὸς αὐτοῦ ὁ καὶ Αἴγυπτος καλούμενος ἐβασίλευσεν Αἰγύπτου ἔτη ξηʹ, μετονομάσας τὴν χώραν Αἴγυπτον τῷ ἰδίῳ ὀνόματι, ἥτις πρότερον Μεστραία, παρ' Ἕλλησι δὲ Ἀερία ἐλέγετο. Δαναὸς δὲ ὁ καὶ Ἁρμαῖος κρατήσας τοῦ Ἄργους καὶ ἐκβαλὼν Σθένελον τὸν Κρο- 5
294 *τώπου Ἀργείων ἐβασίλευσε, καὶ οἱ ἀπόγονοι αὐτοῦ μετ' αὐτὸν Δαναΐδαι καλούμενοι ἐπ' Εὐρυσθέα τὸν Σθενέλου τοῦ Περσέως, μεθ' οὓς οἱ Πελοπίδαι ἀπὸ Πέλοπος παραλαβόντες τὴν ἀρχήν, ὧν πρῶτος Ἀτρεύς.* 10

ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀργείων ιʹ ἐβασίλευσε Δαναὸς ἔτη νηʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δξδʹ.

Ἀργείων ιαʹ ἐβασίλευσε Λυγκεὺς ἔτη λεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ⟨,δρκβʹ. 15

Ἀργείων ιβʹ ἐβασίλευσεν Ἄβας ἔτη λζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος⟩ ,δρνζʹ.

Ἀργείων ιγʹ ἐβασίλευσε Προῖτος ὁ καὶ Περσεὺς ἔτη ιζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρϙδʹ.

Ἀργείων ιδʹ ἐβασίλευσεν Ἀκρίσιος ἔτη λαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσιαʹ. 20

Μετὰ Ἀκρίσιον, ὥς φασι, τῆς ἀρχῆς τῶν Ἀργείων εἰς Μυκήνας μετατεθείσης διεγένοντο βασιλεῖς οἵδε.

Περσεύς, ὃς ἀνεῖλεν ἀκουσίως τὸν Ἀκρίσιον, Σθένελος, Εὐρυσθεύς, Πέλοψ, Ἀτρεύς, Θυέστης, Ἀγαμέμνων, Αἴγισθος, Ὀρέστης, Τισαμενός, Πενθεὺς καὶ Κομήτης. μεθ' οὓς Ἡρακλειδῶν κάθοδος. 25

Ἕως τούτου ,δσμγʹ κοσμικοῦ ἔτους γίνονται τῆς Ἀργείων βασιλείας
295 *ἔτη φναʹ ἐν γενεαῖς ιδʹ ἤτοι βασιλεῦσιν· ὧν θʹ μὲν κυρίως Ἀργεῖοι λέ-*

26 *Ση. πρὸς τὴν στοιχείωσιν ὑπειλήφει τῶν βασιλέων ἔτη ϛʹ*

3 cf. Euseb. 1, 68, 10 || 5 cf. Euseb. 1, 68, 13; 2, 45[f] || 7 Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 11, cf. Euseb. 2, 45[a] || 13 Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 14 || 21 Euseb. 2, 53[h]. 54[b] || 27 – p. 183, 10 cf. Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 21 – 31, Iohann. Malal. 84, 18 – 85, 17

3 *Αἴγυπτον* Scal. *αἰγύπτιον* **AB** similiter infra 5 || 7 *ἀέρια* **A** *ἀερεία* **B** || 8 *ἐκβαλὼν* **B** *ἐμβαλὼν* **A** || 10 *οὓς* Scal. *ἧς* **AB** || 14 *Λυγκεὺς* Di. *λυγεὺς* **AB** || 15 – 16 *,δρκβʹ . . . ἔτος* om. **AB** *Abas 23* habet Euseb., sed 37 annos requirunt anni mundi || 19 *λαʹ* **AB** et Euseb. *λγʹ* Go.[m] ex anno mundi 188, 10 || 21 *μυκήνας* **A** *μυκήνους* **B** || 23 *ὃς* om. **A** || 25 *κομήτης* **A** *κομίτης* **B** | *ἡρακλειδῶν* **B** *ἡρακλείδης* **A** || 28 *ὑπειλήφει* **A**[m] *ὑπελείφθη* **B**[m]

γονται, ε′ δὲ Δαναΐδαι οἱ ἀπὸ Δαναοῦ ἕως Ἀκρισίου ἄρξαντες, καθ' οὓς καὶ Δαναοὶ Ἀργεῖοι ἐλέγοντο. μετὰ δὲ τούτους ἐβασίλευσε τοῦ Ἄργους Πέλοψ, παρ' Ὁμήρῳ τῷ ποιητῇ λεγόμενος πλήξιππος ἐν τῇ Ἰλιάδι τὸ σκῆπτρον τῆς βασιλείας παρ' αὐτοῦ Διὸς εἰληφέναι· οὗτος Ἀτρεῖ παιδὶ
5 *κατέλιπε τὴν βασιλείαν. μεθ' οὓς Θυέστης, εἶτα Ἀγαμέμνων καὶ Μενέλαος υἱοὶ Ἀτρέως, οἳ καὶ κατὰ τῆς Τροίας διὰ τὴν Ἑλένης κλοπὴν ἐπιστρατεύσαντες σὺν Ἀχιλλεῖ καὶ Ὀδυσσεῖ καὶ Αἴαντι καὶ τοῖς λοιποῖς τῆς Εὐρώπης καὶ τῶν νήσων βασιλεῦσι καὶ ναυσὶ καὶ στρατεύμασι. μεθ' οὓς Αἴγισθος, εἶτα Ὀρέστης καὶ οἱ λοιποὶ Πελοπίδαι Ἀργείων καὶ αὐτοὶ βασι-*
10 *λεῖς ἀναγορευόμενοι κατὰ τὴν Ὁμήρου ποίησιν, κατὰ δέ τινας τῶν ἱστορικῶν Μυκηνῶν διὰ τὸ κυριεύειν ἄμφω τῶν χωρῶν, οἷς καὶ Εὐσέβιος ἕπεται. ἡμεῖς δὲ αὐτοὺς Ἀργείων ἐφεξῆς κατατάττομεν λογιζόμενοι κατὰ συνέχειαν τῶν Δαναΐδῶν τοῦ Ἄργους μὲν βασιλεύσαντας, Πελοπίδας δὲ καλουμένους ἀπὸ Πέλοπος, εἰς ὃν καὶ τὸ γένος ἀναφέρουσι, καὶ τὴν Ἀργείων*
15 *ἀρχὴν ἐπὶ πλέον αὐξήσαντας. τινὲς δὲ διαφέρονται λέγοντες μετὰ Ἀκρίσιον εἰς Μυκήνας μετατεθείσης τῆς ἀρχῆς τῶν Ἀργείων βασιλεῦσαι Περσέα, Σθένελον, Εὐρυσθέα πρὸ τοῦ Ἀτρέως, Πέλοπος μνήμην οὐδ' ὅλως ποιούμενοι, οἷς οὐχ ἑπόμεθα μάρτυρα ἔχοντες Ὅμηρον.*

ΣΠΟΡΑΔΗΝ 296

20 *Ἀμφίων Θηβῶν ἐβασίλευσεν, ὡς ἄλλοι· οὗτος ἐμυθεύετο κιθαρίζων θέλγειν τοὺς λίθους, οὓς εὐλόγως ὑποληπτέον ἠλιθίους τινὰς ἀνθρώπους.*
Ζῆθος δὲ καὶ Ἀμφίων ἀδελφοὶ ἦσαν ποιμένες λυρικοὶ καλούμενοι διὰ τὸ κιθαρίζειν ποιμενικῶς.
Ὀρφεὺς Θρᾷξ ἐγνωρίζετο. τούτου μαθητὴς Μουσαῖος ὁ Εὐμόλπου υἱός.
25 *Τὰ κατὰ Ὑψιπύλην ἐν Λήμνῳ καὶ Σφίγγα, ἣν Παλαίφατος Κάδμου γυναῖκά φησι γενομένην διὰ ζῆλον Ἁρμονίας ἀποστᾶσαν Καδμείοις πολεμεῖν. τά τε περὶ Οἰδίπου, ὡς εἷλεν αὐτήν, καὶ τὰ κατὰ τὴν Ἀργὼ καὶ τοὺς Ἀργοναύτας, ἐν οἷς ἦσαν Ἡρακλῆς καὶ οἱ Διόσκοροι καὶ Ἀσκληπιός. εἰ δὲ τούτοις οἱ Διόσκοροι συνήκμαζον, πῶς δύναται τούτων εἶναι ἀδελφὴ*
30 *Ἑλένη, εἰ μή που μετὰ πολλὰ ἔτη παρθένος ἁρπάζεται ὑπὸ Θησέως;*

10–11 Euseb. 2, 53, 23–54, 6 || **15–17** Euseb. 2, 53[h], Praep. Euang. 10, 11, 16, Tatian. ad Graec. 39 || **20** Euseb. 2, 53[c]; cf. Iohann. Antioch. p. 539 Müller, Ecl. Hist. 190, 19, Anon. Matr. 15, 2 || **22** cf. Euseb. 2, 48[d], Clem. Alex. Strom. 1, 107, 3 || **24** Euseb. 2, 56[b] || **25** Euseb. 2, 56[d,f]; cf. Iohann. Antioch. p. 539 Müller

1–2 *ε′ . . . ἐλέγοντο* om. **A** || **5** *κατέλιπε* **A** *κατέλειπε* **B** || **12** *αὐτοὺς* **A** *αὐτὸς* **B** | *κατατάττομεν* **A** *κατατάττωμεν* **B** || **15** *δὲ* om. **A** || **17** *πρὸ* **A** *πρὸς* **B** || **25** *Λήμνῳ* Scal. *λίμνῳ* **AB** | *Σφίγγα, ἣν*] *σφίγξιν* **AB** || **27** *τὰ* om. **B** || **29** *εἶναι* om. **A**

Ἐν Ἄργει ἱεράτευσεν Ὑπερμνήστρα Δαναοῦ.
Ζῆθος καὶ Ἀμφίων Κάδμον ἐκβαλόντες Θηβῶν ἐβασίλευσαν.
Κρήτης ἐβασίλευσε Λάπις.
Κρήτης ἐβασίλευσεν Ἀπτέρας, ὃς καὶ τὴν πόλιν ἔκτισεν.

297 ## ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ 5

Ἀθηναίων β′ ἐβασίλευσε Κραναὸς αὐτόχθων ἔτη θ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,γϡϛε′.

Κραναοῦ τούτου δευτέρου βασιλέως τῆς Ἀττικῆς θυγάτηρ ἦν Ἀτθίς, καθ᾽ ἣν Ἀττικὴ ἡ χώρα ὠνομάσθη, πρότερον Ἀκτὴ λεγομένη.

Κατὰ τοῦτον τὸν Κραναὸν ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς ἐν Θεσσα- 10 λίᾳ καὶ ὁ ἐπὶ Φαέθοντος ἐμπρησμὸς ἐν Αἰθιοπίᾳ. πολλαὶ δὲ καὶ ἄλλαι γεγόνασιν Ἕλλησι τοπικαὶ φθοραί, ὡς Πλάτων ἐν Τιμαίῳ.

Ἀπὸ δὲ Ἕλληνος τοῦ Δευκαλίωνος Ἕλληνες οἱ Γραικοὶ καλοῦνται.

Ἀθηναίων γ′ ἐβασίλευσεν Ἀμφικτύων ἔτη ι′, υἱὸς Δευκαλίωνος, γαμβρὸς Κραναοῦ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δδ′. 15

Κατὰ Ἀμφικτύωνα τὸν Δευκαλίωνος υἱόν τινές φασι Διόνυσον εἰς τὴν Ἀττικὴν ἐλθόντα ξενωθῆναι Σημάχῳ καὶ τῇ θυγατρὶ αὐτοῦ νεβρίδα δωρήσασθαι. ἕτερος δ᾽ ἦν οὗτος ἐκ Σεμέλης.

Ἀθηναίων δ′ ἐβασίλευσεν Ἐριχθόνιος ἔτη ν′. τοῦ δὲ κόσμου ἦν ἔτος ,διδ′. 20

Οὗτος Ἐριχθόνιος Ἡφαίστου ὁ παρ᾽ Ὁμήρῳ Ἐρεχθεύς ἐστιν. Ἐριχθόνιος ἅρμα πρῶτος Ἕλλησιν ἐφεῦρεν. ἦν γὰρ παρὰ βαρβάρων.

298 Ἀθηναίων ε′ ἐβασίλευσε Πανδίων ἔτη μ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δξδ′.
Τούτου θυγατέρες Πρόκνη καὶ Φιλομήλα τοῦ Πανδίονος.

ΣΠΟΡΑΔΗΝ 25

Λακεδαιμονία ἐκτίσθη ὑπὸ Λακεδαίμονος τοῦ ἐκ Μεσσήνης.
Ἔπαφος Ἰοῦς τῆς δευτέρας καὶ Διὸς υἱὸς Μέμφιν ἔκτισεν ἐν Αἰγύπτῳ.

1–2 Euseb. 2, 47[i]. 48[f] || 3–4 Euseb. 2, 44[c]. 46[g] || 6 Castor FGrHist 250 F 4 = Euseb. 1, 86, 23 || 8 Euseb. 2, 41, 16; 44[b]; cf. Iohann. Antioch. p. 538 Müller || 10 cf. Euseb. 2, 42[o,p] (sub Cecrope), African. fr. 22 = Euseb. Praep. Euang. 10, 10, 19 (sub Cranao) || 12 Plat. Tim. 22 A || 13 Euseb. 2, 43[f] || 14 Castor FGrHist 250 F 4 = Euseb. 1, 86, 25 || 16 Euseb. 2, 44[d] || 19–21 Castor F 4 = Euseb. 1, 86, 26 || 22 Euseb. 2, 46[e] || 23 Castor FGrHist 250 F 4 = Euseb. 1, 86, 28 || 24 Euseb. 2, 47[h] || 26 Euseb. 2, 44[f]. 45[c,e]; cf. ps. Sym. f. 47[v] (Gelzer 2, 373, om. Cedr.)

3 *Λάπις* Go. *λάπης* **A** *λάμπης* **B** *Lapis* Euseb. || 4 *Ἀπτέρας, ὃς* scripsit Di. *ἀπτέρασθε* **AB** *Apteras qui* Euseb. || 8 *ἀττθίς* **AB** || 10 *κατακλυσμὸς* **B** *κατακλοισμὸς* **A** || 17 *νεβρίδα* **B** *νευρίδα* **A** || 19 *Ἐριχθόνιος* Go. *ἐρεχθόνιος* **AB** || 21 *ἐριχθόνιος* **B** *ἐρεχθόνιος* **A** || 26 *μεσένης* **A** *μεσσίνης* **B** || 27 *ἰοῦς* **A** *υἱὸς* **B**

Ἀρκὰς ὁ Καλλιστοῦς καὶ Διὸς υἱὸς Πελασγῶν κρατήσας Ἀρκαδίαν τὴν χώραν μετωνόμασε.

Δάρδανος ἔκτισε Δαρδανίαν. Κάδμος Θηβαίων ἐβασίλευσεν, οὗ τῆς θυγατρὸς Σεμέλης υἱὸς ὁ Διόνυσος ἐκ μοιχείας, ὃν Ἕλληνες Διός φασι 5 *μυθικῶς.*

Κατὰ τούτους Λίνος καὶ Ἀμφίων καὶ Ζῆθος λυρικοὶ Θηβαῖοι καὶ μουσουργοὶ ἐγνωρίζοντο, ὥς τινες· ἄλλοι δὲ μετὰ ταῦτα.

Φοῖνιξ Τυρίοις ἐβασίλευσε. Μίνως Κρήτης ἐβασίλευσεν ὁ Εὐρώπης. Ῥαδάμανθυς καὶ Σαρπηδὼν Λυκίων ἦρχον.

10 *Ἀμφίων καὶ Ζῆθος Θηβαίων ἑπταπύλων ἐβασίλευον. Δαρδανίας Ἐριχθόνιος Δαρδάνου ἐβασίλευσεν.*

Εὐρώπης ἁρπαγή. Ἁρμονία ἡρπάγη ὑπὸ Κάδμου. 299

Οἱ Ἰδαῖοι Δάκτυλοι λεγόμενοι, οἱ σίδηρον εὑρόντες, κατὰ τούτους ἦσαν.

Μῆλος καὶ Θάσος καὶ Ἀλκισθὴ ἐκτίσθησαν καὶ Πάφος.

15 *Βιθυνία ἐκτίσθη ὑπὸ Φοίνικος, ἡ πρὶν Μαριανδηνὴ καλουμένη.*

Ἐφύρα ἡ νῦν Κόρινθος ὑπὸ Σισύφου ᾠκίσθη.

Κόρης ἁρπαγὴ Περσεφόνης ὑπὸ Ἀιδωνέως τοῦ Μολοσσῶν βασιλέως, ὃς εἶχε κύνα παμμεγέθη τὸν λεγόμενον Κέρβερον, ᾧ τὸν Πειρίθουν ὕστερον διεχρήσατο παραγενόμενον ἐφ' ἁρπαγῇ τῆς γυναικὸς ἅμα Θησεῖ. Θη- 20 *σέα δὲ παρατυχὼν Ἡρακλῆς ἐρρύσατο μέλλοντα συνδιαφθείρεσθαι τῷ Πειρίθῳ. διὰ δὲ τὸ τοῦ κινδύνου προῦπτον ἐξ Ἅιδου νομίζεται Θησεὺς ἀνεληλυθέναι, ὡς Φιλόχορος ἱστορεῖ ἐν Ἀτθίδος δευτέρῳ.*

Ἐλευσῖνος πόλεως Κελεὸς ἐβασίλευσε, καθ' ὃν Τριπτόλεμος ἦν, ὅν φησιν ὁ Φιλόχορος μακρῷ πλοίῳ προσβαλόντα ταῖς πόλεσι τὸν σῖτον διδόναι, 25 *ὑπονοεῖσθαι δὲ πτερωτὸν ὄφιν εἶναι τὴν ναῦν· ἔχειν δέ τι καὶ τοῦ σχήματος.*

15 *πόθεν ὠνόμασται Βιθυνία Κόρινθος*

3–7 Euseb. 2, 45[g]. 2, 48[a,d] || 8 Euseb. 2, 46[i]. 47[k]. 49[e] || 10 Euseb. 2, 48[f,g] || 12 Euseb. 2, 47[l]. 49[d] || 13–14 Euseb. 2, 48[b,c] || 15–16 Euseb. 2, 48[c]. 49[c]; cf. ps. Sym. f. 47[v] (Gelzer 2, 373, om. Cedr.) || 17 Euseb. 2, 49[i], Philochorus FGrHist 328 F 18 || 23 Euseb. 2, 49[g], Philochorus F 104

1 *καλλιστοῦς* A *καλιστοὺς* B || 4 *μοιχείας* A *μοιχίας* B || 6 *Λίνος* Scal. *ἐνὸς* A *αἰνὸς* B || 10 *δαρδανίας* A *δαρδανείας* B || 11 *Ἐριχθόνιος* Go. *ἐρυχθόνιος* AB | *Δαρδάνου* Scal. *δάρδανος* AB || 12 *ἁρμονία* B *ἀρμενία* A || 13 *Ἰδαῖοι Δάκτυλοι* Scal. *ἰδασυδάκτυλοι* AB | *λεγόμενοι* om. A | *τούτους* B *τούτοις* A || 14 *ἀλκισθὴ* B *ἀλκισθῆ* A *Callista* Euseb. || 15 *μαριανδηνὴ* ps. Sym. *μαριανδινὴ* AB *Μαριανδυνὴ* Scal. || 17 *Περσεφόνης* Scal. *περσεφόνηω* A *περσεφώνη* B | *Ἀϊδωνέως* Scal. *ἀνδωνέως* A *ἀνδσνέως* B || 18 *Πειρίθουν* Scal. *περίθουν* AB || 19 *ἅμα Θησεῖ* Scal. *ἀμηθήσει* AB || 20.21 *τῷ Πειρίθῳ* Scal. *τῷ περίθου* B *τὸ περίθου* A || 22 et 24 *φιλόχορος* A *φιλόχωρος* B || 23 *Τριπτόλεμος* Scal. *τριπόλεμος* AB || 27 lemma om. B[m]

Ἀχαΐα ὑπὸ Ἀχαιοῦ ἐκτίσθη.
300 *Καδμεία ἐκτίσθη καὶ Σίδη ἐν Κιλικίᾳ.*
Διονύσου γένεσις ἐκ Σεμέλης.

ΚΟΣΜΟΥ ΕΤΗ

Ὁ Ἰσραὴλ ἁμαρτήσας παρεδόθη τοῖς Μαδιναίοις ἔτη ζʹ. τοῦ δὲ κόσμου 5
ἦν ἔτος ,δρηʹ.

Γεδεὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δριεʹ.

Γεδεὼν ἐπαναστὰς κατὰ ἀλλοφύλων ὁ ἐκ φυλῆς Μανασσῆ υἱὸς Ἰωᾶς τοῦ Ἀβιεζρεὶ ἀγγέλου ἐπιστασίᾳ τό τε πατρικὸν καθεῖλε θυσιαστήριον καὶ θεῖον ἀντῳκοδόμησε, ἀνοίσας τὸν μόσχον τὸν σιτευτὸν τῷ θεῷ ὁλοκαύ- 10 *τωσιν ἐν τοῖς ξύλοις τοῦ ἄλσους οὗ ἐξέκοψε τοῦ Βαάλ. οὗτος τὸ πνεῦμα τοῦ θεοῦ λαβὼν καὶ τοῖς ἐπὶ τῷ πόκῳ σημείοις πεπιστευκώς, ποτὲ μὲν ὑγρῷ, ποτὲ δὲ ξηρῷ γεγονότι, παραδόξως σὺν λαμπάσι τριακοσίοις ιβʹ μυριάδας ἀνδρῶν ἐτροπώσατο, συλλαβὼν τὸν Ὠρὴβ καὶ τὸν Ζὴβ καὶ τοὺς δύο μεγάλους ἄρχοντας Ἀμαλὴκ καὶ τὸν Ζεβεὲ καὶ τὸν Σαλμανά, δύο* 15 *βασιλεῖς Μαδιάμ, καὶ ἀνελὼν αὐτοὺς ἐν ῥομφαίᾳ. τούτῳ τῷ Γεδεὼν οʹ υἱοὶ γεγόνασιν ἐκ τῶν γυναικῶν αὐτοῦ καὶ Ἀβιμέλεχ ἐπὶ τούτοις ὁ ἐκ τῆς παλλακῆς αὐτοῦ.*

Ἀβιμέλεχ ἔτη γʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δρνεʹ.

301 *Τοῦτον τὸν Ἀβιμέλεχ καὶ τοὺς οʹ ἀδελφοὺς αὐτοῦ ἡ βίβλος τῶν κριτῶν* 20 *πρῶτον μὲν τοῦ Γεδεὼν υἱοὺς λέγει τρανῶς, ἔπειτα δὲ τοῦ ἀδελφοῦ αὐτοῦ Ἱεροβαάλ, ὃς συνῴκησε τῷ Γεδεὼν περὶ τὰ τέλη αὐτοῦ, ὡς αὐτόθι γέγραπται, καὶ δοκεῖ πως ἄπορον εἶναι. Ἀφρικανὸς δὲ τοῦ Ἱεροβαὰλ αὐτοὺς λέγει πάντας.*

Ἀβιμέλεχ ὁ ἐκ τῆς παλλακῆς υἱὸς Γεδεὼν ἀποκτείνας πάντας τοὺς ἀδελ- 25 *φοὺς αὐτοῦ πλὴν Ἰωνάθου τοῦ νεωτέρου ἐξεπόρνευσε τὸν λαόν. Ἰωνάθης δ' ἀνελθὼν εἰς τὸ ὄρος τὸ Γαριζεὶν τὸ ἐν Σαμαρείᾳ, ὃ ἑρμηνεύεται ὄρος ἅγιον, τὸν περὶ τῶν ξύλων μῦθον ἐξεῖπε, προδηλῶν τὴν ἐσομένην τοῖς*

1 Euseb. 2, 49[l]; cf. ps. Sym. f. 47[v] (Gelzer 2, 373, om. Cedr.) || **2–3** Euseb. 2, 49[f]. 50[a] || **5** Iudic. 6, 1; cf. ps. Sym. f. 47[v] (Gelzer 2, 373, om. Cedr.) || **7** Iudic. 8, 28 || **8–18** Iudic. 6, 11–12. 25–27. 36–40; 7, 16–25; 8, 30–31 || **19** Iudic. 9, 22 || **20** Iudic. 8, 30–31 || **21** Iudic. 8, 35; 9, 2 || **23** Africanus fr. 26 || **25** Iudic. 9, 5–15. 50–52

2 *Καδμεία* Scal. *καδμία* **AB** || **10** *ἀνοίσας* **B** *ἀνύσας* **A** || **11** *τοῦ*[2] om. **B** || **13** *λαμπάσι* Di. *λαμψάσι* **AB** || **14** *ὠρὴβ* **A** *ὀρὴβ* **B** || **19** *ἦν ἔτος* om. **A** || **26** *ἰωνάθης* **B** *ἰωνάθη* **A** || **27** *εἰς τὸ ὄρος* **A** *εἰς ὄρος* **B** | *γαριζεὶν* **B** *γαρίζιν* **A** || **28** *τὸν* **A** *τὸ* **B**

ὑπηκόοις τῷ Ἀβιμέλεχ φθορὰν ἐξ αὐτοῦ. οὗτος τὴν Βαιθὴλ πολιορκῶν ὕστερον λίθῳ μυλικῷ πληγεὶς τὸ κρανίον ὑπὸ γυναικὸς ῥιφέντι διεφθάρη, κρατήσας ἔτη γ΄.

Θωλὰ ἐκ φυλῆς Ἰσσάχαρ υἱὸς Φουὰ ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ΄. τοῦ 5 *δὲ κόσμου ἦν ἔτος ͵δρνη΄.*

ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀσσυρίων λε΄ ἐβασίλευσεν Εὐπάκμης ἔτη λη΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυλβ΄.

Ἀσσυρίων λϛ΄ ἐβασίλευσε Λαοσθένης ἔτη με΄. τοῦ δὲ κόσμου ἦν ἔτος 10 *͵δυο΄.*

Ἀσσυρίων λζ΄ ἐβασίλευσε Περτιάδης ἔτη λ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφιε΄.

Ἀσσυρίων λη΄ ἐβασίλευσεν Ὀφραταῖος ἔτη κα΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφμε΄.

15 *Ἀσσυρίων λθ΄ ἐβασίλευσεν {Ἐφεχερὴς ἔτη ϛ΄} ⟨Ὀφρατάνης ἔτη νβ΄.⟩* 302 *τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξϛ΄.*

Ἀσσυρίων μ΄ ἐβασίλευσεν Ἀκραγάνης ἔτη μβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχιη΄.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

20 *Αἰγυπτίων μζ΄ ἐβασίλευσε Ῥαμεσσῆς ὁ καὶ Αἴγυπτος ἔτη ξη΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δνη΄.*

Αἰγυπτίων μη΄ ἐβασίλευσεν Ἀμενωφὶς ἔτη η΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρκϛ΄.

Αἰγυπτίων μθ΄ ἐβασίλευσε Θούωρις ἔτη ιζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος 25 *͵δρλδ΄.*

Αἰγυπτίων ν΄ ἐβασίλευσε Νεχεψὼς ἔτη ιθ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρνα΄.

Αἰγυπτίων να΄ ἐβασίλευσε Ψάμμουθις ἔτη ιγ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρο΄.

4 Iudic. 10, 1–2 || **6** cf. Annianum apud Eliam Nisib. 16, 8–13, Castor. FGrHist 250 F 1 = Euseb. 1, 31, 33 || **20** ps. Manetho (Sothis) FGrHist 609 F 28

4 *Ἰσσάχαρ* Iudic. *ἰσάχαρ* AB || **6** titulus in textu B, in margine A || **7** *Εὐπάκμης*] *Eupalmes* Euseb. 1 (Arm.) *Eupales* Euseb. 2, 68, 13 (Hieron.) *Eupales qui et Eupacmes* Elias Nisib. | *ἦν ἔτος* om. A hic et infra per Assyriorum Aegyptiorumque fila || **15** *Ἐφεχερὴς ἔτη ϛ΄* seclusi, nam ex tabula Aegyptiorum (206, 22) transfertur | *Ὀφρατάνης ἔτη νβ΄* restitui ex Anniano et Euseb., qui annos 50 attribuerunt || **19** in textu B, in margine A || **20** *Αἴγυπτος* Scal. *αἰγύπτιος* AB || **22** *ἀμενωφὶς* B *ἀμενωφὴς* A || **23** *͵δρκϛ΄* Go.[m] *͵δξϛ΄* A *͵δνη΄* B

*Αἰγυπτίων νβ' ἐβασίλευσεν ⟨***⟩ ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρπγ'.*
Αἰγυπτίων νγ' ἐβασίλευσε Κήρτος ἔτη ιϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρπζ'.
Αἰγυπτίων νδ' ἐβασίλευσε Ῥάμψις ἔτη με'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσζ'. 5
Αἰγυπτίων νε' ἐβασίλευσεν Ἀμενσὴς ὁ καὶ Ἀμμενέμης ἔτη κϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσνβ'.

303 ## ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ

Μυκηνῶν Ἀργείων ιε' ἐβασίλευσε Πέλοψ ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσμδ'. 10
Τὸν Πέλοπα τινὲς οὐ μόνον Ἀργείων καὶ Μυκηνῶν ἱστοροῦσι βασιλεῦσαι, ἀλλὰ καὶ πάσης τῆς Πελοποννήσου. οὗτος Ὀλυμπίων προέστη καὶ στρατεύσας ἐπὶ Ἴλιον ἡττήθη ὑπὸ Δαρδάνου. ἀπ' αὐτοῦ Πελοπόννησος ὠνομάσθη. οὗτος Ἱπποδάμειαν ἔγημε. τινὲς δὲ νγ' ἔτη καὶ ἄλλοι ξγ' λέγουσιν αὐτὸν βασιλεῦσαι, καὶ ἕτεροι λε'. 15
Μυκηνῶν Ἀργείων ιϛ' ἐβασίλευσαν Ἀτρεὺς καὶ Θυέστης ἔτη λγ', κατὰ δὲ ἄλλους ἔτη ξε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσοθ'.
Μετὰ τὴν Πέλοπος τελευτὴν ἐμερίσαντο τὴν ἀρχὴν Ἀτρεὺς καὶ Θυέστης τῶν Μυκηνῶν κατὰ τοὺς αὐτοὺς χρόνους. ὧν θανόντων Ἀγαμέμνων διεδέξατο τὴν ἀρχὴν Μυκηνῶν καὶ Ἀργείων. Μενέλαος δὲ Ἀγαμέμνονος 20 *ἀδελφὸς Λακεδαιμονίων ἐβασίλευσε μετὰ τὸν Ἀτρέως θάνατον, ὡς ἑξῆς σύγκειται.*

304 ## ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀθηναίων ϛ' ἐβασίλευσεν Ἐρεχθεὺς ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρδ'.
Ἐρεχθέως τούτου θυγατέρα Βορέας υἱὸς Ἀστραίου Θρᾷξ ἥρπασεν Ὠριθυῖαν. ὁ δὲ μῦθος τὸν ἄνεμον, ὡς Φιλόχορος ἐν δευτέρᾳ φησίν. ἐπὶ τούτου 25 *δὲ καὶ τὰ λεγόμενα μυστήρια ἤρξαντο.*

9 et 14 cf. Castor. FGrHist 250 F 3 = Euseb. 1, 84, 23 (sine annis); Euseb. 2, 49[h] (ann. 53), 54, 2 (ann. 59), Exc. Barb. 39a (ann. 38); uide Gelzer 2, 200 ‖ 11 cf. Euseb. 2, 49[h]. 52[a]. 53[f] ‖ 16 cf. Castor. FGrHist 250 F 3 = Euseb. 1, 84, 27 (ann. 65); Exc. Barb. 30a (ann. 45) ‖ 18 cf. Euseb. 1, 27–29 (Castor.), 2, 55[l]. 59[h.l.m] ‖ 24 et p. 189, 1–5 Castor FGrHist 250 F 4 = Euseb. 1, 86, 28 ‖ 25–27 cf. Euseb. 2, 50[b], Iohann. Antioch. p. 539 Müller, Philoch. FGrHist 328 F 11

2 *ιϛ'* **AB** *κ'* Go.[m] et Jac. ‖ 8 in textu **B**, in margine **A** ‖ 13 *ἐπὶ* **B** *κατὰ* **A** | *ὠνομάσθη* **B** *ὠνόμασται* **A** ‖ 14 *ἱπποδάμειαν* **A** *ἱπποδάμιαν* **B** | *καὶ* om. **A** ‖ 19 *τῶν* Scal. *δὲ* **AB** ‖ 23 et p. 189, 7 in textu **B**, in margine **A** ‖ 24 et infra *ἦν ἔτος* om. **A** ‖ 25 *ὠριθυῖαν* **B** *ὀριθυίαν* **A** ‖ 27 *μυστήρια* **A** *μνηστήρια* **B**

Ἀθηναίων ζ′ ἐβασίλευσε Κέκροψ ἔτη μ′, ὁ δεύτερος Ἐρεχθέως ἀδελφός.
τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρνδ′.
Ἀθηναίων η′ ἐβασίλευσε Πανδίων Ἐρεχθέως ἔτη κε′. τοῦ δὲ κόσμου
ἦν ἔτος ͵δρςδ′.
5 Ἀθηναίων θ′ ἐβασίλευσεν Αἰγεὺς Πανδίονος ἔτη μη′. τοῦ δὲ κόσμου ἦν
ἔτος ͵δσιθ′.

ΣΠΟΡΑΔΗΝ

Κατὰ τούτους Φρίξος ἔδοξε τισὶν ὀχεῖσθαι ἐπὶ χρυσομάλλῳ κριῷ ἅμα
τῇ ἀδελφῇ Ἕλλῃ φεύγων μητρυιὰν ἐπιβουλεύουσαν. καὶ ηὐτύχησε πλοίου,
10 ᾧ τὸ παράσημον κριὸς ἦν. Παλαίφατος δὲ Κριόν φησι καλεῖσθαι τὸν
διασώσαντα αὐτοὺς τροφέα.
Ὁ κατὰ Εὔμολπον πόλεμος, ἀφ᾽ οὗ οἱ Εὐμολπίδαι Ἀθήνησιν.
Τὰ κατὰ Πρόκνην καὶ Φιλομήλαν θυγατέρας Πανδίονος.
Πυθοῖ Φημονόη χρησμῳδὸς πρώτη δι᾽ ἑξαμέτρων ἱστορεῖται προθε- 305
15 σπίσαι.
Τῆς Δαρδανίας ἐβασίλευσε Τρὼς καὶ Ἶλος, ἀφ᾽ οὗ Τρῶες καὶ Τρῳὰς
ἡ πόλις καὶ Ἴλιον· καθ᾽ οὓς Τάνταλος ἐβασίλευσε τῆς Φρυγίας ἤτοι
Μαιονίας, ἀφ᾽ ἧς καὶ Μαίονες· Τιτυὸς συνεχρόνισε Ταντάλῳ. κατὰ δὲ
Τιτυὸν Λητώ, ἀφ᾽ ἧς Ἀπόλλων, ὃς καὶ σὺν Ἡρακλεῖ τῷ Ἀδμήτῳ ἐδού-
20 λευσε.

ΣΠΟΡΑΔΗΝ

Γανυμήδην ὁ Τάνταλος ἁρπάσας υἱὸν τοῦ Τρωὸς ὑπ᾽ αὐτοῦ κατεπολε-
μεῖτο Τρωός, ὡς ἱστορεῖ Δίδυμος ἐν ἱστορίᾳ ξένῃ καὶ Φανοκλῆς. μάτην
ἄρα τοῦ Διὸς ὡς ἀετοῦ τοῦτον ἁρπάσαντος ὁ μῦθος καταψεύδεται.
25 Ἴλιον ὑπὸ Ἴλου ἐκτίσθη.
Μελάμπους μάντις ἐγνωρίζετο· τὰ κατὰ Φρίξον καὶ Μελικέρτην, ἐφ᾽ οὗ
τὰ Ἴσθμια· τὰ κατὰ Δήμητραν, ἣν τινες Ἶσίν φασι· καὶ τὰ περὶ Δανάην,
ἐξ ἧς ὁ Περσεύς. Περσεὺς τὰς στρατείας ἐπετέλει καὶ ἐπὶ Πέρσας ἐστρά-
τευσε, τὴν δὲ Γοργόνα ἐκαρατόμησεν ἑταίραν εὔμορφον διὰ κάλλους ἐξ- 306

8 Euseb. 2, 50[d] || 12–15 Euseb. 2, 50[f]. 51[b,c] || 16–20 cf. Euseb. 2, 51[d,f,h]; Iohann. Malal. 79, 20–80, 4 || 22 cf. Euseb. 2, 51[g], Didym. fr. p. 359 Schm., uide Gelzer 1, 134 || 25 Euseb. 2, 54[a] || 26 Euseb. 2, 51[c] || 26–p. 190, 4 Euseb. 2, 48[b]. 51[i]. 52[c,d]; cf. Iohann. Antioch. p. 539 Müller, Gelzer 1, 131

5 *Πανδίονος* Di. *πανδίωνος* **AB** || 8 *φρίξος ὃς* **AB** || 9 *Ἕλλῃ* Scal. *ἀέλλῃ* **AB** | *ηὐτύχησε* **B** *εὐτύχησε* **A** || 14 *φημονόη* **B** *φη μονὸν* **A** || 16 ante *τῆς Δαρδανίας* add. **B** *περὶ τρωάδος καὶ ἰλίου*, quod lemma ex margine transponi uidetur | *Τρὼς* Scal. *τρῶος* **AB** | *Ἶλος* **B** *ἴλλος* **A** || 25 *Ἴλου* Scal. *ἰλίου* **AB** || 28 *Περσεὺς*[2] om. **A**

ιστῶσαν τοὺς θεατάς, ὡς ἀπολιθοῦσθαι δοκεῖν. Δίδυμός φησιν ἐν ἱστορίᾳ ξένῃ καὶ παρατίθεται τὸν συγγραφέα ταύτης. ὁ Πήγασος, τάχα τις ἵππος ὀξύς, κτῆμα τῆς γυναικός· ὡς δὲ Παλαίφατος, Βελλεροφόντου πλοῖον ἦν ὁ Πήγασος.

Τὰ πρὸς Μελέαγρον καὶ Οἰνέα ἐν Αἰτωλίᾳ. 5

Κυρήνη ἐκτίσθη ἐν Λιβύῃ.

Ἴων πολέμαρχος γεγονὼς Ἴωνας τοὺς Ἀθηναίους ἀφ' ἑαυτοῦ ὠνόμασε.

Διόνυσος ἐπὶ Ἰνδοὺς ἐστράτευσε καὶ Νῦσαν πόλιν ἔκτισε πρὸς τῷ Ἰνδῷ ποταμῷ. Μίδας Φρυγῶν ἐβασίλευσε· Λάιος Χρύσιππον ἥρπασε· Μίλητος ἐκτίσθη πόλις· ὁ ἐν Ἐλευσῖνι νεὼς ἐκτίσθη. 10

Εὐρώπη Ἀγήνορος ὑπὸ Κρητῶν ἡρπάγη ἐμπόρων, ὥς φησιν Ἡρόδοτος· τοῦ δὲ πλοίου παράσημον ἦν ταῦρος. ταύτης ἐπὶ ζήτησιν Κάδμος ἐξελθὼν κτίζει τὴν Καδμείαν καὶ Θηβῶν ἐβασίλευσε· τοὺς δὲ πλησιοχώρους αἰφνιδίως ἐπανελθόντας αὐτῷ διὰ τὸ πανταχόθεν ὡς ἀπὸ γῆς συρρεῖν κατ' αὐτοῦ Σπαρτοὺς ὠνόμασεν, ὡς Παλαίφατος ἐν πρώτῳ φησί. 15

307 Διονύσου πράξεις καὶ τὰ περὶ Ἰνδούς, Λυκοῦργόν τε καὶ Ἀκταίωνα καὶ Πενθέα, ὅπως τε Περσεῖ συστὰς εἰς μάχην ἀναιρεῖται, ὥς φησι Δείναρχος ὁ ποιητής, οὐχ ὁ ῥήτωρ. τῷ δὲ βουλομένῳ πάρεστιν ἰδεῖν αὐτοῦ τὴν ταφὴν ἐν Δελφοῖς παρὰ τὸν Ἀπόλλωνα τὸν χρυσοῦν, ἔνθα καὶ τὸ ὅπλον ἀνάκειται Αὐγούστου Καίσαρος καὶ Νέρωνος ἡ κιθάρα. βάθρον δέ τι νομίζεται τοῖς ἀγνοοῦσιν ὁ Διονύσου τάφος, στρατηγὸς δὲ δοκεῖ γενέσθαι, καὶ οὕτω γράφεται θηλύμορφος διά τε ἄλλας αἰσχρὰς αἰτίας καὶ διὰ τὸ μιξόθηλυν στρατὸν ὁπλίζειν· ὥπλιζε γὰρ σὺν τοῖς ἄρρεσι καὶ τὰς θηλείας, ὥς φησιν ὁ Φιλόχορος ἐν δευτέρῳ. 20

Λίνος διδάσκαλος Ἡρακλέους ἐγνωρίζετο· Ἀνδρόγεως ἐδολοφονήθη ἐν Ἀθήναις· Φιλάμμων ὁ Δελφὸς ἤκμαζεν, ὁ πρῶτος στήσας Πυθοῖ χορόν. 25

Τὰ κατὰ Δαίδαλον, ὃς ἔδοξεν ἀγάλματα κινούμενα ποιεῖν. πρῶτος γὰρ διέστησε τοὺς τῶν ἀγαλμάτων πόδας, ὡς ὁ Παλαίφατος ἱστορεῖ, τῶν πρὸ

5 cf. Euseb. 2, 59^{f}, Diodor. 4, 34 || 6 Euseb. 2, 52^{e} || 7 Euseb. 2, 52^{f}; cf. ps. Sym. f. 47^{v} (Gelzer 2, 373, om. Cedr.) || 8–10 Euseb. 2, 52^{f}. 53^{l}. $54^{c,d}$. 55^{d} || 11–15 cf. Herodot. 1, 2; Euseb. 2, $53^{d,e,g}$. 55^{e}; Iohann. Antioch. p. 539 Müller || 16–24 Euseb. 2, 54^{e}; cf. Anon. Matr. 15, 2 || 19–21 desunt apud Euseb., ex Africano ut uult Gelzer 1, 133 || 25–26 Euseb. 2, 55^{f}. 56^{e}. 57^{h} || 27 – p. 191, 3 Euseb. 2, 55^{h}; cf. Iohann. Antioch. p. 539 Müller, Gelzer 1, 133

2 τὸν Scal. τῷ AB || 3 Βελλεροφόντου Go. βελερεφάντου A βελοραφάντου B || 5 οἰνέα A ὑναία B || 6 Κυρήνη Scal. κυρὶν AB || 7 ἀφ' B ἐφ' A || 8 Νῦσαν Di. νύσσαν AB || 13 καδμείαν A καδμίαν B | αἰφνιδίως A ἀφνηδίως B || 14 ἀπανελθόντας A ἐπελθόντας B || 16 ἀκταίωνα A ἀκτέωνα B || 17 Δείναρχος Di. δίναρχος B δήχαρνος A || 19 χρυσοῦν A χρυσὸν B || 23 μιξόθηλυν στρατὸν Scal. μιξοθηλύστρατον AB | ὁπλίζειν B ὁπλίζει A | καὶ om. B || 24 φησιν A φασὶν B || 26 ὁ Δελφὸς Di. ὁ δελφιὸς B ὁ ἀδέλφιος A | χορὸν B χῶρον A || 27 δαίδαλον B δέδαδον A

αὐτοῦ πάντων συμπεφυκότας αὐτοὺς πλαττόντων. οὗτος ἀποπτῆναι μυθεύεται σὺν Ἰκάρῳ τῷ υἱῷ αὐτοῦ πλοίου λαβόμενος καὶ διαφυγὼν τὸν Μίνωα διὰ τὸ ἀνεύρετον γενέσθαι τῷ διώκοντι.

Θάμυρις ὁ Φιλάμμωνος ἤκμαζε. 308

5 Μίνως ἐθαλασσοκράτει καὶ Κρησὶν ὡς παρὰ Διὸς ἐνομοθέτει, κομίζων τοὺς νόμους ἐξ ἄντρου τοῦ ἐν τῇ Ἴδῃ διὰ ἐννεαετηρίδος, ὅπερ ὁ Πλάτων ἐν τοῖς Νόμοις ἐλέγχει.

Ἡρακλῆς τοὺς ἄθλους ἐτέλει καὶ Ἀνταῖον ἐν Λιβύῃ καταπαλαίσας ἀναιρεῖ τὸν λεγόμενον γηγενῆ διὰ τὸ ἐπιστήμονα εἶναι τὸν λεγόμενον παρὰ 10 τοῖς παλαισταῖς τρόπον χαμαί, ὡς ἀπὸ τῆς μητρὸς γῆς βοηθεῖσθαι δοκεῖν, ὃν Ἡρακλῆς ἰσχυρὸς ὢν μὴ προσδεηθεὶς ζώσας τὸν Ἀνταῖον τοῖς ἅμμασι καὶ μετεωρίσας διεχειρίσατο.

Τὴν δὲ Ὕδραν τὸ μυθευόμενον ζῷον ὁ Πλάτων σοφίστριαν λέγει, δι' ἣν ὁ αὐτὸς Ἡρακλῆς τὸ Ἴλιον ἐπόρθησε.

15 Μήδεια Κολχὶς ἀνεχώρησεν Αἰγέως.

Πόλεμος Κενταύρων καὶ Λαπιθῶν. Κένταυροι δὲ Θεσσαλῶν ἦσαν ἱππεῖς ἄριστοι, ὥς φησι Παλαίφατος ἐν πρώτῃ ἀπίστων.

Οἱ ἑπτὰ ἐπὶ Θήβας ἐστράτευσαν.

Τὰ περὶ τὸν Μινώταυρον, ὡς μὲν ὁ μῦθος, ὅτι δὴ ἐκ ταύρου τοῦ ζῴου 20 καὶ Πασιφάης μιξόθηρ ἐγένετο καὶ τὸν παρ' Ἀθηναίων δασμὸν κομιζόμενος ἐθοινᾶτο τοὺς παῖδας. αὐτοὶ δὲ οἱ Κνώσιοι λέγουσιν εἶναι τοῦ Μίνωος στρατηγόν, ὃς ὠνομάζετο μὲν Ταῦρος, τὴν δὲ φύσιν ὠμὸς καὶ ἀν- 309 ήμερος ἦν. ἐπεὶ δὲ Μίνως ἀγῶνα ἐπ' Ἀνδρογεῴ ἐτίθει, ὃν ἀπέκτειναν Ἀθηναῖοι, τοὺς Ἀττικοὺς δὲ παῖδας ἔπαθλον ἐδίδου, ἰσχυρὸς ὢν ὁ Ταῦρος 25 πάντων κατεκράτει. ὡς δὲ καὶ τῷ Θησεῖ τοῦ ἀγῶνος μετεδόθη καὶ τὸν Ταῦρον κατεπάλαισε, συνέβη καὶ τοὺς παῖδας διασωθῆναι καὶ τὴν πόλιν ἀφεθῆναι τοῦ δασμοῦ, ὡς Φιλόχορος ἱστόρησεν ἐν δευτέρᾳ Ἀτθίδος.

Οἱ Ἐπίγονοι τῶν ἑπτὰ ἐπὶ Θήβας ἐστράτευσαν.

Φαίδρα Ἱππολύτου ἠράσθη.

30 Μίνως ἐπὶ Σικελίαν στρατεύσας διὰ Δαίδαλον ἀναιρεῖται ὑπὸ τῶν Κωκάλου θυγατέρων.

Κατὰ τούτους τοὺς χρόνους Σαμψὼν ἦν, ὁ παρ' Ἕλλησι βοώμενος Ἡρα-

4–18 cf. Euseb. 2, 57[a,b,c,d,f,g] || 16–17 cf. ps. Sym. f. 47[v] (Gelzer 2, 373, om. Cedr.) || 19–27 cf. Euseb. 2, 58[a], Iohann. Antioch. p. 539 Müller, Philochor. FGr Hist 328 F 17 || 28–31 Euseb. 2, 59[g,i,n] || 32 – p. 192, 5 cf. Euseb. 2, 57[c]. 59[c,k]. 60[d]

5 Κρησὶν ὡς Bredov. κρίσινος A κρίσιν ὃς B || 6 ἐξ ἄντρου A ἐξάνδρου B | Ἴδῃ διὰ Bredov. ἰδίᾳ AB || 10 δοκεῖν B δοκεῖ A || 14 Ἴλιον Scal. ἴλεον B εἴλεον A || 20 Ἀθηναίων Scal. ἀθήναιον AB || 21 μίνωος A μίνως B || 22 μὲν ταῦρος A μένταυρος B || 27 ἀφεθῆναι B ἀφαιρεθῆναι A || 29 ἠράσθη Go. ἐράσθη AB

κλῆς, ὃς μετὰ τοὺς ἄθλους καὶ τὴν Ἀνταίου ἀναίρεσιν τοῦ γηγενοῦς ἐν Λιβύῃ καὶ τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνα καὶ τὴν πρώτην ὑπ' αὐτοῦ ἅλωσιν Τροίας ἐπὶ Λαομέδοντος πατρὸς Πριάμου βασιλέως Τροίας λοιμώδει νόσῳ περιπεσὼν εἰς πῦρ ἐνήλατο καὶ οὕτως ἐξ ἀνθρώπων ἐγένετο, βιώσας τὰ πάντα ἔτη νβ'. τινὲς δὲ πρὸ τούτου μικρὸν ἱστοροῦσι γενέσθαι 5
Ἡρακλῆν, ἄλλοι τε πλείονα ἔτη ζῆσαί φασιν αὐτόν.

ΚΟΣΜΟΥ ΕΤΗ

310 *Ἰαεὶρ τὸν Γαλααδίτην κριτὴν ἔδωκεν ὁ θεὸς τῷ Ἰσραὴλ μετὰ τὸν Θωλᾶν, ὃς εἶχεν υἱοὺς λβ' καὶ λβ' πόλεις, ὧν ἦρχον. οὗτος ἔκρινε τὸν λαὸν ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δρπα'.* 10

Ἀμμανῖται ἐκράτησαν τοῦ Ἰσραὴλ ἔτη ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσα'.

Μετὰ τὸν Γαλααδίτην Ἰαεὶρ ἁμαρτήσας ὁ Ἰσραὴλ παρεδόθη Ἀμμανίταις δουλεύειν ἔτη ιη'. ἐξομολογησαμένοις δὲ αὐτοῖς τῷ θεῷ ἐδόθη αὐτοῖς Ἰεφθάε ὁ ἐκ φυλῆς Μανασσῆ, υἱὸς Γαλαὰδ καὶ γυναικὸς πόρνης. οὗτος εὐξάμενος τῷ θεῷ θύσειν μετὰ τὴν κατὰ Μωαβιτῶν νίκην τὸ συναντῆσον 15 *αὐτῷ ζῷον ἐπανιόντι τοῦ πολέμου ἐκ τῆς οἰκίας αὐτοῦ, εἰ νικήσοι, μιᾶς αὐτοῦ μονογενοῦς θυγατρὸς δ' οὔσης καὶ φιλτάτης συναντησάσης αὐτῷ ταύτην ἔθυσε τῷ θεῷ οὐκ ἄκουσαν, ἐπὶ μῆνας δύο τὴν παρθενίαν αὐτῆς προπενθήσασαν.*

Ἰεφθάε ἔκρινε τὸν Ἰσραὴλ ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσιθ'. 20

Οὗτος ἐπολέμησε τοῖς υἱοῖς Ἐφραὶμ μεμφομένοις αὐτῷ ὅτι οὐ παρέλαβεν αὐτοὺς ἐν τῷ πολέμῳ, καὶ ἀπέκτεινε τρισμυρίους δισχιλίους αὐτῶν.

Ὁ Ἰεφθάε τὰ ἀπὸ Μωυσέως ἕως αὐτοῦ τ' λέγει εἶναι ἐν τῇ βίβλῳ τῶν κριτῶν, δηλονότι χωρὶς τῆς τῶν ἀλλοφύλων ἐπικρατήσεως. οὕτω γὰρ χρὴ νοεῖν καὶ οὐχ ὡς ὁ Εὐσέβιος, συναριθμῶν τοῖς τῶν κριτῶν χρόνοις 25

8 *κόσμου ἔτη· Ἰαὴρ κριτής· Ἀμμανῖται ἐκράτησαν τῶν Ἰσραηλιτῶν*

3–5 cf. ps. Sym. f. 47ᵛ (Gelzer 2, 372, om. Cedr.) || **5** e. g. Euseb. 2, 60ᵈ. 62ᵇ || **8** Iudic. 10, 3–4; cf. Syn. Chron. (Paris. Coisl. 193 f. 242ᵛ), p. 220 apud Niceph. opusc. ed. de Boor || **11–13** Iudic. 10, 8; cf. ps. Sym. f. 47ᵛ (Gelzer 2, 373, om. Cedr.) || **13–19** Iudic. 11, 29–40 || **20** Iudic. 12, 7 || **21** Iudic. 12, 1–6 || **23** Iudic. 11, 26 || **25** Euseb. 1, 51, 23

3. 4 *λοιμώδει νόσῳ* ps. Sym. *λοιμώδι νόσῳ* **B** *λοιμῷ διαγνώνῳ* **A** || **4** *ἐνήλατο* **B** *ἐνήλλατο* **A** *ἐνείλατο* ps. Sym. | *οὕτως* **B** ps. Sym. *οὗτος* **A** || **5** post *νβ'* add. ps. Sym. *πρὸ ξε' ἐτῶν τῆς ἡλίου* (sic pro *Ἰλίου*) *ἁλώσεως* || **6** *φασιν* om. **A** || **7** *ΚΟΣΜΟΥ ΕΤΗ* in textu **B** *κόσμου ἔτη ἰαὴρ κριτής* in margine **A** || **8** *ἰαεὶρ* **B** *ἰαὴρ* **A** || **10** *ἦν ἔτος* **B** *ἔτη* **A** || **11** et **12** *ἀμμαν-* **A** *ἀμαν-* **B** || **11** et **20** *ἦν ἔτος* om. **A** || **12** *ἰαεὶρ* **B** *ἰαὴρ* **A** || **15** *συναντῆσαν* **AB** || **16. 17** *μιᾶς αὐτοῦ* **B** *μιᾶς αὐτῆς* **A** || **22** *τρισμυρίους δισχιλίους* **AB** *τεσσεράκοντα δύο χιλιάδες* Iudic. || **24** *χωρὶς* om. **A** || **25** *ὁ* om. **B** || **26** lemma om. **B**ᵐ

τοὺς τῶν ἀλλοφύλων καὶ μὴ λογιζόμενος αὐτοὺς ἰδίως ἑκάστου, ὡς ἡ γραφή.

Ἐσέβων καὶ Ἐσβὰλ ἔκριναν τὸν Ἰσραὴλ ἔτη ζ' μετὰ τὸν Ἰεφθάε. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσκε'. 311

5 Ἐσέβων ὁ Βηθλεεμίτης φυλῆς Ἰούδα, πατὴρ λ' υἱῶν καὶ θυγατέρων λ', ἔκρινε τὸν Ἰσραήλ.

Ἀειλὼν κριτὴς ἔκρινε τὸν Ἰσραὴλ ἔτη ι' μετὰ τὸν Ἐσέβωνα ἐκ φυλῆς Ζαβουλών. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσλβ'.

Ἀβδὼν κριτὴς ἔκρινε τὸν Ἰσραὴλ ἔτη η'. Ἀφρικανὸς ἔτη κ' φησὶν οὐ 10 καλῶς. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσμβ'.

Ἀβδὼν υἱὸς Σελήμ, πατὴρ παίδων λ' καὶ ἐκγόνων λ', ἔκρινε τὸν Ἰσραὴλ ἔτη η'. μετὰ δὲ τὴν τούτου τελευτὴν παραβὰς ὁ Ἰσραὴλ ἀπεδόθη πάλιν τοῖς ἀλλοφύλοις ἔτη μ'.

Ἀλλόφυλοι Φυλιστιαῖοι ἐκράτησαν τοῦ Ἰσραὴλ ἔτη μ'. τοῦ δὲ κόσμου 15 ἦν ἔτος ,δσν'.

Εὐσέβιος ὁ Παμφίλου τὰ μ' ἔτη ταῦτα τῶν ἀλλοφύλων τοῖς τοῦ Σαμψὼν συναριθμεῖ ἀλόγως καὶ τῶν μετ' αὐτοῦ κριτῶν ἔτεσι, μὴ στοιχειώσας αὐτὰ ἐν τῷ κανόνι αὐτοῦ μηδὲ τῶν λοιπῶν ἀλλοφύλων κατά τινα, φησίν, Ἑβραίων παράδοσιν. προφανῶς δέ, ὡς καὶ ἐν ἄλλοις, ἀντίκειται τῇ γραφῇ.

20 ## ΑΣΣΥΡΙΩΝ ΒΑΣΙΛΕΙΣ 312

Ἀσσυρίων μα' ἐβασίλευσε Θῶνος ὁ λεγόμενος Κονκόλερος, Ἑλληνιστὶ Σαρδανάπαλος, ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχξ'.

Σαρδανάπαλος Ταρσὸν ᾤκισε καὶ Ἀγχιάλην τὰς πόλεις ἐν μιᾷ ἡμέρᾳ. ἡ τῶν Ἀσσυρίων βασιλεία εἰς τὸ καθολικὸν κοσμικὸν ,δχοε' ἔτος ἔληξε, 25 διαρκέσασα ἔτη ,αυξ' ἀπὸ τοῦ κοσμικοῦ ,γσις' ἔτους.

Ἕως τοῦδε τοῦ ,δχοε' ἔτους τοῦ κόσμου διαρκέσασα ἡ τῶν Ἀσσυρίων βασιλεία ἐπὶ ,αυξ' ἔτη κατελύθη τῷ κ' ἔτει τοῦ Σαρδαναπάλου τοῦ μα'

12 ἀλλόφυλοι ἐδουλώσαντο τὸν Ἰσραὴλ ἔτη μ' || 24 ὅτι Ἀσσύριοι ,αυξ' ἐβασίλευσαν ἀπὸ ,γσις' ἔτους

3–14 Iudic. 12, 8–13, 1 || 9 Africanus fr. 26 || 11–13 cf. ps. Sym. f. 47v (Gelzer 2, 373, om. Cedr.) || 16 Euseb. 1, 52, 22; 2, 62a || 21–p. 194, 2 cf. Annianum apud Eliam Nisib. 16,14–20, Castor. FGrHist 250 F 1 = Euseb. 1, 32, 6 || 23 cf. Euseb. 2, 82b

3 et 5 ἐσέβων AB Iudic.A Ἀβαισὰν Iudic.V || 4, 8 et 15 ἦν ἔτος om. A || 7 ἀειλὼν AB αἰλὼν Iudic.A Αἰλὼμ Iudic.V || 10 ,δσμβ' B ,δσκβ' A || 11 λ' . . . λ' AB μ' . . . λ' Iudic. | ἐκγόνων B ἐγγόνων A || 14–15 τοῦ . . . ,δσν' hoc loco B post ἔτη μ' in superiori uersu 13 A || 20 in textu B, in margine A || 23 ᾤκισε Scal. ᾤκησε AB ἔκτισε Go.m || 24 ,δχοε'] ,δχπ' ex filo Assyriorum in textu, sed sex annos plus quam Annianus praebuit exemplar nostrum (cf. supra 177, 1; 187, 5) || 27 τοῦ[1] om. A | τοῦ[2] B τῷ A

βασιλέως Ἀσσυρίων, ὃς παρά τισι Θῶνος Κονκόλερος ὠνομάζετο, περὶ οὗ καὶ Διόδωρος λέξεσιν αὐταῖς οὕτω γράφει.

Σαρδανάπαλος δὲ τριακοστὸς μὲν καὶ πέμπτος ἀπὸ Νίνου τοῦ συστησαμένου τὴν ἡγεμονίαν, ἔσχατος δὲ γενόμενος βασιλεὺς Ἀσσυρίων, ὑπερῆρεν ἅπαντας τοὺς πρὸ αὐτοῦ τρυφῇ καὶ ῥαθυμίᾳ. καὶ μετ' ὀλίγα· καὶ τοιοῦτος 5 ὢν τὸν τρόπον οὐ μόνον αὐτὸς αἰσχρῶς κατέστρεψε τὸν βίον, ἀλλὰ καὶ τὴν Ἀσσυρίων ἡγεμονίαν ἄρδην ἀνέστρεψε πολυχρονιωτάτην γενομένην τῶν μνημονευομένων. Ἀρβάκης γάρ τις, Μῆδος μὲν τὸ γένος, ἀνδρείᾳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἐστρατήγει Μήδων τῶν κατ' ἐνιαυτὸν 313 ἐκπεμπομένων εἰς τὴν Νίνον. κατὰ δὲ τὴν στρατείαν γενόμενος συνήθης 10 τῷ στρατηγῷ τῶν Βαβυλωνίων ὑπ' ἐκείνου παρεκλήθη καταλῦσαι τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν.

Ταῦτα ὁ Διόδωρος περὶ τῆς Σαρδαναπάλου καταστροφῆς, καὶ ὅτι λε' ἀπὸ Νίνου γέγονε βασιλεὺς Ἀσσυρίων, ὃν πρῶτον εἶναι βασιλέα τῶν αὐτῶν Ἀσσυρίων προλαβὼν ἀνωτέρω ἔφη οὕτως. 15

Τὸ παλαιὸν τοίνυν κατὰ τὴν Ἀσίαν ὑπῆρχον ἐγχώριοι βασιλεῖς, ὧν οὔτε πράξεις ἐπίσημοι οὔτε ὀνόματα μνημονεύεται. πρῶτος δὲ τῶν ἱστορίᾳ καὶ μνήμῃ παραδεδομένων Νίνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων μεγάλας πράξεις ἐπετελέσατο. καὶ μεθ' ἕτερα· μετὰ δὲ ταῦτα γεννήσας ἐκ Σεμιράμιδος υἱὸν Νινύαν ἐτελεύτησε, τὴν γυναῖκα ἀπολιπὼν βασίλισσαν. τὸν δὲ Νίνον 20 ἡ Σεμίραμις ἔθαψεν ἐν τοῖς βασιλείοις. καὶ ἐπάγει· αὕτη μὲν οὖν βασιλεύσασα τῆς Ἀσίας ἁπάσης πλὴν Ἰνδῶν ἐτελεύτησε τὸν προειρημένον τρόπον, βιώσασα μὲν ἔτη ξβ', βασιλεύσασα δὲ δύο πρὸς τοῖς μ'. καὶ μεθ' ἕτερα· παραπλησίως δὲ καὶ οἱ λοιποὶ βασιλεῖς παῖς παρὰ πατρὸς διαδεχόμενοι τὴν ἀρχὴν ἐβασίλευσαν ἐπὶ γενεὰς με' μέχρι Σαρδαναπά- 25 λου. ἐπὶ τούτου γὰρ ἡ τῶν Ἀσσυρίων ἡγεμονία μετέπεσεν εἰς Μήδους ἔτη διαμείνασα πλείω τῶν ͵α καὶ τ', καθάπερ φησὶ Κτησίας ὁ Κνίδιος ἐν τῇ β' βίβλῳ. τὰ δὲ ὀνόματα τῶν βασιλέων καὶ τὸ πλῆθος τῶν ἐτῶν οὐ 314 κατεπείγει γράφειν διὰ τὸ μηδὲν ὑπ' αὐτῶν πεπρᾶχθαι μνήμης ἄξιον. μόνη γὰρ τέτευχεν ἀναγραφῆς ἡ πεμφθεῖσα συμμαχία τοῖς Τρωσὶν ὑπὸ 30 Ἀσσυρίων, ἧς ἐστρατήγει Μέμνων ὁ Τιθωνοῦ. Ταυτάνου γὰρ βασιλεύον-

8 *Ἀρβάκης Μῆδος καταστρέφει τὴν βασιλείαν Ἀσσυρίων*

3 Diodorus 2, 23–24 || 16 Diodorus 2, 1 || 19 Diodorus 2, 7 || 21 Diodorus 2, 20 || 24 Diodorus 2, 21, 8–22, 2 || 27 Ctesias FGrHist 688 F 1

1 *ὃς παρά τισι* Go.[m] *ὡς παρίστησι* **AB** || 6 *τὸν*[1] om. **A** || 10 *στρατείαν* Diodor. *στρατηγίαν* **A** *στρατηγεῖαν* **B** || 14 *ὃν* Scal. *ὧν* **AB** || 15 *οὕτως* **B** *οὗτος* **A** || 18 *παραδεδομένων* Diodor. *παραδιδομένον* **AB** *παραδεδομένος* Di. | *τῶν* om. **B** || 19 *ἐπετελέσατο* **A** *ἀπετέλεσεν* **B** || 24 *παῖς* **B** *παῖδες* **A** || 25 *με'* **AB** *λ'* Diodor. || 28 *βασιλέων* Di. *βασιλειῶν* **AB** || 30 *τέτευχεν* **B** *τέτυχε* **A** || 32 *μῆδος* **B**[m] *μήδιος* **A**[m]

τος τῆς Ἀσίας, ὃς ἦν κϛʹ ἀπὸ Νίνου τοῦ Σεμιράμιδος, φασὶ τοὺς μετὰ Ἀγαμέμνονος Ἕλληνας ἐπὶ Τροίαν στρατεῦσαι τὴν ἡγεμονίαν ἐχόντων τῆς Ἀσίας Ἀσσυρίων ⟨ἔτη⟩ πλείω τῶν χιλίων.

Ταῦτα ὁ Διόδωρος ἡμῖν παραδίδωσι μηδ' οὕτω θαρρήσας ἀποφήνασθαι 5 τὸν τῶν βασιλέων ἀριθμὸν ἢ χρόνου τὴν ἀκριβῆ ποσότητα προσηγορίας τε αὐτῶν καὶ ἐπὶ τίνος ἡ κατὰ Τροίας τῶν Ἀχαιῶν ἔφοδος γέγονεν, ἀλλὰ πάντα φειδόμενος διὰ τὸ τῶν παλαιοτέρων αὐτοῦ ἱστορικῶν ἀσύμφωνον, μόνον δ' ὅτι πλείω τῶν ͵ατʹ ἐτῶν ὁ χρόνος τῶν ἀπὸ Νίνου λεʹ βασιλέων ἐστὶν ἀπεφήνατο, καὶ ὅτι τὴν Τροίας ἅλωσιν ἐπὶ τοῦ κϛʹ ἀπὸ Νίνου βασι- 10 λεύσαντος Ἀσσυρίων Ταυτάνου φασὶ γενέσθαι μετὰ ͵α ἔτη πλείω, ἄλλοις ἐπιγράφων τὰ λεγόμενα, ὡς μὴ πάντῃ συντιθέμενος. ὁ γὰρ Ταυτάνου χρόνος τῷ ϡμβʹ ἔτει συντρέχει τῆς Ἀσσυρίων ἀρχῆς, κζʹ λογιζομένου Ταυτάνου ἀπὸ Βήλου. εἰ γὰρ τὰ Βήλου νεʹ ἔτη ἀφέλωμεν ἐκ τῶν ϡμβʹ, πολλοῖς ἔτεσι κατὰ τὸν ἀκριβῆ λόγον ἐλαττωθήσεται ἐκ τῶν ͵α πλείω 15 χρόνων ἢ μετὰ ͵α πλείω κατὰ Διόδωρον καὶ τὴν ἀληθῆ ἀνάλωσιν Τροίας. **315** καλῶς ἄρα ἡμῖν ἐστοιχείωται καὶ τοῖς ἐκθεμένοις ἐγγύς που τοῦ ͵αρʹ ἔτους τῆς Ἀσσυρίων ἀρχῆς κατὰ τὸ ͵δτκθʹ ἔτος τοῦ κόσμου ἡ Τροίας ἅλωσις, ἐπὶ τοῦ λβʹ βασιλέως Ἀσσυρίων Βαβίου, ἐπὶ Δημοφῶντος τοῦ Θησέως ιβʹ βασιλέως Ἀθηναίων, οἷς κατηκολουθήσαμεν.

20 Ὅτι δὲ ἀσυμφώνως οἱ τῶν Ἑλλήνων ἱστορικοὶ γεγράφασι περὶ τῶν χρόνων καὶ τῶν βασιλέων τούτων παρέστω Κεφαλίων ἐπίσημος εἷς, οὐχ ὁ τυχών, οὕτω φάσκων.

Ἄρχομαι γράφειν ἀφ' ὧν ἄλλοι τε ἐμνημόνευσαν καὶ τὰ πρῶτα Ἑλλάνικός τε ὁ Λέσβιος καὶ Κτησίας ὁ Κνίδιος, ἔπειτα Ἡρόδοτος ὁ Ἁλικαρ- 25 νασεύς. τὸ παλαιὸν τῆς Ἀσίας ἐβασίλευσαν Ἀσσύριοι, τῶν δὲ ὁ Βήλου Νίνος. εἶτ' ἐπάγει γένεσιν Σεμιράμεως καὶ Ζωροάστρου μάγου ἔτη τε νβʹ τῆς Νίνου βασιλείας. μεθ' ὃν Βαβυλῶνα, φησίν, ἡ Σεμίραμις ἐτείχισε τρόπον ὡς πολλοῖσι λέλεκται, Κτησίᾳ, Ζήνωνι, Ἡροδότῳ καὶ τοῖς μετ' αὐτούς. στρατείην τε αὐτῆς κατὰ τῶν Ἰνδῶν καὶ ἧτταν καὶ ὅτι τοὺς ἰδίους 30 ἀνεῖλεν υἱοὺς καὶ ὑπὸ Νίνου τῶν παίδων ἑνὸς ἀνῃρέθη τοῦ διαδεξαμένου τὴν ἀρχήν.

20 *Κεφαλίων χρονικός*

23 – p. 196, **23** Cephalion FGrHist 93 F 1 = Euseb. 1, 28, 25 – 30, 13

1 ὃς ἦν κϛʹ ἀπὸ Go.^{m} ἦν ἀπὸ κϛʹ **AB** ὃς ἦν εἰκοστὸς ἀπὸ Diodor. || **3** ἔτη Diodor. om. **AB** || **10** τουτάνου **B** ταῦτά μοι **A** || **16** ἐγγύς που **A** ἐγγύπου **B** || **19** ἀθηναίων **B** ἀθηναίου **A** || **24** κτησίας **A** τησίης **B** || **25** τῶν Scal. τὸν **AB** || **26** *Ζωροάστρου μάγου* Di. ζωροαστρουβάτου **A** ζοροραστρουβάτου **B** *Zaravyst dem Magier* Euseb. || **27** ὃν Scal. ὧν **AB** || **28** *Ζήνωνι*] ita etiam Euseb. *Δίνωνι* Müller || **29** στρατείην **A** στρατίειν **B** | αὐτῆς Scal. αὐτοὺς **AB**

Καὶ μεθ' ἕτερα· *καὶ τῶν λοιπῶν εἰς ͵α ἐτῶν ἀριθμὸν ἦρχον, παῖς παρὰ*
316 *πατρὸς ἐκδεχόμενος τὴν ἀρχὴν καὶ ἔχων ἧττον αὐτῶν οὐδὲ εἷς ἐτελεύτη-*
σεν ἐτῶν κ'. τὸ γὰρ ἀπόλεμόν τε καὶ ἀφιλοκίνδυνον καὶ γυναικῶδες αὐτοῖς
ἦν ἀσφαλές. ἔνδον γὰρ ἔμενον οὐδέ τι αὐτοῖς ἦν ἔργον ὃ ἐπρήσσετο, οὐδὲ
ἑώρα τις αὐτοὺς πλὴν αἵ τε παλλακίδες καὶ τῶν ἀνδρῶν οἱ γυναικώδεις. 5
τοὺς δὲ βασιλεῖς τούσδε εἴ τις εἰδῆσαι βούλεται, Κτησίης ἐστὶν ὁ λέγων
ὀνόματα αὐτῶν κ', οἶμαι, καὶ γ'. ἐμοὶ δὲ ἡ γραφὴ τί τερπνὸν ἢ τί χάριεν
ἤμελλεν ἕξειν, ὀνομακλήδην ἄνευ πράξεων βαρβάρως φωνέοντι τυράννους
δειλοὺς καὶ μαλακοὺς βαρβάρους; πρὸς οἷς ἐπάγει τὰ περὶ τῶν ἐτῶν
αὐτῶν· ἐτέων δὲ ὄντων ἀπὸ Νίνου τεσσαράκοντά που καὶ χ' Βέλιμος ἐβα- 10
σίλευσεν Ἀσσυρίων. καὶ ἀφικνεῖται Περσεὺς ὁ Δανάης εἰς τὴν χώρην αὐ-
τοῦ, ναῦς ἄγων ρ'. ἔφευγε δὲ Περσεὺς Διόνυσον τὸν Σεμέλης υἱέα. καὶ
μετέπειτα· *ὑστέρῃ δὲ γενεῇ κατὰ Πανύαν ἄρχοντα ὁ τῶν Ἀργοναυτῶν στό-*
λος ἔπλευσεν ἐπί τε Φᾶσιν καὶ Μηδείην τὴν Κολχίδα, καὶ Ἡρακλέα πλα-
νηθέντα ἀπὸ τῆς νεὼς διὰ τὸν ἔρωτα τοῦ Ὕλα λέγουσι περὶ τοὺς Καππα- 15
δόκας ἀληθῆναι. καὶ αὖθις· *͵α δὲ ἐτῶν ἀπὸ Σεμιράμεως εἰς Μητραῖον*
317 *βασιλέα ἂν ἀριθμοῖτο περιτελλομένων. Μήδεια Κολχὶς ἀνεχώρησεν*
Αἰγέως, ἧς υἱὸς Μῆδος, ἐξ οὗ Μῆδοι καὶ ἡ χώρα ἐκλήθη Μήδεια. εἶτά
φησι· *Μητραίου δὲ τὴν ἀρχὴν διαδέχεται Ταύτανος ζῶν καὶ αὐτὸς κατὰ*
ἔθη τὰ Ἀσσυρίων καὶ νόμους. καὶ ἄλλο μὲν οὐδὲν ἐγένετο οὐδὲ ἐπὶ τούτου 20
καινὸν ἔργον. Ἀγαμέμνων δὲ καὶ Μενέλαος οἱ Μυκηναῖοι ἐστρατεύσαντο
σὺν Ἀργείοισι καὶ τοῖσι ἄλλοισιν Ἀχαιοῖς εἰς Ἴλιον πόλιν τῆς Πριάμου
τοῦ Φρυγὸς στρατηγίης.

Ἕως τούτων ἀρκεῖν ἡγησάμεθα τὴν ἐκ τῶν Κεφαλίωνος γραφῶν πρὸς
τὸν Διόδωρον διαφωνίαν παραθέσθαι τοῖς ἀκριβῶς ἐπιστῆσαι βουλομένοις. 25
ὁ μὲν γὰρ λε' βασιλεῖς ἀπὸ Νίνου καὶ αὐτοὺς ἐξέθετο καὶ τὴν ἅλωσιν
Τροίας μετὰ ͵α ἔτη πλείω φησίν, ὥς τινές, ἐπὶ κς' βασιλέως Ἀσσυρίων
Ταυτάνου· ὁ δὲ τοὺς πάντας κγ' ἀπὸ Βήλου καὶ τὴν Τροίας ἅλωσιν καὶ
μετὰ ταῦτα ͵α ἔτη· ὅπερ ἀδύνατον. ἵνα γὰρ κβ' ἀπὸ Βήλου τις ὑπολάβοι
τὸν Ταύτανον πρὸ τοῦ ἐσχάτου Σαρδαναπάλου, καὶ οὕτω πολλοῖς ἐλαττω- 30
θήσεται χρόνοις ὁ Κεφαλίων πρὸς τὸν Διόδωρον. καὶ ἁπλῶς εἰπεῖν ἐξ

24 *ὅτι Διόδωρος ἀληθέστερός ἐστι*

1 *μεθ' ἕτερα* **A** *μεθέται* **B** || 3 *καί*[2] om. **A** || 4 *ἦν ἔργον ὃ* Go.[m] *ἦν ἔργον* **AB** *ὧν ἔργον* Scal. *ἓν ἔργον* Mai *ἔργον* Jac. || 8 *ὀνομακλήδην* Scal. *ὄνομα κλή-δην* **AB** | *βαρβάρως* scripsi *βαρβάρῳ* **AB** *βαρβάρους* Di. *barbarischer Idiome* Euseb. || 9 *βαρβάρους· οὓς* **AB** del. Di. || 10 *ἐτέων* Di. *ἐτέον* **B** *ἑτέρων* **A** || 11 *χώρην* **B** *χώραν* **A** || 13 *Πανύαν* Di. *πανίαν* **AB** | *ἀργοναύτων* **A** *ἄργων αὐτῶν* **B** || 14 *ἐπί* Go. *ἐπεί* **AB** | *Μηδείην* Di. *μηδέην* **AB** || 15 *τοῦ* Scal. *τῶν* **A** *τὸν* **B** | *Ὕλα* Scal. *υλα'* **AB** || 17 *ἀριθμοῖτο περιτελλομένων* Jac. *ἀριθμοῖ τὸ περιτελλόμενον* **AB** || 28. 29 *καὶ μετὰ* **B** *μετὰ* **A**

ἁπάντων τὸ ἄτοπον ἑνὶ τῶν ἀμφοτέρων συνάγεται, ἵνα μὴ λέγω καὶ τοῖς δυσί, διὰ τὸ μᾶλλον τὸν Διόδωρον τῇ ἀληθείᾳ προσεγγίζειν, πλείω τῶν ͵ατʹ εἰρηκότα τὸν ὅλον τῆς Ἀσσυρίων ἀρχῆς χρόνον καὶ αὐτὸν ἀπὸ Νίνου ἕως Σαρδαναπάλου.

5 Ὁ μέντοι Εὐσέβιος καίπερ πραγματείαν οὐ τὴν τυχοῦσαν συλλεξάμενος 318 φιλοπόνως καὶ ταύτῃ τὴν ἑαυτοῦ χρονικὴν συγγραφὴν κατασεμνύνας, τάς τε προκειμένας χρήσεις Διοδώρου καὶ Κεφαλίωνος προθείς, ἐν λζʹ βασιλεῦσι τὴν Ἀσσυρίων ἀρχὴν περιέλαβεν, ἔτεσι δὲ ͵ατʹ, τῷ Κάστορι μᾶλλον ἀκολουθήσας, οὗ καὶ μαρτυρίαν παρήγαγε, ͵ασπʹ ἔτη φάσκουσαν τοὺς 10 Ἀσσυρίων βασιλεῖς ἄρξαι, καὶ τοῦτο διὰ τὸ συμβάλλεσθαι τῷ παραλογισμῷ αὐτοῦ κατὰ τοὺς χρόνους, ὃν πέπονθεν ἐν τοῖς ἀπὸ τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ χρόνοις, μὴ χρονολογήσας μετὰ τὸν κατακλυσμὸν Καϊνᾶν υἱὸν τοῦ Ἀρφαξάδ, ὃν ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς ἐν τῷ κατ᾿ αὐτὸν εὐαγγελίῳ ιγʹ ἀπὸ τοῦ Ἀδὰμ ἐγενεαλόγησεν, ἡ δὲ τῆς Γενέσεως πρώτη 15 Μωυσέως βίβλος τῷ ρλʹ ἔτει αὐτοῦ φησι τὸν αὐτὸν Καϊνᾶν γεγεννηκέναι τὸν Σάλα ἐν τοῖς ἠκριβωμένοις τῶν ἀντιγράφων, ὡς καὶ ἡμεῖς ἐστοιχειώσαμεν. ἔν τισι γὰρ τῷ ρλθʹ φέρεται αὐτοῦ Καϊνᾶν.

Θαυμάσαι δέ μοι μεγάλως ἔπεστιν ὅπως ὁ αὐτὸς κατά τινας κληθεὶς φρόνιμος Εὐσέβιος, δηλαδὴ κατὰ ἀντίφρασιν, οὕτω προδήλως ταῖς θείαις 20 γραφαῖς ἀντιπεσεῖν τετόλμηκεν, ὁ πᾶσαν ἀκρίβειαν ἐπαγγειλάμενος καὶ τἀληθοῦς εὕρεσιν, ὥς φησιν, ἐκ τῆς παρ᾿ Ἑβραίοις καὶ Σαμαρείταις καὶ τοῖς οʹ ἑρμηνευταῖς φερομένης διαπεφωνημένης γραφῆς διὰ τὸ τῶν ἀντιγράφων ἀσύμφωνον, καὶ τριχῶς παραθέμενος τοὺς χρόνους, ἐν οὐδεμιᾷ τῶν τριῶν παραθέσει τοῦ μετὰ τὸν κατακλυσμὸν Καϊνᾶν υἱοῦ Ἀρφαξὰδ 319 25 ἐμνήσθη. εἰ γὰρ ἐν ταύταις οὐχ ηὕρηται, πόθεν αἱ ἀνὰ πάσας τὰς ἐκκλησίας τοῦ Χριστοῦ ἀναγινωσκόμεναι ἱεραὶ βίβλοι τῆς Γενέσεως τοῦτον ἐμφαίνουσι; πόθεν δὲ καὶ ὁ Λουκᾶς ὁ θειότατος, ὁ πᾶσαν θείαν τε καὶ ἀνθρωπίνην ἠσκημένος φιλοσοφίαν καὶ μυρίων Εὐσεβίων ἀσυγκρίτως προύχων, ἐν τῇ ἱερᾷ καὶ εὐαγγελικῇ αὐτοῦ βίβλῳ ιγʹ ἐξ Ἀδὰμ ἔθετο τοῦ30 τον; ἀποδέδεικται μὲν οὖν οὗτος καὶ ἑτέροις πρὸ ἡμῶν διημαρτηκὼς

8 ὅτι τῷ Κάστορι ἀκολουθεῖ ὁ Εὐσέβιος || 13 ὅτι καὶ ὁ εὐαγγελιστὴς καὶ ἡ Γένεσις λέγουσι τὸν Καϊνᾶν ἐκ τοῦ Ἀρφαξὰδ υἱοῦ Σὴμ ὃς ἐγέννησεν τὸν Σάλα || 30 πόσα ἔτη διαμαρτάνει Εὐσέβιος

5 Euseb. 1, 26, 12–27, 5 || 13 Luc. 3, 36, Gen. 11, 12–13; cf. Hippolyt. fr. 1 || 17 cf. Anon. Matr. 4, 4

7 διοδώρου **B** διοδώρῳ **A** || 9 παρήγαγε **B** προήγαγε **A** | ἔτη **A** ἔτει **B** || 20.21 καὶ τἀληθοῦς **B** κατὰ ἀληθοῦς **A** || 22 διαπεφωνημένης **B** διὰ τῆς φωνημένης **A** || 24 τριῶν **B** τριχῶν **A** || 26 τοῦτον **B** τούτων **A** || 27 καὶ ὁ] καὶ **B** ὁ **A** || 30 ἑτέροις **B** ἕτερος **A** || 31 γένεσις **B**[m] γέννησις **A**[m] || 32–33 lemma om. **A**[m]

ἐτῶν ἀριθμῶν κατ' ἐλάττωσιν ϛϛ' ἀπὸ Ἀδὰμ ἕως τῆς εἰκοσαετηρίδος Κωνσταντίνου τοῦ μεγάλου καὶ πανευσεβοῦς βασιλέως Χριστιανῶν α'. ἀντὶ γὰρ ͵εωιϛ' ἐτῶν ͵εφκζ' συνελογίσατο. οὐκοῦν πρόδηλον ὅτι διὰ τὸν ἑαυτοῦ παραλογισμὸν καὶ τοὺς Ἀσσυρίων χρόνους ἠλάττωσε καὶ τὴν ἅλωσιν Τροίας οὐκ ἀληθῶς ἐστοιχείωσε. ταῦτα δὲ ἡμῖν ἐνταῦθα οὐ παρέργως 5 ἐπεσημάνθη, ἀλλὰ διὰ τὸ ἀναγκαῖον εἶναι τὸν ἀκριβῆ χρόνον τῆς τε ἁλώσεως Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ πυρπολήσεως καὶ αἰχμαλωσίας τῆς τε τῶν φυλῶν ἐν Σαμαρείᾳ γεγονυίας καὶ τῆς τῶν φυλῶν ἐπὶ Ναβουχοδονόσωρ βασιλέως Χαλδαίων ἀπὸ Ναβονασάρου.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ 10

Αἰγυπτίων νϛ' ἐβασίλευσεν Ὀχυρὰς ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσοη'.

320 Αἰγυπτίων νζ' ἐβασίλευσεν Ἀμενδὴς ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δσϙβ'.

Αἰγυπτίων νη' ἐβασίλευσε Θούωρις ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτιθ'. 15

Οὗτός ἐστιν ὁ παρ' Ὁμήρῳ Πόλυβος Ἀλκάνδρας ἀνὴρ ἐν Ὀδυσσείᾳ φερόμενος, παρ' ᾧ φησι τὸν Μενέλαον σὺν τῇ Ἑλένῃ μετὰ τὴν ἅλωσιν Τροίας κατῆχθαι πλανώμενον.

Αἰγυπτίων νθ' ἐβασίλευσεν Ἄθωθις ὁ καὶ Φουσανός, ἐφ' οὗ σεισμοὶ κατὰ τὴν Αἴγυπτον ἐγένοντο, μηδέπω γεγονότες ἐν αὐτῇ πρὸ τούτου, 20 ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτξθ'.

Αἰγυπτίων ξ' ἐβασίλευσε Κενκένης ἔτη λθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτϙζ'.

Αἰγυπτίων ξα' ἐβασίλευσεν Οὐέννεφις ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυλϛ'. 25

ΑΡΓΕΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀργείων ιζ' ἐβασίλευσεν Ἀγαμέμνων ἔτη ιη', κατὰ δὲ ἄλλους ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτιβ'.

19 *ἐπὶ τίνος οἱ σεισμοὶ ἐν Αἰγύπτῳ*

3 Euseb. 1, 34, 3; 62, 6 || **11** ps. Manetho (Sothis) FGrHist 609 F 28 || **16** cf. Euseb. 1, 68, 17; 2, 61ᵉ, Odyss. 4, 126 || **27** Castor FGrHist 250 F 3 = Euseb. 1, 84, 38 (ann. 30), cf. Euseb. 2, 59, 26 (ann. 35), Iohann. Malal. 85, 15 (ann. 18), Chron. Synt. 87, 18 (ann. 18)

1 *ἀριθμῶν* **A** *ἀριθμὸν* **B** *ἀριθμοῦ* maluit Di. | *εἰκοσαετηρίδος* **B** *εἰκοσαετερίδος* **A** || **13** *ἀμενδὴς* **B** *ἀμεδῆς* **A** | et infra *ἦν ἔτος* om. **A** || **15** *Θούωρις* Di. *θούωρης* **AB** || **16** *Πόλυβος Ἀλκάνδρας* Di. *πολύβους ἄλκανδρος* **AB** || **19** *ἐφ'* **B** *ἀφ'* **A** || **24** *οὐέννεφις* **B** *ουεννέφης* **A** | *μβ'* **A** *λβ'* **B** || **25** *͵δυλϛ'* **B** *͵δτλϛ'* **A** || **26** in textu **B**, in margine **A**

Τῷ η′ ἔτει Ἀγαμέμνονος ὁ κατὰ τῆς Τροίας ἤρξατο πόλεμος διὰ τὴν Ἑλένης ὑπὸ Ἀλεξάνδρου τοῦ Πάριδος κλοπὴν υἱοῦ Πριάμου βασιλέως Ἰλίου, καὶ διήρκεσεν ἔτη ι′ ἕως ἁλώσεως Ἰλίου, ἥτις τῷ ὑποκειμένῳ ιζ′ ἔτει Ἀγαμέμνονος γέγονεν.

5 *Ἀγαμέμνονος Ἀργείων καὶ Μυκηνῶν βασιλεύοντος, Μενελάου δὲ τοῦ* **321** *ἀδελφοῦ αὐτοῦ Λακεδαιμονίων, Πρίαμος υἱὸς Λαομέδοντος τῆς Τροίας καὶ Ἰλίου ἐβασίλευσε. τούτου τοῦ Πριάμου παῖς Ἀλέξανδρος ὁ καὶ Πάρις εἰς Πελοπόννησον ἐλθὼν θῦσαι τοῖς αὐτόθι δαίμοσι ξεναγωγεῖται παρὰ Μενελάῳ ἐν Λακεδαιμονίᾳ. Μενελάῳ δὲ ἦν γυνή τις Ἑλένη σφόδρα περι-* 10 *καλλής. ταύτης ἐρασθεὶς Ἀλέξανδρος καὶ μοιχεύσας ἥρπασε· καὶ ἀποπλεύσας εἰς Σιδῶνα τῆς Φοινίκης ἄκων ἐκρίπτεται. ξενισθεὶς δὲ καὶ παρὰ τῷ Σιδωνίων βασιλεῖ ἐπιβουλεύει αὐτῷ καὶ πολλὰ χρήματα καὶ ἐσθῆτα κομισάμενος ἀπὸ Σιδῶνος, μεθ' ὧν ἐκεκλόφει σὺν Ἑλένῃ, καὶ ἀπὸ Λακεδαίμονος ὡς ἀριστεύσας ἐπάνεισιν εἰς Τροίαν παρὰ τῷ πατρὶ Πριάμῳ.* 15 *Ἀγαμέμνων δὲ καὶ Μενέλαος πρὸς Πρίαμον καὶ τοὺς υἱοὺς πρεσβευσάμενοι διαφόρως περὶ τῆς Ἀλεξάνδρου εἰς αὐτοὺς ἐπιβουλῆς διά τε Ὀδυσσέως καὶ Διομήδους καὶ αὐτοῦ Μενελάου, ἐπεὶ μηδὲν ἤνυον, καίπερ τῶν περὶ Πρίαμον δημαγωγῶν πρεσβυτέρων συμβουλευόντων, ἐν οἷς ἦρχεν Ἀντήνωρ, ἀποδοθῆναι τὴν Ἑλένην, πόλεμον αἴρονται κατὰ τῆς Τροίας καὶ* 20 *Πριάμου δεινὸν ἔτεσι ι′ κροτηθέντα, κατὰ δὲ τὸ αὐτὸ δέκατον ἁλούσης Ἰλίου καὶ Πριάμου καὶ τῶν τέκνων τοῖς Ἕλλησιν. ἦν δὲ τῶν ἐξ Ἀδὰμ ͵δτλ′ ἔτος. ἀπὸ δὲ τῆς Ἀβραὰμ γενέσεως καὶ μγ′ ἔτους τῆς Νίνου τοῦ δευτέρου βασιλέως Ἀσσυρίων βασιλείας ἔτη συνάγεται ͵αιη′. ἀπὸ δὲ Μωυσέως γενέσεως, ἥτις ἦν κατὰ μς′ ἔτος Ἰνάχου τοῦ πρώτου βασιλέως* 25 *Ἀργείων, κόσμου δὲ κατὰ τὸ ͵γψλη′, ἔτη συνάγεται φϛβ′ ἐπὶ τὴν Τροίας* **322** *ἅλωσιν, εἰ καὶ Εὐσεβίῳ οὐ δοκεῖ διαμαρτάνοντι σις′ ἔτεσι κατάλειψιν.*

Μυκηνῶν Ἀργείων ιη′ ἐβασίλευσεν Αἴγισθος ἔτη ε′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτλ′.

1 *πότε ἤρξατο ὁ πόλεμος τῆς Τροίας καὶ τὰ περὶ Ἑλένης* ‖ 7 *περὶ Ἀλεξάνδρου τοῦ* 30 *καὶ Πάριδος τί λέγει* ‖ 21 *πῶς ἡ Τροία ἑάλω* ‖ 25 *ἀπὸ τοῦ Μωυσέως ἕως τῆς ἁλώσεως Τροίας ἔτη φϛβ′*

1 cf. Euseb. 1, 84, 28 (Castor.), 2, 59[m]. 60[e] ‖ 5–21 cf. Ecl. Hist. 197, 4–200, 22, Iohann. Malal. 91, 1–97, 13 ‖ 22 cf. Euseb. 2, 61[a] ‖ 27 cf. Euseb. 1, 84, 30 = Castor. FGrHist 250 F 3 (ann. 17), Iohann. Malal. 85, 15 (ann. 7), Chron. Synt. 87, 19 (ann. 8), Euseb. 2, 62[d] (sine annis)

1 *τροίας* **B** *τροίης* **A** ‖ 2 *ἑλένης* **B** *ἑλένην* **A** ‖ 3 *ἥτις* **B** *εἴ τι* **A** ‖ 9 *δὲ* om. **A** ‖ 10 *ταύτης* Di. *ταύτην* **A** *ταύτῃ* **B** | *ἥρπασε* Di. *ἥρπαξε* **AB** ‖ 12 *τῷ*] *τῶν* **AB** ‖ 13 *ἐκεκλόφει* **A** *ἐκεκλόφη* **B** ‖ 14 *ὡς* om. **A** ‖ 22–24 *γενέσεως . . . γενέσεως* Di. *γεννήσεως . . . γενέσεως* **AB** ‖ 25 *ἔτη* **B** *ἔτει* **A** ‖ 26 *κατάλειψιν* **B** *καταλείψειν* **A** ‖ 27. 28 et p. 200, 2 *ἦν ἔτος* om. **A** ‖ 30–31 lemmata om. **A**[m]

Μυκηνῶν Ἀργείων ιθ′ ἐβασίλευσεν Ὀρέστης ἔτη κγ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτλε′.
Ὀρέστης Πύρρον τὸν Ἀχιλλέως ἀναιρεῖ ἐν Δελφοῖς εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν προδοθέντα ὑπὸ Μαχαιρέως τοῦ ἱερέως· καὶ οἱ Ἕκτορος παῖδες τὸ Ἴλιον ἀνεκτήσαντο τοὺς Ἀντηνορίδας ἐκβαλόντες Ἑλένου γνώμῃ. 5

Μετὰ τὴν ἅλωσιν Τροίας

ΛΑΤΙΝΩΝ ΒΑΣΙΛΕΙΣ

Πολλῆς διαφωνίας γενομένης παρὰ τοῖς πολλοῖς περὶ τῆς Ῥωμαϊκῆς μὲν ἐσχάτως μετὰ Ῥωμύλον βασιλείας ὀνομασθείσης ἀπ' αὐτοῦ, πρὸ αὐτοῦ δὲ Λατίνων ἀπὸ Λατίνου τοῦ βασιλεύσαντος πρὸ Αἰνείου κατὰ τοὺς 10 *Τρωικοὺς χρόνους, τῶν αὐτῶν πρὸ αὐτοῦ καλουμένων Ἀλβάνων ἀπὸ Ἀλβάνου Κρόνου τοῦ πάντων κατὰ τὴν Ἰταλίαν βασιλέων πρώτου λεγομένου, παρέλκον ἡγούμεθα κανονικῇ θεωρίᾳ τὰς τούτων παραθέσθαι χρήσεις, τοῦτο μόνον σημαίνοντες ὅτι πρὸ Αἰνείου α′ φασὶ Πεῖκον υἱὸν Κρό-* **323** *νου βασιλεῦσαι χώρας Λαυρέντου λζ′, εἶναι δὲ τὴν χώραν ἕως τῆς νυνὶ* 15 *Ῥώμης πόλεως, μεθ' ὃν Φαῦνον τὸν υἱὸν αὐτοῦ Πείκου τοῦ καὶ Διὸς ἔτη μδ′. τοῦτον δέ φασί τινες Ἑρμῆν, καθ' ὃν Ἡρακλῆς ἀπὸ Σπανίας ἐπανελθὼν ἐν φόρῳ τῷ λεγομένῳ βοαρίῳ βωμὸν ἤγειρε, διότι ἀνεῖλε Κάκος τὸν Ἡφαίστου υἱόν· ὡς δέ τισιν ἔδοξε, καὶ ἐβασίλευσε μετὰ Φαῦνον ἔτη λε′ ὁ Ἡρακλῆς. ἔπειτα Λατῖνος ἔτη λς′. τούτου κατὰ τὸ λγ′ ἔτος* 20 *Αἰνείας ἐξ Ἰλίου παραγενόμενος σὺν τοῖς μετ' αὐτοῦ ὅπλοις καὶ πλούτῳ παρεσκευασμένος, συμμαχήσας τε αὐτῷ Λατίνῳ κατὰ Ῥουτούλων καὶ Τοῦρνον ἀνελὼν Λαβινίᾳ ζεύγνυται Λατίνου θυγατρὶ τοῦ βασιλέως, καὶ βασιλεύει τῆς χώρας μετὰ τὸν Λατῖνον ἔτη γ′, κτίσας πόλιν ἐπ' ὀνόματι τῆς γυναικὸς Λαβινίαν, ἐν ᾗ καὶ ἐβασίλευσε. τινὲς ἔτη η′ φασὶ τὸν Αἰνείαν* 25 *βασιλεῦσαι Λατίνων ἔτη δ′ μετὰ τὴν ἅλωσιν Τροίας, ἕτεροι δὲ τρία μόνα βασιλεῦσαι ἀπὸ τοῦ θ′ ἔτους μετὰ τὴν αὐτὴν ἅλωσιν, ὥστε αὐτὸν κατὰ τὸ*

1 cf. Euseb. 1, 84, 31 (Castor., sine annis); 2, 62[f] (ann. 15), Exc. Barb. 39a (ann. 28) || 3 Euseb. 2, 63[d,f] || 8–24 cf. Euseb. 1, 136, 7; 2, 62[c], Exc. Barb. 22b, Chronogr. ann. 354, p. 143, 1–12 Mommsen || 25 – p. 201, 3 cf. Euseb. 2, 62, 1–7: *Latinis qui postea Romani nuncupati sunt post III annum captiuitatis Troiae siue ut quidam uolunt post annum VIII regnauit Aeneas ann. III*; Clem. Alex. Strom. 1, 137, 4 = Thrasyllus FGrHist 253 F 1 (Lauinia conditur post annum decimum captiuitatis Troiae); Andronic. apud Eliam Nisib. 19, 19 (Aeneas regnauit annos septem). uide Trieber, Hermes 29, 1894, 124

2 *͵δτλε′* **B** *͵δτλθ′* **A** || 3 *πύρρον* **B** *πύρον* **A** || 7 *λατίνων* **A** *λατείνων* **B** et similiter infra || 8 *γενομένης* Go. *γεναμένης* **AB** || 11 *τὸν αὐτὸν . . . καλούμενον ἄλβανον* **AB** || 14 *α′* **A** *πρώτου* **B** || 15 *Λαυρέντου* Go. *λαβρέντου* **AB** || 18 *Κάκος* Go.[m] *κακῶς* **AB** || 22 *Ῥουτούλων* Go.[m] *ῥούτουλον* **AB** || 23 *λαβινίᾳ* **B** *λαβανίᾳ* **A** || 25 *λαβινίαν* **B** *λαβηνίαν* **A**

ιβ´ ἔτος αὐτῆς ἀποθανεῖν. ὅπως δὲ εἰς Ἰταλίαν ἐλθὼν ἐκράτησε Λατίνων καὶ περὶ τῶν μετ' αὐτὸν βασιλευσάντων ιβ´ βασιλέων ἐν ἔτει υ´ ἕως Ῥωμύλου τοῦ κτίστου Ῥώμης, εὑρήσεις ἐν τοῖς κατὰ Ῥωμύλον χρόνοις.

Αἰνείας μετὰ τὴν ἅλωσιν Τροίας Λατίνων ἐβασίλευσεν ἔτη γ´. τοῦ δὲ 5 *κόσμου ἦν ἔτος ͵δτμ´.*

ΣΠΟΡΑΔΗΝ 324

Καρχηδόνα φησὶ Φίλιστος κτισθῆναι ὑπὸ Ἀζώρου καὶ Καρχηδόνος τῶν Τυρίων.

Κατὰ τοῦτον τὸν χρόνον Ἡρακλῆς τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνα ἔθηκεν, 10 *ἀφ' οὗ ἐπὶ πρώτην ὀλυμπιάδα υο´ ἔτη, κατὰ δὲ ἄλλους υλ´.*

Ἀδμάτα θυγάτηρ Εὐρυσθέως ἐν Ἄργει ἱεράτευσεν ἔτη λη´. αἱ δ' ἀπὸ ταύτης τὴν ἱερωσύνην διαδεξάμεναι Φαλίδες ἐκαλοῦντο.

Πρίαμος υἱὸς Λαομέδοντος μετὰ τὸν πατέρα Τροίας καὶ Ἰλίου ἐβασίλευσε. τούτου παῖς Ἀλέξανδρος ὁ καὶ Πάρις.

15 *Ἀμαζόνες κατὰ Ἀθηναίων ἐστράτευσαν.*

Κάπρου Καλυδωνίου θήρα διὰ Μελεάγρου.

Μενέλαος Λακεδαίμονος ἐβασίλευσεν.

Ἀμαζόνες Πριάμῳ συνεμάχησαν.

Ἴλιον ἥλω τῷ φθινοπώρῳ πρὸ ιζ´ ἡμερῶν τῆς χειμερινῆς τροπῆς.

20 *Λυδοὶ οἱ καὶ Μαίονες ἐθαλασσοκράτησαν ἔτη ϙβ´ πρῶτοι.*

ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀθηναίων ι´ ἐβασίλευσε Θησεὺς Αἰγέως ἔτη λα´. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϛξζ´.

Θησεὺς Ἑλένην ἥρπασεν, ἣν αὖθις ἀπέλαβον οἱ ἀδελφοὶ αὐτῆς Κάστωρ 325 25 *καὶ Πολυδεύκης, τὴν μητέρα Θησέως αἰχμαλωτίσαντες ἀποδημοῦντος τοῦ Θησέως.*

24 *τίνες εἰσὶν Κάστωρ καὶ Πολυδεύκης*

4 cf. Dionys. Hal. 1, 64 = Euseb. 1, 130, 16 ‖ 7 Euseb. 2, 58[e] = Philist. FGrHist 556 F 47 ‖ 9 Euseb. 2, 59[c] (ann. 430 ante primam Olympiadem), Clem. Alex. Strom. 1, 137, 2 = Thrasyllus FGrHist 253 F 1 (ann. 460) ‖ 11 cf. African. fr. 24, Hellanic. FGrHist 4 F 74–84; uide Gelzer 1, 184 ‖ 13 cf. Euseb. 2, 57[e], Ecl. Hist. 196, 32 ‖ 15 Euseb. 2, 59[e], cf. Clem. Alex. Strom. 1, 137, 2 ‖ 16 Euseb. 2, 59[f] ‖ 17 Euseb. 2, 59[i] ‖ 18 Euseb. 2, 60[f] ‖ 19 cf. Dionys. Hal. 1, 63 = Euseb. 1, 129, 1; ex Dexippo ut uult Gelzer 1, 184 ‖ 20 Euseb. 1, 106, 31 (ex Diodoro); 2, 62[e] ‖ 22 Castor FGrHist 250 F 4 = Euseb. 1, 87, 9 (ann. 30), Exc. Barb. 40b (ann. 31) ‖ 24 Euseb. 2, 58[b]; Clem. Alex. Strom. 1, 137, 3 = Thrasyllus FGrHist 253 F 1

4 *γ´* **B** *κγ´* **A** ‖ 7 *καρχηδόνα . . . καρχηδόνος* **A** *καρχηδῶνα . . . καρχηδῶνος* **B** ‖ 11 *Ἀδμάτα* Heyne *ἀδάμαντα* **A** *ἀδάματα* **B** ‖ 20.21 *ἔτη ϙβ´ πρῶτοι. Ἀθηναίων βασιλεῖς* ita interpunxi *ἔτη ϙβ´. πρῶτοι ἀθηναίων βασιλεῖς* **AB** ¦ *πρῶτοι* del. Di.

Θησεὺς Ἀθηναίους κατὰ χώραν διεσπαρμένους εἰς ἓν συναγαγὼν ἤτοι εἰς μίαν πόλιν, πρῶτος ἐξωστρακίσθη, αὐτὸς πρῶτος θεὶς τὸν νόμον. Θησεὺς ἔφυγεν ἀπὸ Ἀθηνῶν.

Ἀθηναίων ια' ἐβασίλευσε Μενεσθεὺς Πετεῶ τοῦ Ὀρνέως τοῦ Ἐρεχθέως ἔτη λγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσςη'. 5

Ἐπὶ τούτου ὁ Τρωικὸς πόλεμος συνέστη ἕνεκα μήλου χρυσοῦ, ὃ κάλλους ἔπαθλον ἦν γυναικῶν τριῶν, ὑπὸ μιᾶς αὐτῶν προτεθείσης Ἑλένης τῷ κριτῇ. βουκόλος δ' οὗτος ἦν Ἰλιεύς, ὡς ἡ κωμῳδία.

Μενεσθεὺς οὗτος Ἕλλησι κατὰ τῶν Τρώων συνεμάχησε.

Τούτου τῷ λγ' ἔτει Ἴλιον ἥλω· ἐπανιὼν δὲ ἀπὸ Τροίας ἐν Μήλῳ τῇ νήσῳ τελευτᾷ. 10

Ἀθηναίων ιβ' ἐβασίλευσε Δημοφῶν Θησέως ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δτλα'.

Ἐπὶ τούτου τὰ περὶ Ὀδυσσέα καὶ Ὀρέστην.

326 *Αἰνείας τε ἐβασίλευσε Λαβινίου.* 15

Τὰ κατὰ Ὀδυσσέα καὶ Σκύλλαν καὶ Χάρυβδιν καὶ Σειρῆνας.

Ἀθηναίων ιγ' ἐβασίλευσεν Ὀξύντης Δημοφῶντος ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δτνδ'.

Ἀθηναίων ιδ' ἐβασίλευσεν Ἀφίδας ἔτος ἕν· τοῦ δὲ κόσμου ἦν ἔτος ,δτξδ'. 20

ΣΠΟΡΑΔΗΝ

Ἡσίοδός τε ἐγνωρίζετο, ὃν Ἔφορος ἀνεψιὸν καὶ σύγχρονον Ὁμήρου φησί.

ΚΟΣΜΟΥ ΕΤΗ

Σαμψὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ'. τοῦ δὲ κόσμου ἔτη ,δσς'. 25

Τῷ Ἰσραὴλ καταπονουμένῳ καὶ πρὸς θεὸν ἐπιστρέψαντι δίδοται Σαμψὼν τῷ Μανωὲ ἐκ φυλῆς Δάν, ἀγγέλου χρηματίσαντος τῇ μητρὶ στείρᾳ

1 Euseb. 2, 58[c] || 4 Castor FGrHist 250 F 4 = Euseb. 1, 87, 11 (ann. 23), Exc. Barb. 40b (ann. 29) || 6–11 cf. Euseb. 2, 60[c.h] || 12–19 Castor FGrHist 250 F 4 = Euseb. 1, 87, 13–18, Exc. Barb. 40b || 22 Ephorus FGrHist 70 F 101; cf. Marm. Par. FGrHist 239 A 28–29, Ecl. Hist. 227, 22 || 25 Iudic. 16, 31 || 26–p. 203, 22 cf. Chron. Pasch. 152, 21–154, 2 || 27 Iudic. 13, 1–3

[**AB** (175, 8–202, 8)] || 4 *ἐρεχθέως* **B** *ὀρεχθέως* **A** || 5 et 13 *ἦν ἔτος* om. **A** || 6 *συνέστη ἕνεκα* Scal. *συνέστησεν καὶ* **A** *συνέστη ἕνκαι* **B** | *ὃ* **B** *ὃν* **A** || 8 *βου-*] explicit **B** f. 55[v], post quod exciderunt folia duo | *ὡς ἡ κωμῳδία* om. Euseb., secl. Scal. *ὡς ἡ τραγῳδία* maluit Di. || 15 *Λαβινίου* Di. *λαβηνίου* **A** || 17 *Δημοφῶντος* Di. *δημοφόωντος* **A** | *ι'*] ann. 12 Euseb., ann. 14 Exc. Barb. || 20 *,δτξδ'* Go.[m] *,δτξε'* **A**

οὔσῃ, ὃς γεννηθεὶς καὶ τραφεὶς ἐρᾷ γυναικὸς ἐν Θαμναθὰ ἀλλογενοῦς. κατιὼν δὲ πρὸς μνηστείαν αὐτῆς σὺν τοῖς γονεῦσι λέοντα χερσὶ διασπᾷ, οὗ τῷ προβλήματι τριάκοντα στολὰς ἀλλοφύλοις ἐν συμποσίῳ καταδικάζεται δοῦναι, γυναικὸς ἀπατηθείς, ἃς καὶ ἀποδούς, ἀνελὼν λ' ἀλλο-
5 *φύλους εἰς Ἀσκάλωνα ἀνεχώρησεν ὀργιζόμενος. ἀλλόφυλοι δὲ τὴν αὐτὴν γυναῖκα τῷ ἀντεραστῇ παρέσχον. ὁ δὲ τὰς ἀλώπεκας θηράσας καὶ κέρκον* 327 *πρὸς κέρκον δήσας τάς τε ἀρούρας καὶ τοὺς ἀμπελῶνας αὐτῶν ἐνεπύρισεν, ἡνίκα ἀλλόφυλοι κατὰ τοῦ Ἰσραὴλ ἀνελθόντες ἔλαβον δέσμιον καλωδίοις, ὃς τὰ καλώδια περιρρήξας ὄνου γνάθῳ χιλίους αὐτῶν ἀνεῖλε καὶ δίψει*
10 *περικαεὶς εὐχῇ τῇ πρὸς θεὸν πηγὴν ὕδατος τὸν τῆς σιαγόνος ὅλμον. ἄλλῃ δὲ φιλωθεὶς ἐν Γάζῃ ἔνδοθεν ἐδόκει φρουρεῖσθαι περικλεισάντων αὐτῷ τὰς θύρας τῆς πόλεως τῶν ἀλλοφύλων, ἃς περὶ μέσας νύκτας ἀναλαβὼν ὤμοις σὺν μοχλοῖς καὶ σταθμοῖς ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους ἀπέθετο. τρίτῃ δὲ τῇ Δαλιδᾷ γυναικὶ συναπαχθεὶς καὶ τὴν ἐπὶ τῆς κόμης αὐτοῦ θείαν*
15 *ἰσχὺν ἐξειπὼν ὑπ' αὐτῆς κείρεται καὶ ἀλλοφύλοις προδοθεὶς τυφλοῦται ἐν μυλῶνι πεπεδημένος καθειρχθείς, οὗ τὴν ἅλωσιν μετά τινα χρόνον ἑορτάζοντες, τῶν τριχῶν αὐτῷ ἐξανθουσῶν ἤδη μικρόν, προήγαγον παίζειν αὐτὸν κελεύσαντες. ὁ δὲ τοῖς κίοσι διὰ τοῦ χειραγωγοῦντος αὐτὸν ἐπιστηριχθείς, εὐξάμενος παρὰ θεοῦ τὴν κατ' αὐτῶν ἐκδίκησιν, τούς τε ἐν τῷ*
20 *οἴκῳ καὶ τοὺς ἐπὶ τῶν στεγῶν ἀνιόντας ἀμφὶ τοὺς ͵γ κατέχωσε, ἐπισπασάμενος τοὺς κίονας καὶ συνδιαφθαρεὶς αὐτοῖς· ὃν ἔθαψαν οἱ ἀδελφοὶ καὶ οἱ γονεῖς κρίναντα τὸν Ἰσραὴλ ἔτη κ'.*

Τὸν ἐν Ὀλυμπίᾳ πρῶτον ὑφ' Ἡρακλέους ἀγῶνα ἀπὸ τοῦ πρώτου ἔτους 328 *Σαμψὼν ἀριθμῶν εὑρήσεις ἔτη υλ' ἕως πρώτης ὀλυμπιάδος.*

25 *Ἀναρχίας καὶ εἰρήνης ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτι'.*

Τὰ κατὰ τὸν Μιχᾶ, ὃς ἐποίησε γλυπτὸν καὶ ἐφοὺδ καὶ οἶκον τῷ θεῷ καὶ ἱερέα κατέστησεν, ὃν οἱ χ' ἐκ φυλῆς Δὰν ἐλθόντες ἔλαβον, ἐν τοῖς χρόνοις τούτοις ἦν, καὶ τὰ κατὰ τὴν γυναῖκα τὴν μελισθεῖσαν καὶ ὁ κατὰ τῆς φυλῆς Βενιαμὶν πόλεμος, ἔνθα ζῆν τὸν Φινεὲς υἱὸν Ἐλεάζαρ λέγει ἡ
30 *γραφή. τὰ περὶ τῆς μελισθείσης γυναικὸς ἐν Γαβαὼν καὶ τὸν πόλεμον τῶν ια' φυλῶν πρὸς τὴν φυλὴν Βενιαμὶν μετὰ τὴν τελευτὴν Ἰησοῦ φησιν Ἰώσηππος εὐθέως, καὶ ὁ κατὰ τὸ τέλος τῶν κριτῶν, πολλῆς διαφωνίας οὔσης περὶ τῶν χρόνων τῶν ἀπὸ Μωυσέως ⟨ἕως⟩ Ἡλεὶ τοῦ ἱερέως.*

2 Iudic. 14, 5–6 || 3 Iudic. 14, 12–20 || 6 Iudic. 15, 4–5 || 8 Iudic. 15, 14–19 || 10 Iudic. 16, 1–3 || 14 Iudic. 16, 15–31 || 23 cf. Euseb. 2, 59[c] (in temporibus Iair iudicis), Anon. Matr. 16, 9 (Sampson) || 25 cf. Chron. Pasch. 154, 3, Exc. Barb. 20b; Anon. Matr. 17, 6–18, 6 habet 20 annos anarchiae et 30 pacis || 26 Iudic. 17, 4–20; 19, 22–25; 20, 14–28 || 30 Ioseph. Ant. Iud. 5, 136–174 || 32 Iudic. 20, 20

9 *περιρρήξας* Go. *περιρήξας* A || 11 *φιλωθεὶς* Di. *φιλλωθεὶς* A || 24 *ἀριθμὸν* A || 26 *μιχᾶ* A *μειχᾶ* Iudic.[A] *Μειχαία* Iudic.[v] || 33 *ἕως* Go.[m] om. A

Τὰ μὲν Ἰησοῦ τοῦ Ναυῆ καὶ τῶν μετ' αὐτὸν πρεσβυτέρων ἡ γραφὴ παρεσιώπησεν, ἡ δὲ ἄγραφος συνήθεια τοῦ μὲν Ἰησοῦ κζ', τῶν δὲ πρεσβυτέρων ιη' παρέδωκε· καὶ οὕτω σχεδὸν πάντες ὁμοφωνοῦσιν. Εὐσέβιος δὲ μόνος ὁ Καισαρεὺς τὰ τῶν πρεσβυτέρων οὐ παρέλαβεν, ὁ δὲ Ἀφρικανὸς ἔτη λ' αὐτοῖς ἀπένειμεν, ᾧ πλεῖστα κατεγκαλεῖ ὁ Εὐσέβιος ὡς μεγάλα, 5 *φησί, διαμαρτόντι καὶ τολμηροτάτῳ πράγματι ἐπικεχειρηκότι, πρὸς τού-* **329** *τοις ἄλλα ο' ἔτη, τὰ μ' μὲν τὰ τῆς ἀναρχίας, λ' δὲ τὰ τῆς εἰρήνης οἴκοθεν παρεμβαλόντι, τὰ ὅλα ϱ'. ἀλλ' ὁ μὲν Ἀφρικανὸς περὶ τούτων ὡς διαφωνουμένων ἐν τέλει τοῦ ε' λόγου καθομολογεῖ.*

Ὁ δὲ Εὐσέβιος τὰ παρὰ τῷ θείῳ ἀποστόλῳ ἐν ταῖς πράξεσι τῶν κριτῶν 10 *ἔτη υν' συστῆσαι βουληθεὶς συνεχρήσατο τούτων τισί, διαπορεῖ μέντοι λέγων τὰ μετὰ τὴν Μωυσέως τελευτὴν ἄλλως κεῖσθαι μέχρι Σολομῶνος καὶ τῆς τοῦ ἱεροῦ ἐπισκευῆς ἐν τῷ γ' τῶν βασιλειῶν. λέγει γάρ· καὶ ἐγενήθη ἐν τῷ υμ' ἔτει τῆς ἐξόδου τῆς ἀπ' Αἰγύπτου ἤρξατο οἰκοδομεῖν Σολομὼν τὸν ναόν. τὸ δὲ Ἑβραϊκόν· καὶ ἐγενήθη ἐν τῷ υ' καὶ π' ἔτει. ταῦ-* 15 *τα δέ, φησίν, οἱ τῶν Ἰουδαίων διδάσκαλοι ἀκριβῶς συνάγεσθαι ἔλεγον μόνης τῆς τῶν ἐξ Ἰσραὴλ κριτῶν χρονοκρατίας ἀριθμουμένης καὶ μὴ λογιζομένης ἰδίως τῆς τῶν ἀλλοφύλων, ἀλλὰ τῆς τῶν κριτῶν συννοουμένης· ὅπερ οὐ συνᾴδει τῇ ἱερᾷ τῶν κριτῶν βίβλῳ. τόν γε μὴν ἱερὸν ἀπόστολόν φησιν υν' ἔτη τῶν κριτῶν οὐκ ἀκριβολογούμενον εἰπεῖν, ἀλλ' ἐκδοχῇ κοινο-* 20 *τέρᾳ. ἐὰν οὖν κατὰ τὸν ἀπόστολον τὰ τῶν κριτῶν υν' ἔτη καὶ τὰ ἐπὶ τῆς ἐρήμου μ' ἔτη Μωυσέως Ἰησοῦ τε κζ' καὶ τῶν μετὰ Ἰησοῦν πρεσβυτέρων ιη', καὶ ἔτι Ἡλεὶ τοῦ ἱερέως κ', Σαμουὴλ κ' καὶ Σαοὺλ μ', Δαβίδ τε μ' καὶ Σολομῶνος δ' συναριθμήσωμεν, ἔσται ὁ πᾶς ἀπὸ τῆς ἐξόδου χρόνος* **330** *ἐπὶ τὴν τοῦ ναοῦ κατασκευὴν ἐτῶν χνθ', κατὰ δὲ Εὐσέβιον χ' καὶ κατὰ* 25 *Ἀφρικανὸν ὑπὲρ τὰ ψμ'. καθ' ἕκαστον δὲ τῶν τριῶν τούτων ἀριθμὸν αἵ τε ἐκ φυλῆς Ἰούδα αἵ τε ἐκ φυλῆς Λευὶ διαγενόμεναι γενεαὶ ἢ καὶ μεριζόμεναι ἀπίθανον ἕξουσι τὴν παιδοποιίαν. ἀπὸ γὰρ Ἀβραὰμ ἕως Δαβὶδ γενεαὶ ιδ'. τούτων θ' ἦν ἐπὶ Μωυσέως ἐν τῇ ἐρήμῳ, καθ' ἣν ἐγνωρίζετο Ναασσὼν υἱὸς Ἀμιναδὰμ ἄρχων φυλῆς Ἰούδα, οὗ τὴν ἀδελφὴν Ἐλισάβετ* 30 *Ἀαρὼν ἀρχιερεὺς ἔγημεν· ὃς ἐν τῇ ἐρήμῳ τελευτᾷ. ἀπὸ Ναασσὼν δὲ ἕως*

1 Iudic. 2, 7 || 3 Eusebius (1, 52, 12) et plerique annos 27 Iesum duxisse consentiunt, praeter Syncellum autem chronographia breuis (Syn. Chron.) codicis Paris. Coisl. 193 f. 242ᵛ (p. 218 opusc. Niceph. ed. de Boor) singularis est annos 18 seniorum attestans || 4 Africanus fr. 27, Euseb. 1, 47, 6–21 || 10–18 Euseb. 1, 50, 3–23, Acta Apost. 13, 19–22, 3 Reg. 6, 1 || 25 Euseb. 1, 47, 18, Africanus fr. 30 || 26–p. 205, 6 cf. Euseb. 1, 47, 22–48, 8

1 *αὐτὸν* Go. *αὐτῶν* A || 5 *ᾧ* Go. *ὡς* A || 7 *τὰ μ'*] *τε μ'* A *μ'* Go.ᵐ || 22 *Ἰησοῦν*] *ἰησοῦ* A || 24 *Σολομῶνος* Di. *σολομῶν* A || 28 *ἀπίθανον* Di. *ἀπείθανον* A

Δαβὶδ γενεαὶ ε′ οὕτως· Σαλμὼν υἱὸς Ναασσών, ὃς ἠγάγετο Ῥαὰβ τὴν πόρνην ἐπὶ Ἰησοῦ, ἐγέννησε τὸν Βοόζ, Βοὸζ δὲ τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ, Ὠβὴδ δὲ τὸν Ἰεσσαὶ καὶ Ἰεσσαὶ τὸν Δαβίδ· πῶς οὖν δυνατὸν τὰς ἀπὸ Ἀβραὰμ ἕως Μωυσέως θ′ διαγενέσθαι γενεὰς ἐν υο′ ἔτεσι, πέντε δὲ μό-
5 νας ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ ἐν χ′ ἔτεσιν ἕως Δαβίδ; ἔσται γὰρ ἕκαστος ρκ′ ἐτῶν ἐν τῷ καιρῷ τῆς παιδοποιίας, ἵνα τὰ χ′ τυχὸν ἐπ' ἴσης μερίσωμεν. οὐ μόνον δὲ αἱ ἐξ Ἰούδα ε′ γενεαὶ ἀπὸ Ναασσὼν ἕως Δαβὶδ κολοβῶσαι τοὺς χρόνους τῶν υν′ ἐτῶν ἀναγκάζουσιν, ἀλλὰ καὶ οἱ τῶν κατὰ τοὺς αὐτοὺς χρόνους ἀρχιερατευσάντων ς′ ἀπὸ Ἐλεαζάρου τοῦ ἱερέως καὶ Ἰησοῦ
10 ἕως τοῦ Σαμουὴλ χρόνοι ἥττονες ὀφείλοντες εἶναι. μετὰ γὰρ τὸν Ἀαρὼν καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ Φινεὲς ἀρχιεράτευσε, μεθ' ὃν Ἀβιούδ, εἶτα Μοχθεὶ 331 καὶ Ὀζεὶ καὶ Ἡλεὶ καὶ Ἀχιτώβ. ὥστε ἐκ πάντων δείκνυσθαι, φησίν, ἀναγκαῖον τὸ ὑπεξαιρεῖν τὰς τοῦ Ἰσραὴλ δουλείας, ἤτοι τὰς τῶν ἀλλοφύλων ρκ′, ἵνα καὶ αἱ γενεαὶ προσφόρως καὶ τὰ υμ′ ἔτη ἀπὸ τῆς ἐξόδου ἐπὶ τὴν
15 τοῦ ναοῦ κατασκευὴν καὶ Σολομῶνα, κατὰ τὴν τρίτην τῶν βασιλειῶν, συναντήσωσιν. ἐγὼ δὲ τῷ θείῳ Παύλῳ καὶ τῇ βίβλῳ τῶν κριτῶν ἕπομαι.

Τὰ κατὰ Ἀφρικανὸν ἀπὸ Ἀδὰμ ἕως τέλους τῶν κριτῶν καὶ ἀρχῆς Ἡλεὶ τοῦ ἱερέως ἔτη ,δσϙβ′, κατὰ δὲ Εὐσέβιον τὸν Παμφίλου ,δμδ′, κατὰ δὲ τὴν ἀκριβῆ καὶ εὐαγγελικὴν παράδοσιν καὶ τόδε τὸ χρονογράφιον ,δτνβ′.
20 τὰ δὲ υν′ ἔτη τῶν κριτῶν κατὰ τὸν θεῖον ἀπόστολον ἀπὸ τοῦ ,γϡβ′ ἔτους τοῦ κόσμου ἐπὶ τὸ πρῶτον ἔτος Ἡλεὶ πληροῦται, ἑνὸς ἔτους ὑπολειπομένου, ὅπερ Ἀφρικανὸς τὸν Σεμείγαρ λέγει κρατῆσαι τὸν Ἰσραὴλ τῆς γραφῆς οὐκ εἰπούσης χρόνον.

Ἡλεὶ ἱερεὺς ἡγήσατο τοῦ Ἰσραὴλ ἔτη κ′ κατὰ τοὺς ο′, κατὰ δὲ τὸ
25 Ἑβραϊκόν, ᾧ καὶ Εὐσέβιος ἠκολούθησεν, ἔτη μ′, καὶ οὐχ οὕτως ἐπαγγειλάμενος. τοῦ δὲ κόσμου ἦν ἔτος ,δτν′.

Τελευτήσαντος Ἡλεὶ τοῦ ἱερέως ἡ κιβωτὸς ὑπὸ ἀλλοφύλους γίνεται, καὶ μετὰ ταῦτα ἄγεται εἰς οἶκον Ἀμιναδὰμ ἔτη κ′.

Σαμουὴλ ὁ καὶ προφήτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ′. τοῦ δὲ κόσμου ἦν 332
30 ἔτος ,δτο′.

7–12 om. Euseb.; cf. Niceph. 108, 15, Chron. Pasch. 141–155 passim || **12–16** Euseb. 1, 50, 38 || **17 et 22** Africanus fr. 28 || **18** cf. Euseb. 1, 53, 25 || **18–20** cf. Iohann. Anag. f. 115r || **24** 1 Reg. 4, 18; Euseb. 1, 49, 16; 2, 63b || **27** 1 Reg. 7, 1–2; Euseb. 2, 65a || **27–29** cf. Iohann. Anag. f. 115r || **29**–p. 206, **2** cf. Euseb. 1, 52, 25; 2, 65, 16 (Samuel et Saul annos 40); consentiunt Chron. Pasch. 155, 10, Niceph. 86, 25, Anon. Matr. 18, 5, et ut uidetur Acta Apost. 13, 21; cum Syncello consentiunt Georg. Mon. 165–166, Chron. Synt. 98, 44, Syn. Chron. p. 220 de Boor; Cedr. 149, 18 et ps. Pollux 104 annos 20 ad Saul ascribunt Samuele uiuente et annos 20 post mortem

1 *οὕτως* Go.m *οὗτος* **A** | *Σαλμὼν* Go.m *σαλομῶν* **A** *Salmon* Euseb. || **6** *ἐπ' ἴσης* Di. *ἐφίσης* **A** *ἐξ ἐφίσης* Go. *ἐξ ἴσης* coniecit Di. || **10** *τοῦ*] *τὸν* **A** || **11** *μοχθεὶ* **A** *Βεχὶ* Niceph. *Βοχχεὶ* Chron. Pasch. *Βωκαὶ* 1 Paralip. 6, 51 || **13** *ὑπεξαιρεῖν* Di. *ὑφαιξαίρειν* **A**

Σαοὺλ πρῶτος ἐβασίλευσε τοῦ Ἰσραὴλ ἐκ φυλῆς Βενιαμὶν ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτϛ'.

Δαβὶδ ὁ μέγας ἐν προφήταις καὶ βασιλεῦσιν, υἱὸς Ἰεσσαί, Βηθλεεμίτης, ἐκ φυλῆς Ἰούδα, οὗτος ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυκη'. 5

Αὐτὸς ᾠκοδόμησεν ἐπὶ τῆς ἀκρωρείας Ἱερουσαλὴμ τὴν Σιών, σκηνὴν ἐν αὐτῇ τῷ θεῷ πηξάμενος, ἐν ᾗ τὴν κιβωτὸν ἀπέθετο.

Ὁ ἐπ' αὐτοῦ Γὰδ καὶ Νάθαν καὶ Ἀσὰφ προεφήτευον.

Ἐπ' αὐτοῦ ὁ μέγας ποιητὴς Ὅμηρος παρ' Ἕλλησι καὶ Ἡσίοδος.

Αὐτὸς νόμῳ πολέμου Συρίαν ὅλην ἕως Εὐφράτου ποταμοῦ καθυπέταξε. 10

Τὰ περὶ τῆς ἀρετῆς τοῦ θεοπάτορος Δαβὶδ οἰκείας τυχόντα τῆς ἱστορίας ἐν τῇ βίβλῳ τῶν βασιλειῶν ἔξεστιν ἐντυχεῖν.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων ξβ' ἐβασίλευσε Σουσακεὶμ ἔτη λδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυοη'. 15

Σουσακεὶμ Λίβυας καὶ Αἰθίοπας καὶ Τρωγλοδύτας παρέλαβε πρὸ τῆς Ἱερουσαλήμ.

333 *Αἰγυπτίων ξγ' ἐβασίλευσε Ψούενος ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφιβ'.*

Αἰγυπτίων ξδ' ἐβασίλευσεν Ἀμμενῶφις ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλζ'. 20

Αἰγυπτίων ξε' ἐβασίλευσε Νεφεχέρης ἔτη ϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφμϛ'.

Αἰγυπτίων ξϛ' ἐβασίλευσε Σαΐτης ἔτη ιε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφνβ'. 25

Αἰγυπτίων ξζ' ἐβασίλευσε Ψινάχης ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξζ'.

8 *ἐπὶ τοῦ Δαβὶδ Γὰδ καὶ Νάθαν προφῆται· ἐπὶ αὐτοῦ καὶ Ὅμηρος καὶ Ἡσίοδος* || 16 *ὅτι πρὸ τῆς Ἱερουσαλὴμ Λίβυας καὶ Τρωγλοδύτας παρέλαβε Σουσακείμ*

3 2 Reg. 5, 4 || 4–5 cf. ps. Sym. f. 47v (Gelzer 2, 373, om. Cedr.) || 6 2 Reg. 5, 7; 6, 17; cf. ps. Sym. f. 48r = Cedr. 161. 5 || 8 Euseb. 2, 68, 5; cf. Chron. Pasch. 157, 16 || 8–9 cf. Iohann. Anag. f. 115r, ps. Sym. f. 48r = Cedr. 161, 7 || 9 cf. Anon. Matr. 19, 2, Chron. Epit. 15, 18, Iohann. Antioch. fr. 18 Müller; Euseb. 2, 66a (temporibus Samuel et Saul). 71b (temporibus Solomon) || 10 2 Reg. 8, 1–4, 1 Paralip. 18–19; cf. Euseb. Praep. Euang. 9, 30, 3 = Eupolem. FGrHist 723 F 2 || 14–p. 207, 6 ps. Manetho (Sothis) FGrHist 609 F 28 || 16 2 Paralip. 12, 3

5 *͵δυκη'*] ita etiam ps. Sym. Syncellus in filis regum Hierosolymorum modo ex anno 4428 computauisse uidetur modo ex 4430, sed qua de causa non liquet. uide Gelzer 2, 239, Laqueur RE 1395

Αἰγυπτίων ξη' ἐβασίλευσε Πετουβάστης ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφος'.

Αἰγυπτίων ξθ' ἐβασίλευσεν Ὀσώρθων ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχκ'.

5 *Αἰγυπτίων ο' ἐβασίλευσε Ψάμμος ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχκθ'.*

Αἰγυπτίων οα' ἐβασίλευσε Κόγχαρις ἔτη κα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχλθ'.

ΛΑΤΙΝΩΝ ΒΑΣΙΛΕΙΣ

Λατίνων β' ἐβασίλευσεν Ἀσκάνιος ἔτη λζ', ὁ υἱὸς Αἰνείου, ὃς ἔκτισε
10 *πόλιν Ἄλβαν· ἐφ' οὗ τὰ κατὰ Ὀρέστην καὶ τὸν Αἰγίσθου φόνον ὑπ' αὐτοῦ καὶ τῆς μητρὸς Κλυταιμνήστρας. τοῦ δὲ κόσμου ἦν ἔτος ,δτμγ'.*

Λατίνων γ' ἐβασίλευσε Σιλούιος Αἰνείου ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δτπ'.

Λατίνων δ' ἐβασίλευσε Σιλούιος† Ἰοῦ ἔτη λα'. τοῦ δὲ κόσμου ἦν ἔτος 334
15 *,δυθ'.*

Λατίνων ε' ἐβασίλευσεν Αἰνείας Σιλουίου ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυμ'.

Λατίνων ς' ἐβασίλευσε Σιλούιος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυς'.

ΣΠΟΡΑΔΗΝ

20 *Ὁ τῶν Λυκίων ἀγὼν πρῶτος ἐτέθη.*

Ἡρακλειδῶν κάθοδος Ὕλλου τοῦ πρεσβυτέρου παιδὸς Ἡρακλέους ἡγουμένου τῆς κατὰ Πελοποννησίων μάχης, ἥτις ἐπεκράτησεν ἱκανοῖς ἔτεσι μεταξὺ Πελοποννησίων καὶ τῶν Ἡρακλειδῶν. τότε Ῥόδος ἡ νῆσος οἰκίζεται παρὰ Λακεδαιμονίων, ὡς Δέξιππος ἱστορεῖ, μετοικησάντων ἐκ Πε-
25 *λοποννήσου διὰ τὴν τῶν Ἡρακλειδῶν ἐπίθεσιν.*

9–18 cf. Euseb. 1, 137, 32–139, 28 = Diodor. 7, 5, 3; uide Trieber, Hermes 29, 1894, 124 || **10–11** Euseb. 1, 87, 13; 2, 62[f,g,h] || **20** Euseb. 2, 64[e] || **21** cf. Euseb. 2, 63[g]. 66[c], Dexipp. FGrHist 100 F 9

[**AB** (207, 6–312, 29)] **6** *αἰγυπτίων οα'*] incipit f. 56[r] **B** || **9** *ἔτη λζ'*] ann. 38 Euseb. || **12** *ἔτη κθ'*] ann. 28 Euseb. 1, ann. 29 Euseb. 2, 64, 12 || **14–17** apud Eusebium inueniuntur Aeneas Siluius ann. 31, Latinus Siluius ann. 50, sed inuerso ordine in canonibus Armeniis (174–175 Karst) Latinus Siluius ann. 31, Aeneas Siluius ann. 50. est igitur noster *σιλούιος ἰοῦ* fortasse *Σιλούιος Λατῖνος* uel etiam *Σιλούιος Σιλουίου* potius quam *Σιλούιος Ἰούλιος* ut uolunt Goar et Dindorf. de Iulo Ascanii filio, qui neque Siluius appellabatur neque regnauit, uide Euseb. 1, 138, 7 (ex Diodoro) et [Aur. Vict.] orig. 17, 5 || **18** Alba Siluius ann. 39 apud Euseb. || **21** *Ὕλλου* Scal. *ὕλου* **AB** | *ἡρακλέους* **B** *ἡρακλείους* **A** || **24** *δέξιππος* **B** *ζεύξιππος* **A** | *μετοικησάντων* **B** *μετοικισάντων* **A**

Τότε καὶ ἡ τῶν Μυκηνῶν ἀρχὴ κατελύθη διαρκέσασα χρόνους σ′ κατὰ τινάς, κατὰ δὲ ἄλλους ἥττονας.

Ἀμαζόνες τῇ Ἀσίᾳ ἐπῆλθον ἅμα Κιμμερίοις. αὗται καὶ τὸ ἐν Ἐφέσῳ ἱερὸν προενέπρησαν.

ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ 5

Ἀθηναίων ιε′ ἐβασίλευσε Θυμοίτης ἔτη θ′, Ἀφείδαντος ἀδελφός. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτξε′.

335 *Ἐπὶ τούτου ἡ τῶν Ἐρεχθειδῶν βασιλεία κατελύθη παρὰ Ἀθηναίοις Ἀττικῶν λεγομένη, καὶ μετῆλθεν εἰς ἕτερον γένος. Θυμοίτην γὰρ προσκαλεσαμένου Ξάνθου τοῦ Βοιωτίου καὶ μὴ ὑπακούσαντος τοῦ Θυμοίτου,* 10 *Μέλανθος Ἀνδροπόμπου Πύλιος ἀναδεξάμενος ἐμονομάχησε καὶ νικήσας ἐβασίλευσεν. ἔνθεν Ἀθήνησιν ἡ τῶν Ἀπατουρίων ἑορτὴ ἄγεται διὰ τὸ σὺν ἀπάτῃ γενέσθαι τὴν νίκην.*

Ἀθηναίων ις′ ἐβασίλευσε Μέλανθος Ἀνδροπόμπου Πύλιος ἔτη λζ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δτοδ′. 15

Ἀθηναίων ιζ′ ἐβασίλευσε Κόδρος Μελάνθου ἔτη κα′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυια′.

Ἐπὶ τούτου ἡ τῶν Ἡρακλειδῶν κάθοδος εἰς Πελοπόννησον γέγονεν, Ἴωνές τε εἰς Ἀθήνας κατέφυγον ἐκπεσόντες ἐξ Ἀχαΐας.

Πελοποννήσιοι ἐστράτευσαν ἐπ᾽ Ἀθήνας, οἷς ἑαυτὸν ἐξέδωκε διὰ χρησμὸν Κόδρος Μελάνθου, καὶ οὐκέτι βασιλεῖς, ἄρχοντες δὲ διὰ βίου τοῖς Ἀθηναίοις καθίσταντο. 20

Ἀθηναίων ιη′ ἐβασίλευσε Μέδων Κόδρου ἔτη κ′. οὗτος πρῶτός ἐστι τῶν διὰ βίου λεγομένων ἀρχόντων παρ᾽ Ἀθηναίοις. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυλβ′. 25

336 *Ἀθηναίων ιθ′ ἄρχων β′ Ἄκαστος Μέδοντος ἔτη λε′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυνβ′.*

Ἐπὶ Ἀκάστου Ἰώνων ἀποικία. καὶ Ὅμηρος ἱστορεῖται γεγονὼς παρ᾽ Ἕλλησιν, ὡς τινές, οἱ δὲ ὀλίγῳ πρότερον καὶ ἄλλοι ὕστερον.

8 *τί λέγει περὶ τῆς βασιλείας τῶν Ἐρεχθειδῶν* || **19** *ὅτι οἱ Ἴωνες ἐξ Ἀχαΐας εἰς Ἀθήνας μετέπεσον* || **23** *πῶς ἀπὸ βασιλείας μετεκλήθησαν ἄρχοντες Ἀθηναῖοι* 30

1 cf. Euseb. 2, 54, 7; 66, 11 (interuallum ann. 200), Castor. FGrHist 250 F 3 = Euseb. 1, 84, 26 (ann. 215), Exc. Barb. 39a (ann. 173) || **3** Euseb. 2, 64ᵇ. 67ᵉ || **6–29** Castor FGrHist 250 F 4 = Euseb. 1, 87, 19–31

6 *Θυμοίτης* Di. *θυμίτης* **AB** | *ἔτη θ′*] ann. 8 Euseb. || **9** *θυμοίτην* **B** *θυμίτην* **A** || **10** *Θυμοίτου* Di. *θυμίτου* **AB** || **12. 13** *σὺν ἀπάτῃ* **A** *συναπάτῃ* **B** || **20** *χρησμὸν* Scal. *κόσμου* **AB** || **22** *καθίσταντο* **A** *καθίστατο* **B** || **23** *Μέδων Κόδρου* Di. ex Euseb. *μελόδων κο.* **AB** || **26** *Ἄκαστος Μέδοντος* Di. *ἄκατος μελόδοντος* **AB** | *ἔτη λε′*] ann. 36 Euseb.

ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΙΣ

Λακεδαιμονίων α' ἐβασίλευσεν Εὐρυσθεὺς ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυκγ'.

Εὐρυσθεὺς καὶ Προκλῆς Σπάρτης ἐκράτησαν.

5 *Λακεδαιμονίων β' ἐβασίλευσεν Ἆγις ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυξε'.*

Λακεδαιμονίων γ' ἐβασίλευσεν Ἐχέστρατος ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυξς'.

Λακεδαιμονίων δ' ἐβασίλευσε Λαβώτης ἔτη λζ'. τοῦ δὲ κόσμου ἦν ἔτος 10 *,δφα'.*

Λακεδαιμονίων ε' ἐβασίλευσε Δόρυσθος ἔτη κθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλη'.

ΚΟΡΙΝΘΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἐκ τῶν Διοδώρου περὶ τῆς τῶν Κορινθίων ἀρχῆς

15 *Τούτων ἡμῖν διευκρινημένων λείπεται περὶ τῆς Κορινθίας καὶ Σικυωνίας εἰπεῖν ὃν τρόπον ὑπὸ Δωριέων κατῳκίσθησαν. τὰ γὰρ κατὰ τὴν Πελο-* 337 *πόννησον ἔθνη σχεδὸν πάντα, πλὴν Ἀρκάδων, ἀνάστατα συνέβη γενέσθαι κατὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν.*

Οἱ τοίνυν Ἡρακλεῖδαι κατὰ τὴν διαίρεσιν ἐξαίρετον ποιησάμενοι τὴν 20 *Κορινθίαν καὶ τὴν ταύτης πλησιόχωρον διεπέμψαντο πρὸς τὸν Ἀλήτην, παραδιδόντες αὐτῷ τὴν προειρημένην χώραν. ἐπιφανὴς δὲ ἀνὴρ γενόμενος καὶ τὴν Κόρινθον αὐξήσας ἐβασίλευσεν ἔτη λη'. μετὰ δὲ τὴν τούτου τελευτὴν ὁ πρεσβύτατος ἀεὶ τῶν ἐκγόνων ἐβασίλευσε μέχρι τῆς Κυψέλου τυραννίδος, ἥτις τῆς καθόδου τῶν Ἡρακλειδῶν ὑστερεῖ ἔτεσι υμζ'. καὶ* 25 *πρῶτος μὲν παρ' αὐτοῖς διεδέξατο τὴν βασιλείαν Ἰξίων ἔτη λη', μεθ' ὃν ἦρξεν Ἀγέλας ἔτη λζ', μετὰ δὲ τούτους Πρύμνης ἔτη λε', καὶ Βάκχις ὁμοίως τὸν ἴσον χρόνον γενόμενος ἐπιφανέστατος τῶν πρὸ αὐτοῦ. διὸ καὶ συνέβη τοὺς μετὰ ταῦτα βασιλεύσαντας οὐκέτι Ἡρακλείδας, ἀλλὰ Βακχίδας προσαγορεύεσθαι. μετὰ τοῦτον Ἀγέλας μὲν ἔτη λ', Εὔδημος* 30 *δὲ ἔτη κε', Ἀριστομήδης ε' καὶ λ'.*

19 *τί λέγει περὶ τῶν Ἡρακλειδῶν*

2 Euseb. 1, 105, 19 = Diodor. 7, 8 = Apollodor. FGrHist 244 F 62 || 15 – p. 211, 5 cf. Euseb. 1, 104, 1 – 105, 11 = Diodor. 7, 9 = Apollodor. FGrHist 244 F 331

1 in textu **B**, in margine **A** || 2, 3 et infra *ἦν ἔτος* om. **A** || 8 *,δυξς'* Go. *,δξς'* **AB** || 13–14 inuerso ordine **A** || 20 *ἀλήτην* **B** *ἀλίτην* **A** || 23 *κυψέλου* **B** *κυψέλλου* **A** || 26 *πρύμνης* **B** *προύμνης* **A** | *Βάκχις* Di. *βάκχης* **AB** || 27 *ὁμοίως τὸν ἴσον χρόνον* **B** *ὁμοίως τὸν ἴσον χρόνον ὁμοίως* **A** || 29 *Εὔδημος* Go.[m] *εὔδαμος* **AB**

Οὗτος δὲ τελευτήσας ἀπέλιπεν υἱὸν Τελέστην παῖδα τὴν ἡλικίαν, οὗ τὴν κατὰ γένος βασιλείαν ἀφείλατο θεῖος ὢν καὶ ἐπίτροπος Ἀγήμων, ὃς ἦρξεν ἔτη ις'. μετὰ τοῦτον κατέσχεν Ἀλέξανδρος ἔτη κε'. τοῦτον ἀνελὼν Τελέστης ὁ στερηθεὶς τῆς πατρῴας ἀρχῆς ἦρξεν ἔτη ιβ'. τούτου δ' ὑπὸ τῶν συγγενῶν ἀναιρεθέντος Αὐτομένης μὲν ἦρξεν ἐνιαυτόν, οἱ δ' ἀπὸ 5
338 *Ἡρακλέους Βακχίδαι πλείους ὄντες διακοσίων κατέσχον τὴν ἀρχὴν καὶ κοινῇ μὲν προειστήκεισαν τῆς πόλεως ἅπαντες, ἐξ αὐτῶν δὲ ἕνα κατ' ἐνιαυτὸν ᾑροῦντο πρύτανιν, ὃς τὴν τοῦ βασιλέως εἶχε τάξιν, ἐπὶ ἔτη ϛ' μέχρι τῆς Κυψέλου τυραννίδος, ὑφ' ἧς κατελύθησαν.*

Εἰσὶν οὖν οἵδε βασιλεῖς Κορινθίων 10

Ἀλήτης ἔτη λη'.
Ἰξίων ἔτη λη'. οϛ'.
Ἀγέλας ἔτη λζ'. ριγ'.
Πρύμνης ἔτη λέ. ρμη'.
Βάκχις ἔτη λε'. ρπγ'. 15
Ἀγέλας ἔτη λ'. σιγ'.
Εὔδημος ἔτη κε'. σλη'.
Ἀριστομήδης ἔτη λε'. σογ'.
Ἀγήμων ἔτη ις'. σπθ'.
Ἀλέξανδρος ἔτη κε'. τιδ'. 20
Τελέστης ἔτη ιβ'. ὁμοῦ τκϛ'.
Αὐτομένης ἔτος α'. τκζ'.
339 *μεθ' οὓς ἐνιαύσιοι πρυτάνεις ἔτη ϛ'.*
ὁμοῦ υιζ'.

Κορινθίων α' ἐβασίλευσεν Ἀλήτης ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυκγ'. 25
Κορινθίων β' ἐβασίλευσεν Ἰξίων ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυξα'.
Κορινθίων γ' ἐβασίλευσεν Ἀγέλας ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δυϙθ'.

9 *πῶς κατελύθησαν Ἡρακλεῖδαι* || **25** *δισσολογία περὶ τῶν αὐτῶν* 30

1 *ἀπέλιπεν* **A** *ἀπέλειπεν* **B** || **7** *προειστήκεισαν* **A** *προειστήκησαν* **B** || **9** *Κυψέλου* Di. *σκυψέλου* **B** *κυψέλλου* **A** || **15** *Βάκχις ἔτη λε'· ρπγ'* hoc loco Go.m, ante *Ἀλήτης* **A**, in margine **B**, sed post *Πρύμνης* ponendum | *Βάκχις* Di. *βάκχης* **AB** | *ρπγ'* **B** *ρπε'* **A** || **16** *Ἀγέλας* Di. *ἀγελάστης* **AB** || **19** *Ἀγήμων* supra *ἀγέμνων* hoc loco **AB** || **21** *ὁμοῦ* om. **A** || **22** *τκζ'* om. **A** || **25–28** *λη' . . . λη' . . . λε'*] *λη' . . . λη' . . . λζ'* supra *38 . . . 38 . . . 37* Euseb. 1, 104 *37 . . . 37 . . . 37* Euseb. 1, 104–105 *35 . . . 37 . . . 37* Euseb. 2 || **30** lemma alterum in margine **B**, in textu **A**

Κορινθίων δ' ἐβασίλευσε Πρύμνης ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλδ'.

Κορινθίων ε' ἐβασίλευσε Βάκχις ἔτη λε'. ἀφ' οὗ οἱ μετὰ αὐτὸν βασιλεῖς ἐκλήθησαν Βακχίδαι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξθ'.

5 *Κορινθίων ς' ἐβασίλευσεν Ἀγέλας ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχδ'.*

ΣΠΟΡΑΔΗΝ

Πελασγοὶ β' ἐθαλασσοκράτησαν ἔτη πε'.

Νειλεὺς Πελοποννησίων καὶ Ἀθηναίων ἡγούμενος εἰς Ἀσίαν ἐλθὼν τὰς Ἰωνίας ᾤκισε πόλεις ἐκβαλὼν τοὺς Κᾶρας.

10 *Ὅμηρον τὸν παρ' Ἕλλησι μέγαν ποιητὴν οἱ μὲν πρὸ τῆς Ἡρακλειδῶν καθόδου φασὶ γεγονέναι περικρατήσαντα, οἱ δὲ περὶ Ἐρατοσθένην μετὰ* 340 *ἔτη ρ' τῶν Τρωικῶν, οἱ δὲ περὶ Ἀρίσταρχον κατὰ τὴν Ἰωνικὴν ἀποικίαν μετὰ ἔτη ρ', οἱ δὲ περὶ Φιλόχορον ἐπὶ τῆς Ἰωνικῆς ἀποικίας, καθ' ἕνα τῶν διὰ βίου ἀρχόντων Ἀθήνησιν Ἄρχιππον μετὰ τὰ Τρωικὰ ἔτεσιν ρπ'.* 15 *οἱ δὲ περὶ Ἀπολλόδωρον τὸν Ἀθηναῖον ὕστερον τῶν Ἰλιακῶν ἔτη σμ'. ἄλλοι μικρὸν πρὸ τῶν ὀλυμπιάδων ἔτεσι υ' ἐγγὺς μετὰ Ἰλίου ἅλωσιν, καὶ ἕτεροι κατὰ Ἀρχίλοχον περὶ τὴν κγ' ὀλυμπιάδα μετὰ ἔτη φ' που τῆς ἁλώσεως Τροίας· καὶ ἁπλῶς εἰπεῖν ὁ περὶ αὐτοῦ χρόνος πάντη τοῖς παλαιοῖς ἀσύμφωνος.*

20 ΣΠΟΡΑΔΗΝ

Μυρίνα ἡ παρά τισι Σμύρνα λεγομένη ἐκτίσθη ἐν Ἀσίᾳ. Ἔφεσος ἐκτίσθη ἐν Ἀσίᾳ ὑπὸ Ἀνδρονίκου. Κύμη ἐκτίσθη ἐν Ἰταλίᾳ.

Καρχηδὼν ἐπεκτίσθη ὑπὸ Καρχηδόνος τοῦ Τυρίου, ὡς δ' ἄλλοι ὑπὸ Διδοῦς τῆς ἐκείνου θυγατρὸς μετὰ τὰ Τρωικὰ ἔτεσιν ρλγ'. ἐκαλεῖτο δὲ πρὸ 25 *τούτου Ὀριγώ.*

Τρίτοι ἐθαλασσοκράτησαν Θρᾷκες ἔτη οθ'.

21 *ὅτι ἡ Σμύρνα Μυρίνα ἐκαλεῖτο* | *πότε Ἔφεσος ἐκτίσθη* || **23** *Καρχηδὼν ἡ Ὀριγώ*

7 Euseb. 1, 106, 32 (Diodorus); 2, 68[c] || **8** cf. Ecl. Hist. 228, 32–34; ex Dexippo suspicatur Gelzer 1, 185 || **10–19** cf. Euseb. 2, 66[a], Praep. Euang. 10, 11, 4, Clem. Alex. Strom. 1, 117, 1, Tatian. ad Graec. 31, Eratosth. FGrHist 241 F 9, Apollodor. FGrHist 244 F 63 || **21** Euseb. 2, 69[b,c,d] || **23** Euseb. 2, 69[e] || **25** om. Euseb., cf. Ecl. Hist. 228, 31 || **26** Euseb. 1, 106, 33 (e Diodoro); 2, 71[d]

3 *Βάκχις* Di. *βάκχης* **AB** | *αὐτὸν* **B** *τὸν* **A** || **5** *'δχδ'* Gelzer 2, 223 *͵δχα'* **AB** || **6** in margine litteris maiusculis **B** om. **A** || **9** *ᾤκισε* Scal. *ᾤκησεν* **AB** || **13** *ἐπὶ* Scal. *τὸν* **AB** || **20** *σποράδην* hoc loco in textu **B** om. **A** || **27–28** *πότε ... Ὀριγώ* om. **A**[m]

Θρᾷκες ἀπὸ Στρυμῶνος διαβάντες κατέσχον τὴν νῦν Βιθυνίαν, τότε δὲ Βεβρυκίαν καλουμένην.

Θρᾷκες ἐθαλασσοκράτουν.

341 *Τέταρτοι ἐθαλασσοκράτησαν Ῥόδιοι, κατὰ δέ τινας πέμπτοι, ἔτη κγ΄.*

Κατὰ δέ τινας Ὅμηρος ἤκμαζε. 5

Φρύγες πέμπτοι ἐθαλασσοκράτησαν ἔτη κε΄, κατὰ δέ τινας ς΄.

ΚΟΣΜΟΥ ΕΤΗ

Σολομὼν υἱὸς Δαβὶδ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυο΄.

Αὐτὸς τὸν ἐν Ἱερουσαλὴμ πρῶτον ναὸν ᾠκοδόμησε τῷ β΄ ἔτει τῆς βασι- 10 *λείας αὐτοῦ, ἔνθα ὁ Δαβὶδ ὁ πατὴρ αὐτοῦ τὴν Σιὼν ἐπήξατο, σὺν αὐτῷ καὶ βασιλικοὺς οἴκους ἐκπρεπῶς δειμάμενος· πάντας τε τοὺς πλησιοχώρους βασιλεῖς δωροφόρους ἐκτήσατο.*

Οὗτος ἐν σοφίᾳ θείᾳ καὶ ἀνθρωπίνῃ πλούτῳ τε καὶ δόξῃ πάντας τοὺς πρὸ αὐτοῦ ὑπερῆρε, μέγας καὶ θεοφιλὴς ἐν νεότητι φανεὶς ἕως τοῦ παρατρα- 15 *πῆναι εἰς γυναικομανίαν. οὗ τὴν σοφίαν βασίλισσα νότου πόρρωθεν ἦλθεν ἀκοῦσαι, καὶ πολλοῖς προβλήμασι καὶ αἰνίγμασι τοῦτον πειράσασα πάντων ηὗρεν ἀνώτερον· ὅθεν καὶ τὴν νομικὴν πολιτείαν ἐξ αὐτοῦ μαθοῦσα τὸν ὑπ᾽ αὐτῇ συνετῶς ἐξεπαίδευσε λαόν.*

342 *Ἐπ᾽ αὐτοῦ προεφήτευον Νάθαν καὶ Ἀχιὰς ὁ Σιλωνίτης Σαμμαίας τε* 20 *καὶ Ἀδδὼ καὶ Σαδώκ.*

1 *ὅπως ἐκαλεῖτο ἡ Βιθυνία ἤτοι Βεβρυκία* || 8 *ὅτι ιβ΄ ἐτῶν ἐβασίλευσε ὁ Σολομῶν καὶ ἀπέθανε ἐτῶν νβ΄· ὅτι μ΄ ἔτη ἐβασίλευσε Σολομῶν* || 20 *τίνες προεφήτευον ἐπὶ Σολομῶνος τοῦ βασιλέως*

1 Euseb. 2, 73[c] || 3 Euseb. 2, 74[a] || 4 Euseb. 1, 106, 34 (ex Diodoro); 2, 77[a] (quarto); cf. Iohann. Ant. fr. 30 || 5 cf. Hieronym. (Euseb. 2, 77[c]) ex 'Latina Historia' || 6 Euseb. 1, 107, 1 (Diodor.); 2, 79[b] || 8 3 Reg. 11, 42; cf. ps. Sym. f. 48[r] = Cedr. 161, 9 || 10–12 cf. ps. Sym. f. 48[r] = Cedr. 161, 13 || 10 iuxta 3 Reg. 6, 4–5 Solomon templum aedificare coepit anno quarto regni sui, quam sententiam etiam Eusebius affirmat (1, 50, 34; 2, 70, 1). Syncellus (uel auctor eius) fortasse Eupolemum sequitur (FGrHist 723 F 2 = Euseb. Praep. Euang. 9, 30, 8; 34, 2), qui Solomonem regnauisse dixit ab anno aetatis duodecimo et aedificationem coepisse in anno tertio decimo || 11 3 Reg. 7, 1 || 12–15 3 Reg. 4, 17–27 || 16 3 Reg. 11, 1 || 17 3 Reg. 10, 13 || 20 cf. Euseb. 2, 71[a] (om. Nathan), Anon. Matr. 20, 1–2 (habet Nathan)

8 *σολομὼν* **B** *σαλομὼν* **A** || 10 *β΄* ps. Sym. *ιβ΄* **AB** || 12 *ἐκπρεπῶς* **B** *εὐπρεπῶς* **A** || 13 *δωροφόρους* **B** *δωρυφόρους* **A** *δορυφόρους* Di., quam lectionem ad **A** perperam attribuit. cf. 3 Reg. 5, 1 in uersione Hebraica et similiter 4, 19 LXX[A] (*προσεγγίζοντες δῶρα*) quae desunt apud LXX[v] | *ἐκτήσατο* **A** *ἐκτίσατο* **B** || 18 *ηὗρεν* **B** *εὗρεν* **A** || 22 *σολομὼν* **A**[m]**B**[m] || 23 *σολομὼν* **A**[m] *σαλομὼν* **B**[m] || 24 *σολομῶνος* **B**[m] *σολομῶντος* **A**[m] | *τοῦ βασιλέως* om. **B**[m]

Σολομὼν τὸν ἐν Ἱερουσαλὴμ ναὸν ἀρξάμενος κτίζειν ἀπὸ δευτέρου ἔτους τῆς βασιλείας αὐτοῦ, ὅπερ ἦν ιδ' τῆς ζωῆς αὐτοῦ, ἐν ζ' ἔτεσιν ἐτελείωσεν ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ, κ' δὲ ἔτει τῆς ζωῆς αὐτοῦ. εἰσὶν οὖν ἀπὸ Ἀδὰμ ἕως η' ἔτους αὐτοῦ ἔτη ͵δυοη', κατὰ δὲ τὸν Ἀφρικανὸν
5 *͵δυνζ', κατὰ δὲ Εὐσέβιον ͵δρο'.*

Ἐκ δὲ τῶν θείων γραφῶν ἔξεστι καταμαθεῖν τῷ βουλομένῳ τὴν τοῦ ἡμετέρου λόγου ἀκρίβειαν.

Ἑβραίων ἀρχιερεὺς η' ἀπὸ Ἀαρὼν Σαδὼκ ἐγνωρίζετο κατὰ τὸν Εὐσέβιον, κατὰ δὲ τὸν ἀκριβῆ λόγον ια' ἐστὶν ὁ Σαδὼκ ἀπὸ Ἀαρὼν οὕτως· α' Ἀαρών,
10 *β' Ἐλεάζαρ, γ' Φινεές, δ' Ἀβιούδ, ε' Βοχεί, ς' Ὀζεί, ζ' Ἡλεί, η' Ἀχιτώβ, θ' Σαμουήλ, ι' Ἀβιάθαρ, ια' Σαδώκ.*

Ὁ Τυρίων βασιλεὺς ἀπέστειλε Σολομῶνι πρὸς βοήθειαν τῆς οἰκοδομῆς τοῦ ναοῦ μυριάδας ἀνδρῶν η'.

Σιράμου τοῦ Τυρίων βασιλέως θυγατέρα ἔγημε ὁ Σολομών, ὡς Τατια-
15 *νὸς ἱστορεῖ.*

Ἰωσήππου ἐκ τῆς Φοινίκων μαρτυρίας περὶ τῆς Τυρίων βασιλείας καὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ **343**

Ἔστι τοίνυν παρὰ Τυρίοις ἀπὸ παμπόλλων ἐτῶν γράμματα δημοσίᾳ γραφέντα καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, ἐν οἷς γέγραπται ὅτι ὁ ἐν
20 *Ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ Σολομῶνος τοῦ βασιλέως ἔτεσι θᾶττον ρμγ' καὶ μησὶν η' τοῦ κτίσαι Τυρίους Καρχηδόνα. ἀνεγράφη δὲ παρ' ἐκείνοις οὐκ ἀλόγως ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν. Σίρωμος γὰρ ὁ τῶν Τυρίων βασιλεὺς φίλος ἦν τοῦ βασιλέως ἡμῶν Σολομῶνος, πατρικὴν φιλίαν πρὸς αὐτὸν διαδεξάμενος. οὗτος οὖν συμφιλοτιμούμενος εἰς*
25 *τὴν τοῦ κατασκευάσματος τῷ Σολομῶνι λαμπρότητα χρυσίου μὲν κ' καὶ ρ' ἔδωκε τάλαντα, τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται Λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτῷ ὁ Σολομὼν*

1 *πότε ἤρξατο Σολομῶν κτίζειν τὸν ναὸν καὶ πότε ἐτελείωσεν· β' ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο καὶ ἐτελείωσεν κ' ἔτει τῆς ζωῆς αὐτοῦ καὶ η' τῆς βασιλείας* ||
30 11 *ια' ἱερεὺς Σαδώκ*

1 cf. ps. Sym. f. 24r (Gelzer 2, 290, om. Cedr.) || 4 Africanus fr. 31, Euseb. 2, 70a || 8 Euseb. 2, 70b; cf. Niceph. 108, 15, 1 Paralip. 6, 4 || 12 3 Reg. 5, 15 || 14 Tatian. ad Graec. 37; cf. 3 Reg. 11, 1–6, Clem. Alex. Strom. 1, 114, 2 = Menander Ephes. FGrHist 783 F 2 || 16 – p. 215, 10 Ioseph. c. Ap. 1, 107–126; cf. Ant. Iud. 8, 144–149, Euseb. 1, 54, 1–56, 13 = Ecl. Hist. 184–187

2–3 *ὅπερ . . . βασιλείας αὐτοῦ* om. **A** || 10 *ἠλεί* **A** *ἠλί* **B** || 14 *σιράμου* **AB** *Χειράμου* Tatian. *Εἰράμου* Clem. | *ὁ* om. **B** || 19 *ὁ* om. **A** || 22 *ἐκείνοις* Ioseph. *ἐκείνου* **AB** | *σίρωμος* **AB** *Εἴρωμος* Ioseph. || 25–26 *μὲν κ' καὶ ρ'* **A** *μὲν καὶ ρ'* **B** || 28 *β' ἔτει*] *β' δὲ ἔτη* **A**m *β' ἔτη* **B**m || 29 *κ' ἔτει* **A**m *κ' ἔτη* **B**m

ἄλλοις τε πολλοῖς καὶ διττὰ καὶ χώραν τῆς Γαλιλαίας ἐν τῇ Χαβόλῳ λεγομένῃ. μάλιστα δ' αὐτοὺς εἰς φιλίαν ἡ τῆς σοφίας συνήγαγεν ἐπιθυμία. προβλήματα γὰρ ἀλλήλοις ἀντέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ Σολομὼν καὶ τὰ ἄλλα σοφώτερος.

Σῴζονται δὲ μέχρι δεῦρο παρὰ τοῖς Τυρίοις πολλαὶ τῶν ἐπιστολῶν, ἃς 5 *ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραφον. ὅτι δὲ οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμε-* **344** *νος ὁ περὶ τῶν παρὰ τοῖς Τυρίοις γραμμάτων, παραθήσομαι μάρτυρα δεξιὸν ἄνδρα περὶ τὴν Φοινικικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον Δίωνα.*

Οὗτος τοίνυν ἐν ταῖς περὶ Φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον. 10 *Ἀβιβάλου τελευτήσαντος υἱὸς αὐτοῦ Σίρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε καὶ μεῖζον τὸ ἄστυ ἐποίησε καὶ τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν ἴσῳ χώσας τὸν μεταξὺ τόπον συνῆψε τῇ πόλει καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν. ἀναβὰς δὲ εἰς τὸν Λίβανον ὑλοτόμησε πρὸς τὴν τῶν ἱερῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα* 15 *Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Σίρωμον αἰνίγματα καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν· τὸν δὲ μὴ δυνηθέντα διακρῖναι τῷ λύσαντι χρήματα ἀποτείνειν. ὁμολογήσαντα δὲ τὸν Σίρωμον καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δι' Ἀβδάμονόν τινα Τύριον ἄνδρα τά τε προτεθέντα λῦσαι καὶ αὐτὸν ἄλλα προβαλεῖν,* 20 *ἃ μὴ λύσαντα τὸν Σολομῶνα πολλὰ τῷ Σιρώμῳ προσαποτῖσαι χρήματα.*

Δίων μὲν οὕτως περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν. ἀλλὰ πρὸς τοῦτο παραθήσομεν καὶ Μένανδρον τὸν Ἐφέσιον. γέγραφε δ' οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις τὰς παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ὅς φησι περὶ Σιρώμου· τελευτήσαντος δὲ Ἀβιβάλου διεδέξατο 25 **345** *τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Σίρωμος, ὃς βιώσας ἔτη νγ' ἐβασίλευσεν λδ'. οὗτος ἔχωσε τὸν εὐρύχωρον, τόν τε χρυσοῦν κίονα ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν, ἐπί τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ Λιβάνου ὄρους κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας. εἶτα ἐπὶ τούτου ἦν Ἀβδήμουνος παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ προβλήματα ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων* 30 *βασιλεύς. ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι Καρχηδόνος κτίσεως οὕτως.*

9 *Δίων γράφει Σίρωμος βασιλεὺς Τυρίων* || **19** *ὅτι Ἀβδάμονος λύει τὰ προβλήματα Σολομῶνος*

1 *διττὰ καὶ* **AB** *δῆτα καὶ* Ecl. Hist. *γῇ κατὰ* Ioseph. || **3** *κρείττων* Ioseph. *κρεῖττον* **A** *κρείττω* **B** || **9** et **22** *Δίωνα, Δίων*] *Δῖον, Δῖος* Ioseph. cf. FGrHist 785 F 1 = Menandr. Ephes. 783 F 1 || **13** *ἐν ἴσῳ*] *ἐν νήσῳ* Ioseph. || **15** *ὑλοτόμησε* **A** *ὑλοτομῆσαι* **B** || **18** *ἀποτείνειν* **AB** *ἀποτίνειν* Ioseph. || **21** *τὸν* **B** *τὸν τὸν* **A** || **25** *ὅς* Go.[m] *ὥς* **AB** || **30** *τὰ* om. **B** || **31** *δὲ* **A** *γὰρ* **B** || **33** *σίρωμος* **B**[m] *σείρηνος* **A**[m] | *βασιλεὺς τυρίων* **B**[m] *βασιλευτήριον* **A**[m] || **34** *σολομῶνος* **B**[m] *τοῦ σολομῶντος* **A**[m]

Σίρωμος ἔτη λδ'. Βααλβάζερος υἱὸς ἔτη ιζ'. Ἀβδάσταρτος υἱὸς ἐβασίλευσεν ἔτη θ'. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ τρεῖς παῖδες ἀνεῖλον· καὶ ἐβασίλευσεν ὁ πρεσβύτερος αὐτῶν· μεθ' ὃν Ἄσταρτος Ἐλεαστάρτου ιβ'. μεθ' ὃν Ἀσθάρυμος ἀδελφὸς αὐτοῦ ἔτη θ'. ὃν ἀδελφὸς Φέλλης ἀνελὼν μῆ-
5 νας η' ἐβασίλευσε. τοῦτον Εἰθόβαλος ὁ τῆς Ἀστάρτης βασιλεὺς κτείνας ἐβασίλευσεν ἔτη λβ'. μεθ' ὃν Βαλέζερος υἱὸς ἔτη η'. τούτου Μέτηνος υἱὸς ἔτη κε'. μεθ' ὃν Μυγδαλίων Φυσμανοῦν ἔτη μζ'. τούτου ἔτει ζ' ἡ ἀδελφὴ αὐτοῦ Καρθάγενα φυγοῦσα ἐν Λιβύῃ πόλιν ἔκτισε Καρθάγεναν τὴν καὶ Καρχηδόνα. ἔτει ιβ' τῆς Σιρώμου βασιλείας ὁ ἐν Ἱεροσολύμοις ναὸς ᾠκοδο-
10 μήθη. γίνονται ἔτη ἀπὸ τούτου ἕως Καρχηδόνος οἰκοδομῆς ρμγ', μῆνες η'.

Σολομὼν ἐλάτρευσε τῇ Ἀστάρτῃ, καταλείψας τὸν θεὸν καὶ τῷ Χαμὼς 346 βδελύγματι Μωαβιτῶν καὶ τῷ Μολὼχ Ἀμανιτῶν, γυναιξὶν ἐθνικαῖς ἀπατηθείς. εἶχε γὰρ ἑπτακοσίας γαμετὰς Ἰσραηλίτιδάς τε καὶ ἐθνικάς, τριακοσίας δὲ παλλακάς. πάσας δὲ τὰς ἐθνικὰς παρὰ τὴν θείαν ἐντολὴν ἠγά-
15 γετο. ἕνα δὲ μόνον ἔσχεν ἄρσενα, καὶ τοῦτον ἐξ ἀλλοφύλου Νaάμας τῆς Ἀμανίτιδος ἀνάξιον τῆς ἀρχῆς.

Ἀχίας ὁ Σιλωνίτης προεφήτευσε τῷ Ἱεροβωὰμ ὅτι βασιλεύσει τῶν ι' φυλῶν, ὅπερ ἀκούσας Σολομὼν ἐζήτει ἀνελεῖν τὸν Ἱεροβωάμ. ὁ δὲ προσφυγὼν τῷ Σουσακεὶμ βασιλεῖ Αἰγύπτου γαμβρὸς αὐτοῦ γίνεται ἐπὶ θυ-
20 γατρί, καὶ μετὰ θάνατον Σολομῶντος κρατεῖ τῶν αὐτῶν ι' φυλῶν.

Τῷ ͵δφζ' ἔτει τοῦ κόσμου Σολομὼν ἐτελεύτησε, καὶ ἐσχίσθη ἡ βασιλεία τῶν υἱῶν Ἰσραὴλ εἰς δύο κατὰ τὴν θείαν ἀπόφασιν τὴν ἐξενεχθεῖσαν κατὰ Σολομῶντος καὶ τοῦ υἱοῦ αὐτοῦ πρὸς Ἱεροβωὰμ δι' Ἀχία τοῦ Σιλωνίτου. καὶ ἐβασίλευσε Ῥοβωὰμ υἱὸς αὐτοῦ ἐν Ἱερουσαλὴμ τῶν δύο φυλῶν, τοῦ
25 τε Ἰούδα καὶ τοῦ Βενιαμίν· αἱ δὲ ἄλλαι ι' φυλαὶ τοῦ Ἰσραὴλ ἐβασίλευσαν ἑαυταῖς ἐν Σαμαρείᾳ τὸν Ἱεροβωὰμ δοῦλον Σολομῶντος, καὶ ἔμειναν οὕτω διῃρημέναι αἱ δύο βασιλεῖαι ἕως τῆς εἰς Χαλδαίους αἰχμαλωσίας.

7 ὅτι Μυγδαλίωνος ἀδελφὴ Καρθάγεναν ἔκτισεν || 11 πόσας γυναῖκας εἶχε Σολομῶν καὶ πόσας παλλακάς || 19 δοῦλος τοῦ Σολομῶντος ὃς ἐβασίλευσεν τῶν ι' φυλῶν ||
30 24 ὅτι Ροβωὰμ ὁ υἱὸς Σολομῶντος ἐβασίλευσε τῶν β' φυλῶν Ἰούδα καὶ Βενιαμίν· διῃρέθησαν αἱ φυλαὶ ἕως τῆς τῶν Χαλδαίων αἰχμαλωσίας

11–16, 21–27 cf. Iohann. Anag. f. 115v || 11 3 Reg. 11, 1–7; 14, 21 || 17 3 Reg. 11, 29–40 || 21 cf. Euseb. 2, 72a, Chron. Pasch. 170, 16

3 μεθ' ὃν ἄσταρτος ἐλεαστάρτου **AB** Μεθουσάσταρος ὁ Λεαστράτου Ioseph. || 4 ἀδελφὸς Ioseph. ἀδελφοῦ **AB** || 5 εἰθόβαλος **B** εἰθόβαλλος **A** | ἀστάρτης **B** ἀστάρτου **A** | βασιλεὺς] ἱερεὺς Ioseph. || 6 μέτηνος **B** μέτινος **A** || 7 Μυγδαλίων] Πυγμαλίων Ioseph. | ἔτει Ioseph. ἔτη **AB** || 8 καρθάγεναν **B** καρθάγενα **A** || 9 ἔτει **B** ἔτη **A** || 17 et infra ἱεροβωὰμ **B** ἱεροβοάμ **A** | ι' **BA**m ιβ' **A** || 21 ͵δφζ' **AB** ex altiori tempore Dauidis ͵δφιβ' Iohann. Anag. || 24 ῥοβωὰμ **B** ῥοβοὰμ **A**m ἱεροβωὰμ **A** || 29 παλλακάς **A**m παλλακίδας **B**m | δοῦλος **A**m δούλῳ **B**m || 30 σολομῶντος **A**m σαλομῶντος **B**m

347 ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων οβʹ ἐβασίλευσεν Ὀσόρθων ἔτη ιεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχξʹ.

Αἰγυπτίων ογʹ ἐβασίλευσε Τακαλώφις ἔτη ιγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχοεʹ. 5

Αἰγυπτίων οδʹ ἐβασίλευσε Βόκχωρις ἔτη μδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχπηʹ.

Βόκχωρις Αἰγυπτίοις ἐνομοθέτει, ἐφ' οὗ λόγος ἀρνίον φθέγξασθαι.

Αἰγυπτίων οεʹ ἐβασίλευσε Σαβάκων Αἰθίοψ ἔτη ιβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλβʹ. 10

Οὗτος τὸν Βόκχωριν αἰχμάλωτον λαβὼν ζῶντα ἔκαυσεν.

Αἰγυπτίων οςʹ ἐβασίλευσε Σεβήχων ἔτη ιβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμδʹ.

ΛΑΤΙΝΩΝ ΒΑΣΙΛΕΙΣ

Λατίνων ζʹ ἐβασίλευσεν Ἀγχίσης Σιλουίου ἔτη ιʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφκʹ. 15

Λατίνων ηʹ ἐβασίλευσεν Αἰγύπτιος Σιλούιος ἔτη κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλʹ.

Λατίνων θʹ ἐβασίλευσε Κάππυς Σιλούιος ἔτη λδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφνʹ. 20

Λατίνων ιʹ ἐβασίλευσε Τιβέριος ἔτη μηʹ, ἀφ' οὗ καὶ ὁ ποταμὸς Τίβερος

8 *ἐπὶ τούτου ἀρνίον ἐφθέγξατο* || 21 *ὅτι Τίβερος ποταμὸς Ἀλβᾶς ἐκαλεῖτο*

2–12 ps. Manetho (Sothis) FGrHist 609 F 28 || 8 cf. Euseb. 1, 68, 24; 2, 86[f] || 11 cf. Euseb. 1, 69, 23; 2, 90[e] || 15 non extat Anchises apud Diodor. = Euseb. 1, 139. deriuatur fortasse ex redactione Eusebii canonum (ex Anniano?) de qua nostrae uersiones Armeniae et Syriacae defluxerunt. etenim Samuel Aniensis (6, 18) Anchisem habet in loco Carpenti et Elias Nisibenus (19, 27) in loco Capytis. desunt omnes tres ex canonibus Armeniis exstantibus per folium deperditum. Syncellus praeter Anchisem et Carmentum et Capytem habet, sed Agrippam ut uidetur omittit || 17–p. 217, 4 cf. Euseb. 1, 139, 29–34 (ex Diodoro); 2, 72–79 passim (*Aegyptus Siluius ann. 24, Capys Siluius ann. 28, Carpentus Siluius ann. 13,* quem Syncellus exhibet infra 226, 6, *Tiberinus Siluius ann. 8, Agrippa Siluius ann. 40, Aremulus Siluius ann. 19*) || 21 Euseb. 2, 76[b]

4 *τακαλώφις* **B** *τακελώφης* **A** || 6 *Βόκχωρις* Go. *βόκχαρις* **A** *βόκχορης* **B** || 8 *βόκχωρις* **A** *βόκχωρης* **B** | *φθέγξασθαι* **B** *ἐφθέγξατο* **A** || 9 *αἰθίοψ ἔτη ιβʹ* **A** *ἔτη ιβʹ αἰθίωψ* **B** || 13 *͵δψμδʹ* Go.[m] *͵δψνςʹ* **AB** || 14 et infra *λατίνων* **A** *λατείνων* **B** || 17 *κʹ* **A** *λδʹ* **B** || 18 *͵δφλʹ* Go.[m] *͵δφληʹ* **AB** || 19 *κάππυς* **B** *κάσπος* **A** || 21 *μηʹ* Di. *νʹ* **A** *ηʹ* **B** | *καὶ ὁ* om. **A** || 21–p. 217, 1 *ἀφ' . . . καλούμενος* hoc loco **B**, post *͵δφπδʹ* **A** || 22 lemma (21) om. **A**[m]

προσηγορεύθη ὁ πρὶν Ἀλβὰς καλούμενος. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφπδ'. 348

Λατίνων ια' ἐβασίλευσεν Ἀρέμουλος Σιλούιος ἔτη ιθ'. οὗτος ἐκεραυνώθη διὰ πολλὴν ἀσέβειαν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχλβ'.

5 ## ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀθηναίων κ' ἐβασίλευσεν Ἄρχιππος Ἀκάστου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δυπζ'.

Ἀθηναίων κα' ἐβασίλευσε Θέρσιππος Ἀρχίππου ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφς'.

10 *Ἀθηναίων κβ' ἐβασίλευσε Φόρβας Θερσίππου ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφμς'.*

Ἀθηναίων κγ' ἐβασίλευσε Μεγακλῆς Φόρβαντος ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφος'.

Ἀθηναίων κδ' ἐβασίλευσε Διόγνητος Μεγακλέους ἔτη κη'. τοῦ δὲ κό- 15 *σμου ἦν ἔτος ͵δχδ'.*

Ἀθηναίων κε' ἐβασίλευσε Φερεκλῆς Διογνήτου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχλβ'.

Ἀθηναίων κς' ἐβασίλευσεν Ἀρίφρων Φερεκλέους ἔτη κ', κατὰ δὲ Ἀφρικανὸν ἔτη λα'. κατὰ τοῦτον τὸν Ἀρίφρονα ἡ τῶν Ἀσσυρίων κατελύθη 20 *ἀρχή, ὡς πάντες συμφωνοῦσι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχνα'.*

ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΒΑΣΙΛΕΙΣ 349

Λακεδαιμονίων ς' ἐβασίλευσεν Ἀγησίλαος ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφξζ'.

Λακεδαιμονίων ζ' ἐβασίλευσεν Ἀρχέλαος ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν 25 *ἔτος ͵δχια'.*

19 *ἐπὶ τούτου κατελύθη ἡ ἀρχὴ τῶν Ἀσσυρίων*

6–18 Castor FGrHist 250 F 4 = Euseb. 1, 87, 32 || 18 Africani fragmentum om. Routh, uide Gelzer 1, 152 || 19 Castor Euseb. 1, 88, 7; 2, 81[c] || 21 Diodorus 7, 8 = Euseb. 1, 106, 13–25 = Apollodorus FGrHist 244 F 62

6 *Ἀκάστου* Di. *ἀκάτου* **AB** || 7 et infra *ἦν ἔτος* om. **A** | *͵δυπζ'* **B** *͵δυπθ'* **A** || 8 *ἔτη μ'*] ann. 44 Euseb. || 12 *ἔτη κη'*] ann. 30 Euseb. || 13 *͵δφος'* Go.[m] *͵δφο'* **AB** || 14 *διόγνητος* **B** *διόγνηστος* **A** || 19 *τὸν* om. **B** || 20 *πάντες συμφωνοῦσι* **B** *πάντα συμφωνῶσι* **A** || 21 titulus in margine **A** || 22 *μδ'* **AB** *μα'* Go. Di. ex anno mundi infra, sed anni singulorum regum et Lacedaemoniorum et infra Corinthiorum recti sunt ut uidetur ex Eusebio, anni mundi igitur deprauati. recte extendunt ambo fila annos 325 (Euseb. 1, 106, 18) ex anno mundi 4423 (ita supra) ad annum 4748. ita igitur infra emendaui || 25 *͵δχια'*] *͵δχη'* **AB** || 26 lemma om. **A**[m]

Λακεδαιμονίων η' ἐβασίλευσε Τήλεκλος ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχοα'.

Λακεδαιμονίων θ' ἐβασίλευσεν Ἀλκαμένης ἔτη λζ'. οὗτος τελευταῖός ἐστι τῆς πρώτης οἰκίας. τῆς δὲ δευτέρας οἰκίας κατὰ τοὺς αὐτοὺς χρόνους ἐβασίλευσαν ἓξ βασιλεῖς. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψια'. 5

Ἀπολλόδωρος Λυκούργου νόμιμα ἐν τῷ η' Ἀλκαμένους. ἐν Λακεδαιμονίᾳ πρῶτος ἔφορος κατεστάθη.

ΚΟΡΙΝΘΙΩΝ ΒΑΣΙΛΕΙΣ

Κορινθίων ζ' ἐβασίλευσεν Εὔδημος ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχλδ'.

Κορινθίων η' ἐβασίλευσεν Ἀριστομήδης ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνθ'. 10

Κορινθίων θ' ἐβασίλευσεν Ἀγήμων ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχϛδ'.

Κορινθίων ι' ἐβασίλευσεν Ἀλέξανδρος ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψι'.

350 *Κορινθίων ια' ἐβασίλευσε Τελέστης ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψλε'.* 15

Κορινθίων ιβ' ἐβασίλευσεν Αὐτομένης ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψμζ'.

Οἱ Λακεδαιμονίων βασιλεῖς καὶ οἱ Κορινθίων ἕως τοῦδε τοῦ χρόνου διήρκεσαν ἔτεσι τν', μεθ' οὓς ἐνιαύσιοι πρυτάνεις, ὡς μὲν τινές, ἐπὶ Αἰσχύλου ἄρχοντος καὶ τῆς πρώτης ὀλυμπιάδος, ὡς δὲ ἕτεροι, μετὰ ταῦτα, ὡς πρόκειται. 20

ΚΟΣΜΟΥ ΕΤΗ

Βασιλέων Ἰούδα καὶ Βενιαμὶν ἔτη

Ὧν πρῶτος ἐβασίλευσε Ῥοβωὰμ υἱὸς Σολομῶντος ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφι'. 25

6 Euseb. 2, 84[f] = Apollodorus FGrHist 244 F 65 | Euseb. 2, 87[k] = Apollodorus F 335 || 9–17 Diodorus 7, 9 = Euseb. 1, 105, 5–10 = Apollodorus F 331 || 19–21 Euseb. 2, 181 uers. Arm., cf. 84, 21; 86, 2 uers. Hieron. || 21 Euseb. 1, 105, 30 (Diodorus = Apollodorus) || 25 3 Reg. 14, 21

1 *Τήλεκλος* Scal. *τήλεκτος* A *τίλεκτος* B || 2 *,δχοα'*] *,δχο'* AB || 3 *ἀλκαμένης* A *ἀλκμένης* B || 5 *,δψια'*] *,δψθ'* AB || 6 *η'*] *18* Euseb. Arm., ad ann. 18 in filo (om. in notitia) Hieron. || 9 *κε'* B Euseb. *κα'* A | *,δχλδ'* Gelzer 2, 223 *,δχλα'* AB (infra autem maluit Gelzer annos 23 Eudemo dare et annos mundi retinere) || 10 *λε'* B Euseb. *λα'* A || 11 *,δχνθ'*] *,δχνζ'* AB || 12 *,δχϛδ'*] *,δχϛβ'* AB || 14 *,δψι'*] *,δψη'* AB || 15–17 *τοῦ . . . ἕν* om. A || 16 *,δψλε'*] *,δψλγ'* B || 18 *,δψμζ'*] *,δψμε'* AB || 20 *τν'*] ita Euseb. 2, 87[k] ann. 325 Euseb. 1 et fila regnorum Euseb. 2 || 23 *ΚΟΣΜΟΥ ΕΤΗ* B *κόσμου ἔτος* A || 25 et infra *ῥοβωὰμ* B *ῥοβοὰμ* A

Ῥοβωὰμ υἱὸς Ναάμας τῆς Ἀμανίτιδος μόνος ἄρσην ἐγένετο παῖς τῷ Σολομῶντι ἐκ χιλίων γυναικῶν, καὶ αὐτὸς ἀνάξιος τῆς βασιλείας ὡς ἀλλοφύλου γέννημα μητρός. τούτῳ πολεμῶν ὁ Ἱεροβωὰμ οὐκ ἐπαύετο, αὐτός τε σὺν τῷ Ἰούδα τοῖς εἰδώλοις προσέσχε καὶ τελευτᾷ βασιλεύσας ἔτη 5 ιζʹ.

Τῷ εʹ ἔτει Ῥοβωὰμ υἱοῦ Σολομῶν, τοῦ δὲ κόσμου ͵δφιζʹ, ἀνέβη Σουσακεὶμ βασιλεὺς Αἰγύπτου ἐπὶ Ἱερουσαλὴμ καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ πάντα τὰ ὅπλα τὰ χρυσᾶ.

10 Ὁ Ἀβιὰ πολεμῶν τῷ Ἱεροβωὰμ ἀπέκτεινε τοῦ Ἰσραὴλ μυριάδας νʹ. 351

Τοῦ Ἰούδα ἐβασίλευσε βʹ Ἀβιὰ υἱὸς Ῥοβωὰμ ἔτη γʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφκζʹ.

Τοῦ Ἰούδα γʹ ἐβασίλευσεν Ἀσὰ υἱὸς Ἀβιὰ ἔτη μαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφλʹ.

15 Οὗτος ἀποστὰς τῆς πατρικῆς ἀσεβείας τὰ εἴδωλα καθεῖλε καὶ τὰ ἄλση ἐξέκοψε, τὴν ἑαυτοῦ τε μητέρα ἔπαυσε τοῦ εἰδωλομανεῖν.

Οὗτος Ζαρὲ τὸν Αἰθίοπα κατὰ τῆς Ἰουδαίας στρατεύσαντα μετὰ πλήθους Λιβύων ἐτροπώσατο ἐν μυριάσιν ρʹ ἐπελθόντα.

Ἑβραίων ἀρχιερεὺς Ἀβιμέλεχ ἐγνωρίζετο. προεφήτευον δὲ Ἀχιά, Σα-20 μαίας καὶ ὁ ἐπὶ τοῦ ἐν Σαμαρείᾳ θυσιαστηρίου Ἰηού, Ἰωήλ, Ἀζαρίας ὁ καὶ Ἀδδὼ καὶ ὁ υἱὸς αὐτοῦ Ζαχαρίας ὁ καὶ Ἰωδή, Ἀνανὶ καὶ Ἰωπᾶς.

Τοῦ Ἰούδα ἐβασίλευσε δʹ Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἔτη κεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δφοαʹ.

Καὶ οὗτος εὐσεβής, ὡς ὁ πατὴρ αὐτοῦ Ἀσά, ἐξάρας τὴν εἰδωλολατρείαν 25 πλὴν τῶν ὑψηλῶν. οὗτος τῷ Μωυσέως νόμῳ τὸν Ἰσραὴλ ἐξεπαίδευσε. πρὸς Ἀχαὰβ δὲ εἰρηνεύων κατεγινώσκετο.

3 τί λέγει περὶ τοῦ Ἱεροβωὰμ ὅτι καὶ αὐτὸς εἰδωλοθύτης γέγονε || 6 ͵δφιζʹ ἔτει τοῦ κόσμου ὁ Σουσακεὶμ ᾐχμαλώτευσεν τὴν Ἱερουσαλήμ || 10 ὁ Ἀβιὰ πόσους ἀπέκτεινε || 17 ἴδε τῶν εὐσεβῶν τὰ νικητήρια

1 3 Reg. 12, 24a; 14, 30 || 6 3 Reg. 14, 25–26 || 10 2 Paralip. 13, 17 || 11 3 Reg. 15, 1–2 || 13 3 Reg. 15, 10 || 15 3 Reg. 15, 13, 2 Paralip. 15, 16, cf. Iohann. Anag. f. 115v || 17 2 Paralip. 14, 8–15 || 19 Euseb. 2, 73a || 22 3 Reg. 22, 41–42 || 24 3 Reg. 22, 43–45

1 ἄρσην Di. ἄρσις A ἄρσης B || 3 γέννημα B γένημα A | ἱεροβωὰμ B ἱερωβοὰμ A || 6 ͵δφιζʹ] recte ͵δφιδʹ uel ͵δφιβʹ ut uidetur, sed infra 221, 15 diuisionem regnorum Syncellus in anno ͵δφιγʹ ponit || 8 κυρίου . . . οἴκου om. B || 10 ὁ ἀβιὰ B ὀβιᾶ A | ἱεροβωὰμ B ἱερωβοὰμ A || 11 ῥοβωὰμ B ῥοβοὰμ A || 11. 12 et infra ἦν ἔτος om. A || 16 τοῦ εἰδωλομανεῖν AB τοῦ μὴ εἰδωλολατρεῖν Iohann. Anag. || 17 Ζαρὲ 2 Paralip. ζοραὶ A ζαραὶ B || 21 ἀνανὶ B Euseb. ἀνανία A || 24 εἰδωλολατρείαν A εἰδωλολατρίαν B || 25 τῷ B τὰ A || 27 ἱεροβωὰμ Bm ῥοβωὰμ Am | καὶ αὐτὸς om. Bm | ἔτει Bm ἔτος Am

Προεφήτευεν Ἰηού, προεφήτευεν Ἀνανί, προεφήτευον παρ' Ἑβραίοις
352 *Ἡλίας, Ἰηού, Ἀβδιού, Ὀζιήλ, Μιχαίας. ψευδοπροφῆται δὲ Σεδεκίας, Ἐλιέζερ καὶ ἕτεροι.*

Ἰωσαφὰτ σὺν τῷ Ἀχαὰβ ἦν πολεμῶν. τῶν ἀλλοφύλων ἐπὶ Ἰωσαφὰτ καὶ τῶν Ἰουδαίων συνελθόντων ἀλλήλους κατέσφαξαν θείᾳ ῥοπῇ. 5

Τοῦ Ἰούδα ε' ἐβασίλευσεν Ἰωρὰμ υἱὸς Ἰωσαφὰτ ἀσεβὴς ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφϛϛ'.

Οὗτος ἀνεῖλε τοὺς ἰδίους ἀδελφοὺς καὶ ἐκ τῶν ἀρχόντων τοῦ λαοῦ, δεινῶς τε νοσήσας τὰ ἔντερα σὺν τῇ κοιλίᾳ κατέσπασε.

Τούτου τῷ ζ' ἔτει Ἡλίας ὁ Θεσβίτης ἀνελήφθη. τοῦ δὲ κόσμου ἦν ἔτος 10 *,δχβ'.*

Προεφήτευον Ἀμὼς καὶ Ἐλισσαῖος.

Οὗτος γαμβρὸς ἦν τοῦ Ἀχαὰβ καὶ τῆς Ἰεζάβελ ἐπὶ θυγατρὶ Γοθολίᾳ.

Τοῦ Ἰούδα ϛ' ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰωρὰμ ἔτος ἕν. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχδ'. 15

Τοῦ Ἰούδα ζ' ἐβασίλευσε Γοθολία μήτηρ Ὀχοζία, θυγάτηρ Ἀχαάβ, ἣν ἐλιθοβόλησεν ὁ λαὸς κατὰ πρόσταξιν Ἰωδαὲ τοῦ ἀρχιερέως, ἔτη ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχϛ'.

Αὕτη καθεῖλε τὸν οἶκον τοῦ θεοῦ.

⟨Τοῦ Ἰούδα η' ἐβασίλευσεν Ἰωὰς ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχιγ'.⟩ 20

353 *Ἰωὰς ἀνῳκοδόμησε τὸν οἶκον τοῦ θεοῦ, ὃν καθεῖλε Γοθολία.*

Μετὰ δὲ ταῦτα εἰδωλολατρεῖ καὶ ἀναιρεῖ Ζαχαρίαν τὸν προφήτην τὸν

1 *ὅτι ἐπὶ Ἰωσαφὰτ προεφήτευον Ἡλίας καὶ Ἰηοὺ Ἀβδιοὺ Ὀζιὴλ Μιχαίας* || 10 *ὅτι ἐπὶ Ἰωρὰμ τῷ ζ' ἔτει τῆς βασιλείας αὐτοῦ Ἡλίας ἀνελήφθη· ἐπὶ τούτου Ἀμὼς καὶ Ἐλισσαῖος προφῆται* || 16 *Γοθολία ἀσεβὴς ἐλιθοβολήθη* || 21 *εὐσεβὴς τὸ πρῶτον* 25 *Ἰωὰς καὶ πάλιν ἀσεβὴς ὡς εἰδωλολάτρης καὶ προφητοκτόνος*

1 Euseb. 2, 76[a]; cf. Chron. Pasch. 178, 2, Anon. Matr. 21, 5 || 4 3 Reg. 22, 29–38; 2 Paralip. 20 || 6 4 Reg. 8, 16–17 || 8 2 Paralip. 21, 4. 18–19; cf. Iohann. Anag. f. 115[v] || 10 Euseb. 2, 78[b] (anno septimo Ioram), 4 Reg. 2, 11 (sine anno); cf. ps. Sym. f. 51[r] = Cedr. 180, 16 || 12 ita etiam Chron. Pasch. 180, 5, sed Amos uere sub Ozia ponendus est (Amos 1, 1, Euseb. 2, 84[a]); cf. Clem. Alex. Strom. 1, 115, 5 (*Ἐλισσαῖος καὶ σὺν αὐτῷ Ἀβδαδωναῖος*) || 13 4 Reg. 8, 18 || 14 4 Reg. 8, 25–26 || 16 4 Reg. 11, 1–16 || 19 2 Paralip. 24, 7 || 20 suppleuit Scal., cf. Anon. Matr. 21, 17, 4 Reg. 12, 1–2 || 21 2 Paralip. 24, 7 || 22 2 Paralip. 24, 22–25; cf. Iohann. Anag. f. 115[v]

2 *ὀζιὴλ* **A** *ὀζειὴλ* **B** || 4 *ἀχαὰβ* **A** *ἀχὰβ* **B** || 10 *τούτου* **B** *τούτῳ* **A** | *θεσβίτης* **A** *θεσβήτης* **B** || 12 *ἀμὼς* **B** *ἀμμὼς* **A** || 13 *Γοθολίᾳ* Di. *γοδολίᾳ* **AB** || 15 *,δχδ'* Go.[m] *,δχιδ'* **AB** || 16 *ἀχαὰβ* **B** *ῥαχαὰβ* **A** *Ἀμβρεὶ* 4 Reg. 8, 26; Gotholia est filia Achaab iuxta 8, 18 LXX, soror in uersione Hebraica || 17 *ἰωδαὲ* **B** *ἰουδαὲ* **A** || 18 *,δχϛ'* **AB** || 20 om. **AB** suppleuit Scal. || 21 *ἀνῳκοδόμησε* **A** *ἀνοικοδόμησε* **B** || 23 *προεφήτευον* **B**[m] *προεφήτευσαν* **A**[m] | *ὀζιὴλ* **A**[m] *ὀζεὶλ* **B**[m] || 24 *ἰωρὰμ* **A**[m] *ἱεροβωὰμ* **B**[m] || 25 *προφῆται* **B**[m] *προεφήτευον* **A**[m]

υἱὸν Ἰωδαὲ τοῦ ἀρχιερέως παραινοῦντα αὐτῷ τὰ πρὸς ἐπιστροφήν. τοῦτον ἀπέκτειναν οἱ παῖδες αὐτοῦ τῷ μ' ἔτει τῆς βασιλείας αὐτοῦ.

Ἰωδαὲ θεοφιλὴς ἀρχιερεὺς ἐγνωρίζετο βιώσας ἔτη ρλ' μόνος ἀπὸ τῶν χρόνων Μωυσέως. τούτου υἱὸς Ζαχαρίας προεφήτευσε καὶ Ἐλισσαῖος. τὸν 5 *Ἰωὰς εἰδωλομανοῦντα παρῄνει καὶ τὸν λαὸν Ζαχαρίας ὁ προφήτης υἱὸς Ἰωδαὲ ἀποστῆναι, ὃν διὰ τοῦτο ἐν τῷ ναῷ ἀνεῖλεν Ἰωάς.*

Παρ' Ἑβραίοις Ζαχαρίας ὁ προφήτης ἀναιρεῖται ὑπ' Ἰωὰς τοῦ βασιλέως, ἐν ἄλλῳ δὲ Ἀζαρίας.

Ἐλισσαῖος ὁ προφήτης ἐτελεύτησεν ἔτει λζ' τοῦ Ἰωάς. τοῦ δὲ κόσμου 10 *ἦν ἔτος ,δχμη'.*

Δύναμις Συρίας τὸν Ἰούδαν καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέκτεινε.

ΚΟΣΜΟΥ ΕΤΗ

Βασιλέων Ἰσραὴλ δέκα σκήπτρων ἔτη

Ὧν πρῶτος ἐβασίλευσεν Ἱεροβωὰμ ἐν Σαμαρείᾳ ἔτη κβ'. τοῦ δὲ κόσμου 15 *ἦν ἔτος ,δφιγ'.*

Ἱεροβωὰμ δοῦλος μὲν ἦν Σολομῶντος, πόρνης δὲ υἱός. τούτῳ ἐγένοντο υἱοὶ κη' καὶ θυγατέρες ξ'.

Προεφήτευον ὁ οἰκῶν ἐν Βαιθὴλ καὶ ὁ ἐπὶ τοῦ θυσιαστηρίου εὑρὼν αὐτόν, **354** *ὁ ἐξ Ἰούδα προφήτης ἐλθών, θύοντα ταῖς χρυσαῖς δαμάλεσι, καὶ προφη-* 20 *τεύσας αὐτῷ περὶ Ἰωσίου ἐξ οἴκου Δαβὶδ τεχθησομένου βασιλέως καὶ ἀναιρήσοντος τοὺς τῶν εἰδώλων ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον, ὅπερ ἐρράγη, ἐν ᾧ Ἱεροβωὰμ ἐπέθυε· συλλαβεῖν δὲ αὐτὸν προστάξας τὴν χεῖρα ξηραίνεται, καὶ δεηθεὶς τοῦ προφήτου θεραπεύεται. ὁ δὲ προφήτης ἐπανιὼν ὑπὸ*

3 *Ἰωδαὲ θεοφιλὴς καὶ ὁ υἱὸς αὐτοῦ Ζαχαρίας προφήτης* || 9 *πότε τελευτᾷ Ἐλισ-* 25 *σαῖος* || 16 *Ἱεροβωὰμ ὁ δοῦλος ἔσχε υἱοὺς κη' καὶ θυγατέρας ξ'* || 23 *διὰ τί ἐβρώθη ὁ προφήτης ὑπὸ λέοντος ὁ ἐξ Ἰούδα*

3 2 Paralip. 24, 16–22; Euseb. 2, 78[d] || 7 2 Paralip. 24, 20 (Zacharias in uers. Hebr., Azarias LXX); cf. Euseb. 2, 80[b] (Zacharias). 79[a] (Azarias) || 9 Euseb. 2, 80[a] (anno 32), 4 Reg. 13, 20 (sine anno), Clem. Alex. Strom. 1, 116, 3 (post annum 181 Solomonis), ps. Sym. f. 51[v] = Cedr. 186, 21 (a. m. 4648) || 11 2 Paralip. 24, 23 || 14 3 Reg. 14, 20 || 16 3 Reg. 11, 26 || 17 2 Paralip. 11, 21 (de Roboam) || 18 3 Reg. 13, 1–30

1 *αὐτῷ* **B** *αὐτὸν* **A** || 2 *μ'* **B** *μωσέως* **A** | *αὐτοῦ* **B** *ναυῆ* **A** || 3 *ἰωδαὲ* **B** *ἰουδαὲ* **A** || 10 et 15 *ἦν ἔτος* om. **A** || 11 *ἰούδαν* **B** *ἰούδα* **A** || 14 et 16 *ἱεροβωὰμ* **B** *ἱερωβοάμ* **A** || 17 *ξ'* **B** *ξζ'* **A** || 18 *βαιθὴλ καὶ ὁ ἐπὶ* **A** *βεθὴλ ὁ καὶ ἐπὶ* **B** || 20 *τεχθησομένου* Di. *τεχθησόμενον* **AB** || 21 *ὅπερ ἐρράγη*] *ὑπερράγη* **AB** || 22 *ἱεροβωὰμ* **B** *ἱερωβοάμ* **A** | *αὐτὸν* **B** *αὐτῷ* **A** || 24 *τελευτᾷ* **B**[m] *ἐτελεύτησεν* **A**[m]

τοῦ λέοντος διεφθάρη, ὅτι μετέσχε τροφῆς παρὰ τῷ ἄλλῳ προφήτῃ τῷ ἐν Βαιθήλ, ἀπατηθεὶς ὑπ' αὐτοῦ, ὃν καὶ ἐφύλαξεν ὁ θήρ, ἕως ἐλθὼν ὁ ἀπατήσας αὐτὸν παρελθεῖν τὴν θείαν ἐντολὴν ἔθαψεν αὐτόν. τὰς δύο χρυσᾶς δαμάλεις διὰ τοῦτο ἐποίησεν, ἐκκόψαι θέλων, ὥς φασι, τὸν ὑπ' αὐτὸν λαὸν τῆς εἰς Ἱερουσαλὴμ ἀνόδου ὁ Ἱεροβωάμ. 5

Τοῦ Ἰσραὴλ β' ἐβασίλευσε Ναδὰβ ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλε'.

Τοῦ Ἰσραὴλ γ' ἐβασίλευσε Βαασὰ υἱὸς Ἀχιὰ ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφλζ'.

Οὗτος τὸν Ναδὰβ ἀνελὼν υἱὸν Ἱεροβωὰμ ἐβασίλευσε τοῦ Ἰσραήλ. ὁ αὐτὸς ἐπολέμει τῷ Ἀσὰ βασιλεῖ Ἰούδα ἀνελθὼν ἐν Ῥαμά. Ἀσὰ δὲ χρήμασι 10 *φιλωθεὶς τῷ βασιλεῖ Συρίας υἱῷ Ἄδερ, τοῦτον ἔπεισεν ἀντιπορθεῖν τὰς πόλεις τοῦ Ἰσραήλ, καὶ οὕτως ἀπέστη Βαασὰ ἐκ τῆς Ῥαμά.*

355 *Ἀσὰ ὑπὸ τοῦ προφήτου διὰ τὴν εἰς Σύρους πεποίθησιν καὶ οὐκ εἰς θεὸν ὀνειδίζεται.*

Ἰηοὺ υἱὸς Ἀνανίου προεφήτευσε τῷ Βαασά, ὅτι ἀπολεῖται ὁ οἶκος αὐτοῦ 15 *ὡς ὁ οἶκος Ἱεροβωάμ, διότι εἰδωλολάτρησε· καὶ γέγονε κατὰ τὴν προφητείαν αὐτοῦ. ἀποθανόντος γὰρ τοῦ Βαασὰ Ζαμβρὶ ὁ ἐπὶ τῶν ἁρμάτων υἱοῦ αὐτοῦ ἀνεῖλεν αὐτὸν καὶ ἐβασίλευσε.*

Τοῦ Ἰσραὴλ δ' ἐβασίλευσεν Ἠλὰ ἔτη β' καὶ ὁ υἱὸς αὐτοῦ Ζαμβρὶ ἡμέρας ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφξα'. 20

Μετὰ τὸ ἀνελεῖν τὸν Ἠλὰ Ζαμβρὶ ἐβασίλευσεν ἡμέρας ζ'. ὃς ἀκούσας ὅτι ὁ λαὸς τὸν Ἀμβρὶ ἀνηγόρευσεν ἑαυτὸν ἐνέπρησεν. ὁ δὲ Ἰσραὴλ εἰς δύο διῃρέθη, καὶ τὸ μὲν ἥμισυ αὐτοῦ ὀπίσω Ἀβεννῆ, τὸ δὲ ἥμισυ ὀπίσω Ἀμβρί. ἀποθανόντος δὲ Ἀβεννῆ πάντες ὑπὸ τὸν Ἀμβρὶ γεγόνασι.

Τοῦ Ἰσραὴλ ε' ἐβασίλευσεν Ἀμβρὶ ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος 25 *,δφξγ'.*

Ἀμβρὶ ὁ ε' βασιλεὺς Ἰσραὴλ κτίζει τὴν Σαμαρέων πόλιν, τὴν νῦν καλουμένην Σεβαστήν, καὶ ἐπωνόμασεν αὐτὴν Σεμμὴρ εἰς ὄνομα Σομὼρ τοῦ κυρίου τοῦ ὄρους.

3 *διὰ τί ἐγένοντο αἱ χρυσαῖ δαμάλεις ὑπὸ τοῦ Ἱεροβωάμ* || **27** *ὅτι ἡ Σαμαρεία* 30 *Σεβαστὴ ἐκαλεῖτο*

3 3 Reg. 12, 26–28 || **6** 3 Reg. 15, 25 || **7** 3 Reg. 15, 33 || **9** 3 Reg. 15, 16–22. 33 || **13** 2 Paralip. 16, 7 || **15–21** 3 Reg. 16, 1–4. 8–11 || **22** 3 Reg. 16, 18–22 || **25** 3 Reg. 16, 23 || **27** 3 Reg. 16, 24

2 *βαιθὴλ* **A** *βεθὴλ* **B** || **4** *ἐκκόψαι* **B** *ἐγκόψαι* **A** | *φασι* **B** *φησι* **A** || **5, 9** et **16** *ἱεροβωὰμ* **B** *ἱερωβοὰμ* **A** || **6** et **7, 8** *ἦν ἔτος* om. **A** || **9** *τὸν ναδὰβ* **B** *τὸν ἀδὰβ* **A** || **11** *συρίας* **B** *ἀσσυρίας* **A** || **15** *ἀνανίου* **AB** *Ἀνανί* 3 Reg. || **20** et infra *ἦν ἔτος* om. **A** || **22** *ἀμβρὶ* **B** *ζαμβρὴν* **A** || **23** et infra *ἀμβρὶ* **B** *ἀμβρὴ* **A** || **27** *ε' βασιλεὺς* **B** *ἐβασίλευσεν* **A** || **28** *σεμμὴρ* **B** *ζεμβὴρ* **A**

Τοῦ Ἰσραὴλ ς' ἐβασίλευσεν Ἀχαὰβ ὁ υἱὸς Ἀμβρὶ ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφοε'.

Οὗτος ἔλαβε γυναῖκα Ἰεζάβελ θυγατέρα Αἰθαὰλ βασιλέως Σιδωνίων, **356**
δι' ἣν τῷ Βαὰλ δουλωθεὶς τὴν θεοσέβειαν ἐξωρκίσατο. τότε καὶ τὴν
5 *Ἰεριχὼ ἀνέστησεν Ἀζὰν ὁ ἐκ Βαιθήλ, ἀποθανόντος αὐτῷ τοῦ πρωτοτόκου υἱοῦ ἐν τῷ θεμελιοῦν αὐτὴν Ἀβειρὼν καὶ τοῦ νεωτέρου Σεγοὺβ ἐν τῷ ἐφιστᾶν τὰς πύλας ἐπὶ συμπληρώσει τῆς οἰκοδομῆς, κατὰ τὴν ἐξενεχθεῖσαν διὰ Ἰησοῦ θείαν ἀράν.*

Τότε καὶ Ἠλίας ὁ Θεσβίτης ἐλθὼν ᾤκησε κατὰ ἀνατολὰς λάθρα παρὰ
10 *τὸν χείμαρρον Χαρεσθά, προκαταγγείλας τῷ Ἀχαὰβ τὴν τριετῆ ἀνομβρίαν, κόραξιν ἀρτοφόροις καὶ σαρκοβόροις ὑπηρετούμενος· ἐκλείποντος δὲ αὐτῷ τοῦ κατὰ τὸν χείμαρρον ὕδατος εἰς Σεραφθὰ τῆς Σιδωνίας ἄπεισι θεοῦ προστάξει, ξενισθείς τε παρὰ τῆς χήρας ἐσθίει τὴν μονοήμερον αὐτῆς βρῶσιν, τόν τε καμψάκην εὐλογεῖ σὺν τῇ ὑδρίᾳ τοῦ ἐλαίου καὶ τὸν παῖδα*
15 *θανόντα ἀνίστησιν. ἐπανελθὼν δὲ πρὸς τὸν Ἀχαὰβ μετὰ γ' ἔτη καὶ συναντήσας αὐτῷ θάνατον ἀπειλοῦντι πράττει τὰ κατὰ τοὺς ψευδοπροφήτας καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων ων' ὄντας καὶ ὑπὸ Ἰεζάβελ διατρεφομένους τῆς τοὺς θείους προφήτας ἀναιρούσης, οὓς Ἀβδιοὺ διέσῳζεν, εἰς προφητείαν τε πρόεισιν ἔτι παῖς ὢν διὰ τοῦτο καίπερ μόνος ἐν προφήταις ἐκ*
20 *προγόνων προφητῶν μὴ γενεαλογούμενος. ἐπεὶ δὲ ἀνεῖλε τοὺς ἱερεῖς ὁ ζη-* **357**
λωτὴς Ἠλίας τοὺς τῆς αἰσχύνης, ὄμβρῳ τὴν γῆν δι' εὐχῆς ἐπικλύζει καὶ πάλιν φεύγει εἰς Βηρσαβεὲ κἀκεῖθεν εἰς τὴν ἔρημον, φοβηθεὶς ἀπειλοῦσαν αὐτῷ θάνατον τὴν Ἰεζάβελ· ἔνθα θάνατον αἰτοῦντι παραστὰς ἄγγελος ὑπνώσαντι μεταλαβεῖν θεοσδότου τροφῆς κελεύει καὶ ποτοῦ, ᾗ καὶ ἐν-
25 *ισχύσας μόνῃ μ' νυχθημέρων ὁδὸν ἐπορεύετο ἐν Χωρὴβ τῷ ὄρει ἤτοι Σιναίῳ, καὶ κατέπαυσεν ἐν τῷ σπηλαίῳ Μωυσέως.*

Ἐρωτώμενος δὲ παρὰ κυρίου δι' ἣν ἐκεῖ ἦλθεν αἰτίαν, τὰ τοῦ ζήλου τοῦ

9 *περὶ Ἠλίου τοῦ προφήτου ποῦ ᾤκησεν* || **17** *ων' ἱερεῖς τῶν εἰδώλων ὑπήρχοντο* || **18** *ὅτι μόνος Ἀβδιοὺ προφήτης ἐκ γενεᾶς μὴ ὢν ἀλλὰ δι' εὐσεβείας* || **25** *ὅτι τὸ Χωρὴβ*
30 *ὄρος καὶ Σιναὶ λέγεται· καὶ ὅτι ἐν τῷ σπηλαίῳ Μωσέως ὁ Ἠλίας κατέπαυσε* || **27** *Σημ. ὀπτασία τῷ Ἠλίᾳ*

1 3 Reg. 16, 29 || **3** 3 Reg. 16, 30–34; cf. ps. Sym. f. 50r = Cedr. 176, 6 || **9** 3 Reg. 17, 1–19, 8 || **27** 3 Reg. 19, 9–18

1 *ὁ* om. **A** || **3** *αἰθαὰλ* **A** *ἐθαὰλ* **B** *ἰαβαὰλ* 3 Reg.^A *ἰεθεβάαλ* 3 Reg.^V || **4** *αὐτοῦ ἐξωρκίσατο* **A** *ἐξωρκήσατο* **B** || **5** *ἀζὰν* **AB** *ἀχιὴλ* ps. Sym. 3 Reg. | *βαιθὴλ* **A** *βεθὴλ* **B** || **6** *ἀβειρὼν* **B** *ἀβειρὼ* **A** | *σεγοὺβ* **B** *σεγοῦν* **A** || **9** *παρὰ* **B** *πρὸς* **A** || **10** *χαρεσθά* **AB** *χορράθ* 3 Reg. || **12** *σεραφθὰ* **AB** *σεφθὰ* 3 Reg.^A *σάρεπτα* 3 Reg.^V || **14** *καμψάκην* **AB** 3 Reg.^A *καψάκην* Di. 3 Reg.^V || **15** *τὸν* om. **B** || **18** *ἀβδιοὺ διέσωζεν* **B** *ἀβδιοὺδ ἔσωζεν* **A** || **25** *νυχθημέρων* **B** *νυχθήμερον* **A** || **27**–p. 224, **1** *τοῦ κατὰ θεὸν* **B** *τῷ θεῷ* **A**

κατὰ θεὸν ἐκαυχᾶτο καὶ ὅτι μόνος θεοσεβὴς ὢν διώκεται ζητούμενος ἀναιρεθῆναι. κελευσθεὶς δὲ παραστῆναι τῇ ἑξῆς ἐνώπιον κυρίου παριόντος πρῶτον θεωρεῖ πνεῦμα μέγα κραταιὸν διαλῦον ὄρη καὶ συντρῖβον πέτρας προπορευόμενον κυρίου, καὶ δεύτερον συσσεισμόν, καὶ τρίτον πῦρ· ἐν οἷς, φησίν, οὐκ ἦν ὁ τούτων κύριος. μεθ' ἃ αὔρας λεπτῆς φωνῆς ἀκούει, ἐπικαλύψας τε τὸ πρόσωπον πρὸ τοῦ σπηλαίου ἵσταται. καὶ αὖθις ἐπερωτᾶται τίνος χάριν αὐτόθι παραγέγονε, καὶ πάλιν τὰ αὐτὰ πάλιν ἀποκρίνεται. καὶ ἀκούει προστάττουσαν θείαν φωνὴν ἀπελθεῖν εἰς τὴν ἔρημον Δαμασκοῦ καὶ χρῖσαι βασιλέα μὲν Συρίας τὸν Ἀζαήλ, προφήτην δὲ ἀνθ' αὐτοῦ τὸν Ἐλισσαιέ, μὴ ἀγνοεῖν δὲ ὅτι καὶ ἄλλοι εἴησαν ἑπτακισχίλιοι θεοφιλεῖς ἐξ Ἰσραὴλ μοι θεῷ πεφυλαγμένοι.

358 Ἐν οἷς παιδευθεὶς ταπεινοῦσθαι θεῷ ἐλέγχει πάλιν τὸν Ναβουθαὶ θάνατον τῷ Ἀχαὰβ ἀδίκως εἰσπραχθέντα διὰ τὸν ἀμπελῶνα. ὁ Ἀχαὰβ ἀπατηθεὶς τοῖς ψευδοπροφήταις συμβαλὼν Σύροις ἀναιρεῖται Μιχαίου προειρηκότος τοῦ προφήτου τὸ ἐκβάν.

Τοῦ Ἰσραὴλ ζ' ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἀχαὰβ ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφϛζ'.

Ὀχοζίας υἱὸς Ἀχαὰβ παρανομώτατος ἦν πάντων τῶν πρὸ αὐτοῦ. τούτῳ συμμαχήσας Ἰωσαφὰτ κατεγνώσθη ὑπὸ τοῦ θεοῦ. τῷ Ὀχοζίᾳ νοσοῦντι καὶ χρησμὸν ἀποστείλαντι λαβεῖν ἐν εἰδωλίῳ μυίας Ἀκκαρὼν συντυχὼν Ἠλίας ὁ Θεσβίτης ὀνειδίζει τὴν εἰδωλολατρίαν. προσκληθεὶς δὲ διαφθείρει τοὺς δύο πεντηκοντάρχους ἅμα τοῖς στρατιώταις. ἐπὶ δὲ τῷ τρίτῳ δυσωπηθεὶς ἦλθε πρὸς Ὀχοζίαν καὶ τὸν θάνατον αὐτῷ κατήγγειλε.

Τοῦ Ἰσραὴλ η' ἐβασίλευσεν Ἰωρὰμ ἀδελφὸς Ὀχοζίου ἔτη ιβ', καὶ αὐτὸς υἱὸς Ἀχαάβ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δφϛη'.

Μωὰβ ἀθετήσαντι μετὰ θάνατον Ἀχαὰβ ὁ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασιλεύων τοῦ Ἰσραὴλ ἀνέβη πολεμεῖν Μωαβίταις, παραλαβὼν καὶ Ὀχοζίαν βασιλέα Ἰούδα καὶ τὸν βασιλέα Ἐδώμ. ἑπτὰ δὲ ἡμέραις ἀνυδρίᾳ μέλλοντες διαφθείρεσθαι προσέδραμον τῷ προφήτῃ Ἐλισσαίῳ, ὃς προεφήτευσεν αὐτοῖς ὕδατά τε λαβεῖν εἰς πλησμονὴν ἐκ τοῦ χειμάρρου καὶ τὰς πόλεις

359 Μωὰβ ἐν αὐτῇ τῇ ἡμέρᾳ, καὶ πάσας τὰς πηγὰς ἐμφράξαι, καὶ πᾶσαν οἰκοδομὴν Μωαβιτῶν καθελεῖν.

18 διὰ τί κατεγνώσθη ὑπὸ θεοῦ Ἰωσαφάτ || 21 ἐπὶ τίνος οἱ β' πεντηκόνταρχοι ὑπὸ Ἠλίου ἀνῃρέθησαν καὶ ὁ γ' διασῴζεται || 28 περὶ Ἐλισσαίου καὶ τῶν σημείων αὐτοῦ

12 3 Reg. 21, 17–24 || 13 3 Reg. 22, 13–38 || 16 3 Reg. 22, 52 || 18 3 Reg. 22, 53 || 19 2 Paralip. 20, 35 | 4 Reg. 1, 1–16 || 24 4 Reg. 3, 1 || 26 4 Reg. 3, 4–19

3 συντρῖβον A συντρίβων B || 10 εἴησαν B ἦσαν A || 12 ναβουθαὶ A ναβουθὲ B || 15 τὸ B τούτῳ A || 16 ἐβασίλευσεν B βασιλεὺς A || 17 ἔτος om. A || 19 τῷ B πρὸς τῷ A || 20 ἀκκαρὼν B ἀκαρὼν A || 24 τοῦ B τῷ A || 25 ἦν ἔτος om. A

Νοσοῦντος τοῦ υἱοῦ Ἄδερ βασιλέως Συρίας ὁ προφήτης Ἐλισσαῖος προθεσπίζει τῷ Ἀζαὴλ περὶ τῆς βασιλείας καὶ τῶν μελλόντων κακῶν τῷ Ἰσραὴλ δι' αὐτοῦ.

Πέμπτῳ ἔτει Ἰωρὰμ ἐβασίλευσεν Ἀζαὴλ Συρίας υἱὸς Ἄδερ βασιλέως 5 *Συρίας. ἀπέστειλε δὲ δύναμιν συλλαβεῖν τὸν Ἐλισσαῖον εἰς Βαιθήλ, οὓς τυφλώττοντας καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιστρεφομένους εἰς Σαμάρειαν Ἐλισσαῖος ἐπιστὰς σῴζει μέλλοντας ἀπόλλυσθαι.*

Ὁ υἱὸς Ἄδερ τὴν Σαμάρειαν καὶ τὸν Ἰσραὴλ ἐπολιόρκησεν, ὥστε λιμῷ τακῆναι σφοδρῷ τοὺς ἐν τῇ πόλει καί τινας γυναῖκας τὰ ἴδια τέκνα φαγεῖν. 10 *Ἰωρὰμ δὲ ὁ βασιλεὺς Ἰσραὴλ ἀποτεμεῖν τὸν Ἐλισσαῖον ἀποφηνάμενος λύσιν λαμβάνει τῆς λιμοῦ, θείᾳ φυγόντων ἐκστάσει τῶν πολεμίων καὶ πάντα καταλειψάντων τὰ πρὸς ζωὴν τῷ Ἰσραήλ.*

Ἐλισσαιὲ μετὰ Ἠλία θαυματουργὸς καὶ προφήτης ἐγνωρίζετο.

Ἐλισσαιὲ τὸν Ἰηοὺ πέμψας ἔχρισε βασιλέα Ἰσραήλ.

15 *Τοῦ Ἰσραὴλ θ' ἐβασίλευσεν Ἰηοὺ ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχι'.*

Ἐπὶ τούτου λιμὸς καὶ σεισμὸς μέγας κατὰ τὴν Ἰουδαίαν ἐγένετο.

Οὗτος ἀνεῖλε τὸν Ὀχοζίαν καὶ τοὺς υἱοὺς Ἀχαὰβ καὶ Ἰεζάβελ τὴν Σιδωνίαν. **360**

Ἰηοὺ βασιλεὺς Ἰσραὴλ προσεκύνει ταῖς χρυσαῖς δαμάλεσιν, ἃς ἐποίη- 20 *σεν Ἱεροβωὰμ ἐν Βαιθὴλ καὶ ἐν Δάν, τῇ νῦν Πανεάδι καλουμένῃ.*

Τούτῳ Ἀζαὴλ βασιλεὺς Συρίας ἐπιστρατεύσας ἀνεῖλε πλείστους κατὰ τὸ ῥῆμα Ἐλισσαίου τοῦ προφήτου.

Ἀζαὴλ βασιλεὺς Συρίας πορθήσας τὸν Ἰσραὴλ κατὰ τοῦ Ἰωὰς καὶ τῆς Ἱερουσαλὴμ ἡτοιμάζετο. τούτῳ δὲ ἀποστείλας πάντα τὰ ἅγια καὶ τὸ χρυ- 25 *σίον Ἰωὰς ἔπεισεν ἀναστρέψαι.*

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων οζ' ἐβασίλευσε Ταράκης ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψνς'.

Αἰγυπτίων οη' ἐβασίλευσεν Ἀμαὴς ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψος'.

1 4 Reg. 8, 7–13 || **4** 4 Reg. 6, 11–20; 8, 15–16; cf. Ioseph. Ant. Iud. 9, 94, Chron. Pasch. 184, 13. 21 || **8** 4 Reg. 6, 24–7, 20 || **13** Euseb. 2, 78[a] || **14** 4 Reg. 9, 1–10 || **15** 4 Reg. 10, 36 || **16** 4 Reg. 6, 25; 7, 3; 8, 1 || **17** 4 Reg. 9, 27–10, 11 || **19** 4 Reg. 10, 29 || **21** 4 Reg. 8, 12; 10, 32 || **23** 4 Reg. 12, 18–19 || **27** ps. Manetho (Sothis) FGrHist 609 F 28

4 *βασιλέως* A *βασιλεὺς* B || **5** *βαιθὴλ* A *βεθὴλ* B || **6** *ἀντιστρεφομένους* B *ἀντιστροφομένους* A || **13 et 14** *ἐλισσαιὲ* A *ἐλισσαῖος* B || **13** *ἠλία* A *ἠλίαν* B || **15** *τοῦ*[1] B *τῷ* A | *ἦν ἔτος* om. A || **19** *Ἰηοὺ* Go.[m] *ἰούδας* AB | *προσεκύνει* A *προσεκύνη* B || **20** *πανεάδι* A *παναιάδι* B || **24** *τούτῳ* B *τούτου* A || **27 et infra** *ἦν ἔτος* om. A

Αἰγυπτίων οθ' ἐβασίλευσε Στεφινάθης ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωιδ'.

Αἰγυπτίων π' ἐβασίλευσε Νεχεψὸς ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωμα'.

ΛΑΤΙΝΩΝ ΒΑΣΙΛΕΙΣ 5

Λατίνων ιβ' ἐβασίλευσε Κάρμεντος ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχνα'.

361 *Λατίνων ιγ' ἐβασίλευσε Σιλούιος ἔτη ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχξζ'.*

Λατίνων ιδ' ἐβασίλευσε Περκὰς Σιλούιος ἔτη λβ'. κατὰ τοῦτον ἡ α' ὀλυμπιάς. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχπε'. 10

Λατίνων ιε' ἐβασίλευσεν Ἄμουλος Σιλούιος ἔτη κγ' καὶ Νομήτωρ, ὥς τισι δοκεῖ, ἔτη β' μετὰ Ἄμουλον ἰδίως, τινὲς δὲ σὺν αὐτῷ φασι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιζ'.

Ῥῶμος καὶ Ῥωμύλος ἐγεννήθησαν Ἄρει καὶ Ἰλίᾳ τῇ Νομήτορος, κατὰ δὲ τινὰς πρὸ ἐτῶν ι'. 15

Ῥωμύλον φασὶ κατὰ τὸ τέλος τῆς ζ' ὀλυμπιάδος βασιλεῦσαι τῶν Λατίνων ἀπὸ Αἰνείου, Ῥώμην τε κτίσαι καὶ μετονομάσαι τὴν πόλιν καὶ τὸ ἔθνος τῷ ἰδίῳ ὀνόματι Ῥωμαίους, τοὺς πρότερον λεγομένους Λατίνους· ἄλλοι δὲ κατὰ τὴν ς' ὀλυμπιάδα καὶ ἕτεροι κατὰ τὴν η' φασί, καὶ ἁπλῶς εἰπεῖν πολλὴ γέγονε διαφωνία περί τε τοῦ χρόνου τῆς κτίσεως αὐτῆς καὶ τῶν οἰκιστῶν. 20

Κεφαλίων γὰρ ὁ Γεργησαῖος συγγραφεὺς πάνυ παλαιὸς μετὰ δευτέραν τῆς Τροίας ἁλώσεως γενεάν φησι τὴν πόλιν ἐκτίσθαι ὑπὸ Ῥώμου ἑνὸς τῶν Αἰνείου παίδων δ', ἀδελφοῦ δὲ Ἀσκανίου καὶ Εὐρυλέοντος καὶ Ῥωμύλου,

362 *οὕς φησι γεγενῆσθαι τῷ Αἰνείᾳ. συμφωνοῦσι δὲ τῷ Κεφαλίωνι Δημαγό-* 25

9 *ἐπὶ τούτου πρώτη ὀλυμπιάς*

6 cf. Euseb. 1, 139, 31 (ex Diodoro) ‖ 8–11 Euseb. 1, 140, 1–3 (ex Diodoro) ‖ 9–10 cf. Euseb. 2, 86, 1 ‖ 12 cf. Euseb. 1, 131, 16–25 = Dion. Hal. 1, 71, 4 ‖ 14 cf. Euseb. 2, 87[d] ‖ 16 Euseb. 1, 135, 19; 136, 30 (ex Dion. Hal. et Diodoro, Olymp. 7); 135, 18 (ex Fabio Pictore, Olymp. 8); 2, 88[a] (Olymp. 6) ‖ 22 – p. 228, 28 Euseb. 1, 132–135 = Dion. Hal. Ant. Rom. 1, 72–74 ‖ 22 Cephalon Gergithius (= Hegesianax) FGrHist 45 F 9

5 et infra *λατίνων* A *λατείνων* B ‖ 6 *Κάρμεντος ἔτη ις'*] Carpentus ann. 13 Euseb. | *ἦν ἔτος* om. A ‖ 8–11 *Auentinus Siluius ann. 37, Procas Siluius ann. 23, Amulius Siluius ann. 44* Euseb. ‖ 8 et infra *ἦν ἔτος* om. A ‖ 9–11 *Περκὰς . . . ἐβασίλευσεν* om. B ‖ 14 *ῥωμύλος* A *ῥώμυλλος* B | *Ἰλίᾳ τῇ Νομήτορος*] *ἠλίᾳ τῇ ἐμέτερος* AB ‖ 16 *ῥωμύλον* A *ῥώμυλλον* B ‖ 18 *λεγομένους* B *καλουμένους* A ‖ 21 *οἰκιστῶν* B *οἰκοστόρων* A ‖ 22 *κεφαλίων* B *κεφαλλίων* A | *γεργησαῖος* B *γεργισαῖος* A ‖ 24 *ῥωμύλου* A *ῥωμύλλου* B ‖ 25 *φησι* B *φασι* A | *γεγενῆσθαι* A *γεγεννῆσθαι* B

ρας τε καὶ Ἀγάθυμος καὶ ἄλλοι πολλοὶ περὶ τοῦ χρόνου τούτου καὶ Ῥώμου τοῦ κτιστοῦ Ῥώμης καὶ οἰκιστοῦ αὐτῆς, κατὰ τὸν Κεφαλίωνα, ἑνὸς αὐτοῦ πεφυκότος τῶν ἐξ Ἰλίου διασωθέντων καὶ ἡγεμόνος τῆς ἀποικίας Ῥώμου.

Ὁ δὲ τὰς ἐν Ἄργει συναγαγὼν ἱερείας οἰκιστὴν γενέσθαι τῆς Ῥώμης 5 φησὶ τὸν Αἰνείαν ἐκ Μολοττῶν εἰς Ἰταλίαν ἐλθόντα σὺν Ὀδυσσεῖ, καὶ ταύτην εἰς ὄνομα Ῥώμης μιᾶς τῶν σὺν αὐτῷ Ἰλιάδων ὀνομάσαι τῆς ἐμπρησάσης ἅμα ταῖς ἄλλαις Τρῳάσι τὰ σκάφη, βαρουμένης τῇ πλάνῃ. ὁμολογεῖ δὲ σὺν ἄλλοις ταῦτα καὶ Δαμαστὴς ὁ Σιγειεύς.

Ἀριστοτέλης δὲ ὁ φιλοίστωρ τινὰς τῶν ἀπὸ Τροίας ἀναχθέντων Ἀχαιῶν 10 περὶ τὸν Μάλεον πλέοντας χειμῶνι μεγάλῳ καταληφθῆναι ὑπὸ τῶν πνευμάτων τε πλανωμένους πολλαχῇ τοῦ πελάγους εἰς τόπον τῆς Ὀπικῆς καλούμενον Λάτιον ἐλθεῖν ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενον, ἔνθα τὰς ναῦς ἀνελκύσαντες κατὰ χειμερινὴν ὥραν παρεσκευάζοντο πρὸς τὴν ἄπαρσιν ἔαρος ἀρχῇ. γυναῖκες δέ τινες αἰχμαλωτίδες ἐξ Ἰλίου συνοῦσαι τὰς 15 ναῦς αὐτοῖς ἐνέπρησαν, ἵνα μὴ δοῦλαι κατ' οἴκους αὐτῶν ἐπανιοῦσαι γένωνται. οἱ δὲ μὴ βουλόμενοι τὸν τόπον κατῴκισαν, οὐκ ἔχοντες ὅπως ἐπὶ τὰ 363 σφέτερα πλεύσωσι.

Πρὸς τούτοις καὶ Καλλίας ὁ τὰς πράξεις Ἀγαθοκλέους γράφων γυναῖκά τινα Ῥώμην τοὔνομά φησι Τρῳάδα τὸ γένος σὺν τοῖς Τρωσὶν ἐλθοῦσαν 20 τῷ τηνικαῦτα βασιλεύοντι Λατίνῳ τῆς Ἰταλίας γήμασθαι καὶ τεκεῖν αὐτῷ παῖδας τρεῖς, Ῥῶμον καὶ Ῥωμύλον καὶ Τηλέγονον, ὃν οἰκῆσαι ἐν ἄλλοις χωρίοις ἐλέγετο· Ῥῶμον δὲ καὶ Ῥωμύλον παῖδας Λατίνου καὶ Ῥώμης τῆς Τρῳάδος τὴν πόλιν κτίσαι καὶ Ῥώμην καλέσαι τῷ μητρῴῳ ὀνόματι, τούς τε ἀπὸ Λατίνου Λατίνους, τοὺς καὶ Ἀβορήγινας πρότερον λεγομένους, 25 Ῥωμαίους προσαγορεῦσαι.

Πάλιν Ξεναγόρας ὁ ξυγγραφεὺς Ῥῶμον, Ἀντίαν καὶ Ἀρδίαν τρεῖς υἱοὺς Ὀδυσσέως καὶ Κίρκης λέγει εἶναι, οἳ καὶ τρεῖς κτίσαντες ἐπωνύμους πόλεις ᾤκισαν.

18 Γνῶθι τί λέγει περὶ Τρωιάδος Ῥώμης τινὸς γυναικός ‖ 24 ὅτι οἱ Λατεῖνοι πρό-
30 τερον Ἀβοριείγινες ἐκαλοῦντο ἔπειτα Ῥωμαῖοι

4 Hellanicus FGrHist 4 F 84 ‖ 8 Damastes FGrHist 5 F 3 ‖ 9 Aristoteles fr. 609 Rose ‖ 18 Callias Syracusanus FGrHist 564 F 5 ‖ 26 Xenagoras FGrHist 240 F 29

1 ἀγάθυμος AB ex Euseb. Ἀγάθυλλος Dion. Hal., cf. FGrHist 840 F 22 ‖ 4 ἐν Ἄργει Di. συνεργεῖς A ἐνεργεῖς B ‖ 5 ἐκ Μολοττῶν εἰς Di. ἐκμωλωτὸν (ἐκμολοτὸν B) τὸν εἰς AB ‖ 8 Δαμαστὴς Di. δαμαστὶς AB | Σιγειεύς Di. σιγιεὺς B αἰγειεὺς A ‖ 9 ἀχαιῶν A ἀχεῶν B ‖ 12 Λάτιον Di. λάτιων A λατείων B | Τυρρηνικῷ Di. τυρινικῷ B τυρικῷ A ‖ 16 κατῴκισαν Di. κατῴκησαν AB ‖ 21 et 22 ῥωμύλλον A ῥώμυλλον B ‖ 21 τιλέγενον B τηλεγόνα A ‖ 22 λατείνου B λατίνων A ‖ 24 τούς Go.[m] τοῖς AB | ἀπὸ Di. ὑπὸ AB ‖ 26 ἀντίαν B ἀρτίαν A ‖ 28 ᾤκισαν Di. ᾤκησαν AB

Ὁ δέ γε Χαλκιδεὺς Διονύσιος τὸν οἰκιστὴν τῆς πόλεως Ῥῶμον κατὰ μὲν τινὰς Ἀσκανίου, κατὰ δὲ ἄλλους Ἠμαθίωνος υἱὸν ἀποφαίνει.

Καὶ ἕτεροι ὑπὸ Ῥώμου τοῦ Ἰταλοῦ καὶ Λεύκης τῆς μητρὸς αὐτοῦ φασιν ἐκτίσθαι τὴν πόλιν Ἑλλήνων συγγραφεῖς καὶ ἄλλοι ἄλλως διαφερόμενοι.

364 *Κατὰ δὲ τοὺς Ῥωμαίων λογογράφους ὕστερον γεγονότας, ἐπεὶ παλαιὸς* 5 *οὐδεὶς παρ' αὐτοῖς, οἱ μὲν Αἰνείου Ῥωμύλον καὶ Ῥῶμον φάσκουσιν υἱούς, ἕτεροι δὲ θυγατρὸς Αἰνείου, τίνος πατρὸς ἀγνοοῦντες, καὶ τούτους ὑπ' Αἰνείου δοθῆναι Λατίνῳ πρὸς ὁμηρίαν εἰρήνης, ὃς ἄπαις τελευτῶν μοῖραν τῆς ἀρχῆς αὐτοῖς ἀπένειμε.*

Τινὲς δ' αὖ φασιν Ἀσκάνιον τὸν Αἰνείου υἱὸν μετὰ τὴν τοῦ πατρὸς τε- 10 *λευτὴν νείμασθαι τὴν ἀρχὴν ἅμα Ῥώμῳ καὶ Ῥωμύλῳ τοῖς ἀδελφοῖς, κτίσαι δὲ αὐτὸν μὲν τὴν Ἄλβαν καὶ ἄλλας πόλεις, Ῥέμον δὲ Καπύην ἀπὸ Κάπυος προπάππου, Ἀγχίσαν δὲ ἀπὸ Ἀγχίσου τοῦ πάππου, Αἰνείαν δὲ τὴν μετὰ ταῦτα κληθεῖσαν Ἰάνικλον εἰς ὄνομα τοῦ πατρός, Ῥώμην δὲ εἰς ἑαυτοῦ ὄνομα, ἥτις μετά τινα χρόνον ἐρημωθεῖσα ὑπὸ Ῥωμύλου καὶ Ῥέ-* 15 *μου τῶν ἀδελφῶν ἀνεκτίσθη, χρόνοις ἔπειτα τῆς Ἀλβανῶν ἀποικίας ἡγησαμένων, κατὰ τὴν ⟨ζ'⟩ ὀλυμπιάδα μετὰ ιε' γενεάς.*

Ἀντίοχος δὲ ὁ Συρακούσιος καὶ πρὸ Τρωικῶν φησι τὴν Ῥώμην ἐκτίσθαι, βασιλεύοντος Μόργητος Ἰταλίας ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας μετὰ τὸν πρῶτον λεγόμενον Ἰταλὸν βασιλέα καταγεγηρακότα. 20

Καὶ ταῦτα μὲν περὶ τῶν παλαιῶν αὐτῆς κτίσεων. τὴν μέντοι μετέπειτα
365 *καὶ αὐτὴν ἀσυμφώνως γράφουσι κτίσιν αὐτῆς, Τίμαιος μὲν πρὸ η' καὶ λ' τῆς πρώτης ὀλυμπιάδος λέγων ἐτῶν ἐκτίσθαι Ῥώμην, Λεύκιος δὲ Κίγκλιος, εἷς τοῦ βουλευτικοῦ συνεδρίου Ῥώμης, κατὰ τὸ δ' ἔτος τῆς ιβ' ὀλυμπιάδος, Φάβιος δὲ Κόιντος ἀρχομένης η' ὀλυμπιάδος, Πόρκιος δὲ Κάτων,* 25 *ἀνὴρ φιλόπονος περὶ συναγωγὴν τῶν ἀρχαιολογουμένων ἱστοριῶν, μετὰ τὰ Τρωικὰ χρόνοις ὕστερον υλβ'. οὗτος δὲ ὁ χρόνος κατὰ τὴν Ἐρατοσθένους χρονολογίαν τῷ πρώτῳ ἔτει συμπίπτει τῆς ζ' ὀλυμπιάδος.*

Καὶ ταῦτα μὲν ἀρκούντως ἡμῖν περί τε τοῦ χρόνου καθ' ὃν ἐκτίσθη

1 Dionysius Chalcidiensis FGrHist 840 F 10 || 18 Antiochus Syracusanus FGrHist 555 F 6 || 22 Timaeus FGrHist 566 F 60 || 23 L. Cincius Alimentus FGrHist 810 F 1 || 25 Fabius Pictor FGrHist 809 F 3 | Porcius Cato fr. 17 Peter || 27 Eratosthenes FGrHist 241 F 1[b] || 29 cf. Euseb. 1, 128, 9–16; 135, 29–136, 6

5 *γεγονότας* B *γεγονότες* A || 7 *πατρὸς* om. A | *τούτους τε* AB || 8 *λατείνῳ* B *λατίνων* A | *ἄπαις* om. A || 10 *τινὲς* Go.[m] *τινὰς* AB || 11 *Ῥωμύλῳ* Di. *ῥωμύλλῳ* AB || 12 *καππύην* A *καππύειν* B || 14 *Ἰάνικλον* Di. *ἄνεικλον* AB || 15 *Ῥωμύλου* Di. *ῥωμύλλου* AB | *ῥέμου* B *ῥέμια* A || 16 *τῆς σαλβανῶν* AB || 17 *ζ'* suppleui ex Euseb. (Dion. Hal.) 1, 131, 25 || 18 *συρακούσιος* B *συρρακούσιος* A | *τρωικῶν* B *τρωικὸν* A || 19 *Μόργητος* Di. *μόργιτος* AB | *ποσειδωνίας* A *ποσιδονίας* B || 20 *ἰταλὸν* B *ἰταλῶν* A || 22–23 *πρὸ η' καὶ λ' τῆς πρώτης* Di. ex Dion. Hal. *πρώην καὶ λαὰς τὰ τῆς πρώτης* A *πρώην καὶ λάτης τῆς πρὸ τῆς* B || 24 *τὸ δ' ἔτος* B *τῷ δ' ἔτει* A || 25 *Φάβιος* Di. *φάιος* AB || 28 *ζ'* om. A

Ῥώμη περί τε τοῦ κτιστοῦ καὶ τῆς ἐξ αὐτοῦ προσηγορίας Ῥωμαίων. πρὸ δέ γε τούτου Λατῖνοι μὲν ἀπὸ Λατίνου παιδός, ὥς φασιν, Ἡρακλέους ἐλέγοντο καὶ πρὸ Λατίνου Ἀβορήγινες ἐκ τῶν πρὸ Λατίνου Ῥωμαίοις γενεαρχησάντων πρωτογόνων· οὕτω γὰρ ἑρμηνεύεται παρὰ Ῥωμαίοις ἡ 5 *τῶν Ἀβοριγίνων προσηγορία, οὓς αὐτόχθονάς φασιν Ἰταλίας· καὶ πρό γε τούτων Σικελούς τινας, ἔθνος αὐθιγενὲς καὶ βάρβαρον, οἰκῆσαι τὴν χώραν· ὧν πρεσβυτέραν ἱστορίαν οὐκ ἔστιν εὑρεῖν, ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς ἐν πρώταις Ῥωμαϊκαῖς ἱστορίαις.*

Περὶ τῆς ἀρχαιογονίας Ῥωμαίων ἐκ τῆς ζ′ Διοδώρου Σικελιώτου 366
10

Ἔνιοι μὲν οὖν τῶν συγγραφέων πλανηθέντες ὑπέλαβον τοὺς περὶ τὸν Ῥωμύλον ἐκ τῆς Αἰνείου θυγατρὸς γεννηθέντα κεκτικέναι τὴν Ῥώμην· τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει, πολλῶν μὲν ἐν τῷ μεταξὺ χρόνῳ τοῦ τε Αἰνείου καὶ Ῥωμύλου γεγονότων βασιλέων, ἐκτισμένης δὲ τῆς πόλεως 15 *κατὰ τὸ β′ ἔτος τῆς ζ′ ὀλυμπιάδος. αὕτη γὰρ ἡ κτίσις ὑστερεῖ τῶν Τρωικῶν ἔτεσι τρισὶ πλείω τῶν υ′ καὶ λ′. Αἰνείας γὰρ μετὰ τὴν ἅλωσιν τῆς Τροίας ἐτῶν τριῶν παρελθόντων παρέλαβε τὴν τῶν Λατίνων βασιλείαν, καὶ κατασχὼν τριετῆ χρόνον ἐξ ἀνθρώπων ἠφανίσθη καὶ τιμῶν ἔτυχεν ἀθανάτων. τὴν δ' ἀρχὴν διαδεξάμενος Ἀσκάνιος υἱὸς ἔκτισεν Ἄλβαν τὴν* 20 *νῦν καλουμένην Λόγγαν, ἣν ὠνόμασεν ἀπὸ τοῦ ποταμοῦ τοῦ τότε μὲν Ἀλβᾶ καλουμένου, νῦν δὲ Τιβέρεως ὀνομαζομένου.*

Περὶ δὲ τῆς προσηγορίας ταύτης Φάβιος ὁ τὰς Ῥωμαίων πράξεις ἀναγράψας ἄλλως μεμυθολόγηκε. φησὶ γὰρ Αἰνείᾳ γενέσθαι λόγιον τετράπουν αὐτῷ καθηγήσασθαι πρὸς κτίσιν πόλεως. μέλλοντος δ' αὐτοῦ θύειν 25 *ὗν ἔγκυον τῷ χρώματι λευκὴν ἐκφυγεῖν ἐκ τῶν χειρῶν καὶ διωχθῆναι πρός τινα λόφον, πρὸς ᾧ κομισθεῖσαν τεκεῖν λ′ χοίρους. τὸν δὲ Αἰνείαν τό τε παράδοξον θαυμάσαντα καὶ τὸ λόγιον ἀνανεούμενον ἐπιχειρῆσαι μὲν οἰκῆσαι τὸν τόπον, ἰδόντα δὲ κατὰ τὸν ὕπνον ὄψιν ἐναργῶς διακωλύουσαν* 367

4 *τί ἑρμηνεύεται Ἀβορήγινοι* || 19 *ὅτι Ἄλβα Λόγγα ἐκαλεῖτο* || 21 *ὅτι ὁ Τιβερεὺς* 30 *ποταμὸς τῆς Ῥώμης Ἀλβᾶς τὸ πρῶτον ἐκαλεῖτο*

9 – p. 230, 2 Diodori fragmenta apud Euseb. 1, 136, 27 – 137, 21 || 22 Fabius Pictor FGrHist 809 F 2

2 *ἡρακλέους* B *ἡρακλέως* A || 3 *πρὸ*[2] A *παρὰ* B || 5 *φασιν* A *φησιν* B || 6 *οἰκῆσαι* B *οἰκίσαι* A || 12 *ῥώμυλον* B *ῥωμύλλον* A | *κεκτικέναι* A *κεκτηκέναι* B || 16 *τρισὶ* om. A || 21 *ἀλβὰ* B *ἀλαὰ* A | *τιβέρεως* B *τιβέριος* A || 23 *Αἰνείᾳ* Go.[m] *αἰνείαν* AB || 24 *αὐτῷ* A *αὐτὸν* B || 25 *καὶ διωχθῆναι* Exc. Euseb. *καταδιωχθῆναι* AB || 26 *ᾧ* B *ὃ* A || 29 *ἄλβα* B[m] *ἄλβαν* A[m] | *τιβερεὺς* B[m] *τιβέριος* A[m]

καὶ συμβουλεύουσαν μετὰ λ' ἔτη κτίζειν, ὅσοσπερ ὁ τῶν τεχθέντων ἀριθμὸς ἦν, ἀποστῆναι δὴ τῆς προθέσεως.

ΡΩΜΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ῥωμαίων α' ἐβασίλευσε Ῥωμύλος, ις' δὲ ἀπὸ Αἰνείου. ἐβασίλευσε δὲ ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμβ'. 5

Ἀπὸ Ῥωμύλου οἱ πρότερον καλούμενοι Λατῖνοι Ῥωμαῖοι προσηγορεύθησαν.

Οὗτος ὁ Ῥωμύλος ἀνελὼν Ῥέμον τὸν ἀδελφὸν αὐτοῦ βασιλεύει μόνος καὶ κτίζει καὶ τειχίζει Ῥώμην κατὰ τὴν ζ' ὀλυμπιάδα ἢ ὥς τινες κατὰ τὴν η', ἥτις τοῖς χρόνοις Ἀχὰς συντρέχει καὶ τῷ ͵δψνβ' ἔτει τοῦ κόσμου. 10

Οὗτος δὲ α' πόλεις λέγεται κτήσασθαι ὑποτελεῖς Ῥώμης.

Ἀπὸ Ἰλίου ἁλώσεως, ἣ γέγονε τῷ ͵δτλα' ἔτει τοῦ κόσμου, ἕως κτίσεως Ῥώμης καὶ τοῦ ͵δψνε' κοσμικοῦ ἔτους γίνονται ἔτη υκδ'.

Ῥωμύλος πρῶτος ἐκ τοῦ δήμου ἐστράτευσεν ἄνδρας, συγκλητικούς τε ρ' γέροντας ἐποίησε καὶ πατρικίους ἐξ αὐτῶν ἐκάλεσε, ναούς τε καὶ τείχη ἐν Ῥώμῃ ᾠκοδόμησε. 15

Ῥωμύλος ἐν τῷ Ῥωμαίων βουλευτηρίῳ δολοφονηθεὶς ἀποθνήσκει.

Ἐν τῷ ιγ' ἔτει τῆς βασιλείας Ῥωμύλου κτίζεται ἡ Ῥώμη.

368

ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀθηναίων κζ' ἐβασίλευσε Θεσπιεὺς Ἀρίφρονος ἔτη κζ', κατὰ δὲ ἄλλους ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχοα'. 20

Ἀθηναίων κη' ἐβασίλευσεν Ἀγαμίστωρ Θεσπιέως ἔτη ιζ', κατὰ δὲ ἄλλους ἔτη κζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχϛη'.

Ἀθηναίων κθ' ἐβασίλευσεν Αἰσχύλος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιε'.

8 *ὅτι ἐπὶ τοῦ Ἀχὰζ ἦν Ῥωμύλος ὁ κτίσας Ῥώμην* || **14** *ὅτι Ῥωμύλος α' ἐστράτευσε καὶ γέροντας ὠνόμασεν ρ' συγκλητικοὺς καὶ πατρικίους ἐκάλεσεν* || **18** *ὅτι τῷ ιγ' ἔτει Ῥωμύλου κτίζεται ἡ Ῥώμη* 25

4 Euseb. 1, 140, 29 = Dion. Hal. 1, 74 || **4–18** cf. ps. Sym. f. 51v (Gelzer 2, 374, om. Cedr.) || **6–9** cf. Liv. 1, 7, Plutarch. Rom. 10, 2, Diodor. 8, 6, 3 || **9–10** cf. supra 226, 16 || **9–10** cf. infra 236, 1 || **11** cf. Eutrop. 1, 2, 2, Hieron. = Euseb. 2, 89a || **12** cf. Euseb. 1, 140, 6 || **14** cf. Euseb. 2, 90d, Chron. ann. 354 p. 144 || **17** cf. Liv. 1, 16 || **18** sequitur ex coniunctione annorum mundi cum Olympiadibus || **20** Castor FGrHist 250 F 4 = Euseb. 1, 88, 9–12

1 *ὅσοσπερ* **B** *ὃς ὥσπερ* **A** || **2** *δὴ* v. Gutschmid *δὲ* **AB** del. Di. || **4** et similiter infra *ῥώμυλος* **B** *ῥωμύλλος* **A** || **11** *πόλεις* Go.m *πόλις* **AB** | *λέγεται* **B** *γέγονε* **A** | *κτήσασθαι* Di. *κτίσασθαι* **AB** | *ὑποτελεῖς* **B** *ὑποτελὴς* **A** || **12** *͵δτλα'*] *͵δτα'* **AB** || **14** *πρῶτος* **B** *α'* **A** *͵α* Gelzer 1, 230 *mille iuuenes* Chron. 354 || **19** titulum om. **A** || **21** et infra *ἦν ἔτος* om. **A** || **23** *κζ'* **B** *μ'* **A** ann. 17 Euseb. 1, ann. 20 Euseb. 2, ann. 26 Exc. Barb. 41a || **24** *ἔτη ιδ'*] ann. 23 Euseb.

Αἰσχύλου τῷ β′ ἔτει πληρουμένῳ καὶ ἀρχομένῳ τῷ γ′ αὐτοῦ ἔτει, ὃς ἦν κθ′ βασιλεὺς Ἀθηναίων ἀπὸ τοῦ α′ αὐτῶν Κέκροπος τοῦ διφυοῦς, ιβ′ δὲ τῶν διὰ βίου ἀρχόντων, ἡ πρώτη ὀλυμπιὰς ἤχθη κατὰ τὸ ͵δψκα′ ἔτος ἀπὸ Ἀδάμ, Ἀζαρίου δὲ βασιλέως Ἰούδα ἔτει λθ′, ὡς πρόκειται.

5 *Ὀλυμπιὰς δέ ἐστι παρ' Ἕλλησι τετραετηρικὸς χρόνος, οὗ κατὰ τὴν συμπλήρωσιν ἀρχομένου τοῦ ἔτους ὁ Ὀλυμπιακὸς ἀγὼν ἤγετο. τοῦτον Ἑλλήνων παῖδες ἀσυμφώνως ἱστοροῦσι καταδεδεῖχθαι. τινὲς γὰρ αὐτῶν ἀπὸ τῆς ὑπὸ Ἡρακλέους τοῦ Ἀλκμήνης τοῦ ἀγῶνος θέσεως τὸ πρῶτον ἦρχθαι τὸ τῆς Ὀλυμπιακῆς ἀθλήσεως εἶδός φασι πρὸ χ′ ἐτῶν τῆσδε τῆς*
10 *πρώτης ὀλυμπιάδος· ἄλλοι δὲ ὑπὸ Ἀεθλίου τεθῆναι τὸν ἀγῶνα κἀντεῦθεν ἀθλητὰς ὀνομάζεσθαι τοὺς ἀγωνιστάς, μεθ' ὃν Ἐπειὸς παῖς αὐτοῦ, εἶτα Ἐνδυμίων, ἔπειτα Ἀλεξῖνος καὶ μετὰ τοῦτον Οἰνόμαος καὶ μετὰ τοῦτον,* **369** *ὥς φασι, Πέλοψ εἰς τιμὴν τῇ πατρίδι προέστη τοῦ ἀγῶνος καὶ τῆς θυσίας. ἀριθμοῦσί τε ἀπὸ τοῦ Ἀλκμήνης Ἡρακλέους ἕως τοῦδε τοῦ*
15 *χρόνου γενεὰς ι′, ἄλλοι τρεῖς τελείας φασὶν ὀλυμπιάδας ἐπὶ Ἴφιτον τὸν ἀνανεωσάμενον τὸν ἀγῶνα. τοῦτον γὰρ Ἠλεῖον ὄντα καὶ προνοούμενον τῆς Ἑλλάδος παῦσαί τε σπεύδοντα πολέμων τὰς πόλεις ἐκ πάσης Πελοποννήσου πέμψαι θεωροὺς τοὺς πευσομένους περὶ τῆς τῶν πολέμων ἀπαλλαγῆς, χρησμόν τε λαβεῖν Πυθικὸν τοῦτον· ὦ Πελοποννήσου ναέται περὶ*
20 *βωμὸν ἰόντες, θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν, Ἠλεῖοι πρόπολοι πατέρων νόμον ἰθύνοντες. τοῖς δὲ Ἠλείοις τάδε προαγορεῦσαι. τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε, κοινοδίκου φιλίας ἡγούμενοι ⟨Ἑλλήνεσσι⟩, ἔστ' ἂν ἐνὶ ξυνόδοις ἔλθῃ φιλόφρων ἐνιαυτός.*

5 *παρ' Ἕλλησι τί ἐστιν ὀλυμπιάς* ‖ **16** *Ἴφιτος ἀνανεοῖ τὸν ὀλυμπιακὸν ἀγῶνα* ‖
25 **19** *χρησμὸν τοῦ Πυθίου*

1 Euseb. 1, 88, 13 = Exc. Euseb. 139, 2; 2, 86[b]; cf. Exc. Barb. 41a ‖ **3** tabula nostra quinque annos minus continet quam genuina Eusebii ‖ **5–6** cf. ps. Sym. f. 51[v] (Gelzer 2, 374, om. Cedr.) ‖ **7** Euseb. 1, 89, 26; 2, 59[c]; cf. Clem. Alex. Strom. 1, 137, 2 = Thrasyllum FGrHist 253 F 1 ‖ **10** – p. 232, 11 Euseb. 1, 89, 21 – 90, 26 = Exc. Euseb. 140, 17 – 141, 29

1 *β′ . . . γ′* **B** *β′ . . . τρίτῳ* **A** ita etiam Euseb. 2 et Exc. Barb. 41a *ιβ′ . . . ιγ′* Euseb. 1 et Exc. Euseb. ‖ **2** *διφυοῦς* Exc. Euseb. *διφυέως* **AB** ‖ **4** *ἔτει*] *ἔτη* **AB** ‖ **6** *τοῦτον* Di. *τούτων* **AB** ‖ **8** *Ἡρακλέους* Di. *ἡρακλέος* **A** *ἡρακλέως* **B** ‖ **9** *χ′* Go.[m] *͵δχ′* **AB** *419* Euseb. 1 *430* Euseb. 2 *462* Clem. Al. ‖ **11** *ὃν* **B** *ὧν* **A** | *Ἐπειὸς* Di. ex Euseb. *ἄπιος* **AB** ‖ **12** *Ἀλεξῖνος* Di. ex Euseb. *ἀλέξιος* **AB** ‖ **14** *Ἡρακλέους* Di. *ἡρακλέως* **AB** ‖ **15** *ἄλλοι τρεῖς τελείας φασὶν ὀλυμπιάδας* **AB** *οἱ δὲ τὰς τελείας τρεῖς φασιν* Exc. Euseb. *einige hingegen geben im ganzen deren dreie* Arm. fortasse legendum *γενεὰς* pro *ὀλυμπιάδας* uel *δεκατρεῖς* pro *τρεῖς* ‖ **16** *Ἠλεῖον* Di. ex Euseb. *ἴλιον* **AB** ‖ **19, 20** *περὶ βωμὸν* Exc. Euseb. *περιβώμιον* **AB** ‖ **20** *τά κεν* Scal. *τὰ καὶ* **AB** | *Ἠλεῖοι* Di. ex Euseb. *ἦν ἴλιοι* **AB** ‖ **21** *Ἠλείοις* Di. *ἴλιος* **AB** | *προαγορεῦσαι* **A** Exc. Euseb. *προσαγορεῦσαι* **B** ‖ **22** *ῥύεσθε . . . ἀπέχεσθε* Di. *ῥύεσθαι . . . ἀπέχεσθαι* **AB** ‖ **23** *Ἑλλήνεσσι* add. Di. ex Euseb. | *ξυνόδοις* Di. *ξυνωδοῖσιν* **AB** ‖ **25** lemma om. **A**[m]

Τούτου χάριν καὶ Ἴφιτος κατήγγειλε τὴν ἐκεχειρίαν ἐπὶ ἡμέρῳ τροφῇ
χρῆσθαι ὑπὸ Ἡρακλέους, καὶ χεῖρας ἀλλήλοις οὐκ ἐπέφερον. τὸν δὲ ἀγῶνα
370 τετέλεκεν Ἴφιτος Ἡρακλείδης σὺν Λυκούργῳ συγγενεῖ· ἑκάτεροι δὲ
Ἡρακλεῖδαι. τότε δὲ ἀγὼν σταδίου μόνον ἦν καὶ οὐδεὶς ἀνεγράφετο
νικηφόρος, ἀμελούντων τῶν τηνικάδε. ὀγδόῃ δὲ καὶ εἰκοστῇ ὀλυμπιάδι 5
Κόροιβος Ἠλεῖος ἀνεγράφη στάδιον νικήσας, καὶ ἡ κατ᾽ αὐτὸν ὀλυμπιὰς
πρώτη ἐτάχθη, ἀφ᾽ ἧς Ἕλληνες ἀριθμεῖν τι δοκοῦσιν ἀκριβῶς χρονικόν.
ταῦτα Ἀριστόδημος ἱστορεῖ καὶ συνῳδὰ τούτῳ Πολύβιος. Καλλίμαχος δέ
φησιν ὀλυμπιάδας ιγ´ παρεῖσθαι μὴ ἀναγραφείσας, τῇ δὲ ιδ´ Κόροιβον
Ἠλεῖον νικῆσαι. ὥστε ἐκ πάντων ἡμῖν δείκνυσθαι τὸν περὶ τῶν ὀλυμπιάδων 10
λόγον οὐ παρὰ πᾶσιν εἶναι τὸν αὐτόν. ὅθεν καὶ τοῖς ἐκκλησιαστικοῖς
ἱστορικοῖς οὐ συμπεφώνηται, ὡς ἔστι μαθεῖν τοὺς βουλομένους τοῖς
ἐκείνων συγγράμμασιν ἐντυγχάνοντας. ἡμῖν γὰρ τοῦτο μόνον ἐσπούδασται,
σαφῆ τινα καὶ κεφαλαιώδη τοῖς ἀγνοοῦσι θεωρίαν ἐκθέσθαι, οὐχ ὅτι
ταῖς θείαις γραφαῖς περὶ ὀλυμπιάδων τι εἴρηται, ἀλλ᾽ ὅτι πολλοῖς ὁ περὶ 15
αὐτῶν λόγος πατράσιν ἐν χρήσει γέγονε διὰ τὸ μετρεῖσθαι αὐτὰς παρά τε
Μακεδόσι καὶ Ῥωμαίοις καὶ Πέρσαις καὶ Αἰγυπτίοις καὶ αὐτοῖς Ἰουδαίοις,
ὡς μαρτυρεῖ Φίλων καὶ Ἰώσηππος ὀνομάζοντες αὐτάς.

Οὐκ ἄμουσον δ᾽ ἂν εἴη καὶ τὴν παρ᾽ Αἰγυπτίοις περὶ τῶν τετραετηρικῶν
ὀλυμπιάδων ἔννοιαν ἄλλην τινὰ τῆς παρὰ τοῖς Ἀθηναίοις οὖσαν ἐν 20
371 βραχεῖ δηλῶσαι τοῖς ἀγνοοῦσιν. ἡ γὰρ σελήνη παρ᾽ Αἰγυπτίοις κυρίως
ὀλυμπιὰς καλεῖται διὰ τὸ κατὰ μῆνα περιπολεῖν τὸν ζῳδιακὸν κύκλον,
ὃν οἱ παλαιοὶ αὐτῶν Ὄλυμπον ἐκάλουν.

Αὕτη γὰρ ἀπὸ καρκίνου τοῦ ἰδίου οἴκου ὡς ἀπὸ κέντρου προερχομένη
τὰ ιβ´ κατασπάζεται ζῴδια ἐν νυχθημέροις κθ´ ∪ καὶ λεπτοῖς λγ´, γ´. τῷ 25
δὲ ἐνιαυτῷ ὅλῳ δωδεκάκις αὐτὰ περιπολοῦσα πληροῖ νυχθήμερα τνδ´
καὶ ὥρας η´ καὶ λεπτὰ μ´. ὁ δὲ ἥλιος ἐν νυχθημέροις τξε´ δ´ περιπολεῖ τὸν
αὐτὸν Ὄλυμπον, ὡς λείπεσθαι τὸν σεληνιακὸν ἐνιαυτὸν τοῦ ἡλιακοῦ

1 δέον προσθεῖναι τῷ κανονίῳ τῶν βασιλέων τῶν Ἀθηναίων ἐν τοῖς πρὸ Αἰσχύλου χρόνοις ἔτη ς´ παραλειφθέντα ἡμῖν· οὕτως γάρ ἐστιν ἀρχὴ τῆς πρώτης ὀλυμπιάδος 30 τῷ μ<ε>´ Ὀζείου ἔτει ἐξ Ἀδὰμ ,δψκε´ ὄντι || 7 τίς ἦν ὁ ἀγών || 19 τί ἐστιν ὀλυμπιὰς παρ᾽ Αἰγυπτίοις || 24 περὶ τῆς σελήνης ψῆφος || 27 περὶ τοῦ ἡλίου ψηφοφορία || 28 πόσα λείπεται ἡ σελήνη παρὰ τὸν ἥλιον καὶ πῶς πληροῖ τὴν ὀλυμπιάδα

8 Aristodemus FGrHist 414 F 1 | Polybius FGrHist 254 F 2 | Callimachus fr. 433 Schn. || 21–22 cf. ps. Sym. f. 51ᵛ = Cedr. 189, 14

4 μόνον ἦν B tr. A || 5 εἰκοστῇ Exc. Euseb. εἰκάδι AB || 6 Κόροιβος Ἠλεῖος Exc. Euseb. κόρυβος ἴλιος AB et similiter infra || 15 πολλοῖς B πολὺς A || 20 τῆς Di. τὴν AB || 24 ἀπὸ B ὑπὸ A || 29 lemma om. A[m] || 32 ψηφοφορία A[m] ψῆφος B[m] || 33 καὶ . . . ὀλυμπιάδα om. A[m]

νυχθήμερα ι', ὥρας κα', λεπτὰ ε'. πληροῖ οὖν ὁ ἥλιος ἐν ὀλυμπιάδι μιᾷ τετραετηρικῇ ἡμέρας ,αυξα', ἡ δὲ σελήνη νυχθήμερα ,αυιζ', ὥρας ια', λεπτὰ κθ', ⟨ὡς λείπεσθαι⟩ σελήνιον α' ◡. ἐν δὲ ὀλυμπιάσι δύο γίνονται σελήνια ϙθ', νυχθήμερα δὲ ,βϡκβ', ἃ καὶ ὁ ἥλιος ἐν τοῖς η' ἔτεσι.

5 *Καὶ τοιαύτη μὲν ἡ τῶν Αἰγυπτίων δόξα περὶ ὀλυμπιάδων, τῶν δὲ παρὰ τοῖς Ἀθηναίοις ὀλυμπιάδων ἀνεγράφησαν σταδιονῖκαι σμη' μόνοι καὶ ἐτῶν ϡπθ', ἀρξαμένων ἀπὸ τοῦ καθολικοῦ κοσμικοῦ ,δψκε' ἔτους ἕως τοῦ ,εψιδ', τοῦτ' ἔστιν ἀπὸ τοῦ με' ἔτους Ὀζίου.*

Εὐσέβιος δὲ τὴν πρώτην ὀλυμπιάδα ἐπὶ Ἰωάθαμ συνάγει τοῦ μετὰ η' 10 *ἔτη βασιλεύσαντος τοῦ Ἰούδα καὶ τὸν Ἀφρικανὸν προφέρει συνᾴδοντα αὐτῷ ἐν τούτῳ. ὁ δὲ Ἀφρικανὸς μᾶλλον ἐναντιοῦται τῷ Εὐσεβίῳ, κατὰ τὸ* 372 *α' ἔτος Ἄχαζ τὴν πρώτην ὀλυμπιάδα φάσκων ἦρχθαι ἔν τε τῷ γ' καὶ ἐν τῷ δ' λόγῳ τῶν ἱστορικῶν αὐτοῦ τρανῶς, ἐν οἷς ὧδε γράφει· ἀναγραφῆναι δὲ πρώτην τὴν τεσσαρεσκαιδεκάτην, ἡνίκα καὶ Κόροιβος στάδιον. τότε* 15 *ἐβασίλευσεν Ἄχας ἐπὶ Ἱερουσαλὴμ ἔτος πρῶτον. εἶτα ἐν τῷ τετάρτῳ φησίν· ἦν δ' ἄρα τοῦ Ἄχας βασιλείας ἔτος πρῶτον, ᾧ συντρέχειν ἀπεδείξαμεν τὴν πρώτην ὀλυμπιάδα.*

ΜΗΔΩΝ ΒΑΣΙΛΕΙΣ

Μήδων α' ἐβασίλευσεν Ἀρβάκης, ὁ καταλύσας τὴν τῶν Ἀσσυρίων 20 *ἀρχήν, ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχος'.*

Μήδων β' ἐβασίλευσε Μανδαύκης ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψδ'.

Μήδων γ' ἐβασίλευσε Σώσαρμος ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψκδ'.

Μήδων δ' ἐβασίλευσεν Ἀρτυκας ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψνδ'.

25 *Μήδων ε' ἐβασίλευσε Διοικὴς ἔτη νδ'. Διοικὴς ὁ Μήδων βασιλεὺς ἔκτισεν Ἐκβάτανα τὴν πόλιν μεγάλην καὶ διαβόητον. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψπδ'.*

6 *τί ἐστιν ὀλυμπιὰς παρ' Ἀθηναίοις* || 19 *Ση. τίς καταλύει τὴν τῶν Ἀσσυρίων ἀρχήν*

6–7 cf. Euseb. 1, 103, 21 || 9 Euseb. 2, 86[h,k] = Africanus fr. 36 || 11 Africanus fr. 37 || 19–25 ita Euseb. 1, 32, 20–25 et Annianus apud Eliam Nisib. 16, 28, aliter Euseb. 2 || 26 Euseb. 2, 91[d]

3 *κθ'* **A** *κε'* **B** | *ὡς λείπεσθαι* addidi | *σελήνιον α'* ◡ delere maluit Go.[m] || 5 *τῶν*[2] Go.[m] *τῷ* **AB** || 6 *σταδιονῖκαι* Go.[m] *σταδίων ι' καὶ* **AB** | *μόνοι καὶ*] *μόνοις* **AB** || 7 *ἀρξαμένων* **B** *ἀρξάμενος* **A** | *,δψκε'* **B** *,αψκε'* **A** || 9 *ἰωάθαμ* **A** *ἰώθαμ* **B** || 10 *τοῦ* om. **A** || 14 *τεσσαρεσκαιδεκάτην* **B** *τεσσαρισκαιδεκάτην* **A** | *ἡνίκα* **A** *ἢνίκα* **B** | *Κόροιβος* Di. *κόρυβος* **AB** || 16 *δ' ἄρα* **B** *ἰάρα* **A** | *ᾧ* Go.[m] *ὡς* **AB** | *συντρέχειν* **B** *συντρέχει* **A** || 18 titulus in margine **A** || 20 et infra *ἦν ἔτος* om. **A** || 26 *Ἐκβάτανα* Go. *ἐκβακτάα* **AB**

373 ## ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

Κάρανος ὁ Ἀργεῖος Φείδωνος ἀδελφὸς τοῦ τότε βασιλέως Ἀργείας ἰδίαν κτήσασθαι χώραν σπεύδων, δύναμιν λαβὼν παρὰ Φείδωνος τοῦ ἀδελφοῦ ἔκ τε Ἄργους καὶ τῆς ἄλλης Πελοποννήσου τοῖς κατὰ Μακεδονίαν τόποις ἐπῆλθε. συμμαχήσας δὲ καὶ τῷ τῶν Ὀρεστῶν βασιλεῖ κατὰ 5 *τῶν πλησιοχώρων Ἐορδανῶν λεγομένων, τῆς κατακτηθείσης χώρας τὸ ἥμισυ προσλαβὼν διὰ τὴν συμμαχίαν, παρέλαβε τὴν Μακεδονίαν καὶ ἔκτισε πόλιν ἐν αὐτῇ κατὰ χρησμόν, ἐξ ἧς ὁρμώμενος συνεστήσατο τὴν Μακεδονικὴν βασιλείαν, ἣν καθεξῆς οἱ ἀπ' αὐτοῦ διεδέχοντο. ἦν δὲ ὁ Κάρανος ια' ἀπὸ Ἡρακλέους, ζ' δὲ ἀπὸ Τημένου τοῦ μετὰ τῶν ἄλλων* 10 *Ἡρακλειδῶν κατελθόντος εἰς Πελοπόννησον.*

Κάρανος Μακεδόνων α' ἐβασίλευσεν ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψα'. πρὸ τῆς πρώτης ὀλυμπιάδος ἔτεσιν ιη'. ἀπὸ Καράνου τοῦ α' βασιλέως Μακεδόνων ἕως Ἀλεξάνδρου τοῦ κτιστοῦ βασιλεῖς Μακεδόνων κδ' ἔτη ⟨υπ'⟩.

374 *Φείδων Ἄργους κρατῶν ἀδελφὸς Καράνου τοῦ α' βασιλέως Μακεδόνων* 15 *μέτρα καὶ σταθμία πρῶτος ἐφεῦρεν, ὥς τινες· ἦσαν δὲ καὶ πρὸ τούτου.*

Μακεδόνων β' ἐβασίλευσε Κοινὸς ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλα'.

ΚΟΣΜΟΥ ΕΤΗ

Τοῦ Ἰούδα θ' ἐβασίλευσεν Ἀμεσίας ἔτη κθ', υἱὸς αὐτοῦ. τοῦ δὲ κόσμου 20 *ἦν ἔτος ͵δχνγ'.*

Ἀμεσίας ἐστράτευσε κατὰ τῶν Ἰδουμαίων καὶ τῶν υἱῶν Σηείρ, καὶ

1 *περὶ τῶν Μακεδόνων πόθεν ἤρξαντο· Κάρανος* || 15 *ὅτι ὁ Φείδων τῆς Ἄργους κρατῶν ἐφεῦρε πρῶτος μέτρα καὶ σταθμία· ἦσαν δὲ καὶ πρὸ τούτου* || 22 *Ἀμεσίας ἀσεβής*

2–11 cf. Diodor. 7, 17 = Euseb. 1, 107, 20–28 || 2 non est Caranus frater Phidonis apud Euseb., sed cf. infra 316, 8 = Theopomp. FGrHist 115 F 393 || 10 cf. Theopomp. FGrHist 115 F 393, Ephorum FGrHist 70 F 115, Marmor Parium FGr Hist 239 A 30–31 || 13 fortasse ex anno primae Olympiadis Panodori, cf. infra 378, 7 et Chron. Synt. 90, 8 || 13–14 Euseb. 1, 108, 15 (ex Diodoro) || 15 Euseb. 2, 84[c]; cf. Herodot. 6, 127, 3, Ephorum FGrHist 70 F 115, Marmor Parium FGrHist 239 A 30, Plin. N. H. 7, 198 || 17 Euseb. 1, 107, 30 (ex Diodoro) || 20 4 Reg. 14, 1–2 || 22–p. 235, 4 2 Paralip. 25, 11–14

2 *κάρανος* A *κάραμος* B | *τοῦ τότε βασιλέως* Scal. *τούτου τότε βασιλείας* AB || 4–5 *τοῖς . . . τόποις* B *τοὺς . . . τόπους* A || 6 *κατακτηθείσης* Scal. *κατατιθείσης* AB || 14 *βασιλεῖς* B *βασιλεῖ* A | post *ἔτη* lacunam indicauit Go. et *υνε'* suppleuit. *ἔτη* delere maluit Di. reges 24, annos 480 apud Euseb. || 16 *ἦσαν* A *εἶσαν* B || 17 *κη'* B Euseb. *κθ'* A || 19 *ΚΟΣΜΟΥ ΕΤΗ* B *κόσμου ἔτος* in margine A || 21 *ἦν ἔτος* om. A || 22 *Ἰδουμαίων . . . Σηείρ* Di. ex Paralip. *ἰουδαίων . . . σιείρ* AB || 23 *τῆς* A[m] *τοῦ* B[m] || 24 *ἐφεῦρε* A[m] *ἔφερε* B[m] | *ἦσαν* A[m] *εἶσαν* B[m]

ἔλαβε νικήσας τοὺς θεοὺς αὐτῶν, καὶ ἀγαγὼν εἰς Ἱερουσαλὴμ ἐλάτρευσεν αὐτοῖς.

Ἀνῃρέθησαν δὲ ἐν τῷ πολέμῳ ἐκ τοῦ Ἰούδα ἄνδρες ͵γ ὑπὸ τῶν ι' φυλῶν.

5 *Τὰ κατὰ Ναιεμὰν τὸν ἀρχιστράτηγον βασιλέως Συρίας, καὶ ὅπως τῆς λέπρας ἀπηλλάγη. ταύτην τε Γιεζεὶ ὁ δοῦλος Ἐλισσαίου χρήμασιν ἐπεσπάσατο ψευσάμενος τῷ προφήτῃ.*

Προφήτῃ ξυλευομένῳ παρὰ τὸν Ἰορδάνην ἐξέπεσε τὸ σιδήριον τοῦ στελεοῦ, ὅπερ ἀναπλεῦσαν ὡς ξύλον προστάξει Ἐλισσαίου ἀπέλαβεν ὁ 10 *προφήτης.*

Ἀμεσίας ἐπαναστάσεως γινομένης ἀνῃρέθη φυγὼν εἰς Λαχείς, βασιλεύσας ἔτη κθ'.

Τοῦ Ἰούδα ι' ἐβασίλευσεν Ἀζαρίας ὁ καὶ Ὀζίας, υἱὸς Ἀμεσίου, ἔτη νβ'. **375** *τοῦ δὲ κόσμου ἦν ἔτος ͵δχπβ'.*

15 *Οὗτος εὐσεβὴς ἦν καὶ τοῖς περιοίκοις τῶν ἐθνῶν πολεμήσας πόλεις ἔλαβε πλείστας. φιλεργότατος δὲ ὢν πύργοις καὶ τείχεσι τὰς πόλεις κατεφρούρησε τήν τε ἔρημον λάκκοις ὑδάτων κατεφρεάτωσεν.*

Οὗτος Ὀζίας εἰσελθεῖν εἰς τὰ ἅγια πειραθείς, κωλύοντος αὐτὸν Ἀζαρίου τοῦ ἀρχιερέως ἐλεπρώθη· καὶ ἦν ἀπρόσιτος διὰ τὸ αἶσχος. Ἰωάθαμ δὲ 20 *ὁ υἱὸς αὐτοῦ ἐδίκαζεν ἀντ' αὐτοῦ τὸν Ἰούδαν.*

Προεφήτευον δὲ Ἀμώς, Ὠσηέ, Ἡσαΐας.

Πρώτη ὀλυμπιὰς ἤρξατο ἔτει Ὀζίου με'.

Τοῦ Ἰούδα ια' ἐβασίλευσεν Ἰωάθαμ υἱὸς Ὀζίου ἔτη ις'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλδ'.

25 Ἀρχὴ ὀλυμπιάδος γ' πρώτη Ἰωάθαμ.

Ἰωάθαμ εὐσεβὴς ὢν ᾠκοδόμησε τὴν πύλην οἴκου κυρίου, Ἀμμανίταις τε χρήματα ἐπετάξατο.

Ἔτι προεφήτευον Ὠσηέ, Ἰωήλ, Ἡσαΐας, Ὠδήδ, Μιχαίας.

Ἰωάθαμ πλεῖστα ᾠκοδόμησεν ἐν Ἱερουσαλήμ.

30 **5** *περὶ Ἐλισσαίου πῶς ἰάσατο τὸν Ναιεμάν* || **8** *περὶ τοῦ σιδηρίου πῶς διὰ τοῦ Ἐλισσαίου ἀνέπλευσεν ἐν τῷ Ἰορδάνῃ* || **18** *ὅπως Ὀζίας ἐλεπρώθη* || **23** *ὀλυμπιὰς β'* || **25** *ὀλυμπιὰς γ' Εὐσέβιος*

5 4 Reg. 5, 14–24 || **8** 4 Reg. 6, 1–7 || **11** 4 Reg. 14, 19 || **13** 4 Reg. 15, 1 (Azarias), 2 Paralip. 21, 1 (Ozias) || **15** 2 Paralip. 26, 6–10 || **18** 2 Paralip. 26, 16–21 || **21** cf. Euseb. 2, 84[a] || **22** cf. Euseb. 2, 86, 1 (anno 49 Azarias), aliter supra 231, 4 || **23** 4 Reg. 15, 33 || **26** 4 Reg. 27, 3–6 || **28** cf. Euseb. 2, 87[b] || **29** 2 Paralip. 27, 3–4

5 *ναιεμὰν* **A**[m] *νεεμὰν* **AB** *Ναιμὰν* 4 Reg. || **6** *Γιεζεὶ* 4 Reg. *γιεζῆ* **A** *γιεζὶ* **B** || **13** *Ἀμεσίου* Go. *ναμεσίου* **AB** || **14** et infra *ἦν ἔτος* om. **A** || **19** *ἀπρόσιτος* Go. *ἀπρόιτος* **A** *ἀπρόητος* **B** | *ἰωάθαμ* **B** *ἰωάθαν* **A** || **20** *ἰούδαν* **B** *ἰούδα* **A** || **22** *ἔτει* **B** *ἔτη* **A** || **24** *͵δψλδ'* Go.[m] *͵δψλ'* **AB** || **25** *πρώτη* ita **AB** rectius fortasse *α' ἔτει* || **28** *ἔτι* **B** *ἔτη* **A** || **30** *τὸν ναιεμὰν* **A**[m] *τονεμὰν* **B**[m] || **32** *Εὐσέβιος* om. **B**[m]

Τοῦ Ἰούδα ιβ′ ἐβασίλευσεν Ἄχαζ ἔτη ις′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψν′.

376 *Ἄχαζ συντυχὼν τῷ Θεγλαφαλασὰρ ἐν Δαμασκῷ θυσιαστήριόν τι εἰδωλικὸν εἶδε. τούτου λαβὼν τὰ μέτρα ἀπέστειλεν εἰς Ἱερουσαλὴμ πρὸς Οὐρίαν τὸν ἀρχιερέα, κελεύσας ὅμοιον αὐτοῦ ποιῆσαι, ἐφ᾽ ᾧ τοῖς θεοῖς* 5 *Σύρων ἔθυεν ὑποστρέψας· τὸν δὲ ναὸν τοῦ θεοῦ ἔκλεισεν.*

Ἔτι προεφήτευον Ἡσαΐας, Ὠσηέ, Μιχαίας.

Τοῦ Ἰούδα ιγ′ ἐβασίλευσεν Ἐζεκίας ἔτη κθ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψξς′.

Ἐζεκίας υἱὸς Ἄχαζ καὶ Ῥαβουνᾶ τῆς θυγατρὸς Ζαχαρίου πάντων 10 *εὐσεβέστερος γέγονε τῶν πρὸ αὐτοῦ βασιλευσάντων ἐν Ἱερουσαλὴμ μετὰ τὸν Δαβίδ. οὗτος τὰ εἰδωλεῖα κατέσκαψε καὶ τὰς στήλας αὐτῶν συνέτριψε, τά τε ἐν τοῖς ὑψηλοῖς καθεῖλεν ἀπὸ Σολομῶνος μέχρις αὐτοῦ θυμιώμενα ὑπὸ τῶν Ἰουδαίων, καὶ τὰ ἄλση ἐξέκοψεν, ἀφανίσας καὶ τὸν ὄφιν ὃν ὕψωσε Μωυσῆς ἐν τῇ ἐρήμῳ τὸν χαλκοῦν, ἕως αὐτοῦ ὑπὸ τοῦ λαοῦ θυμιώ-* 15 *μενον καὶ λατρευόμενον, μετὰ τῶν λοιπῶν βδελυγμάτων.*

Ἐζεκίας μὲν οὖν ὁ βασιλεὺς Ἰούδα μετὰ τὸ κατασκάψαι τὰ εἰδωλεῖα καὶ τὰ ἄλση ἐκκόψαι καὶ τὸν χαλκοῦν ὄφιν ἐξαλεῖψαι τοὺς εὑρισκομένους εἰδωλολατροῦντας ἐξ Ἰουδαίων ἐθανάτου. τοσοῦτον γὰρ τῇ εἰδωλολατρείᾳ συνείχοντο ὥστε τῶν θυρωμάτων ὄπισθεν ζωγραφεῖν τὰ βδελύγματα 20 *τῶν ἐθνῶν καὶ προσκυνεῖν αὐτοῖς, καὶ ἵνα τῶν παρ᾽ Ἐζεκίου ψηλαφᾶν*

377 *πεμπομένων κρύβοιντο ἀνοιγομένων τῶν θυρῶν. ἦν δὲ καὶ Σολομῶνος γραφή τις ἐγκεκολαμμένη τῇ πύλῃ τοῦ ναοῦ παντὸς νοσήματος ἄκος περιέχουσα, ᾗ προσέχων ὁ λαὸς καὶ τὰς θεραπείας νομιζόμενος ἔχειν κατεφρόνει τοῦ θεοῦ· διὸ καὶ ταύτην Ἐζεκίας ἐξεκόλαψεν, ἵνα πάσχοντες* 25 *τῷ θεῷ προσέχωσιν.*

Ἐπολέμησε δὲ τοῖς ἀλλοφύλοις μέχρι Γάζης.

Ἀσσυρίων τε ἀπέστη πρότερον ὑπήκοος ὢν καὶ τὰ διεφθαρμένα τείχη τῆς Ἱερουσαλὴμ ἀνεκαίνισεν, δεύτερον αὐτῇ περιθεὶς τείχισμα, ἀφανίσας

1 *ὀλυμπιὰς δ′* || 14 *περὶ τοῦ χαλκοῦς ὄφεως ὅτι ἐσέβοντο αὐτὸν Ἰουδαῖοι ἕως Ἐζεκίου* 30

1 4 Reg. 16, 1–2 || 3 4 Reg. 16, 10–18 || 6 2 Paralip. 28, 24 || 7 cf. Euseb. 2, 89[b] || 8 4 Reg. 18, 1 || 10 4 Reg. 18, 2–4 || 17–19 4 Reg. 18, 4 || 19–22 cf. Ekah 1, 91–92 (de Iosia dicta); uide Ginzberg 6, 378 || 22 cf. Chron. Pasch. 214, 5, [Leon. Gramm.] 36, 5, Yerushalmi 9, 36c–d; uide Ginzberg 6, 369 || 27 4 Reg. 18, 8 || 28 2 Paralip. 32, 1–5

10 *ῥαβουνᾶ* **AB** *Ἀβοὺ* 4 Reg. *Ἀββὰ* 2 Paralip.[v] *Ἀββαθὺθ* 2 Paralip.[A] || 13 *σολομῶνος* **B** *σολομῶντος* **A** || 16 *λατρευόμενον* **BA[c]** *λατρευσάμενον* ante corr. **A** || 22 *Σολομῶνος* Di. *σολομῶν ὡς* **AB** || 23 *ἐγκεκολαμμένη* Go. *ἐγκεκολλαμένη* **AB** || 26 *προσέχωσιν* **A** *προσέχουσιν* **B**

δὲ τὰ πέριξ τῆς πόλεως ὕδατα διὰ δίψαν τῶν πολεμίων καὶ μόνην ἀποστρέψας ἔνδον τῆς πόλεως τὴν τοῦ Σιλωὰμ πηγήν.

Ἐπιστρατεύσαντος δ' αὐτῷ τοῦ Σεναχηρεὶμ καὶ τὰς πέριξ πορθοῦντος πόλεις συγγνώμην αὐτῷ τῆς ἀποστασίας ᾔτει, δοὺς καὶ τ' τάλαντα 5 ἀργυρίου χρυσίου τε λ'. ὁ δὲ ταῦτα λαβὼν οὐκ ἀπέστη, ἀλλὰ Ῥαψάκην στρατηγὸν αὐτοῦ σὺν ὄχλῳ βαρεῖ κατὰ τῆς Ἱερουσαλὴμ πέμψας ἀπειλὰς ἔγραψε πρὸς Ἐζεκίαν καὶ εἰς θεὸν βλασφημίας. τὸ δὲ βιβλίον τῆς γραφῆς ταύτης ἐνώπιον κυρίου ἁπλώσας ἐθαρρύνετο πρὸς τοῦ προφήτου Ἡσαΐου, μὴ φοβεῖσθαι δὲ τοὺς ἀσεβεῖς ὡς ὑπὸ θεοῦ πτοηθησομένους.

10 *Τότε ἄγγελος κυρίου νυκτὸς διέφθειρε παραδόξως ρπε' χιλιάδας ἀνδρῶν τῆς τῶν Ἀσσυρίων παρεμβολῆς. καὶ Σεναχηρεὶμ σὺν τοῖς ὑπολοί-* **378** *ποις ἀνέζευξεν ἀδόξως εἰς τὴν Ἀσσυρίαν, ἀκηκοὼς ὅτι καὶ ὁ τῶν Αἰθιόπων βασιλεὺς Βαραθὰχ ἔρχεται πολεμήσων αὐτόν. ἐλθὼν δὲ εἰς Νινευὶ τοὺς αἰχμαλώτους τοῦ Ἰσραὴλ ἐκακούχει, αὐτός τε ὑπὸ τῶν ἰδίων ἀναιρεῖται 15 τέκνων.*

Ὁ δὲ βασιλεὺς Ἐζεκίας νοσήσας πρὸς θάνατον τῷ ιε' ἔτει τῆς βασιλείας αὐτοῦ ἀπηγορεύθη τοῦ ζῆν ὑπὸ Ἡσαΐου καὶ στραφεὶς καὶ δακρύσας πρὸς θεὸν ἐτῶν ιε' προσθήκην ζωῆς ἔλαβε διὰ τοῦ παραδόξου σημείου πιστουμένην τῆς ἐπανόδου τοῦ ἡλίου ἐκ τῆς φυσικῆς κινήσεως δέκα 20 βαθμοὺς ἀναποδισάσης καθ' ὅλην τὴν οἰκουμένην, ὡς εἶναι τὴν ἡμέραν ἐκείνην μόνην χωρὶς τῆς ἰδίας νυκτὸς ὡρῶν κβ'. οὗτος Ἐζεκίας πρὸ τῆς νόσου, φασί, σωφροσύνην ἤσκει, ἀθάνατος δι' αὐτῆς ἔσεσθαι ἐλπίζων καὶ τὸ 'οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα' εἰς τοῦτο νοῶν. ἐν δὲ τῷ ἀσθενεῖν ηὔξατο ἀναστὰς παιδοποιήσειν.

25 *Ὁ δὲ Μαρωδὰχ Βαλαδὰν ἐκπλαγεὶς τῷ σημείῳ τῆς ἡλιακῆς ἀναποδίσεως, ἀκούσας τε τὰ κατὰ τὴν Ἐζεκίου συμβάντα νόσον, ἀπέστειλε πρέσβεις καὶ δῶρα, συνηδόμενος αὐτῷ τῆς ζωῆς. ὁ δὲ Ἐζεκίας ἀφεὶς*

3 *περὶ τοῦ Σεναχηρεὶμ καὶ Ῥαψάκου* || **10** *μιᾷ νυκτὶ ρπε' χιλιάδες ὑπὸ ἀγγέλου διεφθάρησαν* || **12** *τῶν Αἰθιόπων βασιλεὺς Βαραθάχ* || **16** *ιε' ἔτη προσθήκη ζωῆς* 30 *τῷ Ἐζεκίᾳ* || **18** *τί λέγει περὶ τοῦ ἡλίου πῶς ἀνεπόδισε ι' βαθμούς*

3 4 Reg. 18, 13–19, 37 || **16**–p. 238, **4** 4 Reg. 20, Isaias 38–39, cf. Ioseph. Ant. Iud. 10, 24–34, Iohann. Anag. f. 116r || **16–21** cf. ps. Sym. f. 51v = Cedr. 190, 10

3 *σεναχηρεὶμ* **A** *σενναχειρεὶμ* **B** || **9** *πτοηθησομένους* **A** *πτωηθησομένους* **B** || **13** *βαραθὰχ* **BA**c *βαραχὰθ* ante corr. **A** *Θαρὰ* 4 Reg.v *θαρακὰ* 4 Reg.A || **17** *ἀπηγορεύθη* **AB** *ἀνηγορεύθη* Iohann. Anag. om. ps. Sym. || **21** *τῆς*[1] om. **B** || **23** *τὸ* **B** *τῷ* **A** || **25** *μαρωδὰχ* **A** 4 Reg. *μαροδὰχ* **B** | *βαλαδὰν* **B** 4 Reg. *βαλαδὰμ* **A** || **27** *συνηδόμενος* **B** *συνειδόμενος* **A** || **28** *σεναχηρεὶμ* **A**m *σενναχερεὶμ* **B**m || **29** *Βαραθάχ*] *βαραχάθ* **A**m *βαραχθάς* **B**m || **30** *ἐζεκίᾳ* **A**m *ἐζεκιὴλ* **B**m | *ἀνεπόδισε* **A**m *ἀνεπίδισε* **B**m

διηγεῖσθαι τὰς δυνάμεις τοῦ θεοῦ τὸν ἐν τοῖς βασιλείοις ὑπεδείκνυε πλοῦ-
379 *τον. Ἡσαΐας δὲ τῆς ἀλαζονείας αὐτὸν καταμεμψάμενος ὡς ἐν ἐπι-*
τιμίῳ τὴν μέλλουσαν τῶν ὑποδειχθέντων τοῖς ἐχθροῖς ἅλωσιν προεφή-
τευσεν.

Ἐζεκίας ὕδασι κατάρρυτον ἐποίησε τὴν Ἱερουσαλήμ. 5

Ἐπὶ τούτου Μιχαίας προεφήτευσε κατὰ τῆς Ἱερουσαλὴμ ὅτι Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται καὶ Ἱερουσαλὴμ ἄβατος ἔσται, καὶ οὐκ ἀνηρέθη ὑπὸ Ἐζεκίου.

Τῷ ιδʹ ἔτει Ἐζεκίου, κόσμου δὲ ,δψοηʹ, ἀνέβη Σεναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὰς πόλεις Ἰούδα τὰς ὀχυρὰς καὶ ἔλαβεν αὐτάς· καὶ 10 *ἔδωκεν αὐτῷ Ἐζεκίας πᾶν τὸ ἀργύριον οἴκου κυρίου καὶ οἴκου τοῦ βασιλέως.*

Τοῦ Ἰσραὴλ ιʹ ἐβασίλευσεν Ἰωάχαζ υἱὸς Ἰηοὺ ἔτη ιζʹ. οὗτος ὑπόσπονδος Σύροις ἐγένετο, μετὰ δὲ ταῦτα πολεμήσας αὐτοῖς ἐρρύσατο τὸν Ἰσραήλ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχληʹ. 15

Τοῦ Ἰσραὴλ ιαʹ ἐβασίλευσεν Ἰωὰς ἔτη ιςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχνεʹ.

Ἰωὰς βασιλεὺς Ἰσραὴλ τροπωσάμενος πολέμῳ τὸν Ἰούδαν συνέλαβεν Ἀμεσίαν τὸν βασιλέα Ἰούδα καὶ καθεῖλε τὰ τείχη Ἱερουσαλὴμ πήχεις υʹ, καὶ σκυλεύσας αὐτὴν ἐπανῆλθεν εἰς Σαμάρειαν. 20

380 *Τούτοις τοῖς χρόνοις προεφήτευσεν Ὠσηέ, Ἀμώς, Ἰωνᾶς, Ναούμ, ἡνίκα καὶ Ἰωνᾶς ἐκπεμφθεὶς εἰς Νινευὶ εἰς Θαρσεὶς φεύγει καὶ ὑπὸ κήτους καταποθεὶς τριήμερος ἀνεμεῖται. Θαρσεὶς δὲ Ῥόδον καὶ Κύπρον Ἀφρικανὸς λέγει εἶναι.*

Τοῦ Ἰσραὴλ ιβʹ ἐβασίλευσεν Ἱεροβωὰμ ἔτη μαʹ υἱὸς Ἰωάς. οὗτος 25 *ἀπέδωκε τὸ ὅριον Ἰσραὴλ κατὰ τὴν προφητείαν Ἰωνᾶ τοῦ Ἀμαθὶ τοῦ Γετθαίου τοῦ προφήτου. τοῦ δὲ κόσμου ἦν ἔτος ,δχοαʹ.*

2 *τί προεφήτευσε περὶ τῆς ἁλώσεως Ἡσαΐας* || **6** *τί προεφήτευσε Μιχαίας* || **21** *ἐπὶ τίνος προεφήτευσαν Ὠσηὲ Ἀμὼς Ναοὺμ Ἰωνᾶς· πότε προφητεύει Ἰωνᾶς*

5 4 Reg. 20, 20 || **6** Michaias 3, 12 || **9** 4 Reg. 18, 13, cf. Iohann. Anag. f. 116r || **13** 4 Reg. 13, 1–4 || **16** 4 Reg. 13, 10 || **18** 4 Reg. 14, 11–14 || **21** cf. Euseb. 2, 84a || **22–23** Ionas 1, 1–2, Ioseph. Ant. Iud. 9, 208–214; cf. Iohann. Anag. f. 115v || **24** Africanus fr. 32, cf. ps. Sym. f. 51v (Gelzer 2, 375, om. Cedr.) || **25** 4 Reg. 14, 23–25

1 *τὰς δυνάμεις τοῦ θεοῦ* **AB** *τὰς δυναστείας κυρίου* Iohann. Anag. | *ὑπεδείκνυε πλοῦτον* **AB** *διεδείκνυε πλάστην* Iohann. Anag. || **3** *προεφήτευσεν* **B** *προεφήτευεν* **A** || **5** *κατάρρυτον* **A** *κατάρυτον* **B** || **7** *ἀροτριαθήσεται* **B** *ἀροτριασθήσεται* **A** || **8** *Ἐζεκίου* Go. *ἰεζεκίου* **A** *ἐζικίου* **B** || **13** *ἰωάχαζ* **B** *ἰωάχας* **A** || **18** *ἰούδαν* **B** *ἰούδα* **A** || **19** *τὰ* om. **A** | *πήχεις* **B** *πήχοις* **A** || **22** *καὶ . . . φεύγει* om. **B** || **23** *καταποθεὶς* **B** *καταπωθεὶς* **A** || **25** *ἱεροβωὰμ* **B** *ἱερωβοὰμ* **A** || **26** *ἀμαθὶ* **A** 4 Reg.A *ἀμαθεὶ* **B** 4 Reg.V || **27** *ἦν ἔτος* om. **A**, similiter p. 239, 3, 5, 13 sed habet 9 || **28** lemma (6) om. Am

Τοῦ Ἰσραὴλ ιγʹ ἐβασίλευσε Ζαχαρίας μῆνας ςʹ, μεθ' ὃν ιδʹ Σελοὺμ ἡμέρας λʹ. τοῦτον ἀποκτείνας Μαναὴμ ὁ τοῦ Γαδὶ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη ιʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιβʹ.

Τοῦ Ἰσραὴλ ιεʹ ἐβασίλευσε Μαναὴμ ἔτη ιβʹ. τὰ δὲ πολλὰ τῶν ἀντιγρά- 5 *φων ἔτη ιʹ ἔχουσι. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψιβʹ.*

Οὗτος τοὺς μὴ δεχομένους αὐτὸν ἐν τάφοις διέφθειρε καὶ τὰς ἐγκύους γυναῖκας ἀνέρρηξεν ἀσεβῶς.

Τοῦ Ἰσραὴλ ιςʹ ἐβασίλευσε Φακεσίας υἱὸς Μαναὴμ ἔτη ιʹ. Ἀφρικανὸς δὲ ἔτη βʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψκδʹ.

10 *Τὸν Φακεσίαν ἀποκτείνας Φακεὲ υἱὸς Ῥωμελίου ἐβασίλευσε τοῦ Ἰσραήλ.*

Τοῦ Ἰσραὴλ ιζʹ ἐβασίλευσε Φακεὲ υἱὸς Ῥωμελίου ἔτη κηʹ κατὰ τὸν ἀκριβῆ λόγον. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλδʹ.

Οὕτω γὰρ εὑρεθήσεται τὸ θʹ ἔτος τοῦ ιηʹ καὶ τελευταίου βασιλέως τῶν 381 15 *ιʹ φυλῶν Ὡσηὲ συντρέχον τῷ ςʹ ἔτει Ἐζεκίου βασιλέως Ἰούδα κατὰ τὴν γραφὴν καὶ †οὐ καλῶς, καθ' ὃ γέγονεν ἡ πρώτη τοῦ Ἰσραὴλ αἰχμαλωσία. εἰσὶ μέντοι τινὰ τῶν ἀντιγράφων κʹ ἔχοντα ἔτη τοῦ Φακεέ, ὡς καὶ Ἀφρικανὸς καὶ Εὐσέβιος, καὶ ἕτερα ιηʹ, ἀλλ' οὐ χρὴ πείθεσθαι διὰ τὴν εἰρημένην ἀναγκαίαν αἰτίαν.*

20 *Φακεὲ βασιλεὺς Ἰσραὴλ καὶ Ῥασσὼν βασιλεὺς Συρίας πολεμήσαντες τῷ Ἄχαζ ἀνεῖλον τοῦ Ἰούδα ιβʹ μυριάδας ἐν ἡμέρᾳ μιᾷ, γυναικῶν δὲ καὶ παίδων ἔλαβον κʹ μυριάδας αἰχμαλώτους, οὓς συμβουλῇ Ἰωβὴλ τοῦ προφήτου ἀπέλυσαν.*

Ἄχαζ δὲ τὸ ἐν τοῖς θησαυροῖς ἀργύριον πέμψας τῷ Ἀσσυρίων βασιλεῖ 25 *Θεγλαφασὰρ εἰς βοήθειαν αὐτὸν ἤγαγε, μὴ ὑπακούσας Ἠσαΐου τοῦ προφήτου κωλύοντος καὶ σημεῖον τὴν τίκτουσαν παρθένον διδόντος· ὃς ἐλθὼν τήν τε Συρίαν καὶ τὸν Ἰσραὴλ πορθεῖ καὶ τοῦ λαοῦ πλεῖστον ἀποικίζει εἰς Ἀσσυρίους.*

20 *πόσαι μυριάδες ἀνῃρέθησαν τοῦ Ἰούδα καὶ πόσαι ᾐχμαλωτίσθησαν καὶ ἀπελύ-* 30 *θησαν*

1 4 Reg. 15, 8–14 || **4** 4 Reg. 15, 17 (ann. 10); cf. Chron. Pasch. 198, 9, Niceph. 107, 13, Chron. Synt. 75, 6 (ann. 12) || **6** 4 Reg. 15, 16 || **8** 4 Reg. 15, 23 (ann. 10 cod. A, ann. 2 cett.) | Africanus fr. 33 || **10** 4 Reg. 15, 25 || **12** 4 Reg. 15, 27 (ann. 20); cf. infra 240, 15 || **18** Euseb. 2, 86, 22, Africanus fr. 34 || **20** 2 Paralip. 28, 5–15 || **24** 4 Reg. 15, 29; 16, 7–9, 2 Paralip. 28, 20–23, Isaias 7, 10–16

1 *σελοὺμ* **B** *σιλοὺμ* **A** || **5** *͵δψιβʹ* Gelzer 2, 243 *͵δψκβʹ* **AB** || **6** *τάφοις* **A** *τάπφοις* **B** || **9** *͵δψκδʹ* Gelzer *͵δψλγʹ* **AB** || **12** *ῥωμελίου* **A** *ῥωμελείου* **B** || **13** *͵δψλδʹ* Gelzer *͵δψμγʹ* **AB** || **15** *συντρέχον* Go.[m] *συντρέχων* **AB** || **16** *οὐ* del. Di. | *οὐ καλῶς*] fort. *εἰκότως* || **21** *τοῦ* **A** *τὸν τοῦ* **B** || **22** *ἰωβὴλ* **AB** *Ὠδὴδ* 2 Paralip. || **28** *ἀποικίζει* Di. *ἀπῳκίζει* **AB**

Ὡσηὲ δὲ ἀνελὼν τὸν Φακεὲ ἐβασίλευσε.

Πολλὰ καμὼν περὶ τῆς συμφωνίας τῶν δύο βασιλειῶν τῶν Ἑβραίων τῶν διαιρεθεισῶν μετὰ Σολομῶντα ἕως Ἐζεκίου βασιλέως Ἰούδα καὶ Ὡσηὲ βασιλέως Ἰσραὴλ ιη' καὶ ἐσχάτου τῶν ἐν Σαμαρείᾳ, διὰ τὸ τὰς ἱερὰς τῶν **382** *βασιλέων δέλτους μὴ ἀκριβῶς ἐκφαίνειν ἐν ποίῳ χρόνῳ τῶν βασιλέων* 5 *Ἰούδα ἕκαστος τῶν ἐν Σαμαρείᾳ βασιλευσάντων ἤρξατο βασιλεύειν, μηδ' αὖ πάλιν ἕκαστος τῶν ἐν Ἱερουσαλὴμ βασιλευσάντων ἐν ποίῳ ἔτει τῶν βασιλέων Ἰσραὴλ ἤρξατο κρατεῖν, μόλις ἠδυνήθην σύμφωνον εὑρεῖν τὸ πρῶτον ἔτος Ὡσηὲ πρὸς τὸ ιβ' Ἄχαζ διὰ τὸ πάντα σχεδὸν τὰ ἀντίγραφα τὸν Φακεὲ υἱὸν Ῥωμελίου ἢ ιη' ἔτη ἢ κ' λέγειν κεκρατηκέναι τῶν ἐν* 10 *Σαμαρείᾳ ι' φυλῶν.*

Ἐν ἑνὶ δὲ ἀντιγράφῳ λίαν ἠκριβωμένῳ κατά τε στιγμὴν καὶ προσῳδίαν ἐκ τῆς ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἐλθόντι εἰς ἐμὲ βιβλιοθήκης, ἐν ᾧ καὶ ἐπεγέγραπτο ὡς ὁ μέγας καὶ θεῖος Βασίλειος τὰ ἐξ ὧν ἐκεῖνο ἀπεγράφη ἀντιβαλὼν διωρθώσατο βιβλία, ἐν τούτῳ οὖν εὗρον κη' ἔτη τῆς 15 *βασιλείας Φακεέ, καὶ συγκρίνας πρὸς τὸ εἰρημένον ιβ' ἔτος Ἄχαζ μᾶλλον ἐγγίζειν τὸ πρῶτον ἔτος Ὡσηὲ κατὰ τὴν τῶν βασιλειῶν γραφήν, οὕτω καὶ ἐστοιχείωσα. φησὶ γὰρ πρὸς λέξιν ἡ δ' τῶν βασιλειῶν· 'ἐν ἔτει ιβ' Ἄχαζ βασιλέως Ἰούδα ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ θ' ἔτη.' εἰ τοίνυν δῶμεν τὸν Φακεέ, ὡς τὰ πολλὰ τῶν ἀντιγράφων,* 20 *οἷς καὶ Εὐσέβιος ἠκολούθησεν, ἔτη ιη' ἢ καὶ κ', εὑρεθήσεται ἡ ἀρχὴ τῆς βασιλείας Ὡσηὲ τῷ β' ἔτει πληρουμένῳ τοῦ Ἄχαζ καὶ ἀρχομένῳ τῷ* **383** *τρίτῳ, τὸ δὲ τέλος, ὅπερ ἐστὶν θ' τοῦ αὐτοῦ Ὡσηέ, τῷ ια' Ἄχαζ, καὶ εὑρεθήσεται ἡ αὐτὴ θεία γραφὴ οὐ μόνον ἐν τούτῳ σφαλλομένη, ἀλλὰ καὶ ἐν τῷ φάσκειν ἔπειτα ὅτι 'καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ δ' βασιλεῖ Ἐζεκίᾳ,* 25 *αὐτὸς ὁ ἐνιαυτὸς ζ' Ὡσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ Σαμάρειαν', καὶ τὰ ἑξῆς. λείπεται γὰρ τὸ δ' ἔτος Ἐζεκίου ἐκ τοῦ ιη' ἔτους Φακεέ, β' δὲ Ἄχαζ, οὐχ ἑπτά, ἀλλὰ ιδ', ἅ ἐστι διπλασίονα, πρὸς δὲ τὴν ἀκριβῆ στοιχείωσιν συμφωνεῖ. τῷ ια' ἔτει Ἄχαζ βασιλέως Ἰούδα τὸ θ' ἔτος Ὡσηὲ συνέταξεν Εὐσέβιος ἐν τῷ* 30 *κανόνι αὐτοῦ· ὅπερ πάντῃ ἀσύμφωνον.*

12 *ποῦ εὗρεν ὁ συγγραφεὺς τὸ ἠκριβωμένον βιβλίον* ‖ **15** *τί διωρθώσατο ὁ μέγας Βασίλειος*

1 4 Reg. 15, 30 ‖ 2–31 uide Gelzer 2, 243 ‖ 18 4 Reg. 17, 1 ‖ 25 4 Reg. 18, 9 ‖ 30 Euseb. 2, 88, 19

2 *βασιλειῶν* Go.^m *βασιλέων* **AB** ‖ 5 *ἐκφαίνειν* **A** *ἐμφαίνειν* **B** ‖ 13 *καισαρείᾳ* **B** *καισαρείας* **A** ‖ 14 *ἐκεῖνο* Go.^m *ἐκείνῳ* **AB** ‖ 21 *καί*² om. **A** ‖ 22 *β'* **B** *ιβ'* **A** | *πληρουμένῳ* Go.^m *πληρουμένου* **AB** | *ἀρχομένῳ* **B** *ἀρχομένου* **A** ‖ 29 *διπλασίονα* **B** *διπλασίωνα* **A**

Τοῦ Ἰσραὴλ ιη' καὶ τελευταῖος ἐβασίλευσεν Ὠσηὲ ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψξβ'.

ΧΑΛΔΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Τὸ πρῶτον ἔτος Ναβονασάρου Χαλδαίων βασιλέως ἀπὸ τοῦ ,δψμς'
5 *ἔτους τοῦ κόσμου δεῖ ἀριθμεῖν, καὶ ἀπ' αὐτοῦ ἕως τελευτῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἔτη υκδ', ὡς εἶναι ἀπὸ Ἀδὰμ ἕως Ἀλεξάνδρου τελευτῆς ,ερο'.*

Σαλμανασὰρ ὁ καὶ Ναβονάσαρος Χαλδαίων πρῶτος ἐβασίλευσεν ἔτη κς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψμς'.

10 *Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων κατὰ τοῦ Ὠσηὲ ἐλθὼν τὴν Σαμάρειαν καὶ τὸν Ἰσραὴλ ὑπόφορον ἔθετο. ἔπειτα δὲ μαθὼν τὸν Ὠσηὲ πρεσβευόμενον* 384 *εἰς βοήθειαν ἐλθεῖν τῷ Αἰθίοπι Ἀδραμέλεχ τῷ κατὰ τὴν Αἴγυπτον καὶ Σηγὼρ βασιλεῖ Αἰγύπτου, τόν τε Ὠσηὲ καθεῖρξεν ἐν φυλακῇ καὶ τὰς ι' φυλὰς τοῦ Ἰσραὴλ ᾐχμαλώτευσεν.*

15 *Ἡ τῶν ἐν Σαμαρείᾳ δέκα φυλῶν λεγομένων τοῦ Ἰσραὴλ βασιλευομένων Ἑβραίων ἀρχὴ τούτῳ τῷ ζ' ἔτει Ὠσηὲ τοῦ τελευταίου βασιλέως αὐτῶν ἤρξατο πολιορκεῖσθαι, ὅπερ ἦν ἀρχὴ τοῦ δ' ἔτους Ἑζεκίου, ὥς φησιν ἡ δ' τῶν βασιλειῶν ὅτι 'ἐγένετο ἐν τῷ ἔτει τῷ δ' βασιλεῖ Ἑζεκίᾳ, αὐτὸς ὁ ἐνιαυτὸς ζ' Ὠσηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραήλ, ἀνέβη Σαλμανασὰρ βασιλεὺς*
20 *Ἀσσυρίων ἐπὶ Σαμάρειαν καὶ ἐπολιόρκησεν αὐτὴν καὶ κατεβάλετο αὐτὴν ἀπὸ τέλους τριῶν ἐτῶν ἐν ἔτει ς' Ἑζεκίᾳ. οὗτος ἐνιαυτὸς θ' τῷ Ὠσηὲ βασιλεῖ Ἰσραήλ. καὶ συνελήφθη Σαμάρεια καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους καὶ ἔθηκεν αὐτοὺς ἐν Χαλχὰλ καὶ ἐν Ἀβὼρ ποταμῷ Γωζὰν καὶ ὄρη Μήδων, ὅτι οὐκ εἰσήκουσαν*
25 *τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν.'*

Αὕτη πρώτη τοῦ Ἰσραὴλ αἰχμαλωσία πέφυκεν εἰς Ἀσσυρίους, ἥτις γέγονεν ἀρχομένῳ ς' ἔτει Ἑζεκίου, κοσμικῷ δὲ ἔτει ,δψο' πληρουμένῳ. διήρκεσε δὲ ἡ αὐτὴ τῶν ι' φυλῶν βασιλεία ἐν Σαμαρείᾳ ἀπὸ τοῦ α' βασι-

28 *πόσα ἔτη διήρκεσεν ἡ Σαμαρείας βασιλεία· σξ' ἔτη ἐβασίλευσε Σαμάρεια· βασιλεῖς*
30 *ιη'*

1 4 Reg. 17, 1 || **4** cf. infra 246, 19; 315, 1 (ex canone Ptolemaico) || **8** cf. infra 246, 21 || **10** 4 Reg. 17, 1–6 || **15** 4 Reg. 18, 9–12 || **26–27** cf. ps. Sym. f. 51ᵛ = Cedr. 189, 20

2 *,δψξβ'* Gelzer 2, 243 *,δψοβ'* **AB** || **4** *ναβονασάρου* **B** *ναβονασσάρου* **A** || **6** *τοῦ . . . Ἀλεξάνδρου* om. **B** || **8** *ναβονάσαρος* **B** *ναβονασαῖος* **A** || **13** *σηγὼρ* **A** *σιγὼρ* **B** || **14** *ᾐχμαλώτευσεν* **B** *ᾐχμαλώτισεν* **A** || **16** post *ἀρχή* interpunx. **AB** | *τοῦ τελευταίου βασιλέως* **B** *τὰς τελευταίας βασιλείας* **A** || **20** *σαμάρειαν* **A** *σαμάρεια* **B** | *κατεβάλετο* **B** *κατεβάλλετο* **A** || **22** *συνελήφθη* Go. *συνελείφθη* **AB** | *ἀπῴκισε* Go. *ἀπώκησε* **AB** || **23** *ἔθηκεν* Go. *ἔθηκαν* **AB** || **29–30** *σξ' . . . ιη'* om. **A**ᵐ

λέως αὐτῶν Ἱεροβωὰμ δούλου Σολομῶντος ἐν βασιλεῦσι ιη', ἔτεσι δὲ σξ'.
385 *ἀπὸ γὰρ τοῦ κοσμικοῦ ͵δφιγ' ἀρξαμένη εἰς τὸ ὑποτεταγμένον ͵δψοα' ἔληξε, κατὰ δὲ Ἀφρικανὸν ͵δψν', κατὰ δὲ Εὐσέβιον ͵δυνε'. Εὐσέβιος δὲ ὁ Καισαρεὺς σν' ἔτη ἐπελογίσατο καὶ ἄλλοι σμς', πλὴν τὸ ἀκριβέστερον καὶ τῇ γραφῇ τῶν βασιλειῶν συμφωνότερον ὡς πρὸς τὸ ϛ' ἔτος Ἐζεκίου καὶ* 5 *αὐτὸ ἀρχόμενον συναντᾷ τὸ θ' ἔτος Ὡσηὲ καὶ αὐτὸ πληρούμενον. οὕτω γὰρ χρὴ νοεῖν τὸ τέλος τοῦ θ' ἔτους Ὡσηὲ ἀρχὴν τοῦ ϛ' ἔτους Ἐζεκίου. οὕτως γὰρ ἂν ὀρθῶς νοηθείη.*

Ἐκ τῆς αἰχμαλωσίας τῆς ὑπὸ Σαλμανασὰρ γενομένης τῶν ι' φυλῶν τοῦ Ἰσραὴλ τῶν ἐν Σαμαρείᾳ ἦν Τωβίας ὁ δικαιότατος φυλῆς Νεφθαλεὶμ ἐν 10 *Νινευὶ τῇ πόλει. οὗτος τοὺς ὑπὸ Σαλμανασὰρ καὶ τῶν λοιπῶν Χαλδαίων ἀναιρουμένους θάπτων διαγνωσθεὶς φεύγει καταλείψας τὴν κτῆσιν αὐτοῦ. τοῦ δὲ Σεναχηρεὶμ ἀναιρεθέντος ὑπὸ τῶν τέκνων αὐτοῦ καὶ τοῦ Σαλμανασὰρ ἀποθανόντος Ἀρχεδὼν υἱὸς Σεναχηρεὶμ βασιλεὺς Ἀσσυρίων ἀδελφιδοῦν τοῦ Τωβίου Ἀρχίκαρον ἔταξεν ἐπὶ τὴν ἐκλογιστείαν, ὃς τὸν* 15 *Τωβίαν αἰτήσας ἔλαβε παρὰ τοῦ βασιλέως. ὁ δ' αὐτὸς ὥρᾳ καύματός τινα τῶν Ἑβραίων θάψας ὕπνωσεν ἐν τῇ αὐλῇ παρὰ τὸ τεῖχος ὑπὸ στρουθῶν νοσσιάν· τούτου τοὺς ὀφθαλμοὺς ἀφοδεύσαντες ἐπήρωσαν οἱ στρουθοί.*

Ὁ δὲ πρεσβύτατος ἅμα καὶ τυφλὸς ὢν ἐν Ῥαγαῖς τῆς Μηδείας τὸν
386 *υἱὸν ἀποστέλλει Τωβίαν πρός τινα Γαβαὴλ ὁμόφυλον ἀγαγεῖν παρακατα-* 20 *θήκην ταλάντων ἀργυρίων ι'. ὁ δὲ ἀπιὼν μισθωτὸν ὁδοδείκτην ἐπιζητήσας εὗρεν ἀγνοῶν Ῥαφαὴλ τὸν ἀρχάγγελον, ὑφ' οὗ μυηθεὶς τὰ περὶ τῆς χολῆς τοῦ ἰχθύος καὶ τοῦ ἥπατος καὶ τῆς καρδίας, τά τε κατὰ τὴν δαιμονιῶσαν συγγενίδα πράττει καὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς ἀνοίγει ἐπανελθών.* 25

Ἀναγκαῖον δὲ οἶμαι τῇ παρούσῃ αἰχμαλωσίᾳ ζητῆσαι πῶς τῆς τῶν Ἀσσυρίων βασιλείας πρὸ ϙς' ἐτῶν καθαιρεθείσης ὑπὸ Ἀρβάκου τοῦ Μήδου τοῦ ταύτην εἰς Μήδους μετενέγκαντος ἡ γραφὴ τὸν Σαλμανασὰρ βασιλέα Ἀσσυρίων καλεῖ καὶ τὴν ἀποικίαν εἰς Ἀσσυρίους φησὶ τῶν ι' φυλῶν, εἶτα τὴν τοπικὴν θέσιν τῆς κατοικίας αὐτῶν ἐν Χαλχὰλ καὶ ἐν 30

16 *τί λέγει περὶ Τωβίου* || **26** *διὰ τί μὴ ὄντων Ἀσσυρίων ἀλλὰ Μήδων κυριευσάντων Ἀσσύριοι ὀνομάζονται*

3 Africanus fr. 38 | Euseb. 2, 88[e]; cf. Chron. Synt. 94, 30 (ann. 243) || **9** Tob. 1, 10–22 || **16** Tob. 2, 7–10 || **19** Tob. 4, 20–21 || **21** Tob. 6, 1–9; 11, 1–14 || **26**–p. 243, **4** cf. ps. Sym. f. 51[v] = Cedr. 190, 2

1 *ἱεροβωὰμ* **B** *ἱερωβοὰμ* **A** || **4** *ἐπελογίσατο* Go. *ἐπελογήσατο* **AB** | *ἄλλοι σμς'* Di. *ἄλλοις μς'* **AB** || **11** *νινευὶ* **A** *νηνευὶ* **B** *Νινευὴ* Tob. || **14** *ἀρχεδὼν* **B** *ἀρχεδὼμ* **A** *Σαχερδονὸς* Tob.[v] *σαχερδὰν* Tob.[A] || **15** *ἐκλογιστείαν* **B** *ἐκλογιστίαν* **A** || **31** lemma (16) om. **A**[m]

Ἀβὼρ ποταμοῖς Γωζὰν καὶ ὄρεσι Μήδων. ἢ δῆλον ὅτι Μήδων μὲν γένος
κατὰ διαδοχὴν ἀπὸ Ἀρβάκου ἐβασίλευσεν, ἡ δὲ βασιλεία καὶ Ἀσσυρίων
ἐλέγετο διὰ τὸ εὐγενὲς καὶ παλαιὸν τῆς ἀρχῆς καὶ τὸ τῆς χώρας ὄνομα
καὶ Μήδων διὰ τὸ ὄψιμον τῆς ἐξουσίας καὶ τὴν χώραν Μηδίαν λεγομένην.
5 Σαλμανασὰρ δὲ καλῶς ἄν, οἶμαι, νοηθείη αὐτὸς οὗτος ὁ ἀπὸ Ἀρβάκου
βασιλεύων Ἀσσυρίων καὶ Μήδων, ὃς ἦν τῶν Ἀσσυρίων μὲν ἀρχηγός, ὑπὸ
δὲ τὴν ἡγεμονίαν ἄρτι κατατεταγμένος. οὕτω γάρ φασιν οἱ τὰ Βαβυ-
λωνιακὰ γράψαντες, ὅτι Ἀρβάκης τὴν βασιλικὴν προσηγορίαν καὶ τὸν
πλοῦτον εἰς Μήδους μετήγαγεν, Ἀσσυρίων δὲ βασιλέα κατέστησε 387
10 Βέλεσυν ὑπ' αὐτὸν δηλονότι. καὶ οὗτοι λοιπὸν ἦσαν κατὰ διαδοχὴν ὑπὸ
Μήδους τεταγμένοι, ὥς τισι δοκεῖ, ἕως τοῦ η' βασιλέως Ἀσσυρίων καὶ
Μήδων Δαρείου τοῦ καὶ Ἀστυάγους, ὃν Κῦρος καθελὼν εἰς Πέρσας τὴν
βασιλείαν μετήνεγκεν, ὥς τισιν ἔδοξεν. ἕτεροί φασι μετὰ Σαρδανάπαλον
κρατῆσαι καὶ τῆς Ἀσσυρίων ἀρχῆς Νίνον, ὥς που καὶ Κάστωρ ἐν τῷ
15 κανόνι αὐτοῦ φησιν ὧδε· πρώτους μὲν οὖν τοὺς Ἀσσυρίων βασιλεῖς
κατετάχαμεν, τὴν μὲν ἀρχὴν ἀπὸ Βήλου πεποιημένους, τῷ δὲ τὰ τῆς
βασιλείας αὐτοῦ ἔτη μὴ παραδεδόσθαι σαφῶς τοῦ μὲν ὀνόματος μνημο-
νεύομεν, τὴν δὲ ἀρχὴν τῆς χρονογραφίας ἀπὸ Νίνου πεποιήμεθα, καὶ
καταλήγομεν ἐπὶ Νίνον τὸν διαδεξάμενον τὴν βασιλείαν παρὰ Σαρδανα-
20 πάλου.

Ἐκ δὲ τῶν ἐν τῇ θείᾳ γραφῇ μνημονευομένων ὀνομάτων φαίνονται τρεῖς
ἀρχαὶ πρὸ τῆς Κύρου βασιλείας μετὰ Σαρδανάπαλον. ἕως γὰρ τούτου
λόγος κρατεῖ Ἀσσυρίους ἄρχειν τῶν δύο λοιπόν, λέγω δὴ Μήδων καὶ
Χαλδαίων, μετὰ δὲ Σαρδανάπαλον ποτὲ μὲν Μήδους ἄρχειν τῶν Ἀσσυρίων,
25 ποτὲ δὲ Χαλδαίους. καὶ ἡ μὲν τῶν Μήδων ἀρχὴ ἤδη ἀνωτέρω ἡμῖν ἐν
κανονίῳ ἐστοιχειώθη ἰδιάζοντι ἀπὸ Ἀρβάκου, ἡ δὲ τῶν Χαλδαίων 388
λείπεται στοιχειωθῆναι, ἥτις ἀπὸ Σαλμανασάρ, ὃν καὶ Ναβονάσαρον
καλοῦσι, λαμβάνεται παρά τε Χαλδαίοις ἐν τῇ τῶν ἀστέρων ψηφοφορίᾳ
καὶ παρὰ τοῖς Ἑλλήνων μαθηματικοῖς, ὡς μαρτυρεῖ καὶ ὁ σοφώτατος
30 Κλαύδιος Πτολεμαῖος ἐν τῇ μεγάλῃ συντάξει τῇ τῆς ἀστρονομίας τοῖς

7–10 cf. Euseb. 2, 83[b], Diodor. 2, 28 (Ctesias FGrHist 688 F 1), Nicolaum Damasc. FGrHist 90 F 3 || **13–20** Castor FGrHist 250 F 1 = Euseb. 1, 26, 31 || **22–25** cf. Euseb. 1, 32, 13; 2, 82[b]. 83[b] || **26**–p. 244, **31** uide Gelzer 2, 226–229, O. Neugebauer, HAMA 2, 836–839. 1025–1026

1 καὶ ὄρεσι **B** καὶ ὄρεσι καὶ **A** || **4** μηδίαν **A** μηδείαν **B** || **7** ἄρτι **A** ἄρτυ **B** || **8** βασιλικὴν **B** βασιλέων **A** || **10** οὗτοι **B** οὕτω **A** || **15** ἀσσυρίων **B** ἀσσυρίους **A** || **16–17** τῷ δὲ τὰ ... ἔτη Scal. τῷ δὲ τῷ ... ἔτει **A** τῷ δὲ ... ἔτει **B** || **17** παραδεδόσθαι **A** παραδεδῶσθαι **B** | μνημονεύομεν **A** μνημονεύωμεν **B** || **18** πεποιήμεθα **B** πεποιήκαμεν **A** || **19** νίνον **B** νίνου **A** || **22** πρὸ **A** πρὸς **B** || **23** ἄρχειν **B** ἀρχὴν **A** || **27** ναβονάσαρον **A** ναβουνάσαρον **B**

ἀπὸ Ναβονασάρου χρώμενος ἔτεσιν, ἔν τε ταῖς τῶν δύο φωστήρων ἐποχαῖς συνόδοις τε καὶ πανσελήνοις καὶ ταῖς κατ' αὐτὰς συμβαινούσαις σεληνιακαῖς καὶ ἡλιακαῖς ἐκλείψεσιν, ἔν τε ταῖς τῶν πέντε πλανωμένων κατὰ μῆκος καὶ πλάτος ψηφοφορίαις καὶ τῶν λοιπῶν ἀπλανῶν ἀστέρων. πάντων γὰρ αὐτὴν ἀκριβεστέραν ὁμολογοῦσιν εἶναι, συνάγουσαν ἀπὸ τοῦ 5 *αὐτοῦ Ναβονασάρου ἐπὶ τὸ πρῶτον ἤτοι ζ' ἔτος Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν καὶ πάσης σχεδὸν τῆς οἰκουμένης βασιλεύσαντος ἔτη υιθ', ἐπὶ δὲ τὴν τελευτὴν τοῦ αὐτοῦ Ἀλεξάνδρου ἔτη υκδ'.*

Ἐπεὶ δὲ συμφωνεῖν ἀναγκαῖον ἡγησάμεθα δεῖξαι τοῖς καθ' ἡμᾶς ἔτεσι τοῦ κόσμου τὴν τῶν οὐρανίων κίνησιν, σύμφωνος δὲ καὶ τοῖς Χαλδαίων 10 *καὶ Ἑλλήνων σοφοῖς ὁ ἀπὸ Ναβονασάρου χρόνος μεμαρτύρηται, κοινή τις ἔστω ἀρχὴ τὸ ,δψμζ' ἔτος, τὸ αὐτὸ ὑπάρχον τῷ πρώτῳ ἔτει Ναβονασάρου, ἵν', εἴ τις βουληθείη κατὰ τὰς ἐν τῇ μεγάλῃ συντάξει τοῦ μεγάλου Πτολεμαίου ἐκτεθειμένας γραμμικὰς ἢ κανονικὰς δείξεις ψηφοφορίαν* 389 *τινὰ τῶν οὐρανίων φορῶν ἐπιλογίσασθαι, λαμβάνων τὰ ἀπὸ τοῦ ,δψμζ'* 15 *ἔτους τοῦ κόσμου, εἶτα ἀπὸ πρώτου ἔτους Ναβονασάρου μίαν καὶ τὴν αὐτὴν εὕροι ἐποχὴν μέχρι τελευτῆς Ἀλεξάνδρου τοῦ κτιστοῦ, καθ' ἣν κόσμου μὲν ἔτος ,ερο' ὑπῆρχεν, ἀπὸ δὲ τοῦ πρώτου ἔτους Ναβονασάρου ἔτη γίνονται υκδ', ὡς προείρηται. τὰς μέντοι ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου ψηφοφορίας τῶν ἀστέρων ὁ αὐτὸς φιλόσοφος ἐν προχείροις κανόσιν* 20 *,αυος' ἐτῶν περιόδων ἤτοι ἀποκαταστάσει Αἰγυπτιακοῦ ἑνὸς ἔτους ἐξέθετο. πλὴν καὶ ἀπὸ τοῦδε τοῦ χρόνου ἤτοι ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου καὶ τοῦ ,ερο' κοσμικοῦ ἔτους, ἡνίκα ὁ ἀπὸ Φιλίππου τοῦ μετὰ Ἀλέξανδρον τὸν κτιστὴν χρόνος, τῶν προχείρων κανόνων τὴν ἀρχὴν εἴληφεν. εἴ τις βουληθείη σύνοδον, πανσέληνον ἢ ἄλλην τινὰ ψηφοφορίαν τῶν ἀστέρων* 25 *ἐπιλογίσασθαι κατὰ τὴν προκειμένην ἀκριβῆ τῶν κοσμικῶν ἐτῶν ποσότητα, ἤγουν καὶ πασχουαλίων, ἄπταιστον εὑρήσει καὶ τὴν αὐτὴν ἀκριβῆ κατάληψιν τοῖς τε κατὰ τὴν μεγάλην σύνταξιν Πτολεμαίου ἀπὸ Ναβονασάρου ἔτεσι καὶ τοῖς ἀπὸ τῆς τελευτῆς Ἀλεξάνδρου ἤτοι ἀρχῆς Φιλίππου τοῦ μετὰ Ἀλέξανδρον τὸν κτιστὴν ἕως Αὐγούστου Καίσαρος* 30 *καὶ ἔτι ἕως Διοκλητιανοῦ καὶ αὖθις ἕως τοῦ παρόντος ,στβ' ἔτους.*

Ἀπὸ δὲ Ναβονασάρου τοὺς χρόνους τῆς τῶν ἀστέρων κινήσεως Χαλδαῖοι 390 *ἠκρίβωσαν καὶ ἀπὸ Χαλδαίων οἱ παρ' Ἕλλησι μαθηματικοὶ λαβόντες,*

15 periodus Sothicus gradibus annorum 25 est in summa anni 1476 potius quam 1461; uide O. Neugebauer, HAMA 2, 971

1 *Ναβονασάρου* Go.[m] *βανασάρου* **AB** || 2 *αὐτὰς* Go.[m] *αὐταῖς* **AB** || 10 *καὶ* om. **B** || 12 *τὸ*[1] **B** *τῷ* **A** || 14 *γραμμικὰς* **B** *γραμματείας* **A** || 20 *αὐτὸς* **B** *αὐτοῖς* **A** || 25 *ψηφοφορίαν* **A** *ψηφιφορίαν* **B** || 27 *πασχουαλίων* **B** *πασχουάλιον* **A** | *εὑρήσει* **B** *εὕρῃς* **A** || 31 *,στβ'* **B** *,στνβ'* **A** || 33 *μαθηματικοὶ* **A** *μαθητικοὶ* **B**

ἐπειδή, ὡς ὁ Ἀλέξανδρος καὶ Βήρωσσός φασιν οἱ τὰς Χαλδαϊκὰς ἀρχαιολογίας περιειληφότες, Ναβονάσαρος συναγαγὼν τὰς πράξεις τῶν πρὸ αὐτοῦ βασιλέων ἠφάνισεν, ὅπως ἀπ' αὐτοῦ ἡ καταρίθμησις γίνεται τῶν Χαλδαίων βασιλέων.

5 *Εἰσὶν οὖν, ὡς πρόκειται ἐν κανονίῳ, οἱ αὐτοὶ ἀπὸ Ναβονασάρου χρόνοι υκδ' κατά τε τὴν μαθηματικὴν καὶ ἐκκλησιαστικὴν ἔκδοσιν, τὰ μὲν καθ' ὅλον ἔτη τὰ αὐτὰ συνάγοντες υκδ', τὰ δὲ κατὰ μέρος οὐ πανταχοῦ τὰ αὐτά· οἷον Κύρου μὲν ἡ θεία γραφὴ λα' ἔτος ὑποφαίνει τῆς βασιλείας καὶ ἐν τοῖς κοσμικοῖς ἔτεσιν οὕτως στοιχειοῦμεν, ὁ δὲ μαθηματικὸς κανὼν*
10 *θ' μόνα ἔτη Κύρῳ νέμει. καὶ ἐν ἄλλοις δέ τισιν· αὐτοῦ τε Ναβονασάρου διαφορὰν εὑρήσεις ἐν τοῖς κατὰ μέρος, ἐν δὲ τῷ τέλει τὴν ἰσότητα.*

Τὰ ἀπὸ Ναβονασάρου ἔτη τοῦ καὶ Σαλμανασὰρ βασιλέως Χαλδαίων ἕως Ἀλεξάνδρου τοῦ κτιστοῦ τελευτῆς κατὰ τὸν ἀστρονομικὸν κανόνα

15 *α'* *Ναβονασάρου ἔτη ιδ'*
β' *Ναβίου ἔτη β'. ις'*
γ' *Χινζήρου καὶ Πώρου ἔτη ε'. κα'*
δ' *Ἰλουλαίου ἔτη ε'. κς'*
ε' *Μαρδοκεμπάδου ἔτη ιβ'. λη'* **391**
20 *ς'* *Ἀρκεανοῦ ἔτη ε'. μγ'*
ζ' *Ἀβασιλεύτου ἔτη β'. με'*
η' *Βηλίβου ἔτη γ'. μη'*
θ' *Ἀπαραναδίσου ἔτη ς'. νδ'*
ι' *Ἡριγεβάλου ἔτος α'. νε'*
25 *ια'* *Μεσησιμορδάκου ἔτη δ'. νθ'*
ιβ' *Ἀβασιλεύτου ἄλλου ἔτη η'. ξζ'*
ιγ' *Ἰσαρινδίνου ἔτη ιγ'. π'*

2 *ὅτι Ναβονάσαρος τῶν πρὸ αὐτοῦ τὰς πράξεις ἠφάνισεν*

1 ps. Berossus FGrHist 609 F 16 || **12** cf. Astr. Can. ed. C. Wachsmuth, Einleitung (1895) 305, H. Usener, Chron. Min. 3 (1898) 438

1 *βήρωσσος* **A** *βηρῶσος* **B** | *φασιν* Go.[m] *φησιν* **AB** || **6** *μαθηματικὴν* **A** *μαθητικὴν* **B** || **12** *σαλμανασὰρ* **B** *σαλμονασὰρ* **A** || **16** *ναβίου* **AB** *Ναδίου* Astr. Can. || **17** *πώρου* **B** *πύρου* **A** || **21** *ἀβασιλεύτου* **AB** *ἀβασίλευτα* Astr. Can. || **22** *βηλίβου* **B** *βηλίθου* **A** || **23** *ἀπαρανναδίσου* **B** *ἀποραναδίσου* **A** || **24** *ἠριγεβάλου* **AB** *Ῥηγεβήλου* Astr. Can. || **26** *ἀβασιλεύτου ἄλλου* **A** *ἀβασίλευτος* **B** *ἀβασίλευτα* Astr. Can. || **27** *ἰσαριηδίνου* **A** *ἰσαριηδήνου* **B** *Ἀσαραδίνου* Astr. Can.

ιδʹ Σαοσδουχίνου ἔτη θʹ. πθʹ
ιεʹ Κινηλαδάλου ἔτη ιδʹ. ργʹ
ιϛʹ Ναβοπαλασάρου πατρὸς Ναβουχοδονόσωρ ἔτη καʹ. ρκδʹ
ιζʹ Ναβουκολασσάρου τοῦ καὶ Ναβουχοδονόσωρ ἔτη μγʹ. ρξζʹ
ιηʹ Ἰλλοαρουδάμου ἔτη γʹ. ροʹ 5
ιθʹ Νηριγασολασάρου ἔτη εʹ. ροεʹ
κʹ Ναβοναδίου τοῦ καὶ Ἀστυάγους ἔτη λδʹ. σθʹ
καʹ Κύρου ἔτη θʹ. σιηʹ
κβʹ Καμβύσου ἔτη ηʹ. σκϛʹ
392 *κγʹ Δαρείου ἔτη λϛʹ. σξβʹ* 10
κδʹ Ξέρξου ἔτη καʹ. σπγʹ
κεʹ Ἀρταξέρξου αʹ ἔτη μαʹ. τκδʹ
κϛʹ Δαρείου βʹ τοῦ καὶ Νόθου ἔτη ιθʹ. τμγʹ
κζʹ Ἀρταξέρξου δευτέρου ἔτη μϛʹ. τπθʹ
κηʹ Ὤχου ἔτη καʹ. υιʹ 15
κθʹ Σάρου ἔτη βʹ. υιβʹ
λʹ Δαρείου τρίτου τοῦ καὶ Ἀρσάμου ἔτη ϛʹ. υιηʹ
λαʹ Ἀλεξάνδρου τοῦ μεγάλου ἔτη ϛʹ. υκδʹ

Τὰ ἀπὸ Σαλμανασὰρ ἤτοι Ναβονασάρου ἔτη κατὰ τὴν ἐκκλησιαστικὴν στοιχείωσιν ἕως Κύρου καὶ ἔπειτα Ἀλεξάνδρου τοῦ Μακεδόνος 20

αʹ Ναβονάσαρος ὁ καὶ Σαλμανασὰρ ἐν τῇ γραφῇ λεγόμενος ἔτη κεʹ.
βʹ Νάβιος ἔτη ηʹ.
γʹ Χίνζηρος καὶ Πῶρος ἔτη εʹ.
δʹ Ἰλουλαῖος ἔτη εʹ.
εʹ Μαρδοκέμπαδος ἔτη ιβʹ. 25
ϛʹ Ἀρκεανὸς ἔτη εʹ.

19 Canonis astronomici uersionem Syncelli ex Panodori redactione deriuatam esse arbitrabatur Gelzer et canonem ecclesiasticum ex Anniano, sed contra disseruit D. Serruys, BZ 22, 1913, 1–36

1 *σαοδουχίνου ἔτη θʹ πθʹ* **B** om. **A** *Σαοσδουχίνου ἔτη κʹ ρʹ* Astr. Can. || **2** *κινηλαδάλου* **B** *κινιλαδάλου* **A** *Κινηλαδάνου* Astr. Can. | *ιδʹ* **AB** *κβʹ* Astr. Can. || **3** et **4** *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || **3** *καʹ* **A** *μγʹ* **B** || **4** *ναβουκολασσάρου* **B** *ναβουκολασάρου* **A** || **5** *γʹ* **AB** *βʹ* Astr. Can. || **6** *Νηριγασολασάρου* Astr. Can. *νηρηγασολασάρου* **A** *νιρηγασολασάρου* **B** | *εʹ* **AB** *δʹ* Astr. Can. || **7** *λδʹ* **AB** *ιζʹ* Astr. Can. || **13** *νόθου* **A** *νόνου* **B** || **15** *ἔτη* **A** *ἔτος* **B** || **16** *σάρου* **AB** *Ἀρωγοῦ* Astr. Can. *Ἄρσου* Scal. || **17–18** *ϛʹ . . . ϛʹ* **AB** et Elias Nisib. 23, 3–4 *δʹ . . . ηʹ* Astr. Can. || **19** *σαλμανασὰρ* **B** *σαλμονασὰρ* **A** || **21** *ναβονάσαρος* **A** *ναβονάσσαρος* **B** || **24** *ἰλλουλαῖος* **A** *ἰλολαιὸς* **B** || **25** *μαρδοκέμπαδος* **B** *μαρδοκεμπάδακος* **A**

ζ′ Ἀβασίλευτος ἔτη β′. 393
η′ Βήλιλος ἔτη γ′.
ϑ′ Ἀπαρανάδισος ἔτη ς′.
ι′ Ἠριγέβαλος ἔτος α′.
5 ια′ Μεσησιμόρδακος ἔτη δ′.
ιβ′ Ἀβασίλευτος ἄλλος ἔτη η′.
ιγ′ Ἰσαρινδῖνος ἔτη ιγ′.
ιδ′ Σαοσδουχῖνος ἔτη ϑ′.
ιε′ Κινηλάδανος ἔτη ιδ′.
10 ις′ Ναβοπαλάσαρος ἔτη κα′.
ιζ′ Ναβουχοδονόσωρ υἱὸς ἔτη μγ′.
ιη′ Εὐειλὰδ Μαροδὰχ ἔτη ε′.
ιϑ′ Νηριγλήσαρος ὁ καὶ Βαλτάσαρ ἔτη γ′.
κ′ Ναβονάδιος ὁ καὶ Ἀστυάγης Δαρεῖος Ἀσουήρου καὶ Ἀρταξέρξης
15 ἔτη ιζ′.
κα′ Κῦρος Περσῶν πρῶτος βασιλεὺς ἔτη λα′.
κβ′ Καμβύσης υἱὸς Κύρου ἔτη η′.
κγ′ Μάγοι ἀδελφοὶ β′ Σμέρδιος, Πανζούτης μῆνας ζ′.
κδ′ Δαρεῖος υἱὸς Ὑστάπου ἔτη λς′.
20 κε′ Ξέρξης υἱὸς Δαρείου μῆνας κ′. 394
κς′ Ἀρταξέρξης Ξέρξου ὁ μακρόχειρ ἔτη μγ′.
κζ′ Ξέρξης υἱὸς Ἀρταξέρξου μῆνας β′.
κη′ Σογδιανὸς μῆνας ζ′.
κϑ′ Δαρεῖος ὁ Νόϑος ἔτη ιϑ′.
25 λ′ Ἀρταξέρξης ὁ Μνήμων ἔτη μ′.
λα′ Ὦχος Ἀρταξέρξου υἱὸς ἔτη ε′.
λβ′ Ἄρσου ἀδελφοῦ Ὤχου ἔτη δ′.
λγ′ Δαρείου γ′ Ἀρσάμου ἔτη ς′.
λδ′ Ἀλεξάνδρου Μακεδόνος ἔτη ς′.

30 18 ἀπὸ ὧδε οἱ Μάγοι

2 *βήλητος* **A** *βηλιλὸς* **B** || 4 *ἠριγέβαλος* **B** *ἰρηγίβαλλος* **A** | *ἔτος* **B** *ἔτη* **A** || 5 *μεσησιμόρδακος* **B** *μεσισικόρδακος* **A** || 7 *Ἰσαρινδῖνος* infra *ἰσααριδηνὸς* **A** *ἰσααρρήδινος* **B** *Ἀσαράδινος* Astr. Can. || 8 *σαοσδουχῖνος* **B** *σαὸς δούχιος* **A** || 10 *ναβοπαλάσαρος* **A** *ναβοπαλάσσαρος* **B** || 11 *ναβουχοδονόσωρ* **A** *ναβοχοδονόσωρ* **B** || 12 *εὐειλὰδ μαροδὰχ* **B** *εὐιδᾶν βαροχὰδ* **A** || 14 *Δαρεῖος* Go.[m] *δάρσιος* **AB** || 16 *πρῶτος βασιλεὺς* **B** *α′ ἐβασίλευσεν* **A** | *ἔτη* **A** *ἔτος* **B** || 18 *σμέρδιος* **A** *ἐμέρδιος* **B** || 20 *μῆνας* **AB** *ἔτη* infra 300, 28; hoc loco omissus est Artabanus quem Syncellus praebet cum mensibus septem infra 302, 1 || 21 *μγ′* **AB** *μα′* infra 302, 4 et Astr. Can. || 24 *Νόϑος* infra 306, 11 *νοϑοσίνομος* **A** *νοϑοσήνομος* **B** *νόϑος ἢ νόμος* coni. Di. || 28 *δαρείου* **B** *δαρεῖος* **A**

ΧΑΛΔΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Χαλδαίων β' ἐβασίλευσε Νάβιος ἔτη η', κατὰ δὲ ἄλλους β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψοβ'.

Χαλδαίων γ' ἐβασίλευσε Χίνζηρος καὶ Πῶρος ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπ'. 5

Χαλδαίων δ' ἐβασίλευσεν Ἰλουλαῖος ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπε'.

Χαλδαίων ε' ἐβασίλευσε Μαρδοκέμπαδος ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψϛ'.

Χαλδαίων ϛ' ἐβασίλευσεν Ἀρκεανὸς ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωβ'. 10

395 *Χαλδαίων ζ' ἐβασίλευσεν Ἀβασίλευτος ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωζ'.*

Χαλδαίων η' ἐβασίλευσε Βήλιβος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωθ'.

Χαλδαίων θ' ἐβασίλευσεν Ἀπαρανάδισος ἔτη ϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωιβ'. 15

Χαλδαίων ι' ἐβασίλευσεν Ἡριγέβαλος ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωιη'.

Χαλδαίων ια' ἐβασίλευσε Μεσησιμόρδακος ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωιθ'. 20

Χαλδαίων ιβ' ἐβασίλευσεν Ἀβασίλευτος ἄλλος ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωκγ'.

Χαλδαίων ιγ' ἐβασίλευσεν Ἰσαρινδῖνος ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωλα'.

Χαλδαίων ιδ' ἐβασίλευσε Σαοσδουχῖνος ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωμδ'. 25

Χαλδαίων ιε' ἐβασίλευσε Κινηλαδὰν ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωνγ'.

Χαλδαίων ιϛ' ἐβασίλευσε Ναβοπαλάσαρος ἔτη κα', ὁ πατὴρ τοῦ Ναβουχοδονόσωρ, κατὰ δὲ ἄλλους ἔτη κε'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωξζ'. 30

396 *Τοῦτον ὁ Πολυίστωρ Ἀλέξανδρος Σαρδανάπαλον καλεῖ πέμψαντα πρὸς*

2 tabula regum Chaldaeorum ex canone ecclesiastico defluxit cum paucis uariationibus || 30 haec opinio altera ad Nabuchodonosor pertinet; cf. Anon. Matr. 29, 9, Hippolyt. fr. 10 || 31 Alex. Pol. FGrHist 273 F 9 = Euseb. 1, 14, 32

6 *Ἰλουλαῖος* supra *ἰλούλασος* **AB** || 15 *Ἀπαρανάδισος* supra *παρνάδιος* **A** *παρανάδιος* **B** || 19 *Μεσησιμόρδακος* supra *μεσισιμόρδακος* **A** *μεσισημόρδακος* **B** || 21 *ἀβασίλευτος* **B** om. **A** || 30 *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A**

Ἀστυάγην σατράπην Μηδείας καὶ τὴν θυγατέρα αὐτοῦ Ἀμυΐτην λαβόντα νύμφην εἰς τὸν υἱὸν αὐτοῦ Ναβουχοδονόσωρ. οὗτος στρατηγὸς ὑπὸ Σάρακος τοῦ Χαλδαίων βασιλέως σταλείς, κατὰ τοῦ αὐτοῦ Σάρακος εἰς Νίνον ἐπιστρατεύει· οὗ τὴν ἔφοδον πτοηθεὶς ὁ Σάρακος ἑαυτὸν σὺν 5 τοῖς βασιλείοις ἐνέπρησε, καὶ τὴν ἀρχὴν Χαλδαίων καὶ Βαβυλῶνος παρέλαβεν ὁ αὐτὸς Ναβοπαλάσαρος ὁ τοῦ Ναβουχοδονόσωρ πατήρ.

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΙΣ

Αἰγυπτίων πα' ἐβασίλευσε Νεχαὼ ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωνδ'.

10 *Αἰγυπτίων πβ' ἐβασίλευσε Ψαμμήτιχος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωξβ'.*

Αἰγυπτίων πγ' ἐβασίλευσε Νεχαὼ β' Φαραὼ ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωος'.

Αἰγυπτίων πδ' ἐβασίλευσε Ψάμμουθις ἕτερος ὁ καὶ Ψαμμήτιχος 15 ἔτη ιζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωπε'.

Αἰγυπτίων πε' ἐβασίλευσεν Οὔαφρις ἔτη λδ'. τοῦ δὲ κόσμου ἦν ἔτος 397 *͵δϡβ'.*

Αἰγυπτίων πς' ἐβασίλευσεν Ἄμωσις ἔτη ν'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡλς'.

20 *Ἕως τοῦ ͵δϡπς' χρόνου ἡ τῶν Αἰγυπτίων βασιλεία διαρκέσασα ἀπὸ τοῦ ͵βψϙς' κοσμικοῦ ἔτους ἐν δυναστείαις ι', βασιλεῦσι δὲ πς', ἔτεσι ͵βσια', ὑπὸ Καμβύσου καθηρέθη ἐπὶ τοῦ πς' βασιλεύσαντος τῆς Μεστραίας ἤτοι Αἰγύπτου χώρας Ἀμώσεως ἀπὸ τοῦ α' αὐτῶν Μεστραῒμ τοῦ καὶ Μηνέως. ἐπὶ τούτου γὰρ ἀποστᾶσαν τῆς κατ' αὐτὸν ἀρχῆς τὴν Αἴγυπτον 25 ὅπλοις καὶ μάχαις κραταιαῖς ὑπηγάγετο Καμβύσης ταύτην, ἔνθα καὶ Πυθαγόραν εὑρὼν ἐπιξενωθέντα διὰ φιλοσοφίαν σὺν τοῖς αἰχμαλώτοις εἰς Πέρσας τελεῖ, ἡνίκα φασὶν αὐτὸν εἰς Χαλδαίους ἐλθεῖν καὶ τὴν παρ' ἐκείνοις σοφίαν μετελθεῖν καὶ πάλιν ἐκεῖθεν ἀναζεύξαντα εἰς Ἰταλίαν χωρῆσαι, φυγόντα τὴν πατρίδα Σάμον διὰ Πολυκράτην τὸν 30 τύραννον, καὶ διαζῆσαι τὴν Ἰταλικὴν διατριβὴν συστησάμενον.*

2 cf. Euseb. 1, 18, 16 = Abyden. FGrHist 685 F 5 = Beross. FGrHist 680 F 7[d] || 8 ps. Manetho (Sothis) FGrHist 609 F 28 || 24 cf. Herodot. 3, 1 || 26–30 cf. Euseb. Praep. Euang. 10, 4, 13–17, Porphyr. V. Pyth. 9

1 *ἀμυίτην* B *ἀρωίτην* A || 6 *ναβουχοδονόσωρ* B *ναβουχοδονόσορ* A || 8 et 12 *νεχαὼ* B *νεχαὰβ* A || 10 *ψααμμίτιχος* A *ψαμίτειχος* B || 14 *ψάμμουθης* A *ψαμουθὴς* B | Ψαμμήτιχος Di. *ψαμμιτικὸς* A *ψαμιτικὸς* B || 16 *Οὔαφρις* Di. *οὔαφρης* AB || 18 Ἄμωσις Go.[m] *ἄμασις* AB || 21 *ἔτους* A *ἔτος* B || 21–22 *ἔτεσι . . . πς'* om. A || 22 *μεστραίας* B *μαιστραίας* A || 24 *κατ' αὐτὸν* B *κατὰ τῶν* A

Ἔμεινε δὲ ἡ Αἴγυπτος ὑπὸ Πέρσας ἔτι ἕως Δαρείου τοῦ Ξέρξου. ἔστιν οὖν κζʹ δυναστεία, καθ' ἣν Πέρσαι ἐκράτησαν ἀπὸ εʹ ἔτους Καμβύσου.

398 ΡΩΜΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ῥωμαίων ιζʹ ἐβασίλευσε Νουμᾶς Πομπίλιος ἔτη μαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπʹ. 5

Νουμᾶς μετὰ Ῥωμύλον βασιλεύσας Ῥώμης πρῶτος νόμους Ῥωμαίοις εἰσήγαγεν. ὁ αὐτὸς τὸ Καπετώλιον ἐκ θεμελίων ᾠκοδόμησεν. ὁ αὐτὸς τῷ ἐνιαυτῷ δύο μῆνας προσέθηκε, τόν τε Ἰανουάριον καὶ τὸν Φεβρουάριον, δεκαμηνιαίου τοῦ ἐνιαυτοῦ πρὸ τούτου χρηματίζοντος. ὁ αὐτὸς καὶ 10 *γογγιάριον ἔδωκεν, ἀσσάρια ξύλινα καὶ σκύτινα καὶ ὀστράκινα.*

Ῥωμαίων ιηʹ ἐβασίλευσε Τοῦλλος Ὁστίλιος ἔτη λβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωκαʹ.

Οὗτος καὶ Σίλβιος παρά τισι λέγεται. τοῦτόν φασι πρῶτον περιβαλέσθαι πορφύραν ἐν βασιλεῦσι Ῥωμαίων καὶ ῥάβδον κατασχεῖν. οὗτος 15 *τῆς οἰκίας αὐτῷ καταφλεχθείσης σκηπτῷ συγκαυσθεὶς τελευτᾷ.*

Ἄλλοι δέ τινες τῶν ἱστορικῶν τέταρτον αὐτὸν ἀπὸ Ῥωμύλου τάττουσιν ἢ εʹ, Ἀγκῶνα Μαρκίωνα μετὰ Νουμᾶν προτάττοντες αὐτοῦ καὶ Πρίσκον Ταρκύνιον καὶ Σίλβιον Τοῦλλον, καὶ μετὰ τούτους τὸν Τοῦλλον Ὁστίλιον.

399 ΑΘΗΝΑΙΩΝ ΒΑΣΙΛΕΙΣ 20

Ἀθηναίων λʹ ἐβασίλευσεν Ἀλκμαίων ἔτη βʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψκθʹ.

7 *ὅτι Νουμᾶς βασιλεὺς Ῥωμαίων νόμους εἰσήγαγε· ὅτι καὶ τὸ Καπετώλιον ἔκτισε· ὅτι καὶ βʹ μῆνας τῷ ἐνιαυτῷ προσέθηκε καὶ ὅτι γογγιάριον ἔδωκε καὶ ἀσσάρια ξύλινα καὶ σκύτινα καὶ ὀστράκινα· τί ἐστι γογγιάριον* ‖ 14 *οὗτος αʹ πορφύραν περιεβάλετο καὶ ῥάβδον κατέσχε* 25

1–3 cf. Euseb. 1, 69, 13. 28 = Maneth. FGrHist 609 F 3[c] ‖ 5 cf. Euseb. 1, 141, 3 = Dion. Hal. 1, 75, 2 (ann. 43) ‖ 5–11 cf. ps. Sym. f. 52[r] (Gelzer 2, 376, om. Cedr.) et 70[v] (similiter Cedr. 259, 13) ‖ 7–11 cf. Euseb. 2, 91[e], Chron. Ann. 354 p. 144, 10 ‖ 12 cf. Euseb. 1, 141, 4 = Dion. Hal. 1, 75, 2 (ann. 33), Euseb. 2, 93, 26 (ann. 32) ‖ 12–15 cf. ps. Sym. f. 52[r] (Gelzer 2, 376, om. Cedr.) ‖ 14 cf. Euseb. 1, 140, 11 (*Tullus Stilius*); 2, 185 Arm. (*Tullus Silvas*), Exc. Barb. 23b et 42a (*Tullius Seruilius*) ‖ 14–16 cf. Euseb. 2, 93[a] ‖ 17–19 cf. Fast. Vindob. Chron. Min. 1, p. 274, Exc. Barb. 42a ‖ 21–p. 251, 16 Castor. FGrHist 250 F 4 = Euseb. 1, 88, 20

5 *Πομπίλιος* Scal. *πόμπιος* **AB** *πομπήιος σαβῆνος* ps. Sym. ‖ 7 *ῥωμύλον* **B** *ῥωμύλλον* **A** | *νόμους ῥωμαίοις* **B** *ῥῶμος ῥωμαίους* **A** ‖ 9 *ἰανουάριον* **A** *ἰαννουάριον* **B** | *καὶ τὸν* **B** *καὶ* **A** ‖ 11 *ἀσσάρια* **A** *ἀσάρια* **B** ‖ 12 *τοῦλλος* **A** *τοῦλος* **B** | *ὀστίλιος* **B** *ὀστίλλιος* **A** | *ἔτη λβʹ* om. **A** ‖ 13 *͵δωκαʹ* Go.[m] *͵δωαʹ* **AB** *͵δωιβʹ* ps. Sym. ‖ 19 *τοῦλλον ὀστίλιον* **B** *τούλλιον ὀστίλλιον* **A** ‖ 25–26 *οὗτος . . . κατέσχε* in margine **B**, in textu **A** ‖ 25 *περιεβάλετο* **B**[m] *περιβάλλεται* **A**

Ἐπὶ τούτου Ἀθήνησιν ἡ διὰ βίου κατελύθη ἀρχή. μετὰ Ἀλκμαίωνα τὸν λ' βασιλέα Ἀθηναίων κατεστάθησαν ἄρχοντες δεκαετεῖς ζ'.

Ὧν πρῶτος ἄρχων δεκαετὴς Ἀθηναίων λα' Χάροψ Αἰσχύλου ἔτη ι'. οὗτος πρῶτος δεκαετής. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψλα'.

5 Ἀθηναίων λβ' ἐβασίλευσεν Αἰσιμίδης ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψμα'.

Ἀθηναίων λγ' ἐβασίλευσε Κλεόδικος ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψνα'.

Ἀθηναίων λδ' ἐβασίλευσεν Ἱππομένης ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος 10 ͵δψξα'.

Ἀθηναίων λε' ἐβασίλευσε Λεωκράτης ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψοα'.

Ἀθηναίων λϛ' ἐβασίλευσεν Ἄψανδρος ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψπα'.

15 Ἀθηναίων λζ' ἐβασίλευσεν Ἐρυξίας ἔτη ι'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψϟα'.

Ἕως τοῦδε τοῦ ͵δωα' ἔτους ἐξ Ἀδὰμ οἱ Ἀθηναίων βασιλεῖς πρῶτοι ιζ' καὶ μετ' αὐτοὺς οἱ διὰ βίου λεγόμενοι ἄρχοντες ιγ', ἔπειτα δεκαετεῖς ζ', ὁμοῦ πάντα λζ', κρατήσαντες τῆς Ἀθηναίων ἀρχῆς ἀπὸ τοῦ ͵γϡμε' **400**
20 κοσμικοῦ ἔτους ἐπαύσαντο, διαρκέσαντες ἐπὶ ἔτη ὅλα ͵ωνϛ'. μετὰ τούτους ἄρχοντες ἐνιαυσιαῖοι εὑρέθησαν ἐξ εὐπατριδῶν, ἐννέα τε ἀρχόντων Ἀθήνησιν ἀρχὴ κατεστάθη· ἡ δὲ τῶν ἐνιαυσιαίων ἤρχθη τῷ ͵δωδ' ἔτει τοῦ κόσμου, Κρέοντος πρώτου ἄρχοντος ἡγησαμένου ἐπὶ τῆς ιθ' ὀλυμπιάδος, οἱ δὲ ἐπὶ κε'. ἀφ' οὗ ἐπὶ σν' ὀλυμπιάδα ἄρχοντες
25 ϡγ' μέχρι Φιλίνου, καθ' ὃν ὑπάτευον Γράτος Σαβινιανὸς Ῥωμαίων καὶ Σέλευκος ἀπὸ τῶν περὶ Βροῦττον μετὰ τοὺς βασιλεῖς ὑπατευσάντων, ψκε' καταριθμούμενοι ἐπὶ τὸ ͵εψκγ' ἔτος τοῦ κόσμου κατὰ τὸν Ἀφρικανόν, ὅπερ ἦν Ἀντωνίνου τοῦ καὶ Αὐγέντου Ῥωμαίων βασιλέως ἔτος γ'.

30 **1** ἐπὶ τούτου καταλύεται ἡ ἀρχὴ τῶν Ἀθηναίων ‖ **17** τὰ ἔτη τῆς βασιλείας Ἀθηναίων· θ' ἄρχοντες τῶν Ἀθηναίων κατεστάθησαν· ἕως τοῦ Φιλίνου οἱ θ'

20–22 cf. Euseb. 2, 93, 12 ‖ **22–24** cf. Euseb. 1, 88, 26 (ex Castore, Olymp. 24) ‖ **24–29** Africanus fr. 39

2 *δεκαετεῖς ζ'* infra *ι' ἔτεσι σζ'* hic **AB** ‖ **3–4** *Ἀθηναίων . . . δεκαετής* om. **A** ‖ **3** *λα'* scripsi *α'* **B** del. Di. ‖ **8** *͵δψνα'* **B** *͵δψξα'* **A** ‖ **10** *͵δψξα'* Go. *͵δξα'* **B** *͵δψνα'* **A** ‖ **15** *Ἐρυξίας* Di. ex Euseb. *εὐρυεξίας* **AB** ‖ **22** *ἐνιαυσιαίων* Di. *ἐνιαυσίων* **AB** | *ἤρχθη* **B** *ἤρχθαι* **A** ‖ **25** *σαβινιανὸς* **B** *σαβινιανοῦ* **A** ‖ **27** *τὸ* **B** *τῷ* **A**

ΣΠΟΡΑΔΗΝ

Ἀρκτῖνος Μιλήσιος ἐποποιὸς ἤκμαζεν.
Ἐν Ἰταλίᾳ Πανδοσία καὶ Μεταπόντιος πόλεις ἐκτίσθησαν.
Ἀθήνησι α′ ἐναυπηγήθη τριήρης ὑπὸ Μηνοκλέους.
Θηβαῖοι Κυρήνην ᾤκισαν κατὰ χρησμόν. οἰκιστὴς δὲ αὐτῆς Βάττος ὁ καὶ Ἀριστοτέλης. 5
401 *Ἐν Πόντῳ Τραπεζοῦς ἐκτίσθη.*
Ἐν Σικελίᾳ Νάξος ἐκτίσθη.
Ἐν Σικελίᾳ Χερρόνησος ἐκτίσθη.

ΜΗΔΩΝ ΒΑΣΙΛΕΙΣ 10

Μήδων ϛ′ ἐβασίλευσεν Ἀφραάρτης ἔτη να′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωλη′.
Μήδων ζ′ ἐβασίλευσε Κυαξάρης ἔτη λβ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωπθ′.

ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

Μακεδόνων γ′ ἐβασίλευσε Τύρμας ἔτη με′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δψνθ′. 15
Μακεδόνων δ′ ἐβασίλευσε Περδίκκας ἔτη μη′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωδ′.
Μακεδόνων ε′ ἐβασίλευσεν Ἀργαῖος ἔτη λδ′. τοῦ δὲ κόσμου ἦν ἔτος ,δωνβ′.
Οὗτος ὁ Ἀργαῖος πρῶτος ἐν Μακεδονίᾳ τείχη ἤγειρε. 20

ΣΠΟΡΑΔΗΝ

Ἀρχίλοχος καὶ Σιμωνίδης καὶ Ἀριστόξενος οἱ μουσικοὶ ἐγνωρίζοντο.
Γυμνὴ παιδεία πρῶτον ἐν Λακεδαιμονίᾳ ἤχθη.

2 Euseb. 2, 86[i] || 3 Euseb. 2, 181 Arm. (om. Hieron.) || 4 Euseb. 2, 87[e]; cf. ps. Sym. f. 52[r] (Gelzer 2, 376, om. Cedr.) || 5 Euseb. 2, 87[h] || 7 Euseb. 2, 182 Arm. (om. Hieron.); cf. ps. Sym. f. 52[r] (Gelzer 2, 376, om. Cedr.) || 8 Euseb. 2, 89[f] || 9 Euseb. 2, 90[h]; cf. ps. Sym. f. 52[r] || 11 cf. Euseb. 1, 32, 26 (Phraortes ann. 24, Cyaxares ann. 32, ita etiam Annian. apud Eliam Nisib. 16, 33) || 14 cf. Euseb. 1, 107, 30 = Diodor. 7, 15, Euseb. 2, 86. 89. 93 (annos 43, 48, 31 Euseb. 1, annos 38, 51, 38 Euseb. 2) || 20 non alibi narratur, sed cf. Iustin. 7, 2 || 22 Euseb. 2, 94[e] || 23 Euseb. 2, 94[c]

1 titulum om. **A** || 2 *ἀρκτῖνος* **B** *ἀρκτίωνος* **A** | *μιλήσιος* **A** *μιλίσιος* **B** | *ἐποποιὸς* Bredov. ex Euseb. (*uersificator*) *ἐπίπυος* **A** *ἐπίποιος* **B** || 3 *Μεταπόντιος*] *μετὰ πόντιος* **AB** *Μεταπόντιον* Scal. *Metapontius* Euseb. || 4 *τριήρης ὑπὸ μηνοκλέους* **A** *τριήρις ὑπὸ μινοκλέους* **B** | *καὶ ὁ Πηρεὺς ἐτειχίσθη* add. ps. Sym. || 5 *ᾤκισαν* Scal. *ᾤκησαν* **AB** || 7 *τραπεζοῦς* **B** *τραπεζεὺς* **A** || 8 *Νάξος* Scal. *ναὸς* **AB** || 9 *Χερρόνησος* Go. *χερόνησος* **AB** || 11 et infra *ἦν ἔτος* om. **A** || 12 *,δωπθ′* **A** *,δωπη′* **B** || 13 titulus in margine **A** || 16 *περδίκκας* **B** *περδίκας* **A** || 17 *,δωδ′* Go.[m] *,δωνβ′* **AB** || 18 *λδ′* **B** *λβ′* **A** || 22 *ἀρχίλοχος* **A** *ἀρχήλοχος* **B**

Ἔτι Σιβύλλη Σαμία χρησμῳδὸς ἡ καὶ Ἡροφίλα ἐγνωρίζετο. ἡ γὰρ 402
Κυμαία κατὰ τοὺς Τρωϊκοὺς χρόνους ἤκμαζε.
Κύζικος ᾠκίσθη.
Ζάλευκος ὁ νομοθέτης Λοκρῶν ἤκμαζε.
5 Κύψελλος Κορίνθου ἐτυράννησεν ἔτη κη'.
Λέσχης Λέσβιος ὁ τὴν μικρὰν Ἰλιάδα ποιήσας καὶ Ἀλκμαίων ἤκμαζεν.
Ἐν Πόντῳ πόλις Ἴστορος ἐκτίσθη.
Ἄκανθος καὶ Στάγειρα ἐν Ἑλλάδι ἐκτίσθησαν.
10 Λάμψακος καὶ Ἄβδηρα ἐκτίσθησαν.
Τέρπανδρος μουσικὸς ἐγνωρίζετο.
Ἐν Σικελίᾳ Σελινοῦς ἐκτίσθη.
Δωδώνης τῷ μαντείῳ κατὰ τούτους Ἕλληνες τοὺς χρόνους ἐχρήσαντο.
15 Φάλαρις Ἀκραγαντίνων ἐτυράννησε.
Θαλῆς Ἐξαμοίου Μιλήσιος φιλόσοφος εἷς τῶν ζ' σοφῶν ἐγνωρίζετο, ὃς λέγεται ζῆσαι ὑπὲρ τὰ ρ' ἔτη.
Ἐν Πόντῳ Βορυσθένης ἐκτίσθη.
Σινώπη ἐκτίσθη. 403
20 Μυρταῖος Ἀθηναῖος ποιητὴς ἐγνωρίζετο.
Ἔτι Τέρπανδρος μελοποιός, ὃς τὴν ἑπτάτονον ἁρμονίαν εὑρεῖν λέγεται, ἤκμαζε.
Βάττος Κυρήνην ἐπέκτισε.
Κορινθίων Περίανδρος ὁ Κυψέλλου ἐτυράννησε.
25 Λιπάρα ἐκτίσθη.
Ἐπίδαμνος, ἡ νῦν καλουμένη Δυρράχιον, ἐκτίσθη.
Προύσια ἐκτίσθη.
Φάλαρις τυραννῶν κατελύθη.
Δράκων κατά τινας ἐνομοθέτει.

1 cf. Euseb. 2, 94[d], ps. Sym. f. 53[v] post Cedr. 249, 19 (*κατὰ τούτους τοὺς χρόνους καὶ Σίβυλλα ἐν Σάμμῳ ἐγνωρίζετο καὶ Βυζάντιον ἐκτίσθη ὑπὸ Μεγαρέων*) || **2** om. Euseb. cf. Clem. Alex. Strom. 1, 108, 1 || **3–15** Euseb. 2, 93[e]. 94[f,g,i]. 95[b,c,d,e,f]. 96[f] || **16** similiter Euseb. 2, 96[b] || **18–20** Euseb. 2, 95[g]. 96[i,l] || **21** om. Euseb., cf. Suda s. v. || **23**–p. 254, **3** Euseb. 2, 96[k,n,m]. 97[d,e,f,g,k]. 98[e] || **23, 25** et **26** cf. ps. Sym. f. 52[r] (Gelzer 2, 375, om. Cedr.)

1 *σιβύλλη σαμία* **B** *σιβύλλης ἀμία* **A** | *ἡ καὶ* Di. *ἣν καὶ* **AB** *quae et* Euseb. || **4** *ὁ νομοθέτης* Go. *ὀνομοθέτης* **A** *ὄνομα θέτης* **B** || **12** *Σελινοῦς* Di. *σεληνοὺς* **A** *σενινοὺς* **B** || **15** *φάλαρις* **A** *φίλαρις* **B** || **16** *θάλλης* **A** *θαλὴς* **B** | *ἐξαμοίου* **AB** Ἐξαμύου Di. ex Euseb. (*Examyis*) | *μιλήσιος* **A** *μειλήσιος* **B** || **23** *κυρήνην* ps. Sym. *κυρίνην* **AB** || **24** *κυψέλλου* **A** *κυμψέλου* **B** || **25** *Λιπάρα* Di. *λίππαρα* **A** *λειπάρα* **B** || **28** *φάλαρις* **A** *φίλαρις* **B**

Ἀρίων ἐγνωρίζετο Μηθυμναῖος. οὗτος ἐπὶ δελφῖνος εἰς Ταίναρον διεσώθη.

Ἀλκμὰν κατά τινας ἐγνωρίζετο.

ΚΟΣΜΟΥ ΕΤΗ

Τοῦ Ἰούδα ιδʹ ἐβασίλευσε Μανασσῆς ἔτη νεʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δψϛβʹ. 5

Μανασσῆς υἱὸς Ἐζεκίου καὶ Ἐψιβαὰλ ιβʹ ἐτῶν βασιλεύσας τοῦ Ἰούδα 404 *μιαρώτατος γέγονε καὶ ἀσεβέστατος εἰδωλολατρείαις καὶ αἱματεκχυσίαις ἀδίκοις, οἰωνισμοῖς τε καὶ φαρμακείαις καὶ μοιχείαις συζῶν. οὗτος ἐν οἴκῳ κυρίου Διὸς ἄγαλμα τετραπρόσωπον ἔστησεν. ἁλοὺς δὲ ὑπὸ Ἀσσυρίων* 10 *βασιλέως ἐπιστρατεύσαντος αὐτῷ καὶ εἰς ἄγαλμα χαλκοῦν κατακλεισθεὶς ἐδεήθη τοῦ θεοῦ τὴν ᾠδὴν ᾄσας, ἥτις μέχρι καὶ νῦν θαυμαστή τίς ἐστι καὶ γέμουσα κατανύξεως, ἐφʼ ᾗ δυσωπηθεὶς ὁ θεός, διαρραγέντος τοῦ ἀγάλματος, διεσώθη ἀποκαταστὰς εἰς τὴν βασιλείαν αὐτοῦ. οὗτος πεῖραν λαβὼν τῆς ἀφάτου φιλανθρωπίας τοῦ θεοῦ ἐπὶ τοῖς μετανοοῦσι τῆς* 15 *εἰδωλολατρείας καὶ λοιπῆς ἐπαύσατο ματαιότητος, τὸ τοῦ Διὸς εἴδωλον ἐκβαλὼν ἐξ οἴκου κυρίου, ὃ ἦν αὐτὸς εἰσαγαγών, καὶ ῥίψας ἔξω τῆς πόλεως σὺν τοῖς λοιποῖς βδελύγμασιν. ὁ αὐτὸς τὸ νότιον τεῖχος τῆς Ἱερουσαλὴμ ᾠκοδόμησε καὶ τὸν ναὸν ἀνεκτίσατο, ζήσας τὸ λοιπὸν ἐν εὐσεβείᾳ.* 20

Προεφήτευον Ἰωήλ, Ἀβδιοῦ, Ἰωνᾶς, Ναούμ, Ἀμβακούμ. Ὀλδὰ γυνὴ παρʼ Ἑβραίοις προεφήτευε.

Τοῦ Ἰούδα ιεʹ ἐβασίλευσεν Ἀμὼς υἱὸς Μανασσῆ ἔτη βʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωμζʹ.

5 4 Reg. 21, 1 || 6 ex altiori tempore primi anni David ut uult Gelzer 2, 241 || 7–20 4 Reg. 21, 1–2, 2 Paralip. 33, 1–20; cf. Precem Manassis et Georg. Mon. 235, 10 || 21 hos prophetas praebent Euseb. et Clemens Alex. alios sub aliis regibus; cf. Euseb. 2, 76[a] (Abdias – Iehosaphat). 84[a] (Ionas – Azarias). 87[b] (Ioel – Iotham), Clem. Strom. 1, 112–122 (Ambacum – Ioacim. Abdias – Iehosaphat, Ioel – Hezechias, Ionas – Amasias, Nahum – Sedecias) || 21–22 cf. Euseb. 2, 96[d] (sub Iosia, ita etiam Clem. 1, 120, 2) || 23 – p. 255, 2 4 Reg. 21, 19–24

1 *Ἀρίων* Go.[m] *ἀρρίων* A *ἄρειον* B | *ταίναρον* A *τέναρον* B || 4 titulus in margine A || 5 *ἦν ἔτος* om. A || 8 *μιαρώτατος* A *μειαρώτατος* B | *εἰδωλαλατρείαις* B *εἰδωλαλατρίαις* A | *αἱματεκχυσίαις* B *αἱματοχυσίαις* A || 9 *φαρμακείαις καὶ μοιχείαις* A *φαρμακίαις καὶ μοιχίαις* B || 12–13 *νῦν . . . κατανύξεως* AB *νῦν ᾄδεται θαυμαστή τις καὶ γέμουσα κατάνυξιν* Iohann. Anag. || 17 *ἐκβαλὼν* B *ἐκβάλλων* A || 19 *ναὸν* Di. *λαὸν* AB | *ἀνεκτίσατο* B *ἀνεκτήσατο* A

Οὗτος πονηρότατος ἦν. τοῦτον τῷ β' ἔτει αὐτοῦ ἀνεῖλον οἱ περὶ αὐτόν· ὁ δὲ λαὸς ἐπεξῆλθε τῷ φόνῳ τὸν Ἀμὼς υἱὸν Μανασσῆ. δώδεκα ἔτη Εὐσέβιος λέγει βασιλεῦσαι κατὰ τοὺς ο'· ψεύδεται δέ.

Τοῦ Ἰούδα ις' ἐβασίλευσεν Ἰωσίας υἱὸς Ἀμὼς ἔτη λα'. τοῦ δὲ κόσμου **405**
5 *ἦν ἔτος ͵δωμθ'. καὶ Γεδιδᾶς τῆς Ὀζίου θυγατρός.*

Σκύθαι τὴν Παλαιστίνην κατέδραμον καὶ τὴν Βασὰν κατέσχον τὴν ἐξ αὐτῶν κληθεῖσαν Σκυθόπολιν.

Χελκίας ἀρχιερεὺς ἱεράτευσε πατὴρ Ἱερεμίου καὶ Σωσάννης.

Σοφονίας προεφήτευε.

10 *Τῷ ιγ' ἔτει Ἰωσίου, κόσμου δὲ ἔτει ͵δωξγ' ἤρξατο προφητεύειν Ἱερεμίας. ἀπὸ δὲ τοῦ ε' ἔτους τῆς προφητείας αὐτοῦ, τοῦτ' ἔστιν ἀπὸ τοῦ ιη' ἔτους Ἰωσίου, ἀριθμοῦσί τινες τὰ ο' ἔτη τῆς αἰχμαλωσίας ἕως τοῦ α' ἔτους Κύρου.*

Ὀλδὰ γυνὴ Ἑβραία προεφήτευεν.

15 *Ἰωσίας υἱὸς Ἀμὼς καὶ Γεδδιδὰς τῆς Ὀζίου θυγατρὸς ἐβασίλευσε τοῦ Ἰούδα, ὀκταέτης ὢν ἀρξάμενος τοῦ βασιλεύειν, ἔτη λδ'.*

Οὗτος εὐσεβέστατος πάντων τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν βασιλευσάντων ὤφθη. ἐπὶ αὐτοῦ Χελκίας ἀρχιερεὺς εὑρὼν ἐν τῷ ναῷ βιβλίον τοῦ νόμου καὶ Σαφατεὶ τῷ γραμματεῖ κοινωσάμενος ἐπέδειξε τῷ Ἰωσίᾳ.
20 *ὁ δὲ τοὺς θείους λόγους ἐπαναγνωσθέντας ἀκούσας, σφόδρα θεοφιλὴς ὤν, διέρρηξε τὴν ἐσθῆτα αὐτοῦ, καὶ τὸν ναὸν τοῦ θεοῦ καθαρίσας ἀπὸ τῶν βδελυγμάτων ὧν ἔστησεν ὁ πατὴρ αὐτοῦ Ἀμώς, τήν τε Ἱερουσαλὴμ καὶ ὅλον τὸν Ἰούδαν ἀποστήσας τῆς εἰδωλολατρείας τὰ εἴδωλα καὶ τὰ τῶν* **406**
ἀσεβῶν ὀστᾶ τοῖς θυσιαστηρίοις ἐπέκαυσε, παντοίως ἐκπορθήσας τὰ κατὰ
25 *πᾶσαν τὴν Ἰουδαίαν καὶ τὴν Σαμάρειαν μιάσματα, καθὼς προεφήτευσε περὶ αὐτοῦ ὁ ἐξ Ἰούδα παραγενόμενος προφήτης πρὸς Ἱεροβωάμ, ὃν ἐθανάτωσεν ὁ λέων ὑποστρέφοντα διότι ἔφαγεν εἰς τὸν οἶκον τοῦ συμπροφήτου αὐτοῦ. ἐπὶ αὐτοῦ τὸ θαυμαστὸν ἤχθη πάσχα.*

6 *τίς ἦν ἡ Σκυθόπολις Βασᾶν πρὶν καλουμένη* || **15** *ὀλυμπιὰς μ'* || **26** *Ση. διὰ τί*
30 *ἔφαγε ὁ λέων τὸν προφήτην*

3 Euseb. 2, 95[a] || **4** 4 Reg. 22, 1 || **6** cf. Euseb. 2, 96[b], Iohann. Antioch. p. 552 Müller, ps. Sym. f. 52[r] (Gelzer 2, 376, om. Cedr.) || **8** cf. Euseb. 2, 96[a], Ieremias 1, 1, Susann. 1, 1, Hippolyt. fr. 8[b] || **9** Euseb. 2, 97[a] || **10** Euseb. 2, 96[c], Ieremias 1, 2 || **11–13** cf. Euseb. 2, 103[b] (*anno tertio decimo*), p. 188 Arm. (*vom fünften Jahre des Prophetentums Jeremias*) || **14** Euseb. 2, 96[d]; 4 Reg. 22, 16 || **15** 4 Reg. 22, 1 || **17** 4 Reg. 22, 8–13; 23, 4–23

5 *ἦν ἔτος* om. **A** | *Γεδιδᾶς*] *γαιδεδᾶ* **A** *γεδαιδὰ* **B** *Ἰεδειὰ θυγάτηρ Ἐδεινά* 4 Reg.[v] *Ἐδιδὰ θυγάτηρ Ἰεδιδά* 4 Reg.[A] || **8** *χελκίας* **B** *χαλκίας* **A** || **10** *ἔτει*[2] Go.[m] *ἔτη* **A** om. **B** || **15** *γεδδιδὰς* **B** *γαιδδιδᾶς* **A** || **16** *λδ'* **AB** *λα'* supra, sed uide ne discrepantia annorum trium in tabulis regum subiaceat || **21** *καθαρίσας* **A** *καθαρήσας* **B** || **23** *ἰούδαν* **B** *ἰούδα* **A** | *εἰδωλολατρείας* **B** *εἰδωλολατρίας* **A** || **29** *ὀλυμπιὰς μ'* om. **B**[m]

Οὗτος συμβαλὼν εἰς πόλεμον τῷ Νεχάῷ Φαραῷ οὐκ ἐπελθόντι αὐτῷ, ἀλλὰ καὶ παραιτουμένῳ τὴν πρὸς αὐτὸν μάχην, κατατοξευθεὶς Ἰωσίας ἐτελεύτησεν, ἀποκομισθεὶς εἰς Ἱερουσαλήμ.

Ἰωσίας υἱὸς Ἀμὼς υἱοῦ Μανασσῆ λ' καὶ ἓν ἔτος βασιλεύσας ἐν Ἱερουσαλὴμ πάντας τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν βασιλεῖς ὑπερῆρε τῷ θείῳ 5 *ζήλῳ, τά τε πανταχοῦ εἴδωλα καὶ σεβάσματα καθελὼν καὶ τοὺς εἰδωλολατροῦντας ἐξάρας, τοὺς μὲν ζῶντας, τοὺς δὲ θανόντας ἐν τοῖς τάφοις αὐτῶν.*

Τῷ ιη' ἔτει τῆς βασιλείας αὐτοῦ ἐγένετο πάσχα ἐν Ἱερουσαλήμ, οἷον, φησὶν ἡ τῶν Παραλειπομένων β' βίβλος, οὐκ ἐγένετο ἐν Ἰσραὴλ ἀπὸ 10 *ἡμερῶν Σαμουὴλ τοῦ προφήτου καὶ παντὸς βασιλέως Ἰσραήλ. οὐκ ἐποίησαν ὡς τὸ φασέκ, ὃ ἐποίησεν Ἰωσίας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πᾶς Ἰούδας καὶ Ἰσραὴλ οἱ εὑρεθέντες ἐν Ἱερουσαλήμ.*

Οὗτος τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας καὶ τὰ θεραφεὶμ καὶ τὰ **407** *εἴδωλα καὶ τὰ καρεσείμ, ἃ ἦν ἐν γῇ Ἰούδα καὶ ἐν Ἰσραήλ, ἐνεπύρισεν, ἵνα* 15 *στήσῃ τοὺς λόγους τοὺς γεγραμμένους τοῦ νόμου ἐπὶ τοῦ βιβλίου ὃ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν τῷ οἴκῳ κυρίου.*

Ὅμοιος Ἰωσίου οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ, ὃς ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ καὶ ἐν ὅλῃ ἰσχύι αὐτοῦ κατὰ πάντα τὸν νόμον Μωυσῆ, καὶ μετὰ τοῦτον οὐκ ἀνέστη 20 *ὅμοιος αὐτῷ. πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ τοῦ μεγάλου, οὗ ὠργίσθη θυμῷ ὁ κύριος ἐν τῷ Ἰούδᾳ ἐπὶ πάντα τὰ παροργίσματα ἃ παρώργισε Μανασσῆς. καὶ εἶπε κύριος· καί γε τὸν Ἰούδαν ἀποστήσω ἀπὸ προσώπου μου, καθὼς ἀπέστησα τὸν Ἰσραήλ, καὶ ἀπωσάμην τὴν πόλιν, ἣν ἐξελεξάμην, Ἱερουσαλήμ, καὶ τὸν οἶκον, ὃν* 25 *εἶπα· ἔσται τὸ ὄνομά μου ἐκεῖ.*

Καὶ ἀνέβη Νεχαῶ Φαραῶ βασιλεὺς Αἰγύπτου ἐπὶ τὸν βασιλέα Ἀσσυρίων ἐπὶ τὸν ποταμὸν Εὐφράτην, καὶ ἐπορεύθη βασιλεὺς Ἰωσίας εἰς συνάντησιν αὐτῷ. καὶ ἀπέστειλε Νεχαῶ πρὸς Ἰωσίαν ἀγγέλους λέγων· τί ἐμοὶ καὶ σοί, βασιλεῦ Ἰούδα; καὶ οὐκ ἐπὶ σὲ ἥκω σήμερον πόλεμον πολεμῆσαι. καὶ 30 *ὁ θεὸς εἶπε κατασπεῦσαί με· πρόσεχε ἀπὸ τοῦ θεοῦ τοῦ μετ' ἐμοῦ, μὴ*

9 *ποῖον πάσχα ἐγένετο τῷ ιη' ἔτει Ἰωσίου*

1 2 Paralip. 35, 20–24 || **4** 2 Paralip. 34, 1–7 || **9** 2 Paralip. 35, 18–19, 4 Reg. 23, 21–23 || **14** 2 Paralip. 35, 19[a] LXX (om. uers. Hebr.) || **18** 4 Reg. 23, 25–27, 2 Paralip. 35, 19[b,c,d] || **27** 2 Paralip. 35, 20–25

1 *νεχαῷ* **B** *νεχαᾷ* **A** || **10** *ἰσραὴλ* **A** 2 Paralip. *ἱερουσαλὴμ* **B** || **12** *τὸ* 2 Paralip. *τῷ* **AB** || **14** *θεραφεὶμ* **B** *θεραφῖμ* **A** || **15** *ἐνεπύρισεν* **A** *ἐνεπύρησεν* **B** || **16** *ἐπὶ* **B** *ἐκ* **A** || **18** *ὅμοιος* **B** *ὁμοίως* **A** || **19** *καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ* om. **A** || **21** *θυμοῦ* om. **A** || **22** *θυμῷ* **B** *θυμοῦ* **A** || **23** *παρώργισε* **A** *παρώργησε* **B** || **24** *ἰούδαν* **B** *ἰούδα* **A** || **32** *τῷ ιη' ἔτει*] *τῷ ιη'* **A**[m] *τῷ* $\overline{ΙΗΛ}$ *ἔτει* **B**[m]

καταφθείρῃ σέ. καὶ οὐκ ἀπέστρεψεν Ἰωσίας τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτοῦ, ἀλλ' ἢ πολεμεῖν αὐτὸν ἐκραταιώθη. καὶ οὐκ ἤκουσε τὸν λόγον Νεχαῶ διὰ στόματος θεοῦ, καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ πεδίῳ Μαγεδών. καὶ **408** *ἐτόξευσαν οἱ τοξόται ἐπὶ βασιλέα Ἰωσίαν. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς* 5 *παισὶν αὐτοῦ· ἐξαγάγετέ με, ὅτι ἐπόνησα σφόδρα. καὶ ἐξήγαγον οἱ παῖδες αὐτοῦ ἀπὸ τοῦ ἅρματος καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δευτερεῦον, ὃ ἦν αὐτῷ. καὶ ἤγαγον αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ ἀπέθανε καὶ ἐτάφη μετὰ τῶν πατέρων αὐτοῦ, καὶ πᾶς Ἰούδας καὶ Ἱερουσαλὴμ ἐπένθησεν ἐπὶ Ἰωσίαν. καὶ ἐθρήνησεν Ἱερεμίας ἐπὶ Ἰωσίαν καὶ εἶπον* 10 *πάντες οἱ ἄρχοντες καὶ αἱ ἄρχουσαι θρῆνον ἐπὶ Ἰωσίαν ἕως τῆς σήμερον. καὶ ἔδωκεν αὐτὸν πρόσταγμα ἐπὶ Ἰσραήλ, ἰδοὺ γέγραπται ἐπὶ τῶν θρήνων.*

Εἶτα καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωάχαζ υἱὸν Ἰωσίου, καὶ ἔχρισαν αὐτὸν καὶ κατέστησαν αὐτὸν εἰς βασιλέα ἀντὶ τοῦ πατρὸς αὐτοῦ. εἴκοσι 15 *τριῶν ἐτῶν Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτὸν καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. καὶ ἔδησεν αὐτὸν Φαραῶ Νεχαῶ ἐν Δεβλαθὰ ἐν γῇ Αἰμὰθ τοῦ μὴ βασιλεύειν ἐν Ἱερουσαλήμ. καὶ ἤγαγεν αὐτὸν εἰς Αἴγυπτον, καὶ ἐπέβαλε φόρον ἐπὶ τὴν γῆν ρ' τάλαντα ἀργυρίου καὶ τάλαντον χρυσίου. καὶ κατέστησε Φαραῶ Νεχαῶ τὸν Ἐλιακεὶμ υἱὸν Ἰωσίου βασιλέα, καὶ* 20 *μετέστρεψε τὸ ὄνομα αὐτοῦ Ἰωακείμ, καὶ τὸν Ἰωάχαζ ἀδελφὸν αὐτοῦ εἰσήγαγεν εἰς Αἴγυπτον, καὶ ἀπέθανεν ἐκεῖ. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ια' ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.* **409** *συνῳδὰ δὲ καὶ ἡ δ' τῶν βασιλειῶν τούτοις γράφει.*

Εὗρον δὲ ἔν τινι ἀντιγράφῳ ὅτι μετὰ τὴν τελευτὴν Ἰωσίου Ἱερεμίας ὁ 25 *προφήτης κατὰ χρησμὸν θεῖον προσέταξε τοῖς ἱερεῦσιν ἆραι τὴν θείαν κιβωτὸν καὶ τὴν σκηνὴν καὶ ἀκολουθῆσαι αὐτῷ. καὶ ἐξελθὼν τὴν πόλιν ἀνέβη εἰς τὸ ὄρος, ὅπου καὶ Μωυσῆς ἀναβὰς εἶδε τὴν γῆν τῆς ἐπαγγελίας. καὶ εὑρὼν σπήλαιον εἰσήγαγεν ἐν αὐτῷ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καὶ τὸ θυσιαστήριον καὶ τὴν τράπεζαν καὶ τὴν λυχνίαν καὶ τὰ λοιπὰ ἅγια* 30 *σκεύη φράξας τὴν εἴσοδον. τινὲς δὲ τῶν σὺν αὐτῷ ἱερέων ὑπέστρεψαν ἐπισημήνασθαι τὸν τόπον, καὶ ἐκρύβη ἀπ' αὐτῶν. οἷς καὶ ἐμέμψατο Ἱερεμίας γνοὺς τῷ πνεύματι, ἄγνωστον ἔσεσθαι τὸν τόπον εἰπών, ἕως ἐπισυναγάγῃ κύριος τὸν λαὸν αὐτοῦ καὶ ἵλεως γένηται τῷ Ἰσραήλ.*

17 *τότε πρῶτον ὑπόφορος ἐγένετο ἡ γῆ ὥς φησιν Ἀφρικανός*

13 2 Paralip. 36, 1–5 || **23** 4 Reg. 23, 30–36 || **24** 2 Macc. 2, 1–7

1 *καταφθείρῃ* **B** 2 Paralip. *διαφθείρῃ* **A** || **5** *ἐξαγάγετε* **A** *ἐξαγάγεται* **B** | *ἐπόνησα* **B** *ἐπόνεσα* **A** || **6** *ἀνεβίβασαν* **A** *ἀνεβήβασεν* **B** || **16** *αἰμὰθ* 2 Paralip.^A *ἐμὰθ* **AB** *Ἰεμὰθ* 2 Paralip.^v || **23** *γράφει* **B** *γραφή* **A** || **27** *εἶδε* **A** *ἴδεν* **B** || **31–32** *καὶ*[1] . . . *τόπον* om. **A** || **33** *ἐπισυναγάγῃ* **B** *ἐπισυνάγει* **A**

Τοῦ Ἰσραὴλ ιζ' ἐβασίλευσεν Ἰώαχαζ μῆνας γ', υἱὸς Ἰωσίου.

Τοῦτον τὸν Ἰώαχαζ Ἰεχονίαν ὀνομάζει ὁ Ἔσδρας οὕτω λέγων πρὸς 410 *λέξιν· καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν Ἰεχονίαν υἱὸν Ἰωσίου ἀνέδειξαν βασιλέα. εἶτα· καὶ ἐβασίλευσεν ἐν Ἰσραὴλ καὶ ἐν Ἱερουσαλὴμ μῆνας γ'. καὶ ἀπέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου βασιλεύειν ἐν Ἱερουσαλήμ, καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου τάλαντα ρ' καὶ χρυσίου τάλαντα ι'. καὶ ἀνέδειξε βασιλέα Ἰωακεὶμ τὸν ἀδελφὸν αὐτοῦ.* 5

Τοῦ Ἰούδα ιη' ἐβασίλευσεν Ἐλιακείμ, ὁ καὶ Ἰωακείμ, ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωπγ'.

Τὸ δ' ἔτος Ἰωακεὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα (κόσμου δὲ ἦν ἔτος 10 *͵δωπγ' καὶ πρῶτον ἔτος βασιλέως Βαβυλῶνος Ναβουχοδονόσωρ) ὁ μέγας Ἱερεμίας φησί· τὸ δ' αὐτὸ κγ' ἔτος τῆς ἑαυτοῦ προφητείας πρὸς τὸν λαὸν Ἰούδα ἐξαριθμεῖ ἀπὸ τοῦ ιγ' ἔτους Ἰωσίου βασιλέως ἀρχόμενον, ἀφ' οὗ καί τινες τῶν ἐξηγητῶν, ἐν οἷς καὶ Εὐσέβιος, τὸν ἑβδομηκονταετηρικὸν τῆς αἰχμαλωσίας χρόνον βούλονται μετρεῖσθαι, ἕως τοῦ α' ἔτους* 15 *Κύρου γινόμενον ἔτη ο'. κατὰ δὲ δεύτερον τρόπον ὁ αὐτὸς ἑβδομηκονταετὴς χρόνος συνάγεται ἀπὸ τοῦ ἐνεστῶτος δ' ἔτους Ἰωακείμ, ἀφ' οὗ καὶ ὁ θεὸς διὰ τοῦ προφήτου ἐγκαλεῖ τῷ λαῷ τοῦ Ἰούδα περὶ τῆς ἀπειθίας, ἐπὶ τὸ α' ἔτος τοῦ αὐτοῦ Κύρου, κατὰ δὲ γ' καὶ τελευταῖον ἀπὸ τοῦ ια' ἔτους Σεδεκίου ἕως τοῦ β' ἔτους Δαρείου. τισὶ δὲ ἀκριβέστερον δοκεῖ* 20 411 *ἀπὸ τοῦ ε' ἔτους τῆς προφητείας Ἱερεμίου, ὥς φησιν Εὐσέβιος, τὰ ἐπὶ τὸ α' ἔτος Κύρου ἀριθμεῖν. ἀλλ' οὐδ' οὕτως ἀκριβῶς σῴζεται.*

Οὐρίας υἱὸς Ἀμὼς κατὰ τῆς Ἱερουσαλὴμ προεφήτευσεν. Οὐρίας

2 *ὅπερ κατὰ τὴν ὑποκειμένην στοιχείωσιν ὤφειλεν εἶναι ͵δωπ'· τὰ δὲ γ' ἔτη ταῦτα τὰ προτρέχοντα ἐν ποίοις προσώποις προσετέθη ἀγνοοῦμεν· αὐτὸς γὰρ ὁ τὴν βίβλον* 25 *συντάξας καὶ τὸν ο' ἐτῶν χρόνον τῆς αἰχμαλωσίας ἀπὸ τοῦ δ' Ἰωακεὶμ ἀριθμήσας οὕτως ἐστοιχείωσεν· ἀριθμεῖται δὲ τὰ ο' ἔτη τῆς αἰχμαλωσίας οὕτως· Ἰωακεὶμ ἔτη η'· τῶν β' Ἰεχονίων ἔτος α'· Σεδεκίου ἔτη ια'· Ναβουχοδόνοσορ ἀπὸ τοῦ ιθ' ἔτους τῆς βασιλείας αὐτοῦ τὰ λοιπὰ ἔτη κδ'· Εὐιλὰδ Μαροδὰχ ἔτη ε'· Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ ἔτη γ'· Δαρείου Ἀστυάγους ἀπὸ κα' ἔτους τῆς βασιλείας αὐτοῦ τὰ* 30 *λοιπὰ ιζ'· Κύρου ἔτος α'· ὁμοῦ ο'*

1 4 Reg. 23, 31 || **2** 1 Esdr. 1, 32, cf. Euseb. 2, 98, 22 || **4** 1 Esdr. 1, 33–35 || **8** 4 Reg. 23, 34–36 || **9** redit Syncellus ad suum computum regum Hierosolymorum, sed infra (11) iterum alterum exhibet || **10** Ieremias 25, 1–3 || **14** Euseb. 2, 103ᵇ || **16** Euseb. 2, 103ᵇ || **19** Euseb. 2, 100ᵃ. 105ᵇ·ᵈ = Clem. Alex. Strom. 1, 124, 1–2 (ab anno undecimo) || **21** Euseb. 2, 188 Arm., quae uerba om. 103ᵇ Hieron. || **23** Ieremias 33, 20–23 || **24–31** eadem fere ps. Sym. f. 52ʳ (om. Cedr.)

11 *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || **18** *ἀπειθίας* **B** *ἀπειθείας* **A** || **19** *ια'* **A** et Euseb. *θ'* **B** Di. || **23** *ἀμὼς* **AB** *Σαμαίου* Ieremias || **25** *προσετέθη* **Aᵐ** *προσετέθησαν* **Bᵐ** || **26** *τὸν ο' ἐτῶν*] *τὸν ο' ετῆ* **Bᵐ** *τῷ ο' ἔτει* **Aᵐ** || **27** *ἀριθμεῖται* **Aᵐ** *ἀριθμοῦνται* **Bᵐ** || **29** *μαροδὰχ* **Bᵐ** *μεροδὰχ* **Aᵐ**

προφητεύων κατὰ τῆς Ἱερουσαλὴμ φεύγει εἰς Αἴγυπτον. μεταπεμψάμενος δὲ αὐτὸν Ἰωακεὶμ καὶ ἀγαγὼν ἀπ' Αἰγύπτου ἀναιρεῖ.

Τῷ δ' ἔτει Ἰωακεὶμ λέγει ὁ Ἱερεμίας ὅτι ἐπάταξεν ὁ Ναβουχοδονόσωρ τὸν Νεχαῶ Φαραῶ. τὸ δὲ τέλος τοῦ δ' ἀρχὴ τοῦ ε' ἐστὶ καὶ οὐδὲν δια-
5 *φέρει.*

Τῷ αὐτῷ ἔτει γέγονεν ὁ λόγος κυρίου πρὸς Ἱερεμίαν περὶ τοῦ χάρτου, ὃ ἀνέγνω Βαροὺχ τῷ ε' ἔτει Ἰωακεὶμ μηνὶ θ' κατὰ πρόσωπον κυρίου καὶ πάσης τῆς ἐκκλησίας Ἰούδα ἐν Ἱερουσαλὴμ ἐν οἴκῳ Γαμαρίου τοῦ γραμματέως· ἔνθεν καὶ ὁ ἑβδομηκονταετὴς χρόνος.

10 *Σχόλ. Στοιχείωσις ἀκριβὴς ἀπὸ τοῦ α' ἔτους τῶν ο' ἐτῶν τῆς αἰχμαλωσίας μέχρι καὶ αὐτῆς τῆς κατὰ σάρκα γεννήσεως τοῦ Χριστοῦ κατὰ τὴν παροῦσαν συντάξαντα βίβλον, ἀπὸ δ' ἔτους Ἰωακείμ, κόσμου ͵δωπγ', ἕως ὅτ' ἀπελύθη ἡ αἰχμαλωσία, ἤγουν α' ἔτους Κύρου, ἔτη ο'. καὶ ἀπὸ τοῦ β' ἔτους Κύρου, ὅτε ὁ ναὸς ἐθεμελιώθη ἡγεμονεύοντος Ζοροβάβελ καὶ*
15 *ἀρχιερατεύοντος Ἰησοῦ, ἕως συμπληρώσεως ἐτῶν Ὀνίου ἀρχιερέως τοῦ τελευταίου ἔτη τξγ'. κόσμου ἔτη ͵ετιε'. καὶ ἀπὸ ἀρχῆς τῶν ἀνιέρων διὰ* **412** *χρημάτων κρατησάντων Ἰάσονος, Μενελάου καὶ Λυσιμάχου ἐπὶ τῆς ἀπιστίας Ἀντιόχου ἕως Ἰούδα υἱοῦ Ματθίου ἔτη ιθ'. κόσμου δὲ ἔτη ͵ετλδ'. καὶ ἀπὸ τῆς ἀρχῆς Ἰούδα ἀρχιερέως υἱοῦ Ματθίου ἕως λγ' ἔτους Ἡρώδου,*
20 *τεσσαρακοστοῦ δὲ τρίτου ἔτους Αὐγούστου Καίσαρος, ὅτε τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου ὁ κύριος ἐτέχθη, ἔτη ρξζ', κόσμου δὲ ͵εφα', μηνὶ Δεκεμβρίῳ ἰνδικτ. α'.*

Πέντε γεγόνασιν οἱ υἱοὶ τοῦ μακαρίου Ἰωσίου, Ἰωάχαζ, Ἐλιακεὶμ ὁ καὶ Ἰωακείμ, Ἰωνᾶν, Σεδεκίας ὁ καὶ Ἰεχονίας, καὶ πέμπτος Σαλούμ.

25 *Καὶ τὸν μὲν Ἰωάχαζ ὑπὸ τοῦ λαοῦ μετὰ θάνατον Ἰωσίου τοῦ πατρὸς χρισθέντα εἰς βασιλέα μετέστησε Νεχαῶ Φαραῶ εἰς Αἴγυπτον, ἔνθα καὶ ἀποθνήσκει. φόρον τε ἀργυρίου ταλάντων ρ' καὶ χρυσίου ταλάντου ἑνός, ἢ ὥς τινες ι', τῇ Ἰουδαίᾳ ἐπέθηκεν, καταστήσας Ἐλιακεὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα τὸν καὶ Ἰωακεὶμ μετακληθέντα ὑπ' αὐτοῦ.*

30 *Ἀναιρεθέντος δὲ τοῦ αὐτοῦ Νεχαῶ Φαραῶ ὑπὸ τοῦ Ναβουχοδονόσωρ*

3 Ieremias 26, 2 || 6 Ieremias 43, 1–10 || 10 hoc scholion fortasse ex margine in textum perperam interpolatum est. eadem fere uerba apud ps. Sym. f. 52r || 23 cf. Chron. Synt. 66, 12 = Hippolyt. fr. 7 (quinque filii), aliter 1 Paralip 3, 15 (quattuor filii sine Ioan) || 25 4 Reg. 23, 30–34 || 30 Ieremias 25, 1–2

3 *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || 13 *ἔτους* Go. *ἔτος* **AB** || 15 *ἀρχιερατεύοντος* **B** *ἀρχιερεύοντος* **A** || 16 *κόσμου ἔτη* **B** *κόσμου ἔτος* **A** || 17 *χρημάτων* **B** *χρήματα* **A** | *Ἰάσονος* **B** *ἰάσωνος* **A** || 18 *ἀπιστίας* **A** *ἀπιστείας* **B** || 21 *ὁ κύριος* om. **A** || 21.22 *μηνὶ δεκεμβρίῳ* **B** *μηνὸς δεκεμβρίου* **A** || 22 *ἰνδικτ.* om. **A** || 23 *οἱ* om. **A** || 24 *ἰωνᾶν* **AB** *ἴωαν* Chron. Synt. || 25 *τοῦ*[2] om. **B** || 28 *ἐπέθηκεν* **B** *ἀπέθηκεν* **A**

τῷ β' ἔτει τῆς βασιλείας αὐτοῦ, κατὰ τὸ δ' ἔτος Ἰωακείμ, ὥς φησιν Ἱερεμίας, ἀνελθὼν κατεδουλώσατο τὸν Ἰωακεὶμ ὁ Ναβουχοδονόσωρ ἔτη γ', τοῦτ' ἔστιν ἕως τοῦ η' ἔτους αὐτοῦ Ἰωακείμ. ἀποστάντα δὲ πάλιν 413 *χειρωσάμενος ᾐχμαλώτισε, καταστήσας ἀντ' αὐτοῦ τὸν Ἰωαχεὶμ υἱὸν αὐτοῦ παῖδα ὀκταέτη.* 5

Ἡ μὲν ἱερὰ βίβλος τῶν Παραλειπομένων μετὰ τὸ ἀποικισθῆναι τὸν Ἰωακεὶμ σὺν τοῖς ἱερεῦσι καὶ τοῖς λοιποῖς ἐμφανέσι τῶν Ἰουδαίων καὶ τῶν ἱερῶν σκευῶν κατὰ τὸ η' ἔτος τῆς βασιλείας Ναβουχοδονόσωρ δεθέντα πέδαις χαλκαῖς ὑπ' αὐτοῦ καὶ αἰχμάλωτον εἰς Βαβυλῶνα ληφθέντα, φησὶν ὅτι κατέστησε τὸν Ἰωαχεὶμ υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ τὸν 10 *καὶ Ἰεχονίαν παῖδα ὀκταέτη ὑπόφορον· καὶ μετὰ τρεῖς μῆνας καὶ δέκα ἡμέρας ἔλαβεν αὐτὸν πολιορκήσας σὺν τῇ μητρὶ καὶ τοῖς λοιποῖς ἄρχουσιν Ἰούδα καὶ τοῖς εὐνούχοις καὶ τοῖς δυνατοῖς τῆς γῆς καὶ πᾶσι τοῖς θησαυροῖς αἰχμαλώτους εἰς Βαβυλῶνα, καὶ ἐβασίλευσε τὸν Ματθανίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, κγ' ὄντα ἐτῶν, δῆλον δ' ὅτι τοῦ Ἰωσίου υἱόν. συμφωνεῖ* 15 *δὲ καὶ ἡ δ' τῶν βασιλειῶν.*

Ὁ δὲ ἱερὸς Ἱππόλυτος ἐν τῷ κατὰ τὴν Σωσάνναν καὶ τὸν Δανιὴλ συγγράμματι τρία ἔτη λέγει τὸν υἱὸν Ἰωακεὶμ Ἰωαχεὶμ τὸν καὶ Ἰεχονίαν μετὰ τὸν πατέρα κρατήσαντα μετοικισθῆναι εἰς Βαβυλῶνα σὺν τοῖς λοιποῖς, ὡς πρόκειται. τὸν δὲ Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας τῆς παρούσης 20 *αἰχμαλωσίας λέγει. τοῦτον δὲ λέγει καὶ τῆς Σωσάννης ἄνδρα εἶναι· καὶ πιθανὸς ὁ λόγος.*

Τὴν δὲ Σωσάνναν Χελκίου τοῦ ἀρχιερέως εἶναι θυγατέρα βεβαιοῦνται τοῦ εὑρόντος ἐπὶ Ἰωσίου τὸ βιβλίον. ταύτης ἀδελφὸς Ἱερεμίας, ὥς φησι, 414 *καὶ εἰκότως. ἐκ τούτων λέγει γεννηθῆναι τὸν Ἰεχονίαν, οὗ μέμνηται ὁ* 25 *θεῖος εὐαγγελιστὴς Ματθαῖος. τοῦ δὲ Ἰεχονίου υἱόν φησι τὸν Σαλαθιήλ, καὶ τοῦ Σαλαθιὴλ τὸν Ζοροβάβελ· καὶ οὕτω τὴν γενεαλογίαν τοῦ σωτῆρος ἐκ τῆς ἱερατικῆς καὶ βασιλικῆς κατάγεσθαι φυλῆς μέχρι Ἰωσὴφ τοῦ δικαίου καὶ τῆς ἁγίας παρθένου καὶ θεοτόκου. ἀπαγορεύει δὲ τὸν Σαλαθιὴλ ἀπὸ Σεδεκίου τεχθῆναι, ὃν καὶ Ἰεχονίαν καλεῖ, ὡς βδελυκτοῦ τῷ θεῷ* 30

1 *τῷ ε' ἔτει Ἰωακεὶμ αἰχμαλωσία* || 23 *τίνος θυγάτηρ ἦν ἡ Σωσάννα*

2 4 Reg. 24, 1–8 || 6 2 Paralip. 36, 5–10. 4 Reg. 24, 8–17 || 17 Hippolytus fr. 8[a] || 23 Susann. 1–2 || 24 Hippolytus fr. 8[b] || 25 Hippolytus fr. 8[c], Matt. 1, 11–13

2 *ἀνελθὼν* B *ἀλλ' ἐλθὼν* A || 4 *ᾐχμαλώτισε* A *ᾐχμαλώτησε* B || 6 *ἀποικισθῆναι* Di. *ἀπῳκισθῆναι* AB || 11 et 18 *ἰεχονίαν* B *ἰεχωνίαν* A || 17 *τὸν* B *τῷ* A || 18 *τὸν υἱὸν* B *τοῦ υἱοῦ* A || 21 *σωσάννης* A *σουσάννης* B || 22 *πιθανὸς* A *πειθανὸς* B || 23 *εἶναι θυγατέρα* B tr. A || 24 *φησι* B *φασι* A || 25 *λέγει* A *λέγειν* B || 28 *κατάγεσθαι* B *καταγενέσθαι* A || 30 *βδελυκτοῦ* Di. *βδελυκτὸν* AB || 31 lemma (1) om. B[m]

γεγονότος· καὶ εἰκότως. ἐπειδὴ δὲ ὁ χρόνος τῶν δ' γενεῶν εἰς ξη' ἔτη μεριζόμενος ἀπὸ πρώτου ἔτους Ναβουχοδονόσωρ ἐπὶ τὸ α' ἔτος Κύρου, καθ' ὃ ὁ Ζοροβάβελ τῆς ἀπολυτρώσεως τῆς αἰχμαλωσίας ἡγήσατο, μᾶλλόν τινες τὸν Σαλαθιὴλ τοῦτον αὐτοῦ τὸν Ἰεχονίου καὶ τῆς Σωσάννης 5 *ὑπολαμβάνουσιν υἱὸν εἶναι, ἵνα τὸν Ζοροβάβελ δείξωσιν εἴκοσί που χρόνων κατὰ τὴν ἀνάκλησιν.*

Τοῦ Ἰούδα ιθ' ἐβασίλευσεν Ἰεχονίας υἱὸς Ἰωακείμ, ὁ καὶ Ἰωαχείμ, μῆνας γ', ἄλλοι δὲ ἔτη γ', ὡς καὶ ὁ ἱερὸς Ἱππόλυτος. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωϛε'.

10 *Τούτου, φησί, τῷ τρίτῳ ἔτει γέγονεν ἡ πρώτη μετοικεσία ὑπὸ Ναβουχοδονόσωρ μεταστήσαντος αὐτὸν εἰς Βαβυλῶνα καὶ ι' χιλιάδας ἀνδρῶν, ἐν οἷς καὶ τὸν Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας συναπενεχθῆναί φησι. τοῦτον λέγει εἶναι τὸν ἄνδρα Σωσάννης Ἰωακείμ.*

Τοῦ Ἰούδα κ' ἐβασίλευσε Σεδεκίας ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος 415 15 *͵δωϛϛ'.*

Ἀφρικανὸς ἀπὸ τοῦ α' ἔτους Σεδεκίου τὰ ο' ἔτη τῆς αἰχμαλωσίας ἀριθμεῖ.

Τῷ ε' ἔτει Σεδεκίου, κόσμου δὲ ͵δϡ', ἤρξατο προφητεύειν ὁ μέγας προφήτης Ἰεζεκιήλ. τῷ δ' αὐτῷ ἔτει τῆς αἰχμαλωσίας Ἰωακεὶμ Σεδεκίας 20 *τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἐδήλωσεν ὅτι ⟨μετὰ⟩ ο' ἔτη ἀναζεύξουσιν ἐκ Βαβυλῶνος κατὰ τὴν Ἱερεμίου προφητείαν.*

Ἀνανίας ψευδοπροφήτης ἀνθιστάμενος Ἱερεμίᾳ θνήσκει, καθ' ὃν χρόνον Ἰεζεκιὴλ προφητεύει ἐν Βαβυλῶνι.

Ἐν Ἱερουσαλὴμ ἐγένοντο δούλων ἐλευθερίαι.

25 *Τοὺς υἱοὺς Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ εἰσελθόντας ἐπὶ τῆς Σεδεκίου πολιορκίας εἰς Ἱερουσαλὴμ ὁρῶν Ἱερεμίας μὴ πίνοντας οἶνον μηδὲ ὑπὸ στέγην οἰκοῦντας διὰ τὴν τοῦ πατρὸς ἐντολήν, τοὺς Ἰουδαίους ὠνείδιζεν ἀπειθοῦντας τῷ θεῷ καὶ μηδὲ κἂν ὡς οὗτοι τῷ πατρὶ πειθομένους τῷ κτίσαντι.*

30 **18** *πότε ἤρξατο προφητεύειν Ἰεζεκιήλ*

3 cf. infra 281, 1–3 || **4** Aggaeus 1, 1 || **7** 4 Reg. 24, 8 || **8** Hippolytus fr. 7, cf. Chron. Synt. 66, 36 || **10** Hippolytus fr. 8ª || **14** 4 Reg. 24, 18 || **16** Africanus fr. 41 || **18** Ezechiel 1, 2 || **19** cf. Ieremias 36, 1–11 || **22** Ieremias 35, 17 || **24** Ieremias 41, 8–11 || **25** Ieremias 42, 12–16

2 et **10** *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || **5** *υἱὸν εἶναι* **B** tr. **A** || **16** *τὰ ο ἔτη* **B** *τῷ ο' ἔτει* **A** || **16–17** *τῆς αἰχμ. ἀριθμεῖ* **B** *ἀριθμεῖ τῆς αἰχμ.* **A** || **19** *Σεδεκίας* om. **A** || **20** *ἐν βαβ. αἰχμ.* **B** *αἰχμ. ἐν βαβ.* **A** | *μετὰ* add. Di. || **22** *ἱερεμίᾳ* **B** *ἱερεμίου* **A** || **25** *ἰωναδὰβ υἱοῦ ῥηχὰβ* **B** *ἰωναδὰμ υἱοῦ ῥηχὰμ* **A** || **29** *κτίσαντι* **B** *κτήσαντι* **A**

Ἱερεμίας ὁ προφήτης ἐξελθὼν εἰς πόλιν Βενιαμὶν ὠνήσασθαι ἀγρὸν συνελήφθη ὑπό τινος Ἱερούα, τῷ Σεδεκίᾳ τε παρεδόθη καὶ εἰς τὴν 416 *φυλακὴν καθείρχθη. ἔνθα προφητεύων τὰ τῇ πόλει καὶ τῷ ἔθνει συμβησόμενα εἰς λάκκον ἐνεβλήθη. τοῦτον ὁ Αἰθίοψ Ἀβδεμέλεχ οἰκεῖος Σεδεκίου ἀνείλατο τοῦ λάκκου, δυσωπήσας τὸν βασιλέα. τούτῳ προσαχθεὶς* 5 *Σεδεκίας καί τινα μαθὼν παρ' αὐτοῦ πρὸς σωτηρίαν οὐχ ὑπήκουσεν. ἦν δὲ φυλαττόμενος ἐν τῇ αὐλῇ ἕως ὅταν ἡ πόλις ἥλω.*

ΧΑΛΔΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Χαλδαίων ιζ' ἐβασίλευσε Ναβουχοδονόσωρ ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωπη'. 10

Ἄξιον δὲ περὶ τοῦ Ναβουχοδονόσωρ ὀλίγα παραθέσθαι καὶ τοῦ πατρὸς αὐτοῦ ἐκ τῶν Βηρώσσου λέγοντος οὕτως· ἀκούσας δὲ ὁ πατὴρ αὐτοῦ Ναβοπαλάσαρος ὅτι τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ Συρίαν τὴν κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονε, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν συστήσας τῷ υἱῷ Ναβοκοδροσόρῳ μέρη 15 *τινὰ τῆς δυνάμεως ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβοκοδρόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος αὐτοῦ τε κρατεῖ καὶ τὴν χώραν ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτῶν βασιλείαν ἐποιήσατο. τῷ τε πατρὶ αὐτοῦ συνέβη Ναβοπαλασάρῳ ἀρρωστήσαντι μεταλλάξαι τὸν βίον βασιλεύσαντι ἔτη κα'.* 417 *αἰσθόμενος δὲ μετ' οὐ πολὺν χρόνον τὴν τοῦ πατρὸς τελευτὴν Ναβοκοδρόσορος,* 20 *καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων μετὰ τῆς βαρυτάτης δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα.* 25 *καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς αἰχμαλώτοις ἔταξε τὰς κατοικίας.*

Αὐτὸς δὲ ὁ Ναβουχοδονόσωρ ἐκ τῶν λαφύρων τό τε Βήλου ἱερὸν καὶ

1 Ieremias 44, 11–45, 28 ‖ 9 cf. Chron. Pasch. 257, 9, sed et Astr. Can. et Eccl. Can. annos 43 habent, quem numerum etiam anni mundi Syncelli (infra 274, 23) requirunt; sunt fortasse anni 23 spatium reliqui regni post oppugnationem Hierosolymorum ‖ 11 – p. 263, 19 Berossus FGrHist 680 F 8 = Ioseph. c. Ap. 1, 135–142, cf. Ant. Iud. 10, 220–226, Euseb. Praep. Euang. 9, 40, 1–2

1 *βενιαμὶν* **A** *βενιαμεὶν* **B** ‖ 2 *παρεδόθη* **A** *παρεδώθη* **B** ‖ 4 *αἰθίοψ* **A** *αἰθίωψ* **B** ‖ 7 *ὅταν* **AB** *ὅτε* corr. Di. ‖ 9 et infra *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** ‖ 9. 10 *ἦν ἔτος* om. **A** ‖ 15 *δυνόμενος* **AB** ‖ 25 *ὁρμήσας* **B** *ὁρμίσας* **A** ‖ 27 *ὁλοκλήρου* **B** *ὁλοκλήρως* **A**

τὰ λοιπὰ φιλοτίμως κοσμήσας, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν καὶ ἑτέραν ἔξωθεν προσκαταχαρισάμενος καὶ ἀναγκάσας πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, 5 *τρεῖς δὲ τῆς ἔξω, τούτων δὲ τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς προσκατεσκεύασε τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὑπὲρ ὧν τὸ μὲν ἀνάστημα καὶ τὴν λοιπὴν πολυτέλειαν μακρὸν ἴσως ἔσται ἐάν τις ἐξηγῆται, πλὴν ὄντα* 10 *ὑπερβολῇ μεγάλα καὶ ὑπερήφανα συνετελέσθη ἡμέραις ιε΄. ἐν δὲ τοῖς* **418** *βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο· καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην* 15 *ἐν τοῖς κατὰ Μήδειαν τόποις.*

Ταῦτα ὁ Βήρωσσος ἱστορεῖ περὶ τοῦ Ναβουχοδονόσωρ καὶ ἕτερα πλεῖστα ἐν τρίτῃ τῶν Χαλδαϊκῶν βίβλῳ, μεμφόμενος τοῖς ψευδῶς γράψασιν Ἑλλήνων ἱστορικοῖς ὑπὸ τῆς Ἀσσυρίας Σεμιράμεως κτισθῆναι Βαβυλῶνα καὶ τὰ κατ᾽ αὐτὴν θαυμάσια.

20 *Τὸν Φαραὼ Νεχαὼ Ναβουχοδονόσωρ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἀνεῖλε κατὰ τὸν Εὐφράτην ἐπὶ μάχῃ κρατερᾷ ε΄ ἔτει Ἰωακεὶμ ἀρχομένῳ, καὶ ἐλθὼν ἐπὶ Ἰωακεὶμ καὶ τὴν Ἰουδαίαν κατεδουλώσατο τὸν Ἰωακεὶμ γ΄ ἔτη, ὥς φησιν ἡ δ΄ τῶν βασιλειῶν καὶ ἡ β΄ τῶν Παραλειπομένων. καὶ μετὰ γ΄ ἔτη ἠθέτησεν αὐτῷ, καὶ ἀπέστειλε κύριος αὐτῷ* 25 *τοὺς μονοζώνους τῶν Χαλδαίων καὶ τοὺς μονοζώνους Συρίας καὶ Μωὰβ καὶ υἱῶν Ἀμμών, καὶ κατίσχυσαν ἐν γῇ Ἰούδα κατὰ τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν. ταῦτα παρ᾽ αὐτοῖς ⟨ἦν⟩ προφητεύων κατὰ τοὺς χρόνους τούτους Οὐρίας υἱὸς Ἀμαίου, ὃν φυγόντα* **419** *εἰς Αἴγυπτον ἀγαγὼν ὁ Ἰωακεὶμ ἀνεῖλε, καὶ Ἱερεμίας ἀρξάμενος καὶ* 30 *αὐτός, ὡς προδεδήλωται, τῆς προφητείας ἀπὸ τοῦ ιγ΄ ἔτους Ἰωσίου.*

6 *τί προσέθηκε Ναβουχοδονόσωρ εἰς Βαβυλῶνα*

20 4 Reg. 24, 1–7, 2 Paralip. 36, 5–7 || 28 Ieremias 33, 20–24 || 29 Ieremias 1, 2; 25, 3

1 *κοσμήσας* B *κοσμίσας* A || 2 *προσκαταχαρησάμενος* B *προσκαταχρησάμενος* A | *ἀναγκάσας* AB *ἀνακαινίσας* Di. ex Ioseph. Ant. Iud. *ἀναχώσας* v. Gutschmid || 6 *τειχίσας* A *τειχήσας* B || 7 *προκατεσκεύασε* AB || 9 *μακρὸν* B *μικρὸν* A || 11 *ἀναλήμματα* Di. *ἀναλήματα* AB || 13 *ἐξειργάσατο* A *ἐξεργάσατο* B | *κρεμαστὸν παράδεισον* B *κρεμμαστὸν παρὰ δεισὰς* A || 14 *ὀρείας* Di. *ὀρίας* AB || 21 *πέμπτῳ ἔτει* B *ε΄ ἔτη* A || 25 *μωὰβ* B *μωὰμ* A || 26 *κατίσχυσαν* B *κατίσχυσεν* A || 28 *ἀμαίου* B *ἀμμαίου* A *Σαμαίου* Ieremias || 30 *ιγ΄* B *γ΄* A || 31 lemma om. A[m]

Τὸν Ναβουχοδονόσωρ ὁ Μεγασθένης ἐν τῇ δ' τῶν Ἰνδικῶν Ἡρακλέους ἀλκιμώτερον ἀποφαίνει, ὃς ἀνδρείᾳ μεγάλῃ Λιβύης τὸ πλεῖστον καὶ Ἰβηρίας κατεστρέψατο. συμφωνεῖ δὲ αὐτῷ καὶ Φιλόστρατος ἐν ταῖς ἱστορίαις, ἔνθα καὶ περὶ τῆς Τύρου πολιορκίας καὶ τῶν Φοινίκων πάλαι, αἵτινες ἱστορίαι φέρονται περὶ τοῦ Ναβουχοδονόσωρ, ὅτι Συρίαν καὶ 5 *Αἴγυπτον καὶ πᾶσαν τὴν Φοινίκην κατεστρέψατο πολέμοις.*

Ναβουχοδονόσωρ τὸν Ἰωακεὶμ χειρωσάμενος ια' ἔτει τῆς βασιλείας αὐτοῦ ἀρχομένῳ σὺν πολλοῖς τῶν Ἰουδαίων καὶ τῶν ἱερῶν σκευῶν αἰχμάλωτον εἰς Βαβυλῶνα ἀπήγαγε, δήσας αὐτὸν πέδαις χαλκαῖς, ὡς ἐν τῷ β' τῶν Παραλειπομένων γέγραπται. τὸν δὲ Ἰωαχεὶμ υἱὸν αὐτοῦ 10 *τὸν καὶ Ἰεχονίαν παῖδα ὀκταέτη καταστήσας βασιλέα ὑπόφορον, μετὰ τρεῖς μῆνας καὶ δέκα ἡμέρας πάλιν ἐπελθὼν τῇ Ἰουδαίᾳ κατὰ τὸ αὐτὸ ἔτος ἐπολιόρκησε τὴν Ἱερουσαλήμ· πρὸς ὃν ἐξῆλθεν Ἰωαχεὶμ καὶ οἱ παῖδες αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ σὺν αὐτῷ καὶ οἱ ἄρχοντες καὶ οἱ εὐνοῦχοι αὐτοῦ. καὶ ἔλαβεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος ἐν ἔτει ὀγδόῳ τῆς βασιλείας* 15 420 *αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὴν πόλιν καὶ ἐξήνεγκε πάντας τοὺς θησαυροὺς οἴκου κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ συνέκοψε πάντα τὰ σκεύη τὰ χρυσᾶ, ἃ ἐποίησε Σολομὼν βασιλεὺς Ἰσραὴλ ἐν τῷ ναῷ κυρίου κατὰ τὸ ῥῆμα κυρίου· καὶ ἀπῴκισε πᾶσαν τὴν Ἱερουσαλὴμ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς ἰσχύι αἰχμαλωσίᾳ καὶ δέκα* 20 *χιλιάδας αἰχμαλωτίσας καὶ πάντα τὰ τέκνα καὶ τὸν συγκλείοντα, καὶ οὐχ ὑπελείφθη πλὴν οἱ πτωχοὶ τῆς γῆς. καὶ ἀπῴκισε τὸν Ἰωαχεὶμ εἰς Βαβυλῶνα καὶ τὴν μητέρα καὶ τὰς γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους καὶ τοὺς ἰσχυροὺς τῆς γῆς ἀπήγαγεν αἰχμαλωσίας ἀποικεσίαν ἐξ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα, καὶ πάντας τοὺς ἄνδρας τῆς δυνάμεως,* 25 *ἄνδρας ἰσχύος, ποιοῦντας πόλεμον ͵ζ, καὶ τὸν τέκτονα καὶ τὸν συγκλείοντα χιλίους, πάντες δυνατοὶ ποιοῦντες πόλεμον, καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος μετοικεσίαν εἰς Βαβυλῶνα. καὶ ἐβασίλευσε βασιλεὺς Βαβυλῶνος τὸν Ματθίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Σεδεκίαν. υἱὸς εἴκοσι ἐτῶν Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ια'* 30 *ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ.*

1 Euseb. 1, 23, 19 = Ioseph. Ant. Iud. 10, 227 = c. Ap. 1, 144 = Megasthenes FGrHist 715 F 1, Philostratus 789 F 1 || 7 2 Paralip. 36, 6–10 || 13–31 4 Reg. 24, 12–18

2 *ἀλκιμώτερον* A *ἀλκημότερον* B | *τὸ πλεῖστον* B *τῷ πλείστῳ* A || 7 *χειρωσάμενος* A *χειρησάμενος* B | *ἔτει* B *ἔτη* A || 10 *τῷ β' τῶν* A *β'* B || 14 *ἄρχοντες καὶ* B *ἄρχοντες* A || 18 *σολομὼν* A *σαλομῶν* B || 19 et 22 *ἀπῴκισε* Di. *ἀπῴκησε* AB || 20 *καὶ τοὺς* om. A || 21 *αἰχμαλωτίσας* Di. *αἰχμαλωτήσας* B *αἰχμαλωτίσεν* A | *πάντα τὰ τέκνα* AB *πᾶν τέκτονα* 4 Reg. || 30 *εἴκοσι* AB 4 Reg.^A *εἴκοσι καὶ ἑνός* 4 Reg.^v | *Σεδεκίας* om. B

Ταῦτα πρὸς λέξιν ἐν τῇ δ′ τῶν βασιλειῶν γεγραμμένα παρεθέμην, ὥστε εἰδέναι τοὺς ἐντυγχάνοντας διαφόρους αἰχμαλωσίας τοῦ Ἑβραίων γένους γεγενῆσθαι, καὶ διὰ τοῦτο τὰς τῶν προφητῶν προρρήσεις μὴ καθ' ἕνα τρόπον ἢ χρόνον νοεῖσθαι εἰρηκότων· ἔτη ο′ διαρκέσει τὸ ἔθνος ἐπὶ τῆς 5 Βαβυλωνίας αἰχμάλωτον· ὧν δὲ ἡ ἀρχὴ διάφορος, τούτων καὶ τὸ τέλος 421 διάφορον.

Ὅθεν κατὰ μὲν τοῦ Ἔσδρα τὴν γραφὴν τῷ πρώτῳ ἔτει Κύρου ὁ ἑβδομηκονταετὴς χρόνος ἐπληρώθη ἀρξάμενος ἀπὸ τοῦ δ′ ἔτους Ἰωακείμ, ἡνίκα καὶ ἀπόφασις τοῦ θεοῦ ἐξῆλθε διὰ στόματος Ἱερεμίου, κατὰ δὲ τὴν 10 προφητείαν Ζαχαρίου τοῦ προφήτου βοῶντος μετὰ ἔτη μβ′· κύριε ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ο′ ἔτος; ἄλλοθέν ποθεν ὁ αὐτὸς οὗτος ο′ χρόνος ἕξει τὴν ἀρχήν. οὗτος δὲ ἀπὸ τῆς τελευτῆς Ναβουχοδονόσωρ εὑρίσκεται λαμβανόμενος ἐπὶ τὴν τελείαν οἰκοδομὴν τοῦ ναοῦ, ἥτις ἀρξαμένη μὲν τὸ πρῶτον ἀπὸ 15 τοῦ α′ ἔτους Κύρου ἐπαύθη ὑπὸ τοῦ αὐτοῦ Κύρου μόνων τῶν θεμελίων ὑπερβληθέντων, μέχρις ἔτους β′ Δαρείου τοῦ Ὑστάσπου. τῷ δὲ β′ ἔτει τοῦ αὐτοῦ Δαρείου τελείας ἀφέσεως δοθείσης τῷ ἔθνει καὶ τῇ ἀνοικοδομῇ τοῦ ναοῦ, τῷ ς′ ἔτει Δαρείου ἐτελειώθη τὸ ἔργον, ὡς ἐφεξῆς δειχθήσεται ἐκ τῆς ἱερᾶς τοῦ Ἔσδρα γραφῆς. εἰσὶν οὖν τὰ ἀπὸ τοῦ δ′ ἔτους Ἰωακεὶμ 20 ἕως πρώτου ἔτους Κύρου ο′ ἔτη τῆς τοῦ Ἰούδα αἰχμαλωσίας ταῦτα· Ἰωακεὶμ ἀπὸ τοῦ δ′ ἔτους ἕως ια′ ἔτη η′. Σεδεκίου ἔτη ια′. Ναβουχοδονόσωρ ἔτη κε′. Εὐειλὰδ Μαροδὰχ ἔτη ε′. Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ ἔτη γ′. Δαρείου Ἀστυάγους ἔτη ιζ′. Κύρου α′. ὁμοῦ ο′. τὰ δὲ ἀπὸ τῆς τελευτῆς Ναβουχοδονόσωρ ἐπὶ τὴν τελείαν οἰκοδομὴν τοῦ ναοῦ καὶ τοὺς 422 25 χρηματισμοὺς Ζαχαρίου τοῦ προφήτου πάλιν ο′ ἔτη συναριθμεῖται οὕτως· Εὐειλὰδ Μαροδὰχ ἔτη ε′. Νιριγλήσαρος ἔτη γ′. Δαρεῖος Ἀστυάγης ἔτη ιζ′. Κῦρος λα′. Καμβύσης η′. Δαρεῖος Ὑστάσπου ς′. ἐτελειώθη ὁμοῦ ο′.

Ἐκ ταύτης τῆς αἰχμαλωσίας ἦν Δανιὴλ ἅμα τοῖς σὺν αὐτῷ Ἀνανίᾳ, 30 Ἀζαρίᾳ, Μιζαήλ. οὗτος ὁ Δανιὴλ παιδευθεὶς τὴν παιδείαν εὐάρεστος ἐγένετο τῷ βασιλεῖ Ναβουχοδονόσωρ. ταῦτα καὶ ὁ Ἀφρικανὸς μαρτυρῶν, ὅτι ἐκ τῆς β′ αἰχμαλωσίας Ἰούδα ἦν ὅ τε Δανιὴλ καὶ οἱ τρεῖς παῖδες.

7 2 Esdr. 1, 1 ‖ **9** Ieremias 25, 1 ‖ **10** Zacharias 1, 1. 12 ‖ **14** 2 Esdr. 1, 1; 3, 8; 4, 24; 6, 15 ‖ **29** cf. Euseb. 1, 98[b] ‖ **30** Dan. 4, 1–5 ‖ **31** Africanus fr. 42

1 ταῦτα **B** ταύτη **A** ‖ **11** ὑπερεῖδες **A** ὑπερίδες **B** ‖ **13** et infra ναβουχοδονόσωρ **B** ναβουχοδονόσορ **A** ‖ **14** οἰκοδομὴν **A** οἰκοδομεῖν **B** ‖ **15** ὑπὸ **B** ἀπὸ **A** ‖ **17** ἀνοικοδομῇ **A** ἀνοικοδομεῖ **B** ‖ **22** εὐειλὰδ **B** εὐιλὰδ **A** | Νιριγλησάρου Di. νιριγλισάρου **AB** ‖ **26** ἔτη ε′ **B** ε′ **A** | Νιριγλήσαρος Di. νιριγλίσαρος **B** νιριγλησάρου **A**

Πανόδωρος δὲ καὶ ἕτεροι τῶν ἱστορικῶν ἐκ τῆς ἐν Σαμαρείᾳ ὑπὸ Σαλμανασὰρ αἰχμαλωσίας.

Τοῦ Ἰούδα κ' ἐβασίλευσε Σεδεκίας ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δσϛϛ'.

Ἀφρικανὸς ἀπὸ τοῦ α' ἔτους Σεδεκίου τὰ ο' ἔτη τῆς αἰχμαλωσίας 5 *ἀριθμεῖ.*

Τῷ ε' ἔτει Σεδεκίου, κόσμου δὲ ,δτ', ἤρξατο προφητεύειν ὁ μέγας προφήτης Ἰεζεκιήλ. τῷ δ' αὐτῷ ἔτει τῆς αἰχμαλωσίας Ἰωακεὶμ Σεδεκίας τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ἐδήλωσεν ὅτι μετὰ ο' ἔτη ἀναζεύξουσιν ἐκ Βαβυλῶνος κατὰ τὴν Ἱερεμίου προφητείαν. 10

Ἀνανίας ψευδοπροφήτης ἀνθιστάμενος Ἱερεμίᾳ θνήσκει, καθ' ὃν χρόνον Ἰεζεκιὴλ προφητεύει ἐν Βαβυλῶνι.

Ἐν Ἱερουσαλὴμ ἐγένοντο δούλων ἐλευθερίαι.

423 *Τοὺς υἱοὺς Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ εἰσελθόντας ἐπὶ τῆς Σεδεκίου πολιορκίας εἰς Ἱερουσαλὴμ ὁρῶν Ἱερεμίας μὴ πίνοντας οἶνον μηδὲ ὑπὸ* 15 *στέγην οἰκοῦντας διὰ τὴν τοῦ πατρὸς ἐντολήν, τοὺς Ἰουδαίους ὠνείδιζεν ἀπειθοῦντας τῷ θεῷ καὶ μηδὲ κἂν ὡς οὗτοι τῷ πατρὶ πεποιθομένους τῷ κτίσαντι.*

Ἱερεμίας ὁ προφήτης ἐξελθὼν εἰς πόλιν Βενιαμὶν ὠνήσασθαι ἀγρὸν συνελήφθη ὑπό τινος Ἱερούα, τῷ Σεδεκίᾳ τε παρεδόθη καὶ εἰς τὴν 20 *φυλακὴν καθείρχθη. ἔνθα προφητεύων τὰ τῇ πόλει καὶ τῷ ἔθνει συμβησόμενα εἰς λάκκον ἐνεβλήθη. τοῦτον ὁ Αἰθίοψ Ἀβδεμέλεχ οἰκεῖος Σεδεκίου ἀνείλατο τοῦ λάκκου, δυσωπήσας τὸν βασιλέα. τούτῳ προσαχθεὶς Σεδεκίας καί τινα μαθὼν παρ' αὐτοῦ πρὸς σωτηρίαν οὐχ ὑπήκουσεν. ἦν δὲ φυλαττόμενος ἐν τῇ αὐλῇ ἕως ὅταν ἡ πόλις ἥλω.* 25

Τὰ τῆς τετάρτης τῶν βασιλειῶν περὶ τῆς τελείας αἰχμαλωσίας Σεδεκίου καὶ τῶν καταλειφθέντων ἐπὶ Ἰωακεὶμ Ἰουδαίων καὶ ἱερῶν οἴκου κυρίου καὶ ἐρημώσεως Ἱερουσαλήμ

Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ θ' τῆς βασιλείας Σεδεκίου ἐν τῷ μηνὶ τῷ ι', 424 *ια' τοῦ μηνός, ἦλθε Ναβουχοδονόσωρ ὁ βασιλεὺς Βαβυλῶνος, αὐτὸς καὶ* 30

3–25 repetuntur haec ex 261, 14–262, 7 || 29–p. 267, 30 4 Reg. 25, 1–16

1 *ἐκ* B *ἐν* A || 3 *κ'* supra *κε'* AB | *ἦν ἔτος* om. A || 14 *ἰωναδὰβ* B *ἰωναδὰμ* A | *Ῥηχὰβ* supra *ῥιχὰβ* B *ῥιχὰμ* A || 17 *πεποιθομένους* AB *πειθομένους* supra || 19 *βενιαμὶν* A *βενιαμεὶν* B || 20 *παρεδόθη* A *παρεδώθη* B || 22 *αἰθίοψ* A *αἰθίωψ* B || 25 *ὅταν* AB et supra *ὅτε* corr. Di. || 29 *ι'* AB 4 Reg.ᵛ *β'* 4 Reg.^ || 30 *ια' τοῦ μηνὸς* AB *ιδ' τοῦ μηνὸς* 4 Reg.^ om. 4 Reg.ᵛ | *ναβουχοδονόσωρ* B *ναβουχοδονόσορ* A et similiter infra | *ὁ* om. B

πᾶσα ἡ δύναμις αὐτοῦ εἰς Ἱερουσαλήμ, καὶ παρενέβαλεν ἐπ' αὐτήν, καὶ
ᾠκοδόμησεν ἐπ' αὐτὴν περίτειχος κύκλῳ. καὶ ἦλθεν ἡ πόλις εἰς περιοχὴν
ἕως τοῦ ια' ἔτους βασιλέως Σεδεκίου, θ' τοῦ μηνός. καὶ ἐνίσχυσεν ὁ
λιμὸς ἐν τῇ πόλει καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. καὶ ἐρράγη ἡ
5 πόλις καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου νυκτὸς
ἐξῆλθον ὁδὸν πύλης τῆς ἀνὰ μέσον δύο τειχέων, αὕτη ἐστὶ τοῦ κήπου τοῦ
βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ κατὰ δυσμὰς κατὰ
Ἱεριχῶ, καὶ ἐπορεύθησαν ὁδὸν τὴν Ἀραβά. καὶ ἐδίωξεν ἡ δύναμις τῶν
Χαλδαίων ὀπίσω τοῦ βασιλέως καὶ κατέλαβον αὐτὸν ἐν τῇ ἐρήμῳ Ἱεριχῶ.
10 καὶ πᾶσα ἡ δύναμις αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ. καὶ συνέλαβον τὸν
βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βαβυλῶνος εἰς Ὑβλαθά, καὶ
ἐκρίθη πρὸς αὐτὸν λόγοις. καὶ τοὺς υἱοὺς Σεδεκίου ἔσφαξε κατ' ὀφθαλμοὺς
αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν
πέδαις, καὶ ἤγαγεν αὐτὸν εἰς Βαβυλῶνα. καὶ ἐν τῷ μηνὶ τῷ ε' ἑβδόμῃ τοῦ
15 μηνὸς (αὐτὸς ἐνιαυτὸς ιθ' τοῦ Ναβουχοδονόσωρ) ἦλθε Ναβουζαρδὰν
ἀρχιμάγειρος ἑστὼς ἐνώπιον βασιλέως Βαβυλῶνος εἰς Ἱερουσαλήμ, καὶ
ἐνέπρησε τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάντας τοὺς
οἴκους Ἱερουσαλήμ, καὶ πάντα οἶκον ἐνέπρησεν ἐν πυρί. καὶ τὸ τεῖχος
Ἱερουσαλὴμ κατέλυσε κύκλῳ ἡ δύναμις Χαλδαίων. ὁ ἀρχιμάγειρος καὶ
20 τὸ περισσὸν τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν τῇ πόλει καὶ τοὺς ἐμπεπτωκότας, **425**
οἳ ηὐτομόλησαν πρὸς βασιλέα Βαβυλῶνος, καὶ τὸ λοιπὸν τοῦ στηρίγματος
μετῆρεν, καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν εἰς ἀμπελουργοὺς καὶ εἰς
γεωργούς. καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου καὶ τοὺς
μεχωνὼθ καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ κυρίου συνέτριψαν οἱ
25 Χαλδαῖοι, καὶ ἦραν τὸν χαλκὸν αὐτῶν, τοὺς λέβητας καὶ τοὺς λαμπτῆρας
καὶ τὰ ἱμάτια καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ πάντα τὰ σκεύη τὰ
χαλκᾶ, ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς, ἔλαβον, καὶ τὰ πυρία καὶ τὰς
φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχιμάγειρος, στύλους δύο,
τὴν θάλασσαν τὴν μίαν καὶ τὰς βάσεις, ἃς ἐποίησε Σαλομὼν τῷ οἴκῳ
30 κυρίου. οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ τῶν σκευῶν· καὶ τὰ ἑξῆς.

15 ιθ' ἔτει τοῦ Ναβουχοδονόσωρ ἦλθε εἰς Ἱερουσαλὴμ Ναβουζαρδὰν ἀρχιμάγειρος

1 πᾶσα ἡ **B** ἡ πᾶσα **A** | παρενέβαλεν **B** παρέλαβεν **A** || **2** περιοχὴν **B** περιοχὴν κύκλῳ **A** || **3** τοῦ² om. **B** || **4** ἦσαν **A** εἴσαν **B** || **6** ἀνὰ μέσον **B** ἀνὰ μέσων **A** | δύο **AB** τῶν 4 Reg. || **16** ἀρχιμάγειρος **A** ἀρχημάγειρος **B** || **20** περισσὸν **B** πεσσὸν **A** || **22** ὑπέλιπεν **A** ὑπέλειπεν **B** || **23** γεωργούς **AB** ταβείν uel γηβείν 4 Reg. || **25** αὐτῶν **B** αὐτὸν **A** || **28** et p. 268, 7 ἀρχιμάγειρος **A** ἀρχημάγειρος **B** || **29** καὶ τὰς βάσεις habet in margine altera manu cod. Vat. 4 Reg. καὶ τὰ μεχωνὼθ 4 Reg.ᵛ

Ταῦτα μὲν ἐν τῇ δ' τῶν βασιλειῶν. ἐν δὲ τῷ τέλει τῆς β' τῶν Παραλειπομένων περὶ τῶν ο' ἐτῶν τῆς αἰχμαλωσίας οὕτως φησί.

Καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας Περσῶν καὶ Μήδων τοῦ πληρωθῆναι λόγον κυρίου διὰ στόματος τοῦ Ἱερεμίου ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς σαββατίσαι εἰς συμπλήρωσιν ἐτῶν ο'. 5

Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος δοῦλος τοῦ Ναβουχοδονόσωρ ἐμπρήσας τὸν ἐν Ἱερουσαλὴμ ναὸν καὶ τὰ βασίλεια, τὰ σκηνώματά τε τῶν δυναστῶν 426 *καὶ τῶν λοιπῶν, τοὺς ἐπισήμους ἀπήγαγε πρὸς Ναβουχοδονόσωρ, οἳ καὶ ἀνῃρέθησαν ὑπ' αὐτοῦ. οὗτος πένητάς τινας κατέλιπεν ἐν τῇ Ἰουδαίᾳ* 10 *προφάσει γεωργίας ἡγεμόνα αὐτοῖς καταστήσας τὸν Γοδολίαν. Ἱερεμίας δὲ καίτοι προτραπεὶς ὑπ' αὐτοῦ, εἰ βούλοιτο συναπελθεῖν καὶ τιμῆς ἀξιωθῆναι, μᾶλλον τοῖς πένησι συναπέμεινεν. Ἰσμαὴλ δέ τις μετὰ δύο μῆνας ἀναπεισθεὶς ὑπὸ τοῦ βασιλέως Ἀμανιτῶν ἅμα τισὶν ἄλλοις ἐπελθὼν εἰς Μασσίφατον, Γοδολίαν ἀναιρεῖ καὶ τοὺς σὺν αὐτῷ Χαλδαίους καὶ* 15 *Ἰουδαίους· ἐν οἷς καὶ π' ἄνδρας ἀπὸ Σαμαρείας καὶ τῆς λοιπῆς Ἰουδαίας πενθοῦντας τὴν ἅλωσιν τοῦ ναοῦ καὶ προσφορὰς προσάγοντας συνανεῖλεν· Ἰωνᾶς δέ τις παραλαβὼν τοὺς καταλοίπους τῶν Ἰουδαίων, Ἱερεμίου κωλύοντος αὐτόν, καὶ Ἱερεμίαν ἄκοντα, προσφεύγει σὺν αὐτοῖς Οὐαφρεὶ τῷ Αἰγυπτίων βασιλεῖ· ἔνθα πάλιν προφητεύει Ἱερεμίας αὐτοῖς τὰ τῆς* 20 *ἐσχάτης ἁλώσεως καὶ ἀπωλείας ἅμα τοῖς Αἰγυπτίοις ἐσόμενα ὑπὸ Χαλδαίων, ἃ καὶ γέγονε τῷ κη' ἔτει Ναβουχοδονόσωρ, ἀφ' οὗ ἐπὶ τὸ πρῶτον ἔτος Κύρου πληροῦται ἔτη μ' κατὰ τὴν προφητείαν Ἰεζεκιήλ. οὗτοι εἰδωλολατρήσαντες ἐν Αἰγύπτῳ ἐλεγχόμενοί τε ὑπὸ τοῦ μεγάλου Ἱερεμίου ἐλιθοβόλησαν αὐτόν.* 25

Ταύτης τελείας αἰχμαλωσίας καὶ πυρπολήσεως ἔτη ἀπ' ἐντεῦθεν ἀριθμοῦνται, ἤγουν ἀπὸ τοῦ ια' ἔτους Σεδεκίου, κόσμου δὲ ͵δϡγ'. καὶ 427 *εἰσὶ κατὰ τὸν ἀκριβῆ λόγον ἀπὸ τοῦ κ' ἔτους Ναβουχοδονόσωρ ἕως τοῦ*

3 *ὅτι δοῦλοι ἦσαν οἱ Ἰουδαῖοι ἕως Περσῶν* || 7 *δοῦλος ἦν ὁ ἀρχιμάγειρος Ναβουζαρδὰν τοῦ Ναβουχοδονόσωρ* || 11 *ὅτι ἀπέμεινε Ἱερεμίας εἰς Ἱερουσαλήμ* || 13 *Ἰσμαὴλ ἀναιρεῖ τὸν Γοδολίαν* 30

3 2 Paralip. 36, 20–21 || 7 4 Reg. 25, 20–22 || 11 Ieremias 46, 11–14 || 13 4 Reg. 25, 23–25, Ieremias 48, 1–3 || 16 Ieremias 48, 4–7 || 18 Ieremias 50, 4–7; 51, 29–30 || 23 Ezechiel 29, 1–17 || 24 Ieremias 51, 29–30 || 25 cf. Hippolyt. fr. 8[b] || 27 ex alteriore computatione ut uult Gelzer 2, 240

3 *ἦσαν* **A** *εἶσαν* **B** || 5 *σαββατίσαι* **A** *σαββατῆσαι* **B** || 9 et infra *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || 10 *κατέλιπεν* **A** *κατέλειπεν* **B** || 14 *ἀμανιτῶν* **A** *ἀμμανιτῶν* **B** || 15 *μασσίφατον* **A** *μασίφατον* **B** || 16 *καὶ π'* **B** *π'* **A** || 22 *κη'*] anno decimo captiuitatis iuxta Ezechiel, anno 23 Nabuchodonosor iuxta Ioseph. Ant. Iud. 10, 181 || 22–23 *τὸ πρῶτον ἔτος* **B** *τῷ α' ἔτει* **A** || 29 lemmata om. **A**[m]

α' ἔτους τῆς βασιλείας Κύρου ἔτη οὕτως· Ναβουχοδονόσωρ τὰ λοιπὰ ἔτη κδ'· μγ' γὰρ τὰ ὅλα ἐβασίλευσε Χαλδαίων, ἀπὸ δὲ τοῦ ιθ' ἔτους αὐτοῦ ἐβασίλευσε καὶ τῶν Ἰουδαίων· τὰ λοιπὰ ἔτη κδ'. μετὰ τοῦτον ὁ υἱὸς αὐτοῦ Εὐειλὰδ Μαροδὰχ λεγόμενος ἔτη β' μετὰ θάνατον τοῦ πατρὸς 5 Ναβουχοδονόσωρ ἐβασίλευσεν, ὡς μαρτυροῦσιν οἱ τὰ Χαλδαϊκὰ συγγραψάμενοι Ἀλέξανδρος καὶ Ἀβυδηνός, οἷς καὶ Ἰώσηππος καὶ πάντες ἐν τούτοις ἕπονται, συμφωνούσης καὶ τῆς θείας γραφῆς.

Τοῦτον τὸν Εὐειλὰδ Μαροδὰχ διὰ πολλὴν περὶ τὰ πράγματα παρανομίαν καὶ ἀσέλγειαν Νιριγλήσαρος γαμβρὸς αὐτοῦ ἐπ' ἀδελφῇ ἀνελὼν διεδέξατο, 10 καὶ ἐβασίλευσεν ἔτη δ' Χαλδαίων καὶ Ἰουδαίων καὶ τῶν λοιπῶν. μεθ' ὃν υἱὸν αὐτοῦ Λαβοσάροχόν φασιν ἐπὶ μῆνας θ' κρατῆσαι τῆς ἀρχῆς, καὶ διὰ τρόπων κακοήθειαν ὑπὸ τῶν φίλων ἐπιβουλευθῆναι. τούτου δὲ μνήμην αἱ θεῖαι γραφαὶ οὐ ποιοῦνται, οὐδὲ ἐν χρονικοῖς κανονίοις αὐτὸν οἱ πολλοὶ τάττουσιν· ἕτεροι τοῖς χρόνοις τοῦ πατρὸς Νιριγλησάρου συναριθμοῦσιν 15 ἀντὶ δ' ε' συνάγοντες. μετὰ τοῦτον παρέθηκαν τὴν βασιλείαν οἱ ἐπιβουλεύσαντες αὐτῷ κοινῇ γνώμῃ ἑνὶ τῶν ἐκ τῆς ἐπισυστάσεως αὐτῶν Ναβοννήδῳ τῷ Ἀσσουήρῳ Δαρείῳ καλουμένῳ τῷ καὶ Ἀστυάγει, οὗ κατὰ τὸ ιζ' ἔτος τῆς βασιλείας Κῦρος ἐκ Περσίδος μετὰ δυνάμεως πολλῆς ἐξεληλυθὼς καὶ πᾶσαν καταλαβόμενος πολέμῳ τὴν λοιπὴν ἀρχήν, αὐτόν **428** 20 τε τὸν Ἀστυάγην μετὰ κρατερὰν μάχην προσφυγόντα τῇ ὑπ' αὐτοῦ τειχισθείσῃ πλείονος ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου Βαβυλῶνι πολιορκήσας ἐχειρώσατο καὶ τὰ τείχη κατέσκαψε, φιλανθρώπως αὐτῷ χρησάμενος καὶ χώραν Καρμανίαν δοὺς οἰκητήριον.

Ταῦτα, φησὶν Ἰώσηππος, καὶ σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβ- 25 λοις τὴν ἀλήθειαν· γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσωρ ιη' τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς ἐπὶ ἔτη ν'. δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, ϛ' πάλιν τῆς Δαρείου βασιλείας ἐτελέσθη. εἰσὶν οὖν τὰ ἀπὸ τοῦ ιθ' ἔτους Ναβουχοδονόσωρ ἔτη κε'. Εὐειλὰδ Μαροδὰχ υἱοῦ αὐτοῦ ἔτη β'. 30 Νιριγλησάρου γαμβροῦ αὐτοῦ ἔτη ε', σὺν τοῖς θ' μησὶ τοῦ παιδός.

1 μετὰ τὴν ὅλην ἅλωσιν τῆς Ἰουδαίας τὰ λοιπὰ ἔτη ἐβασίλευσε Ναβουχοδονόσωρ κδ'

3 – p. 270, 2 Ioseph. c. Ap. 1, 145 – 153; cf. Euseb. 1, 15, 5 – 10 = Alex. Polyhist. FGrHist 273 F 9 20, 16 – 20 = Abyden. 685 F 6 23, 30 – 25, 5 = Beross. 680 F 9

4 et 8 εὐειλὰδ **B** εὐιλὰδ **A** || 6 Ἀβυδηνός Di. ἀβυδινός **AB** || 9 νιριγλήσαρος **B** νιριγλίσαρος **A** || 10.11 ὃν υἱὸν **B** ὧν υἱῶν **A** || 16 ἐκ τῆς om. **A** | ἐπισυστάσεως **B** ἐπὶ συστάσεως **A** || 24 καὶ **B** πῶς καὶ **A** || 25 et infra ναβουχοδονόσωρ **B** ναβουχοδονόσορ **A** || 26 τῆς om. **A** | ἡμῖν **B** ἡμῶν **A** || 27 δευτέρῳ . . . ἔτει **B** δευτέρου . . . ἔτη **A** || 29 εὐειλὰδ **B** εὐιλὰδ **A** || 30 νιριγλησάρου **B** νιρηγλησάρου **A** || 31 lemma om. **B**[m]

Ναβοννήδου τοῦ καὶ Ἀσσουήρου Δαρείου τοῦ καὶ Ἀστυάγους καλουμένου ἔτη ιζʹ. Κύρου αʹ ἔτος, ἐν ᾧ καὶ ἡ πρώτη ἄφεσις γέγονεν. ὁμοῦ ἔτη νʹ.

Ὁ μέντοι Εὐσέβιος τὸν Ἀστυάγην ἀπὸ τοῦδε τοῦ Σεδεκίου ἐστοιχείωσε βασιλεύσαντα Μήδων ἔτη ληʹ, ἤτοι ἀπὸ τοῦ ιβʹ ἔτους Ναβουχοδονόσωρ ἕως τοῦ εʹ ἔτους Νιριγλησάρου· τούτου τὸ εʹ ἔτος λογισάμενος πρῶτον 5 *ἔτος τῆς Κύρου βασιλείας ἐν τῷ κανονίῳ αὐτοῦ, τῆς δὲ ἐπὶ Σεδεκίου αἰχ-* 429 *μαλωσίας ἔτος λαʹ, καὶ μηδ' ὅλως λογισάμενος τὰ Δαρείου τοῦ Ἀστυάγους ἔτη ιζʹ, ὅπερ καὶ ἄλλοι τῶν ἐκκλησιαστικῶν ἱστορικῶν πεποιήκασιν, εἶτα Κύρου λʹ ἐστοιχείωσε, καὶ μετ' αὐτοὺς Καμβύσου ἔτη ηʹ, ἔπειτα βʹ Μάγων ἀδελφῶν μῆνας ζʹ, καὶ Δαρείου Ὑστάσπου ἔτος* 10 *αʹ. γίνονται ὁμοῦ ἔτη οʹ ἀπὸ δʹ ἔτους Σεδεκίου.*

Οὐ μέντοι ἐπεσημήνατο ὅτι ἀπὸ τοῦ δʹ ἔτους Σεδεκίου τὰ τῆς αἰχμαλωσίας οʹ ἔτη συναριθμεῖ, ἀλλὰ μᾶλλον ἀπὸ τοῦ ιαʹ ἔτους τοῦ αὐτοῦ Σεδεκίου, λέγω δὴ ἀπὸ τοῦ ιθʹ ἔτους Ναβουχοδονόσωρ, παραθεὶς καὶ Κλήμεντος χρῆσιν, ἐν οἷς γράφει· 15

Πρῶτον ἔτος αἰχμαλωσίας τοῦ Ἰουδαίων ἔθνους, καθ' ἣν ὁ τῶν Χαλδαίων βασιλεὺς Ναβουχοδονόσωρ πολιορκήσας τὰ Ἱεροσόλυμα τὸν νεὼν πυρπολεῖ. διήρκεσέ τε ὁ νεὼς ἀπὸ πρώτης κατασκευῆς ἔτεσι υμβʹ. συνᾴδει δὲ ἡμῖν καὶ ὁ Κλήμης ἐν τῷ πρώτῳ στρωματεῖ φάσκων ἐπὶ τῆς ὀγδόης καὶ τεσσαρακοστῆς ὀλυμπιάδος τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν 20 *τοῦ Ἰουδαίων λαοῦ γεγονέναι, βασιλεύσαντος μὲν Αἰγυπτίων Οὐαφρεί, ἄρχοντος δὲ Ἀθήνησι Φιλίππου, συνάγεσθαι δὲ τὰ οʹ ἔτη τῆς ἐρημίας τοῦ τόπου εἰς τὸ βʹ ἔτος Δαρείου. Ἑβραίων αἰχμαλωσίας καὶ ἀφανισμοῦ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ. Οὐαφρεὶ τῷ Αἰγυπτίων βασιλεῖ προσέφυγον ἁλούσης ὑπὸ Ἀσσυρίων τῆς Ἱερουσαλὴμ οἱ τῶν Ἰουδαίων ὑπόλοιποι.* 25 *μέμνηται δὲ τοῦ Οὐαφρεὶ καὶ Ἱερεμίας ὁ προφήτης.*

430 *Ταῦτα Εὐσέβιος ὑποτάξας τῷ ιαʹ ἔτει Σεδεκίου, τὴν ἀπαρίθμησιν τῶν οʹ τῆς αἰχμαλωσίας ἐτῶν ἀπὸ τοῦ θʹ ἔτους Ἀστυάγους πεποίηται ἕως τοῦ ληʹ αὐτοῦ ἔτους ἔτη λʹ λογισάμενος αὐτῷ· μεθ' ὃν Κύρου πρῶτον ἔτος παραθεὶς γράφει πρὸς λέξιν ταῦτα·* 30

Κῦρος ἀνῆκε τὴν αἰχμαλωσίαν τοῦ Ἰουδαίων γένους, καθ' ὃν ἐπανελθόν-

3 Euseb. 2, 99, 9; 102, 14; 102, 20; 104, 11; 104, 22–26 || 12 Euseb. 2, 100[a.c]; Clem. Alex. Strom. 1, 127 || 31 Euseb. 2, 102[a]. 103[b], cf. p. 188 Arm. et Chron. Pasch. 266–269

1 *ναβοννίδου* **A** *ναβονήδου* **B** || 10 *μάγων* **A** *μεγάλων* **B** | *ὑστάσπου* **B** *ὑστάπου* **A** || 12–13 *τὰ ... Σεδεκίου* om. **A** || 16 *τοῦ*] *τῶν* **AB** || 19 *ὁ* om. **A** | *στρωματεῖ* **B** *στρώματι* **A** || 21 *οὐαφρεί* **B** *οὐαφρί* **A** || 22 *δὲ τὰ* **B** *τὰ* **A** || 23–24 *Ἑβραίων ... ναοῦ*] haec uerba, quae seclusit Di., non pertinent ad Clementis locum, Euseb. 2, 100, 13, sed ad titulum fili annorum captiuitatis, 100, 15 || 24 *οὐαφρεί* **B** *οὐαφρί* **A** || 26 *τοῦ ἀφρεί* **B** *τοῦ ἀφρί* **A** || 29 *αὐτοῦ ἔτους* **B** *ἔτους αὐτοῦ* **A** | *λʹ* Go.[m] *κʹ* **AB**

τες ἀπὸ τῆς Βαβυλωνίας ἀμφὶ τὰς ε´ μυριάδας Ἰουδαίων τὸ θυσιαστήριον ἤγειραν καὶ θεμελίους κατεβάλοντο τοῦ ἱεροῦ. τῶν δὲ περιοίκων ἐθνῶν ἐπισχόντων διέμεινε τὸ ἔργον ἀτελὲς μέχρι Δαρείου τοῦ Ὑστάσπου, μόνου τοῦ θυσιαστηρίου συνεστῶτος. συνάγεται δὲ ὁ πᾶς χρόνος τῆς
5 *αἰχμαλωσίας τοῦ Ἰουδαίων ἔθνους ἔτη ο´, ἀριθμούμενα κατὰ μὲν τινὰς ἀπὸ τοῦ τρίτου ἔτους Ἰωακεὶμ ἐπὶ κ´ ἔτος Κύρου τοῦ Περσῶν βασιλέως, κατὰ δὲ ἑτέρους ἀπὸ τῆς ἀρχῆς τῆς προφητείας Ἱερεμίου, ἣ γέγονε κατὰ τὸ ιγ´ ἔτος Ἰωσίου βασιλέως Ἰουδαίων. ἀπὸ δὲ τοῦ ε´ ἔτους τῆς προφητείας Ἱερεμίου ἐπὶ τὸ α´ ἔτος Κύρου ἔτη ο´ γίνονται. τῆς δὲ ἐρημίας τοῦ ἱεροῦ*
10 *ἡ ἑβδομηκονταετὴς ἀποπεραιοῦται κατὰ τὸ β´ ἔτος Δαρείου τοῦ Περσῶν βασιλέως.*

Ὅτι μὲν οὖν ἑαυτὸν παρελογίσατο καὶ τὴν ἀλήθειαν ἐν τοῖς ἀπὸ τοῦ ια´ ἔτους Σεδεκίου ἕως τοῦ β´ ἔτους Δαρείου τοῦ Ὑστάσπου τὰ ο´ ἔτη ἐπιλογισάμενος φανερόν. ἀνθ᾽ ὧν γὰρ ἐχρῆν αὐτὸν τὰ λοιπὰ κ´ ἔτη τοῦ Ναβουχο-
15 *δονόσωρ, τοῦ καὶ τὴν ἅλωσιν τοῦ ἔθνους ποιησαμένου, λογίσασθαι καὶ* **431** *τῶν ἐφεξῆς ὑπ᾽ αὐτοῦ, λέγω δὴ τοῦ τε υἱοῦ αὐτοῦ Εὐειλὰδ Μαροδὰχ καὶ Νιριγλησάρου τοῦ γαμβροῦ αὐτοῦ, ὡς προδεδήλωται, εἶθ᾽ ἑξῆς ἐπὶ τὸν Ναβόννηδον τὸν καὶ Δαρεῖον Ἀστυάγην τὸν Ἀσσουήρου ἐλθεῖν (ὃς γέγονεν ἔσχατος βασιλεὺς Μήδων ἀπὸ Ἀρβάκου τοῦ καθελόντος σὺν τῷ*
20 *Βελεσὺ τὴν Ἀσσυρίων ἀρχὴν καὶ τὸν ταύτης ὕστατον βασιλέα Σαρδανάπαλον), ἀφεὶς τὴν πρόσφορον τῇ χρονικῇ ὑποθέσει ἀκολουθίαν ἐπὶ τὰς ὀλυμπιάδας κατέφυγεν, ἐπιλαθόμενος ὥσπερ ἑαυτοῦ καὶ τῶν ἡλωκότων τὸ ἔθνος, καὶ μετὰ τὴν ἅλωσιν ἔτη που κρατησάντων τοῦ Ἰουδαίων ἔθνους ἐπὶ τῆς αἰχμαλωσίας λ´, ὅπερ πάντη τῆς ἀκριβοῦς ἀποδείξεως*
25 *ἀλλότριον ἦν.*

Ὁ γὰρ ἱερὸς Κλήμης πρὸς Ἕλληνας παρατάττόμενος ἐν τοῖς ἱεροῖς αὐτοῦ στρωματεῦσι λόγοις εὐλόγως ταῖς ὀλυμπιάσι κέχρηται. ἐνταῦθα δὲ γραφικῆς ἀπὸ κτίσεως κόσμου προκειμένης σπουδῆς ἀποδεῖξαι τοὺς χρόνους οὐχ οἷόν τε ἐξ ὀλυμπιάδων μόνων τὰ ἀπορούμενα τῆς γραφῆς
30 *ἐπιλύσασθαι, καὶ μάλιστα τῆς τῶν ὀλυμπιάδων ἀρχῆς οὐκ ἐχούσης μίαν καὶ τὴν αὐτὴν θέσιν, ὡς ἐν τῷ περὶ αὐτῶν εἴρηται ἡμῖν λόγῳ.*

Τὸ δὲ κατὰ διαφόρους τρόπους τὰ ο´ ἔτη τῆς αἰχμαλωσίας ἀριθμεῖσθαι ἀληθές, ἐπεὶ καὶ κατὰ διαφόρους καιροὺς γέγονεν ἡ αὐτὴ αἰχμαλωσία τοῦ

18–21 cf. Euseb. 1, 32, 12 || 26 Clem. Alex. Strom. 1, 127

2 *κατεβάλοντο* B *κατεβάλλοντο* A *κατέβαλον τὸ* Chron. Pasch. || 6 *τοῦ*[1] om. B || 7 *γέγονε* Chron. Pasch. *γεγόνει* AB || 10 *ἀποπεραιοῦται* Di. *ἀποπερεοῦται* AB || 16 *εὐειλὰδ* B *εὐιλὰδ* A || 18 *ναβόννηδον* B *ναβόννιδον* A | *δαρεῖον* B *δαρείου* A | *ἀστυάγην* A *ἀστυάγειν* B || 28 *σπουδῆς* A *σποδῆς* B || 29 *μόνων* B *μόνον* A

Ἰουδαίων γένους, καὶ πᾶσα ἀνάγκη τὰ κατ᾽ ἄλλους καὶ ἄλλους καιροὺς
432 *πραχθέντα μὴ τὴν αὐτὴν καὶ μίαν ἀρχὴν ἔχειν. ἀλλὰ καὶ ἐπάνοδος κατὰ*
διαφόρους γέγονε χρόνους. καὶ χρὴ κἀκεῖνα συλλογίζεσθαι τοὺς ἀκριβῶς
ἐπιβάλλοντας καὶ μὴ βιάζεσθαι μήτε τὰς γραφικὰς ἀποφάσεις μήτε τὰς
ἐθνικὰς χρονοκρατορίας πρὸς τὸν ἴδιον σκοπόν. ἐντεῦθεν γὰρ ἡ πολλὴ 5
διαφωνία γίνεται καὶ γέγονε τοῖς πολλοῖς τῶν ἱστορικῶν, ὥστε σχεδὸν
δύο μὴ εὑρίσκειν ἡμᾶς τοὺς ἐν πᾶσιν ὁμοφωνοῦντας.

Ὅθεν καὶ σπουδὴ γέγονεν ἡμῖν κατὰ δύναμιν ταῖς θείαις πρότερον
ἐξακολουθοῦσι γραφαῖς, ἔπειτα δὲ καὶ τοῖς ἀκριβῶς τι γράψασι τὸν
περὶ τούτων λόγον ὑποσημήνασθαι, εἰ καὶ ἐν ἄλλοις τι διήμαρτον. 10

Ἐπειδὴ δὲ τὰ καθολικὰ τῶν μερικωτέρων προλαμβανόμενα σαφεστέραν
ἔχει τὴν ἀπόδειξιν, ἡ δὲ τῶν ο´ ἐτῶν τῆς αἰχμαλωσίας τοῦ Ἰούδα μερικὴ
τις οὖσα πρὸς τὴν τῶν ιβ´ φυλῶν ἀνάκλησις ποτὲ μὲν τῷ α´ ἔτει Κύρου
λέγεται γενέσθαι, ποτὲ δὲ τῷ β´ ἔτει Δαρείου τοῦ Ὑστάσπου, ὡς ἐφεξῆς
τὰς δι᾽ Ἱερεμίου τοῦ προφήτου θείας ἐξενεχθείσας ἀποφάσεις δείξομεν 15
μαρτυρούσας, ἀπὸ ποίου χρόνου ἀρξάμεναί πως ἐπὶ τὸ α´ ἔτος Κύρου
τὸν ἑβδομηκονταετῆ συνάγουσι χρόνον, τὸν δὲ καθ᾽ ὅλου περί τε τῶν ἐν
Σαμαρείᾳ δέκα τοῦ Ἰσραὴλ λεγομένων φυλῶν λόγον καὶ περὶ τῶν ἐν
Ἱερουσαλὴμ β´ τοῦ Ἰούδα καὶ αὐτῶν ἐπιλεγομένων τῆς αἰχμαλωσίας καὶ
433 *τῆς ποσότητος τοῦ χρόνου τῆς κακώσεως, κοινὴν καὶ μίαν ἐκ θεοῦ* 20
ἀπόφασιν παρ᾽ ἑνὶ τῶν προφητῶν μόνῳ, παρ᾽ ἄλλῳ δὲ οὐδενὶ γεγραμμέ-
νην παρειλήφαμεν.

Ἴδωμεν τί φησιν ὁ περὶ ταύτης διαλεγόμενος καὶ ὑπὲρ ταύτης κακούμενος
μέγας προφήτης Ἰεζεκιὴλ ὡς ἐκ τοῦ χρηματίζοντος πρὸς αὐτὸν πνεύμα-
τος κατὰ τὸ ε´ ἔτος τῆς αἰχμαλωσίας Ἰωακείμ, ὅπερ ἓν καὶ τὸ αὐτὸ 25
ὑπῆρχε τῷ ε´ ἔτει τῆς βασιλείας Σεδεκίου. φησὶν οὖν· καὶ σὺ κοιμηθήσῃ
ἐπὶ τὸ πλευρόν σου τὸ ἀριστερὸν καὶ θήσεις τὰς ἀδικίας οἴκου Ἰσραὴλ
ἐπ᾽ αὐτὸ κατὰ ἀριθμὸν τῶν ἡμερῶν ν´ καὶ ρ´, ἃς κοιμηθήσῃ ἐπ᾽ αὐτοῦ,
καὶ λήψῃ τὰς ἀδικίας αὐτοῦ. καὶ ἐγὼ δέδωκά σοι τὰς β´ ἀδικίας αὐτῶν
εἰς ἀριθμὸν ἐνενήκοντα καὶ ἑκατὸν ἡμέρας. καὶ λήψῃ τὰς ἀδικίας οἴκου 30
Ἰσραὴλ καὶ συντελέσῃ ταῦτα. καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευρόν σου τὸ
δεξιόν, καὶ λήψῃ τὰς ἀδικίας οἴκου Ἰούδα μ´ ἡμέρας. ἡμέραν εἰς ἐνιαυτὸν
τέθεικά σοι. καὶ εἰς τὸν συγκλεισμὸν Ἱερουσαλὴμ ἑτοιμάσεις τὸ πρόσωπόν

24 Ezechiel 4, 4–8

13 *ἀνάκλησις* B *ἀνάκλησιν* A || 15 *ἱερεμίου* B *ἐρεμίου* A *Ἰεζεκιὴλ* Go.[m] recte | *δείξομεν* A *δείξωμεν* B || 23 *ἴδωμεν* A *εἴδωμεν* B || 24 *χρηματίζοντος* A *χρηματείζοντος* B || 28 *αὐτὸ* B *αὐτῷ* A *αὐτοῦ* Ezech. || 29, 30 et 32 *λήψῃ* A Ezech.[V] *λήψει* B *λήμψῃ* Ezech.[V] || 31 *συντελέσῃ* A *συντελέσει* B *συντελέσεις* Ezech. || 33 *τέθεικα* A *τέθηκα* B | *ἑτοιμάσεις* B *ἑτοιμάσῃς* A

σου καὶ τὸν βραχίονά σου στερεώσεις καὶ προφητεύσεις ἐπ' αὐτήν. καὶ ἐγὼ ἰδοὺ δέδωκα ἐπὶ σὲ δεσμούς, καὶ μὴ στραφῇς ἀπὸ πλευροῦ σου ἐπὶ τὸ πλευρόν σου, ἕως συντελεσθῶσιν ἡμέραι τοῦ συγκλεισμοῦ σου.

Ἐκ τούτων παρίσταται τοῖς βουλομένοις ὀρθῶς νοεῖν ὅτι ὁ πᾶς τῆς 5 *αἰχμαλωσίας χρόνος τοῦ παντὸς ἔθνους τῶν Ἑβραίων ἔτεσιν ρς' περιγράφεται, ἀρξάμενος μὲν ἀπὸ τῆς ὑπὸ Θεγλαφαλασὰρ καὶ Φακεὲ πρώτης* **434** *αἰχμαλωσίας, ἥτις τῷ κοσμικῷ ,δψξβ' ἔτει γέγονε κατὰ τὸ ιβ' ἔτος Ἄχαζ, λήξας δὲ ἐπὶ τὸ α' ἔτος Κύρου τοῦ πρώτου Περσῶν καὶ Μήδων καὶ Ἀσσυρίων καὶ Βαβυλωνίων βασιλέως, ὅπερ καὶ αὐτὸ συντρέχει τῷ* 10 *,δϡνβ' ἔτει τοῦ κόσμου. ἐὰν ἄρα ἐκ τῶν ,δϡνβ' τοῦ κόσμου ἐτῶν ἀφέλωμεν τὰ αὐτὰ ρς' ἔτη, ὑπολείπεται ἡμῖν, ὡς προείρηται, ,δψξβ', καὶ ἐὰν τοῖς ,δψξβ' κοσμικοῖς ἔτεσι προσθῶμεν ἔτη ρκ' ἀπὸ τοῦ α' ἔτους Ὠσηὲ ἕως τοῦ δ' ἔτους Σεδεκίου, ὑπολειφθήσεται ἡμῖν τὰ τῆς αἰχμαλωσίας τοῦ Ἰούδα ο' ἔτη ἕως τοῦ β' ἔτους Κύρου. ἀλλὰ καὶ τὰ ρν'* 15 *ἔτη τῶν θ' τοῦ Ἰσραὴλ φυλῶν ἀπὸ τοῦ αὐτοῦ ,δψξβ' ἔτους τοῦ κόσμου ψηφιζόμενα εἰς τὸ κς' ἔτος λήγει τοῦ Ναβουχοδονόσωρ, ὅπερ ἦν η' ἀπὸ τοῦ ια' ἔτους Σεδεκίου καὶ τελείας ἐρημώσεως Ἱερουσαλήμ. ἀπὸ δὲ τοῦ κζ' ἔτους Ναβουχοδονόσωρ ἤτοι θ' τῆς ἁλώσεως ἐπὶ τὴν ἀρχὴν Κύρου τὰ λοιπὰ μ' κατὰ τὸν Ἰεζεκιήλ.*

20 *Ἴσως δ' ἄν τις εὐλόγως ἀπορήσοι πῶς Ἱερεμίας μὲν καὶ Ζαχαρίας οἱ προφῆται σὺν τῇ γραφῇ τοῦ Ἔσδρα ο' ἔτη φασὶ τῆς αἰχμαλωσίας Ἰούδα, ὁ δὲ Ἰεζεκιὴλ μόνα μ'. πρὸς ὅ φαμεν ὅτι δυνατὸν κἀκείνους τῷ Ἰεζεκιὴλ συμφωνεῖν ἀριθμουμένων τῶν αὐτῶν μ' ἐτῶν ἀπὸ τῆς ὑστάτης ἐν Αἰγύπτῳ γενομένης αἰχμαλωσίας τοῦ Ἰούδα.*

25 Καὶ μεθ' ἕτερα κατὰ τὴν θείαν διὰ Ἱερεμίου πρόρρησιν· *ἡνίκα τοὺς* **435** *λίθους κατέκρυψεν ἐν προθύροις οἴκου Φαραῶ τοῦ καὶ Οὐαφρεὶ ἐν Τάφναις, ὁ προφήτης Ἱερεμίας ἀπειλήσας Αἰγύπτῳ καὶ τοῖς ἐν αὐτῇ τὴν ἔλευσιν Ναβουχοδονόσωρ καὶ τοῖς προσφυγοῦσιν εἰς Αἴγυπτον καταλοίποις Ἰούδα πρὸς Οὐαφρεὶ κατὰ θείαν πρόσταξιν, ᾗ φησί· καὶ εἰσελεύσεται*

20 Ierem. 25, 11, Zachar. 1, 12, 1 Esdr. 1, 55–2, 1, 2 Esdr. 1, 1. Ezech. 4, 6 ‖ **25**–p. 274, **4** Ierem. 50, 8–13; 51, 12. 27

1 *στερεώσεις καὶ προφητεύσεις* **B** *στερεώσῃς καὶ προφητεύσῃς* **A** ‖ **6** *πρώτης* Go.^m *πρὸ τῆς* **AB** ‖ **9** *αὐτὸ* Go.^m *αὐτῷ* **AB** ‖ **13** *σεδεκίου* **AB** *Ἰωακεὶμ* Go.^m recte | *ἡμῖν* om. **B** ‖ **15** *,δψξβ'* Go.^m *,δψνβ'* **AB** ‖ **16** et infra *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** | *η'* **B** *ἢ* **A** ‖ **17** *τελείας* **B** *τελείου* **A** | *ἐρημώσεως* om. **A** ‖ **21** *φασὶ* **B** *φησὶ* **A** ‖ **22** *ὃ* **B** *ὃν* **A** ‖ **23** *ἀριθμουμένων* **B** *ἀριθμουμένου* **A** | *μ' ἐτῶν* **B** *με'* **A** ‖ **23–24** *τῆς ὑστάτης ἐν αἰγύπτῳ γενομένης* **B** *τῶν ὑστέρων ἐν αἰγύπτῳ γενομένων καὶ τῆς* **A** ‖ **25** *καὶ μεθ' ἕτερα* om. **B** ‖ **26** *οὐαφρεὶ* **B** *οὐαφρὶ* **A**, similiter infra ‖ **27** *ἀπειλήσας* **B** *ἀπείλησεν* **A** ‖ **29** *πρόσταξιν* **A** *πρόταξιν* **B**

καὶ πατάξει γῆν Αἰγύπτου, οὓς εἰς θάνατον εἰς θάνατον, καὶ οὓς εἰς ἀποικισμὸν εἰς ἀποικισμόν, καὶ οὓς εἰς ῥομφαίαν εἰς ῥομφαίαν.

Καὶ μεθ' ἕτερα· *καὶ ἐκλείψουσι πᾶς Ἰούδας κατοικοῦντες ἐν γῇ Αἰγύπτῳ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ. ταῦτα δὲ μετὰ ι' ἔτη που ἢ θ' τῆς ἐπὶ Σεδεκίου γέγονεν αἰχμαλωσίας, ἀφ' οὗ ἐπὶ Κύρου ἔτη μ' γίνεται οὕτως·* 5 *Ναβουχοδονόσωρ λοιπὰ ιε'. Μαροδὰχ ε'. Βαλτάσαρ γ'. Δαρείου Ἀστυάγους ιζ'. ὁμοῦ μ'. Κύρου λα'.*

Ἐν Βαβυλῶνι προεφήτευον Δανιήλ, Ἰεζεκιήλ. οἱ τρεῖς παῖδες ἐγνωρίζοντο.

Ἐν Αἰγύπτῳ Ἱερεμίας ἐλιθάσθη. 10

Ἐν τῇ Ἰουδαίᾳ Ἀμβακοὺμ προεφήτευεν.

Ἐν Βαβυλῶνι ψευδοπροφῆται Ἀχίας, Σεδεκίας, Σαμαίας.

436 *Τὸν προφήτην Δανιὴλ ὁ ἅγιος Ἱππόλυτος ἐκ τῆς αἰχμαλωσίας Ἰούδα καὶ τοὺς τρεῖς παῖδας λέγει τῆς ἐπὶ Ἰωακείμ. ἄλλοι δὲ ἐκ τῆς ἐν Σαμαρείᾳ.* 15

Δανιὴλ τῷ Ναβουχοδονόσωρ τῷ κ' ἔτει αὐτοῦ, κόσμου δὲ ,δϡλδ', διεσάφησε τὰ ἐνύπνια, καὶ ὡς θεὸς ὑπ' αὐτοῦ προσκυνηθεὶς καὶ θυμιαθείς, ἄρχων πρώτιστος Βαβυλῶνος κατεστάθη. τὸ γὰρ κ' ἔτος τῆς ὅλης αὐτοῦ βασιλείας β' λέγει ὁ Δανιὴλ ἀπὸ τῆς τελείας ἐρημώσεως τοῦ ναοῦ, τὸ λς' ὀκτωκαιδέκατον, ὅτε καὶ τὰ κατὰ τὴν κάμινον καὶ τοὺς τρεῖς 20 *παῖδας ἐπράχθη.*

Χαλδαίων ιη' ἐβασίλευσεν Εὐειλὰδ Μαροδὰχ ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡλα'.

Τινὲς τοῦτον ιβ' ἔτη λέγουσι βασιλεῦσαι, ἴσως τὰ ζ' ἔτη τῆς ἀποκτηνώσεως τοῦ Ναβουχοδονόσωρ συναριθμοῦντες τοῖς ε' αὐτοῦ. οὗτος τὸν 25 *Ἰωακεὶμ ἐξαγαγὼν τῆς φρουρᾶς σύσσιτον καὶ σύνθρονον κατέστησε.*

4 *ὅτι συναριθμεῖται καὶ τὰ τῆς ἐν Αἰγύπτῳ αἰχμαλωσίας καὶ γίνεται ἔτη ο'* || **16** *Ση. ὅτι κε' τοῦ Ναβουχοδονόσωρ ἔτει ὁ προφήτης Δανιὴλ διεσάφησε τὰ ἐνύπνια* || **20** *ὅτι λς' ἔτει Ναβουχοδονόσωρ ἡ κάμινος τῶν γ' παιδῶν ἐξεκαύθη*

4–5 cf. Ezech. 29–32 || **8** cf. Euseb. 2, 98[b]. 100[b] || **10** cf. Hippolyt. fr. 8[b] || **11** Habac. 1, 6, Daniel 14, 33 (= Bel et Drac. 33) || **12** Ieremias 36, 21–32 || **13** Hippolytus fr. 8. 9 || **16–17** cf. ps. Sym. f. 53[r] = Cedr. 199, 5 || **16–21** Daniel 1, 1; 2, 1; 3, 1, cf. Hippolyt. fr. 10. 11 || **22** ex eccles. can. (supra 247), ann. 3 iuxta astr. can. || **24** cf. Hippolyt. fr. 10. 11. 12 || **25** 4 Reg. 25, 27–30

1–2 alterum *εἰς θάνατον, εἰς ἀοικισμόν, εἰς ῥομφαίαν* om. **B** || **3** *καὶ μεθ' ἕτερα* om. **A** || **11** *προεφήτευεν* **B** *προεφήτευσεν* **A** || **14** *σαμαρείᾳ* **B** *σαμαρείας* **A** || **20** *τὸ* Di. *τῷ* **AB** | *ὀκτωκαιδέκατον* **B** *ὀκτωκαιδεκάτῳ* **A** || **22** *εὐειλὰδ* **B** *εὐιλὰδ* **A** || **23** *ἦν ἔτος* om. **A** | *,δϡλα'* **A** *,δϡλδ'* **B** || **24** *ἔτη*[2] om. **B** || **25** *οὗτος* Go.[m] *οὕτως* **AB** || **27** *συναριθμεῖται* **A**[m] *συναριθμοῦνται* **B**[m] | *ο'* **B**[m] *ε'* **A**[m] || **29** *λς'* **B**[m] *λζ'* **A**[m]

Χαλδαίων ιθ' ἐβασίλευσε Νιριγλήσαρος ὁ καὶ Βαλτάσαρ ἐν τῷ Δανιὴλ λεγόμενος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡλς'.

Τοῦτον τὸν Νιριγλήσαρον τὸν καὶ Βαλτάσαρ ἐν τῷ προφήτῃ Δανιὴλ 437
λεγόμενον οἱ μὲν υἱόν φασι τοῦ Ναβουχοδονόσωρ καὶ ἀδελφὸν τοῦ πρὸ
5 *αὐτοῦ βασιλεύσαντος Εὐειλὰδ Μαροδὰχ καὶ ὑπ' αὐτοῦ ἀναιρεθέντος, οἱ δὲ γαμβρὸν ἐπ' ἀδελφῇ. ἴσως δὲ καὶ ἄμφω ἀληθῆ.*

Ἐπὶ τούτου Δανιὴλ καὶ Ἰεζεκιὴλ οἱ μεγάλοι προεφήτευον.

Οὗτος ἁμαρτήσας περὶ τὰ ἱερὰ οἴκου κυρίου ἀναιρεῖται ὑπὸ Ἀστυάγους κατὰ τὴν πρόρρησιν τοῦ Δανιήλ. ἐπὶ τούτου ἡ ἐν τῷ τοίχῳ ὤφθη γραφή,
10 *ἣν ὁ προφήτης Δανιὴλ ἡρμήνευσε δηλοῦσαν τῆς Χαλδαίων ἀρχῆς εἰς Μήδους καὶ Πέρσας μετάθεσιν.*

Οὗτος τὸν υἱὸν Ἰωακεὶμ Ἰεχονίαν ἐκβαλὼν τῆς φρουρᾶς τῷ λζ' ἔτει τῆς εἰς Βαβυλῶνα αὐτοῦ καθείρξεως ἐτίμησε καὶ συνεστιάτορα ἔσχε.

Βαλτάσαρ ὁ καὶ Νιριγλήσαρος πίνων ἐν τοῖς ἱεροῖς σκεύεσιν οἴκου
15 *κυρίου σὺν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ παλλακαῖς ἐν δείπνῳ εἶδεν ὡς ἀνθρώπου δακτύλους ἐκλάμποντας ἐν τῷ τοίχῳ, ὧν τὴν γραφὴν μόνος Δανιὴλ ἡρμήνευσεν οὕτως ἔχουσαν· μανή, ὅ ἐστιν ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου καὶ ἐπλήρωσεν αὐτήν, θεκέλ, ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα, φαρές, διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ* 438
20 *Πέρσαις. ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη καὶ Βαλτάσαρ.*

ΜΗΔΩΝ ΒΑΣΙΛΕΙΣ

Μήδων η' ἐβασίλευσεν Ἀστυάγης Δαρεῖος ἔτη λη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡκα'.

1 *Σχόλ. ἕως τέλους τῆς βασιλείας Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ γίγνονται κοσμικὰ*
25 *ἔτη κατὰ μὲν τὴν ἀληθῆ καὶ τὴν ἀκριβῆ στοιχείωσιν ,δϡλδ', προστιθεμένων δὲ καὶ τῶν ιζ' ἐτῶν ὧν ἐκράτησεν ὁ Μῆδος ὁ Ἀστυάγης καλούμενος τῆς βασιλείας Χαλδαίων ὁ καθελὼν Νιριγλήσαρον τὸν καὶ Βαλτάσαρ γίνονται ἔτη ,δϡνα'· Κῦρος γὰρ τῷ ,δϡνβ' ἔτει τὴν ἀρχὴν ἔσχε τῆς αὐτοῦ βασιλείας καθὼς παρὰ τοῦ συγγραφέως ἐστοιχείωται. κατὰ δὲ τὸ παραδραμὸν σφάλμα τῶν καλλιγράφων εἰς τοὺς τῶν βασιλέων χρόνους*
30 *εὑρίσκονται ἄλλα δ' ἔτη κατὰ προσθήκην εἰς τοὺς Χαλδαίους κείμενα*

1 ex eccles. can., ann. 5 iuxta astr. can. || 3 Dan. 5, 2 || 4 Euseb. 2, 101[b] || 6 Euseb. 1, 20, 17 = Abydenus FGrHist 685 F 6. 1; 24, 2 = Berossus 680 F 9 || 7 Euseb. 2, 100[b] || 8 Dan. 5, 24–31 || 12 4 Reg. 25, 27–30 || 14 Dan. 5, 1–31 || 22 cf. Euseb. 1, 32, 28 (ann. 38), astr. can. (ann. 34), eccles. can. (ann. 17)

1 *νιριγλήσαρος* **B** *νιριγλίσαρος* **A** || 2 *ἦν ἔτος* om. **A** || 5 *εὐειλὰδ* **B** *εὐιλὰδ* **A** || 9 *τῷ* om. **A** || 10 *ἡρμήνευσε* Di. *ἑρμήνευσε* **AB** || 11 *μετάθεσιν* Go.[m] *μεταθήσειν* **AB** || 12 *Ἰεχονίαν* Di. *ἰεχωνίαν* **AB** || 14 *πίνων* **A** *πίννων* **B** || 15 *εἶδεν* **A** *ἴδεν* **B** || 16 *ἐκλάμποντας* **B** *ἐκλάμποντα* **A** || 17 *ἡρμήνευσεν* Di. *ἑρμήνευσεν* **AB** || 19 *ἐδόθη* **A** *ἐδώθη* **B** || 20 *ἀνηρέθη* **A** *ἀναιρέθη* **B** || 22 *μήδων* **B** *μήδοις* **A** | *δαρεῖος* **B** *δαρείου* **A** || 30 *εὑρίσκονται* om. **A**[m]

Ἀπὸ Ναβονασάρου ἐπὶ τὸ α' ἔτος Δαρείου τοῦ καὶ Ἀστυάγους ἔτη εἰσὶ κατὰ μὲν τὸν μαθηματικὸν κανόνα ρος', κατὰ δὲ τὸν παρόντα ἐκκλησιαστικὸν ρϙζ', καὶ οὐδὲν διενήνοχε. χρὴ γὰρ εἰδέναι ὅτι ὁ Χαλδαϊκὸς καὶ ἀστρονομικὸς κανὼν τὸν μὲν Ἀστυάγην ἔτη λδ' λογίζεται Χαλδαίων βασιλεῦσαι, ὁ δὲ ἐκκλησιαστικὸς ιζ' τὸ πλεῖστον, ἐπεὶ καὶ ια' μόνα τινές 5 *φασι. τῷ δὲ Κύρῳ ὁ αὐτὸς ἀστρονομικὸς κανὼν θ' μόνα λογίζεται, ὁ δὲ ἐκκλησιαστικὸς λα'. ἡμεῖς οὖν ἐπὶ τὴν ἀρχὴν Ἀστυάγους παρ' ἐνιαυτὸν ἕνα συμφωνοῦντας ἠγάγομεν τοὺς δύο τούτους κανόνας.*

Ναβόννηδος ὁ τελευταῖος βασιλεὺς Μήδων, Ἀστυάγης παρ' αὐτοῖς λεγόμενος, ὁ αὐτὸς δὲ καὶ Δαρεῖος Ἀσουήρου κα' ἔτει τῆς βασιλείας 10 *αὐτοῦ καταστρεψάμενος σὺν ἄλλοις ἄρχουσι τῶν Χαλδαίων Νιριγλήσαρον, τὸν καὶ Βαλτάσαρ, γαμβρὸν τοῦ Εὐειλὰδ Μαροδὰχ υἱοῦ Ναβουχοδονόσωρ,* **439** *ὃς ἀνεῖλεν αὐτὸν καὶ κατέσχε τὴν βασιλείαν Χαλδαίων καὶ Μήδων ἄλλα ἔτη ιζ', κατὰ δέ τινας ἔτη ια', ἀπὸ τοῦ κζ' ἔτους τῆς βασιλείας αὐτοῦ, ὡς γέγραπται, καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβε τὴν βασιλείαν ὢν ἐτῶν ξ'.* 15

Οὗτος τὸν Δανιὴλ πρῶτον ἐν μεγιστᾶσι κατέστησε καὶ αὖθις ἐν τῷ λάκκῳ τῶν λεόντων ἐνέβαλεν συσκευασθέντα διὰ φθόνον ὑπὸ τῶν συμμεγιστάνων αὐτοῦ.

Τούτῳ ἡ Ἐσθὴρ ἐζεύχθη διὰ κάλλος ἐκλεχθεῖσα ἐπὶ αὐτοῦ.

Τὰ κατὰ τὸν Μαρδοχαῖον καὶ Ἀμὰν καὶ ἡ διὰ τῆς Ἐσθὴρ ἀπολύτρωσις 20 *τῶν Ἑβραίων.*

Ὁ αὐτὸς καὶ Ἀρταξέρξης ἐλέγετο καὶ Ἀστυάγης καὶ Δαρεῖος Ἀσουήρου καὶ Ναβόννηδος.

Ἐπὶ αὐτοῦ Δανιὴλ τὰς διὰ τοῦ Γαβριὴλ ὀπτασίας εἶδεν καὶ τὸν χρόνον τῆς παρουσίας τοῦ κυρίου ἔμαθεν. 25

16 *οὗτος α' τὸν Δανιὴλ ἐν μεγιστᾶσι κατέστησε καὶ εἶθ' οὗτος ἐνέβαλε αὐτὸν ἐν λάκκῳ τῶν λεόντων*

1–6 ann. 176 iuxta astr. can. ad primum annum, ann. 193 iuxta eccl. can., ut discrepantia annorum 17 respondeat ad incrementum ann. 17 in regno Darii. annos 11 fortasse intulit aliquis ex canonibus Eusebii, 101[b] (anno 27 Astyagis) || **7–8** ex filis Syncelli sunt ex primo anno Nabonasari anni 193 ad ultimum annum Niriglisari et anni 194 ad uigesimum annum Astyagis || **9** cf. Dan. 5, 31 (Artaxerxes in uersione LXX, Darius in Theodotionis); 14, 1 (Astyages) || **15** Dan. 5, 31 || **16**–p. 277, **1** cf. ps. Sym. f. 53[v] = Cedr. 249, 3 || **16** Dan. 6, 17 || **19** Esther 2, 17 || **20** Esther 8–10 || **22** Dan. 5, 31; 9, 1; 14, 1 || **24** Dan. 9

1 *α'* Go. *δ'* **AB** | *καὶ* om. **B** || **4** *λογίζεται* **B** *λογίζεσθαι* **A** || **8** *ἠγάγομεν* **A** *ἠγάγωμεν* **B** || **9** *Ναβόννηδος* Di. *ναβέννιδος* **AB** || **11** *νιριγλήσαρον* **B** *νιριγλίσαρον* **A** || **12** *εὐειλὰδ* **B** *εὐιλὰδ* **A** || **15** *μῆδος* **B** *μήδων* **A** || **17** *λάκκῳ* **B** *λάκῳ* **A** | *ἐνέβαλεν* **B** *ἐνέβαλλεν* **A** | *φθόνον* **A** *φθόνου* **B** || **20** *ἐσθὴρ* **B** *αἰσθὴρ* **A** || **23** *ναβόννηδος* **B** *ναβόννιδος* **A** || **24** *εἶδεν* **A** *ἴδεν* **B**

Ὁ αὐτὸς πάππος ἦν Κύρου, Δαρεῖος, Ἀσούηρος ὁ καὶ Ἀστυάγης.
Κατ' Ἰνδῶν καὶ ἄλλων ἐθνῶν ἑορτάζων ἐπινίκια Οὐασθὴν τὴν ἰδίαν
γυναῖκα ὡς ὡραιοτάτην ὀφθῆναι τοῖς συνισταμένοις αὐτῷ μεγιστᾶσιν
ἠξίου· τὴν δὲ μὴ βουληθεῖσαν ἠτίμωσε, προστάξας ἐπιλεγῆναι παρθένους
5 ἐκ πάσης αὐτοῦ τῆς ἐξουσίας, ὧν εὑρέθη πασῶν εὐμορφοτάτη Ἔδεσα ἡ **440**
καὶ Ἐσθήρ, ἀνεψιὰ Μαρδοχαίου Ἑβραία ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἐπὶ
Σεδεκίου. ταύτῃ συνήφθη Δαρεῖος ὁ καὶ Ἀρταξέρξης. Μαρδοχαῖος δὲ εἷς
τῶν σωματοφυλάκων ταχθεὶς τοῦ βασιλέως, ὁράμασι θορυβηθείς,
ἐπακροασάμενός τε τῶν β' εὐνούχων τῶν φυλασσόντων τὸν βασιλέα
10 βουλομένων ἀνελεῖν αὐτόν, μηνύει τῷ βασιλεῖ. ὧν ἀναιρεθέντων Ἀμὰν
ὁ ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως μυρία τάλαντα ὑπέσχετο εἰσοίσειν
τῷ βασιλεῖ, εἰ ἀπολέσοι τὸ γένος τῶν Ἑβραίων. Μαρδοχαῖος δὲ διὰ τῆς
Ἐσθὴρ τὸν βασιλέα ἔπεισεν ἀναιρεθῆναι τὸν Ἀμάν.
Τινὲς μὲν οὖν τὰς ο' ἑβδομάδας ἀπὸ τοῦδε τοῦ χρόνου βούλονται
15 ἀριθμεῖσθαι, ἕτεροι δέ, ὡς καὶ Ἀφρικανός, ἀπὸ Νεεμίου καὶ τελείας
ἀνοικοδομῆς τοῦ ναοῦ καὶ τῆς πόλεως, ἥτις γέγονε κατὰ τὸ κ' ἔτος
Ἀρταξέρξου τοῦ καὶ Μακρόχειρος, ὅπερ ἦν κόσμου ,εξη'. ἕτεροι ἀπὸ
τῆς οἰκοδομῆς τοῦ ναοῦ τῆς διὰ Ζοροβάβελ καὶ Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδέκ,
τῷ β' ἔτει Δαρείου, ἀριθμοῦσι τὰς αὐτὰς ο' ἑβδομάδας.
20 Τὰ πάντα τῆς βασιλείας Δαρείου τοῦ Ἀστυάγους ἔτη λη', Μήδων μὲν **441**
κα', κατὰ δὲ ἄλλους κζ', Μήδων δὲ καὶ Χαλδαίων ἔτη ιζ', κατὰ δέ τινας
ια'. πλὴν εἴτε οὕτως εἴτε οὕτως οὐδὲν τῇ ἀληθείᾳ ἀντίκειται. οἱ γὰρ
σπουδάζοντες δεῖξαι τὰ ο' ἔτη τῆς αἰχμαλωσίας ἀπὸ τοῦ ιθ' ἔτους τοῦ
Ναβουχοδονόσωρ καὶ τῆς τελείας ἐρημώσεως οἴκου κυρίου καὶ αἰχμαλω-
25 σίας τοῦ ἔθνους ἕως τοῦ β' ἔτους Δαρείου τοῦ Ὑστάσπου, ταῦτα τὰ ἔτη

1 ὁ αὐτὸς Δαρεῖος καὶ Ἀρταξέρξης καὶ Ναβόνιδος πάππος Κύρου | οὗτος ὁ Κῦρος αἰχμαλωτεύσας πολλοὺς βασιλεῖς καὶ ἔχων αὐτοὺς ἐν φυλακῇ προσέταξεν καθ' ἑορτὴν ἐν τοῖς ὤμοις αὐτῶν σύρειν τὸ τέθριππον ἅρμα ἐν ᾧ ἐπωχεῖτο ὁ βασιλεύς· εἷς δὲ ἐξ αὐτῶν ἐπιστρεφόμενος συχνῶς ἑώρα τοὺς τροχοὺς ἀναβαίνοντας καὶ καταβαίνοντας.
30 ὃν θεασάμενος ὁ βασιλεὺς καὶ θυμωθεὶς ἤρετο αὐτὸν τίνος χάριν πυκνῶς στρεφόμενος οὐκ ἐᾷ τὸ ἅρμα κατ' εὐθεῖαν τρέχειν· ὅσπερ μετὰ φόβου ἀπελογήσατο· τοὺς τροχοὺς ὁρῶν ἀναβαίνοντας καὶ καταβαίνοντας ἐννοῶ τὸ ἄστατον τοῦ βίου πῶς γίνονται τὰ κάτω ἄνω καὶ τὰ ἄνω κάτω. ὅπερ ἀκούσας ὁ Κῦρος καὶ αἰσθόμενος ἔλυσεν αὐτὸν καὶ τιμήσας φιλοφρόνως ἀνεβίβασεν ἐν τῷ ἅρματι· καὶ τὰ λοιπά

1 cf. Herodot. 1, 107 || **2** Esther 2, 1–3, 9; 7, 1–10 || **14** Hippolytus fr. 23; Africanus apud Euseb. 2, 114[f], cf. Demonstr. Euang. 8, 2, 150 || **17** Euseb. 2, 160[a] || **26–34** eadem apud ps. Sym. f. 53[v] = Cedr. 249, 20

1 ὁ καὶ **B** καὶ **A** || **2** κατ' Ἰνδῶν Go. καθ' ἰνδῶν **AB** | ἑορτάζων **B** ἑωρτάζων **A** || **6** et infra ἐσθήρ **B** αἰσθήρ **A** || **11** εἰσοίσειν **B** εἰσώσειν **A** || **12** ἀπολέσοι **A** ἀπωλέσοι **B** || **24** et infra ναβουχοδονόσωρ **B** ναβουχοδονόσορ **A** || **26** ὁ αὐτὸς κτλ.] lemma om. **B**[m] || **32** ἐννοῶ ps. Sym. et Cedr. ἐν νοῷ **A**[m]**B**[m]

τοῦ Ἀστυάγους ὑπεξαιροῦσιν, ἵνα τὸν ἑβδομηκονταετῆ χρόνον στήσωσιν· ἀλλ' ἡ τῶν κοσμικῶν ἐτῶν παραύξησις ἀντίκειται τοῖς οὕτω δρῶσι συναριθμουμένη τούτοις, ἣν οὐκ ἔστιν ἀφελεῖν. ὁ μέντοι Ἰώσηππος συνηρίθμησεν αὐτά, ὡς καὶ ἀνωτέρω δεδήλωται, ν' ἔτη, εἰπὼν ἀφανῆ τὸν ναὸν μεῖναι ἀπὸ τοῦ ιθ' ἔτους Ναβουχοδονόσωρ ἕως τοῦ β' ἔτους Κύρου 5 *τοῦ πρώτου Περσῶν καὶ Μήδων καὶ Ἀσσυρίων καὶ Χαλδαίων Συρίας τε καὶ Λυδῶν βασιλείας κρατήσαντος.*

ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΣ

Κῦρος Περσῶν καὶ Μήδων Χαλδαίων τε καὶ Ἀσσυρίων, Συρίας καὶ Λυδῶν. 10

442 *Κύρου πρώτου βασιλέως Περσῶν ἔτη λα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡνβ'.*

Κῦρος οὗτος ἅπασαν μικροῦ τὴν Ἀσίαν ὑπέταξε τῇ Περσῶν βασιλείᾳ, ἕως Ἀλεξάνδρου τοῦ Μακεδόνος οὕτω διαρκέσασαν ἔτεσιν ἀπ' αὐτοῦ τοῖς ὅλοις. 15

Κῦρος οὗτος πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ τὴν ἐκ τῆς αἰχμαλωσίας ἀνάκλησιν Ἰουδαίοις προσεφώνησεν· ἤδη γὰρ τὸ ο' ἔτος πεπλήρωτο, καθὼς γέγραπται ἐν τῇ β' τῶν Παραλειπομένων.

Ἔτους α' Κύρου βασιλέως Περσῶν

Μετὰ τὸ πληρωθῆναι ῥῆμα κυρίου διὰ στόματος Ἱερεμίου ἐξήγειρε 20 *κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλε κηρύξαι ἐπὶ πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων· τάδε λέγει Κῦρος βασιλεὺς Περσῶν. πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ*

9 *ἀπὸ Ναβονασάρου ἔτη γίνονται σια', κατὰ δὲ τὴν μαθηματικὴν σύνταξιν ἀπὸ Ναβονοσάρου ἕως α' ἔτους Κύρου ἔτη γίνονται σθ', ἐὰν δὲ λδ' λογισώμεθα τῷ Ἀσ-* 25 *τυάγει τῷ καὶ Ναβονίδῳ καθὼς ἔχουσιν οἱ μαθηματικοὶ κανόνες· ἐὰν δὲ λη' λογισώμεθα τῷ Ἀστυάγει ὡς ἡ ἐκκλησιαστικὴ στοιχείωσις ἀναγκάζει, ἔσται σιγ'. ἀπὸ Τροίας ἁλώσεως ἣ γέγονε τῷ ,δτλα' ἔτει τοῦ κόσμου, κ' δὲ τῆς ἐν τοῖς χρόνοις τῶν κριτῶν ἀναρχίας καὶ εἰρήνης, γίνονται ἔτη υκδ' ἕως τοῦ ,δψνε' καθ' ὃ Ῥώμην ἔκτισε Ῥωμύλος· καὶ ἀπὸ κτίσεως Ῥώμης ἕως τοῦ ,δϡπα' ἔτους τοῦ κόσμου καθ' ὃ ἐπαύ-* 30 *σαντο βασιλεῖς Ῥωμαίων καὶ ἤρξαντο ὕπατοι, γίνονται ἔτη σκε'*

3 Ioseph. c. Ap. 1, 145–153 || 9 cf. ps. Sym. f. 53ᵛ = Cedr. 250, 8 || 11 cf. Euseb. 1, 33, 11 (ann. 31); 2, 102, 20 (ann. 30), Herodot. 1, 214 (ann. 29) || 13 cf. Iustin. 1, 8, 1 || 14 cf. Hippolyt. fr. 13 (ann. 230) || 19 2 Paralip. 36, 22–23

6 *Περσῶν* om. **B** || 14 *διαρκέσασαν* **B** *διαρκέσαν* **A** | *ἔτεσιν*] rectius fortasse *ἔτεσιν σλ'* || 19 *ἔτους* **B** *ἔτος* **A** || 22 *πάσῃ τῇ βασιλείᾳ* **B** *πάσης τῆς βασιλείας* **A** || 22, 23 *βασιλεὺς περσῶν* **B** tr. **A** || 26 *λη' λογισώμεθα*] *λη' λογισόμεθα* **B**[m] *ἀναλογισώμεθα* **A**[m] || 30 *ῥωμύλος* **B**[m] *ῥωμύλλος* **A**[m]

οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἱερουσαλὴμ τῇ ἐν τῇ Ἰουδαίᾳ. τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ; ἔσται ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβήτω.

Ταῦτα κατὰ παντὸς γράψας δηλονότι κοινῇ τὴν ἐπάνοδον πᾶσιν 5 Ἰουδαίοις ἐθέσπισε τοῖς βουλομένοις. πρόδηλον ἄρα ὅτι πληρωθέντος ῥήματος κυρίου τοῦ λαληθέντος ἐν στόματι Ἱερεμίου τῷ α' ἔτει Κύρου κατὰ τὴν θείαν γραφὴν τὸ ο' ἔτος τῆς αἰχμαλωσίας πεπλήρωται. ἀνατρέχουσι δὲ ἡμῖν ἀπὸ τοῦ α' ἔτους Κύρου καὶ αὐτοῦ ἐπὶ τὸ δ' ἔτος Ἰωακεὶμ τὸ ο' ἔτος εὑρίσκομεν ἀρχόμενον οὕτως· **443**

10 Κύρου ἔτος α'. Δαρείου Ἀστυάγους ἔτη ιζ'. Νιριγλησάρου τοῦ καὶ Βαλτάσαρ ἔτη γ'. Εὐειλὰδ ἔτη ε'. Ναβουχοδονόσωρ ἔτη κδ'. Σεδεκίου ἔτη ια'. τῶν β' Ἰεχονίων ἔτος α'. Ἰωακεὶμ ἔτη η'. ὁμοῦ γίνονται ἔτη ο' ἀπὸ τοῦ γ' ἔτους Ἰωακεὶμ ἕως τοῦ α' ἔτους Κύρου.

Πληρουμένου γὰρ τοῦ γ' ἔτους Ἰωακεὶμ καὶ ἀρχομένου τοῦ δ' ἡ ἀρχὴ 15 τῆς βασιλείας Ναβουχοδονόσωρ ἐγένετο καὶ ἡ πρὸς Ἱερεμίαν ἐπὶ πάντα τὸν λαὸν Ἰούδα πρόρρησις καὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ ἀναμιμνήσκουσα αὐτούς, ὅπως ἀπὸ τοῦ ιγ' ἔτους Ἰωσίου ἕως τοῦδε ἔτους κγ' παρήκουον τοῦ θεοῦ φειδομένου αὐτῶν καὶ ἐξαποστέλλοντος τοὺς προφήτας εἰς διόρθωσιν τῆς εἰδωλομανίας αὐτῶν, καὶ οὐ προσεῖχον 20 αὐτοῖς. ἡνίκα καὶ ἡ τῆς ἐρημώσεως ἀπόφασις δέδοται καὶ ὁ ἑβδομηκονταετὴς χρόνος διὰ στόματος Ἱερεμίου ὡρίσθη, καὶ ἡ τῶν Χαλδαίων ἐρήμωσις γέγονε τῷ αὐτῷ τῆς ἀνακλήσεως ἔτει τῶν Ἰουδαίων, ἀρχομένης τῆς Κύρου βασιλείας τοῦ πρώτου Περσῶν βασιλεύσαντος.

Ἔχει δὲ ἡ τῆς προφητείας λέξις ταῦτα· ὁ λόγος ὁ γενόμενος πρὸς 25 Ἱερεμίαν ἐν ἔτει δ' τῆς βασιλείας Ἰωακείμ. διὰ τοῦτο τάδε λέγει κύριος. ἐπειδὴ οὐκ ἐπιστεύσατε τοῖς λόγοις μου, ἰδοὺ ἐγὼ ἀποστελῶ καὶ λήψομαι τὴν πατριὰν τοῦ βορρᾶ καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς. καὶ ἐξερημώσω αὐτοὺς καὶ δώσω αὐτοὺς εἰς ἀφανισμὸν καὶ εἰς συρισμὸν αἰώνιον, 30 καὶ ἀπολῶ ἀπ' αὐτῶν φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν **444**

7 οὗτος ὅρος ἀκριβὴς τῶν ο' τῆς αἰχμαλωσίας ἐτῶν || **13** καὶ ἀναστρέφοντος· Ἰωακεὶμ ἀπὸ τοῦ δ' ἔτους αὐτοῦ η'· Ἰεχονίων β' ἔτος α'· Σεδεκίου ἔτη ια'· Ναβουχοδονόσωρ ἔτη κδ'· Μαροδὰχ ἔτη ε'· Νιριγλίσαρος ἔτη γ'· Ἀστυάγης ἔτη ιζ'· Κύρου τὸ α'· ὁμοῦ ο' || **14** πότε γέγονεν ἡ ἀρχὴ τῆς βασιλείας Ναβουχοδονόσωρ

14 Ieremias 25, 1–4 || **24** Ieremias 25, 1. 8–12

7 τὸ ο' ἔτος **B** τῷ ο' ἔτει **A** || **9** εὑρίσκομεν **A** εὑρίσκωμεν **B** || **10** νιριγλησάρου **B** νιριγλισάρου **A** || **11** εὐειλὰδ **B** εὐιλὰδ **A** ¦ ναβουχοδονόσωρ **B** ναβουχοδονόσορ **A** similiter infra || **16** τὸν om. **B** || **17** τοῦδε ἔτους κγ' **A** ἔτους κγ' **B** || **27** τοῦ **AB** Ierem.[Q] ἀπὸ Ierem.[v]

νυμφίου καὶ φωνὴν νύμφης, ὀσμὴν μύρου καὶ φῶς λύχνου. καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἀφανισμὸν καὶ δουλεύσουσιν ἐν τοῖς ἔθνεσιν ο΄ ἔτη. καὶ ἐν τῷ συμπληρωθῆναι τὰ ο΄ ἔτη ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο, φησὶ κύριος, καὶ θήσομαι αὐτοὺς εἰς ἀφανισμὸν αἰώνιον.

Πρόδηλον δὴ τοῖς βουλομένοις ὀρθῶς νοεῖν ὅτι ἡ τῶν ο΄ ἐτῶν ἀπόφασις 5 *θεία κατὰ τοῦ οἴκου Ἰούδα καὶ τῆς Ἱερουσαλὴμ ἀπὸ δ΄ ἔτους Ἰωακεὶμ ἐξηνέχθη καὶ ἀπὸ τούτου τοῦ χρόνου ἐδούλευσαν τοῖς ἔθνεσι.*

Τῷ γὰρ αὐτῷ ἔτει Ναβουχοδονόσωρ ἀνελὼν τὸν Φαραὼ Νεχαώ, ὃς ἦν καθεστακὼς τὸν Ἰωακεὶμ βασιλεύειν τῆς Ἱερουσαλήμ, ἀποστήσας τὸν Ἰωάχαζ υἱὸν Ἰωσίου καὶ μεταστήσας εἰς Αἴγυπτον, ἀνέβη ἐπὶ τὸν 10 *Ἰωακείμ, καὶ ἐγεννήθη αὐτῷ δοῦλος ἔτη γ΄. καὶ ἀποστάντα ᾐχμαλώτευσε σὺν τοῖς ἄρχουσι τοῦ λαοῦ καὶ τῶν πολεμιστῶν τοῖς ἀλκιμωτέροις, τέκτοσί τε καὶ τοῖς λοιποῖς ἐκλεκτοῖς ἅπασιν ἱεροῖς καὶ ὡς ἐκεῖ γέγραπται, ὡς εἶναι ταύτην κυρίως αἰχμαλωσίαν χωρὶς τοῦ ἐμπρησμοῦ οἴκου κυρίου καὶ τῆς πόλεως. ἀφ᾽ οὗ οὖν χρόνου ἐδούλευσαν τοῖς ἔθνεσιν ἤγουν τοῖς* 15 *Χαλδαίοις καὶ ἡ θεία κατ᾽ αὐτῶν ἐξηνέχθη ἀπόφασις τῷ δ΄ ἔτει Ἰωακείμ,* 445 *ἕως τοῦ α΄ ἔτους Κύρου ἀριθμούμενα ἔτη συνάγεται ἀκριβῶς ο΄ ἄνευ πάσης βίας καὶ ὑφαιρέσεως τῆς οἱασοῦν ἢ προσθήκης ἐτῶν. οἱ δὲ λοιποὶ πάντες τρόποι τῆς συναριθμήσεως τῶν αὐτῶν ο΄ ἐτῶν ἠναγκασμένοι πεφύκασι. καὶ μηδεὶς ὑπολάβοι τοῦτο τῆς ἀληθείας ἐκτὸς πρὸ τῆς* 20 *τελείας αἰχμαλωσίας ἔτεσιν κ΄ λογιζομένους ἡμᾶς τὸ α΄ ἔτος τῆς αἰχμαλωσίας. τοῦτο γὰρ καὶ ἐπὶ τῶν ἐπαγγελιῶν τοῦ Ἀβραὰμ ὁ θεῖος δείκνυσι χρησμὸς γεγονώς· υ΄ γὰρ ἔτη δουλεύειν ἔφη τὸ σπέρμα αὐτοῦ ἐν γῇ ἀλλοτρίᾳ πρὸ τοῦ τεχθῆναι τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ καὶ τοὺς πατριάρχας. ἀλλὰ πάντες τῶν αὐτῶν υ΄ ἐτῶν τὸν ἀριθμὸν ἀπὸ τῆς θείας ἀποφά-* 25 *σεως ἀριθμοῦσιν. οὐκ ἄτοπον οὖν ἄρα κἀνταῦθα ἀπὸ τῆς διὰ τοῦ προφήτου λεχθείσης Ἱερεμίου θείας ἀποφάσεως, ἥτις, ὡς πολλάκις εἴρηται, τῷ δ΄ ἔτει Ἰωακεὶμ ἐξενήνεκται, τὸν τῶν ο΄ ἐτῶν ἀριθμεῖν χρόνον τῆς ἐν Βαβυλῶνι παροικίας καὶ τῆς ἐν τῇ Ἰουδαίᾳ δουλείας. τὸ δ᾽ αὐτὸ τέταρτον ἔτος Ἰωακεὶμ πρῶτον ἔτος ἐστὶ τῆς βασιλείας Ναβουχοδονόσωρ, ἀφ᾽ οὗ ἐπὶ* 30

5 *ἀπὸ τοῦ δ΄ ἔτους Ἰωακεὶμ κατασταθέντος ὑπὸ τοῦ Αἰγυπτίου Νεχαὼ ἀριθμοῦνται τῆς αἰχμαλωσίας ἔτη ἕως Κύρου τοῦ Πέρσου ο΄ ἐν Βαβυλῶνι* || **25** *ὅτι ἀπὸ τῆς θείας ἀποφάσεως πρὸς Ἀβραὰμ ἀριθμοῦνται ἔτη υ΄*

8 4 Reg. 23, 33 – 24, 7; 2 Paralip. 36, 1 – 8; cf. Euseb. 2, 98[a]

2 *δουλεύσουσιν* Ierem. *δουλεύσωσιν* **AB** || **3** *συμπληρωθῆναι* **AB** Ierem.[AQ] *πληρωθῆναι* Ierem.[V] | *ἐκδικήσω* **B** Ierem. *ἐκδημήσω* **A** | *φησὶ κύριος* **AB** Ierem.[AQ] om. Ierem.[V] || **7** *τοῦ* om. **A** || **9** *καθεστακὼς* Go. *κατεστακὼς* **AB** || **20** *πρὸ* **B** *πρὸς* **A** || **25** *ἐτῶν τὸν ἀριθμὸν* **B** *ἀριθμῶν τῶν ἐτῶν* **A** || **31** *ἀριθμοῦνται* **A**[m] *ἀριθμούμενα* **B**[m]

τὸ πρῶτον ἔτος Κύρου πληρούμενον καὶ ἀρχόμενον τὸ β′ ἔτη ο′ συνάγεται. τῷ γὰρ δευτέρῳ ἔτει Κύρου τῶν θεμελίων ὑποβληθέντων τοῦ ναοῦ, Ζοροβάβελ υἱὸς Σαλαθιὴλ τοῦ υἱοῦ Ἰεχονία ἡγουμένου ὡς ἐκ βασιλικοῦ τοῦ Ἰούδα σκήπτρου, καὶ Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδὲκ ἀρχιερατεύσαντος, 5 μετὰ μς′ ἔτη τὸ ἔργον ἐτελειώθη ἐπὶ Δαρείου τοῦ Ὑστάσπου, ὡς ἐκεῖσε 446 πάλιν δηλώσομεν. τοῦ γὰρ Κύρου φιλοτιμησαμένου τὰ πρὸς οἰκοδομὴν καὶ κελεύσαντος εἴρχθησαν ἀρξάμενοι τῆς οἰκοδομῆς, ἀντιταξαμένων καὶ διαβεβηκότων αὐτοὺς τῶν περιοίκων ἐθνῶν, μάλιστα τῶν ἐν Σαμαρείᾳ.

Κῦρος οὗτος Ἀστυάγην τὸν προδεδηλωμένον ἑαυτοῦ πάππον βασιλεύοντα 10 Μήδων καθελών, τὴν Περσικὴν εἰσῆξε βασιλείαν, Μήδων βασιλευσάντων ἔτη που μετὰ Σαρδανάπαλον ἀπὸ Ἀρβάκου Μήδου τοῦ καθελόντος αὐτὸν καὶ τὴν Ἀσσυρίων ἀρχήν.

Κῦρος οὗτος πολέμῳ τὸν Κροῖσον ἔλαβε καὶ τὴν Λυδῶν βασιλείαν εἰς Σάρδεις ἐλθών, τῷ παιδί τε Καμβύσῃ παιδαγωγὸν αὐτὸν κατέστησεν.

15 Ὁ αὐτὸς Δανιὴλ τὸν προφήτην αὖθις ἐπιφανέστερον πάντων ἀνέδειξε. συντρίψαντα δὲ καὶ τὸν Βῆλον εἰς τὸ μὴ προσκυνεῖσθαι καὶ τὸν δράκοντα ἀνελόντα ἐν τῷ τῶν λεόντων λάκκῳ ἐνέβαλε τὸ δεύτερον.

Ἡμῖν μὲν οὖν ἑπομένοις τῇ θείᾳ γραφῇ τῶν Παραλειπομένων, ἧς ἀνωτέρω τὴν χρῆσιν παρεθέμεθα σὺν τῇ ἐπιστολῇ Κύρου, οὕτω δοκεῖ 447 20 πεπληρῶσθαι τὸ ο′ ἔτος εἰς τὸ παρὸν πρῶτον ἔτος Κύρου ἀπὸ τοῦ δ′ Ἰωακείμ, ὅπερ ἦν ἔτος α′ τοῦ Ναβουχοδονόσωρ, κ′ δὲ καὶ γ′ ἀπὸ τῆς

3 Ση. ὅτι Ζοροβάβελ ἦν υἱὸς Σαλαθιὴλ τοῦ υἱοῦ Ἰεχονίου ἡγουμένου ὡς ἐκ βασιλικοῦ τοῦ Ἰούδα σκήπτρου, Ἰησοῦ ἱερατεύοντος υἱοῦ Ἰωσεδέκ· ἐπὶ Δαρείου Ὑστάσπου ἐτελειώθη ὁ ναὸς Ἱεροσολύμων ‖ 15 οὗτος ὁ Κῦρος τὸν Δανιὴλ ἐνέβαλεν ἐν λάκκῳ 25 τῶν λεόντων τὸ δεύτερον ‖ 18 Κῦρος τὸν Κροῖσον αἰχμαλωτίζει καὶ θελήσας αὐτὸν πυρὶ κατακαῦσαι διὰ τὸν Σόλωνα ἐφείσατο τρόπῳ τοιῷδε. ἀπερχόμενος καῆναι ὁ Κροῖσος ἀνέκραξεν 'ὦ Σόλων, ὦ Σόλων.' τοῦτο γνοὺς ὁ Κῦρος ἐπύθετο τίνος χάριν ὀνομάζει τὸν Σόλωνα. καὶ πυθόμενος ἤκουσε παρ' αὐτοῦ ὅτι 'ὅτε ᾐχμαλώτευσα τὸν Σόλωνα, ἤνεγκα αὐτὸν καυχώμενος ἐν τῇ δόξῃ μου καὶ ἐν τῷ πλούτῳ τῆς βασιλείας 30 μου καὶ εἶπον αὐτῷ 'δύνασαι εὑρεῖν ὦ Σόλων εὐδαιμονέστερόν μου;' καὶ εἴρηκεν μοι ὅτι 'Διογένης ὁ κυνικὸς εὐδαιμονέστερός σοῦ ἐστιν καὶ ἄλλοι πολλοί.' ὃν ἀναπεμψάμενος ὡς ἔξηχον ᾐσθόμην ἀρτίως ὅτι πάντα τοῦ κόσμου οὐδὲν ἐστίν· ἴδε γὰρ ὅτι οὐδὲν ὠφελήθην ἐκ τοῦ πλούτου τῆς βασιλείας μου.' τηνικαῦτα αἰσθόμενος ὁ Κῦρος οὐ μόνον ἀτιμώρητον αὐτὸν εἴασεν ἀλλὰ καὶ τιμήσας σύμβουλον προσήκατο καὶ παιδ-35 αγωγὸν τοῦ παιδὸς Καμβύσου.

2 2 Esdr. 3, 8; 4, 24 ‖ 5 2 Esdr. 4, 1–5 ‖ 9 cf. Euseb. 1, 32, 29 (ann. 298), Annian. apud Eliam Nisib. 17, 4 (ann. 256), Iustin. 1, 6, 16 (ann. 350) ‖ 13–17 cf. ps. Sym. f. 54r = Cedr. 251, 4 ‖ 13 cf. Herodot. 3, 36 ‖ 15 Daniel 14 ‖ 18 2 Paralip. 36, 22–23 ‖ 21 Ieremias 25, 1–3 ‖ 25–35 eadem apud ps. Sym. f. 54r = Cedr. 250, 11

3 ἰεχωνία AB ‖ 4 σκήπτρου B σκήπτου A ‖ 5 ἐκεῖσε A ἐκεῖσαι B ‖ 7 εἴρχθησαν Di. ἤρχθησαν AB ‖ 11 ἔτη A ἔτι B scribebatur fortasse ἔτη που τ′ | σαρδανάπαλον A σαρδανάπαλλον B ‖ 13 κροῖσον A κρύσον B ‖ 14 σάρδεις B σαρδὶς A ‖ 27 γνοὺς AmBm ἀκούσας ps. Sym.

ἀρχῆς τῆς προφητείας Ἱερεμίου καὶ ιγ΄ τῆς Ἰωσίου βασιλείας, ἀφ᾽ οὗ καί τισιν ἔδοξε τὸν αὐτὸν ἑβδομηκονταετῆ χρόνον ἀριθμεῖν ἐπὶ τὸ α΄ ἔτος Κύρου, ὅπερ ἀσύμφωνον καὶ τῇ θείᾳ ἀποφάσει τῇ διὰ στόματος Ἱερεμίου μετὰ κγ΄ ἔτος ἐξενεχθείσῃ κατὰ τὸ δ΄ ἔτος Ἰωακείμ, ὡς ἔξεστι τοῖς βουλομένοις ἐκ τῆς Ἱερεμίου γραφῆς πείθεσθαι, ἧς καὶ τὴν 5 *χρῆσιν προὐθήκαμεν διὰ τὸ εὐσύνοπτον, καὶ τῇ χρονικῇ συναριθμήσει ϛγ΄ συλλογιζομένῃ ἀντὶ τῶν ο΄ ἀπὸ τοῦ ιγ΄ ἔτους Ἰωσίου.*

Ἄξιον δὲ καὶ τὸν θεόφρονα Ἔσδραν τὰ αὐτὰ τῇ β΄ τῶν Παραλειπομένων τρανότερον ἡμῖν διδάσκοντα, ὅτι τῷ α΄ ἔτει Κύρου ὁ ἑβδομηκονταετὴς χρόνος πεπλήρωται, προάγειν, ἐν οἷς οὕτω γράφει· 10

Κῦρος Ἑλληνιστὶ ἐκαλεῖτο, Ἀρταξέρξης δὲ Περσιστί. τῷ γ΄ ἔτει αὐτοῦ κατέγραψε πρὸς αὐτὸν Βάλσαμος καὶ Μιθριδάτης καὶ Ῥωμέλιος περὶ τῶν οἰκοδομούντων τὸν ναόν, καὶ ἔπαυσεν αὐτοὺς μετὰ τὸ θεμελιῶσαι ὁ αὐτὸς Κῦρος.

Τοῦτον ὁ Ἔσδρας καλεῖ Ἀρταξέρξην ἐν τῇ γραφῇ αὐτοῦ καὶ Ἀρτασασθάς. 15 *ὁ δὲ τὸν Ἔσδραν ἀπολύσας μετὰ τιμῆς εἰς Ἱερουσαλὴμ ἄλλος Ἀρταξέρξης ἐστίν, ὁ λεγόμενος Μακρόχειρ, ἔγγονος Δαρείου τοῦ Ὑστάσπου.*

448 *Κῦρος στρατεύσας ἐπὶ Μασσαγέτας ὑπὸ Τομύριδος γυναικὸς βασιλίδος αὐτῶν διεφθάρη. μεθ᾽ ὃν Καμβύσης παῖς κρατεῖ Περσῶν ἔτη η΄. τοῦτον οἴονταί τινες εἶναι Ναβουχοδονόσωρ β΄ τὸν κατὰ Ὀλοφέρνην καὶ τὴν* 20 *Ἰουδήθ, ὡς καὶ Ἀφρικανός, ὅπερ ἀδύνατον, πρῶτον μὲν ὅτι ὀκτωκαιδεκάτῳ ἔτει αὐτοῦ γέγραπται ἐν τῇ Ἰουδὴθ ἐξαπεστάλθαι Ὀλοφέρνης κατὰ Συρίας καὶ Παλαιστίνης καὶ Αἰγύπτου, οὗτος δὲ η΄ μόνα ἔτη ἐβασίλευσε καὶ πῶς τῷ ὀκτωκαιδεκάτῳ ἔτει αὐτοῦ ἐξέπεμψεν Ὀλοφέρνην; ἔπειτα ὅτι ἐπὶ Ἰωακεὶμ τοῦ μεγάλου ἀρχιερέως, ὃς ἦν υἱὸς Ἰησοῦ τοῦ Ἰωσεδέκ,* 25

15 *Κῦρος ὁ καὶ Ἀρταξέρξης καὶ Ἀρθασασθάς* ‖ **16** *ὅτι τὸν Ἔσδραν ἀπολύσας ἐν τιμῇ εἰς Ἱερουσαλὴμ ὁ Μακρόχειρ ἐστὶν Ἀρταξέρξης ἔγγονος Δαρείου τοῦ Ὑστάσπου* ‖ **19** *Καμβύσης η΄ ἔτη μετὰ τὴν τελευτὴν τούτου· ὁ υἱὸς Ἰωσεδὲκ Ἰωακεὶμ ὁ τοῦ Ἰησοῦς ἀρχιεράτευσεν* | *σημειωτέον ὅτι Κῦρον κτείνει ἡ τῶν Μασσαγετῶν βασίλισσα. ἀπολογησαμένη γὰρ δελεάζουσα τὸν Κῦρον τοῦ εἶναι αὐτοῦ δούλη, καὶ προσποιησαμένη* 30 *ἔπεμψεν αὐτῷ πρόβατα καὶ δῶρα καὶ οἶνον πολὺν ἀσκῶν πλῆθος ἀνάμεστον· ὧν μεθυσάντων ἐξελθοῦσα πάντας ἀνεῖλεν· καὶ ἀνελοῦσα τὸν Κῦρον ἐσέβυσε τὴν κεφαλὴν αὐτοῦ εἰς ἀσκὸν λέγουσα 'κορέσθητι ἀκόρεστε Κῦρε.'*

2 Euseb. 2, 103[b] ‖ **11** cf. ps. Sym. f. 54[r] = Cedr. 251, 10 ‖ **11–15** 1 Esdr. 2, 12, 2 Esdr. 4, 7–9 ‖ **16–17** 2 Esdr. 7, 1 ‖ **18** cf. Herodot. 1, 214, Euseb. 2, 104[b] ‖ **19** cf. Euseb. 1, 32, 12 (ann. 8, ita astr. can. et eccl. can.), Herodot. 3, 66 (ann. 7, menses 5) ‖ **21** Africanus fr. 43, cf. Euseb. 2, 104[c], Anon. Matr. 30, 4–6 ‖ **22** Iudith 2, 1 ‖ **25** Iudith 4, 8 ‖ **29–33** eadem apud ps. Sym. f. 53[v] = Cedr. 251, 12

8 *τῇ β΄* om. **A** ‖ **9** *τρανότερον* Di. *τρανώτερον* **AB** ‖ **11** *ἑλληνιστὴ . . . περσιστί* **A** *ἑλληνιστὶ . . . περσιστή* **B** ‖ **12** *ῥωμέλιος* **B** *ῥομέλιος* **A** ‖ **18** *Τομύριδος* Di. *τοῦ μύριδος* **A** *τουμύριδος* **B** ‖ **19** *ὃν* **B** *ὧν* **A** ‖ **22** *γέγραπται* **B** *ἐγέγραπτο* **A** | *ἐξαπεστάλθαι* **A** *ἐξαπεστάλθη* **B** ‖ **32** *ἐσέβασε* **A**[m] *ἐσήβασε* **B**[m]

γέγραπται πεπρᾶχθαι τὰ κατὰ Ἰουδὴθ καὶ Ὀλοφέρνην· ὁ δὲ Ἰωακεὶμ μετὰ τὴν Καμβύσου τελευτὴν ἀρχιεράτευσεν εἰς ἔτη κ'.

Λείπεται ἄρα τὰ κατὰ τὴν Ἰουδὴθ ἐν τῷ μεταξὺ χρόνῳ τοῦ τε Μακρόχειρος Ἀρταξέρξου καὶ τοῦ Καμβύσου γεγονέναι. ἀλλ' ἐν μὲν τοῖς χρόνοις 5 *Δαρείου τοῦ μετὰ Καμβύσην οὐ δυνατὸν τοῦτο φάναι. τὸν γὰρ ἅπαντα χρόνον αὐτοῦ σχεδὸν ὁ Ζοροβάβελ ἡγεῖτο τῶν Ἰουδαίων, φίλτατος ὢν τῷ αὐτῷ Δαρείῳ Ὑστάσπου σὺν Ἰησοῦ τῷ τοῦ Ἰωσεδέκ. ἀλλ' οὐδὲ ἐπὶ τοῦ Μακρόχειρος Ἀρταξέρξου ἀπὸ τοῦ κ' ἔτους αὐτοῦ ἕως τοῦ λβ', ἐν ᾧ χρόνῳ ὁ Νεεμίας τὰ τείχη Ἱερουσαλὴμ ἀνήγειρεν. Ἐλιάσιβος γὰρ* 10 *ἱεράτευεν, ὁ μετὰ τὸν Ἰωακείμ, υἱὸς αὐτοῦ, ἐπὶ Νεεμίου, ὡς γέγραπται.*

Λείπεται ἄρα ἐπὶ Ξέρξου τοῦ υἱοῦ Δαρείου τοῦ Ὑστάσπου τόν τε **449** *Ἰωακεὶμ υἱὸν Ἰησοῦ τοῦ Ἰωσεδὲκ προσεχῶς μετὰ τὸν πατέρα Ἰησοῦν διαδεξάμενον τὴν ἀρχιερωσύνην περὶ τὸ κ' ἔτος αὐτοῦ πεπρᾶχθαι τὰ κατὰ* 15 *Ἰουδήθ, ὡς ἐντεῦθεν καὶ ἑτερόν τι ζήτημα ἀναφαίνεσθαι περὶ Ἰησοῦ τοῦ Ἰωσεδέκ, ὅτι ξ' που ἔτος ἀρχιεράτευσεν. ἀπὸ γὰρ Κύρου πρώτου ἔτους ἕως τοῦ ϛ' ἔτους Δαρείου, ἐν ᾧ ὁ ναὸς ᾠκοδομήθη, τεσσαράκοντα ἓξ ἔτη καταριθμοῦνται. οἰκειοτέρως οὖν καταλογισθείη ἐπὶ τούτου τοῦ Ξέρξου τὰ κατὰ Ἰουδὴθ διὰ τὸ κατὰ τούτους τοὺς χρόνους τὸν Ἰωακείμ,* 20 *ὡς γέγραπται, ἐκεῖσε ἀρχιερατεῦσαι.*

Ὁ γὰρ αὐτὸς Ξέρξης καὶ Αἴγυπτον ἀποστᾶσαν ἐπὶ Δαρείου τοῦ πατρὸς αὐτοῦ καθυπέταξεν. αὐτὸς ἄρα ἐστὶ Ναβουχοδονόσωρ ὁ ἐν τῇ Ἰουδὴθ βίβλῳ φερόμενος, καθ' ὃν Ὀλοφέρνης ὑπ' αὐτῆς ἀναιρεῖται θεοῦ συμμαχήσαντος.

25 ## ΡΩΜΑΙΩΝ ΒΑΣΙΛΕΙΣ

Ῥωμαίων ιθ' ἐβασίλευσεν Ἄγκος Μάρκιος ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωνγ'.

Ῥωμαίων κ' ἐβασίλευσε Ταρκύνιος ἔτη λζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωος'.

12 *πότε ἐπράχθη τὰ κατὰ τὴν Ἰουδὴθ ὅτε ἀρχιεράτευσεν Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ· ἀληθῶς δὲ τῷ κ' αὐτοῦ ἔτει τὰ κατὰ Ἰουδήθ* || 21 *ὅτι οὗτος ὁ Ξέρξης ἐκαλεῖτο Ναβουχοδονόσωρ ὃς καὶ Ὀλοφέρνην ἀπέστειλε στρατηγὸν ὃν ἀπέκτεινε Ἰουδήθ*

1 cf. Chron. Pasch. 156, 20, Anon. Matr. 31, 14 et infra 298, 9 || 6 2 Esdr. 5, 2 || 7 2 Esdr. 11, 1; 13, 1; 23, 6 || 21 cf. Herodot. 7, 7, Iudith 1, 7–12, ps. Sym. f. 54r (Gelzer 2, 378, om. Cedr., eadem in margine AB) || 26 – p. 284, 3 cf. Euseb. 1, 140–141; 2, 96. 97. 101. 103

1 *τὰ* om. **B** || 7 *ἀλλ' οὐδὲ* **B** *ἄλλον δὲ* **A** || 13 *ἰησοῦν* **B** *ἰησοῦ* **A** || 14 *ἀρχιερωσύνην* **A** *ἀρχιεροσύνην* **B** || 26 *μάρκιος* **B** *μάρκος* **A** || 28 *ταρκύινος* **A** *ταρκύηνος* **B**

Ῥωμαίων κα' ἐβασίλευσε Σερούιος ὁ καὶ Σίλβιος Τοῦλλος ὁ ἐκ δούλης ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡιγ'.

450 *Ῥωμαίων κβ' ἐβασίλευσε Ταρκύνιος Σούπερβος ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡνζ'.*

Οὗτος τὸν πρὸ αὐτοῦ βασιλεύοντα Σίλβιον Τοῦλλον κηδεστὴν οἰκεῖον ὄντα ἀνελὼν ἐβασίλευσεν ἀντ' αὐτοῦ. ἀνῃρέθη δὲ καὶ αὐτὸς διὰ Ταρκύνιον τὸν ἴδιον παῖδα μοιχεύσαντα Λουκρουτίαν τὴν Κολατίνου γυναῖκα ἀνδρὸς ἐπισήμου, ὃς ἅμα Βρούττῳ μετὰ τὴν Ταρκυίνου ἀναίρεσιν πρῶτος τὴν ὑπάτων ἀρχὴν ἀναδείκνυσι, μὴ δεχομένων Ῥωμαίων βασιλεύεσθαι ἕως τῆς Ἰουλίου Καίσαρος ἀρχῆς.

Τινὲς βούλονται Κρόνον πρῶτον Ἀλβανὸν κρατῆσαι τῶν κατὰ τὴν ἑσπέραν τόπων. μεθ' ὅν φασι Πεῖκον υἱὸν αὐτοῦ, τὸν καὶ Δία, βασιλεῦσαι· εἶτα Φαῦνον Διὸς υἱόν, τὸν καὶ Ἑρμῆν· ἐφ' οἷς Ἡρακλῆς ἐπανελθὼν ἀπὸ Ἱσπανίας, καὶ μετ' αὐτὸν Λατῖνος, ἐφ' οὗ Αἰνείας μετὰ τὴν ἅλωσιν Τροίας ἐλθὼν ὅπλοις καὶ πλούτῳ βασιλικῷ παρεσκευασμένος ζεύγνυται Λαβηνίᾳ θυγατρὶ αὐτοῦ καὶ βασιλεύει Λατίνων καὶ οἱ ἐξ αὐτοῦ μετ' αὐτόν. οἱ πάντες ἕως Ῥωμύλου βασιλεῖς ις' τοῦ κτιστοῦ Ῥώμης· ἀφ' οὗ οἱ πρότερον Ἀλβανοί, εἶτα Ἰταλοί, ἔπειτα Λατῖνοι, Ῥωμαῖοι μετεκλήθησαν.

451 *Ἀπὸ δὲ Ῥωμύλου ἐπὶ τὸ παρὸν κδ' ἔτος Ταρκυίνου Σουπέρβου ἔτη μὲν γίνονται σκε', ἤτοι ἀπὸ τοῦ ιγ' ἔτους αὐτοῦ, καθ' ὃ ἔκτισε Ῥώμην, βασιλεῖς δὲ Ῥωμαίων ζ', μεθ' οὓς λοιπὸν ὕπατοι, ἀρξάμενοι ἀπὸ Κολατίνου καὶ Βρούττου. εἶτα δήμαρχοι καὶ δικάτωρες· μεθ' οὓς πάλιν ὕπατοι πάντες διεγένοντο ἔτεσι υογ', τοῦτ' ἔστιν ἀπὸ τοῦ ,δϡπα' κοσμικοῦ ἔτους ἕως τοῦ ,ευνδ', καθ' ὃ Γάιος Ἰούλιος Καῖσαρ ἐμονάρχησε πρῶτος.*

6 *Ση. ὅτι ὁ Κολατῖνος δείκνυσιν ὑπάτους· ὅτι ἕως τοῦ Ἰουλίου βασιλέως οὐ κατεδέχοντο Ῥωμαῖοι βασιλεύεσθαι* || 18 *Ση. ὅτι οἱ αὐτοὶ Ἰταλοὶ καὶ Λατεῖνοι καὶ Ἀλβανοὶ ἐλέγοντο οἱ καὶ Ῥωμαῖοι* || 19 *ὕπατοι δήμαρχοι δικάτωρες καὶ πάλιν ὕπατοι ἐπὶ ἔτη υογ'*

2 cf. supra 250, 19 || 5–10 cf. Eutrop. 1, 7–8 || 11–18 cf. Euseb. 1, 136, 7–19, Chron. ann. 354 p. 143, 1–12 || 19–24 cf. Euseb. 1, 140, 17; 142, 8; 2, 106[c.d] et supra 230, 4 || 21–28 cf. ps. Sym. f. 55[v] (Gelzer 2, 378, om. Cedr.)

1 *Σερούιος* Go.[m] *νερούιος* **AB** | *ὁ*[1] ... *δούλτς* hoc loco **A**, post 2 *,δϡκά'* **B** || 2 *,δϡιγ'* Go.[m] *,δϡια'* **A** *,δϡκα'* **B** || 3 *ταρκύηνος σούπερβος* **B** *ταρκυνοσούπερβος* **A** || 7 *λουκρουτίαν* **A** *λοκρουτίαν* **B** | *κολατίνου* **B** *κολλατίνου* **A** || 10 *ἰουλίου* **B** *ἰλίου* **A** | *ἀρχῆς* **A** *αὐχῆς* **B** || 12 *δία* **B** *δῖαν* **A** || 14 *ἱσπανίας* **B** *σπανίας* **A** || 16 *λατίνων* **A** *λατείνων* **B** | *μετ' αὐτόν* **B** *μετ' αὐτῶν* **A** || 17 *ῥωμύλου* **B** *ῥωμύλλου* **A** || 18 *ἰταλοί* **B** *ἰταλλοί* **A** | *λατῖνοι* **A** *λατεῖνοι* **B** || 19 *ῥωμύλου* **B** *ῥωμύλλου* **A** | *ταρκυησουπέρβου* **AB** || 22 *δικάτορες* **A** *δεικτάτορες* **B** *δικτάτωρες* Di. || 25 *κολατῖνος* **A**[m] *κολατεῖνος* **B**[m] || 25.26 *βασιλέως οὐ κατεδέχοντο ῥωμαῖοι βασιλεύεσθαι* **A**[m] ps. Sym. *βασιλεῖς οὐ κατεδέχοντο οἱ ῥωμαῖοι* **B**[m] || 27 *δικάτορες* **A**[m] *δεικτάτορες* **B**[m]

ΣΠΟΡΑΔΗΝ

Πρῶτοι ὕπατοι Ῥωμαίων Κολατῖνος καὶ Βροῦττος.
Σάμου τύραννοι Πολυκράτης καὶ Συλοσῶν καὶ Παντόγνωστος ἀδελφοὶ γεγόνασι.
5 *Θαλῆς θνήσκει.*
Κῦρος Σάρδεις εἷλεν.
Ἅρπαγος εὐδοκιμῶν παρὰ Κύρῳ κατὰ τῆς Ἰωνίας ἐστράτευσε.
Θεόγνιος ποιητὴς ἐγνωρίζετο.
Πεισίστρατος Ἀθηναίων τὸ β′ ἐβασίλευσε.
10 *Φερεκύδης ἱστορικὸς ἐγνωρίζετο Πυθαγόρου διδάσκαλος.*
Σιμωνίδης μελοποιὸς ἐγνωρίζετο. **452**
Φωκυλίδης καὶ Ξενοφάνης φυσικὸς τραγῳδοποιὸς ἐγνωρίζετο.
Πολυκράτης Σαμίων τυραννῶν ἀνεσταυρώθη.
Ἁρμόδιος καὶ Ἀριστογείτων ἀνεῖλον Ἵππαρχον τύραννον, καθ᾽ οὓς
15 *Λέαινα ἡ ἑταίρα ὑπ᾽ αὐτῶν ἐταζομένη κατειπεῖν τοὺς συνωμότας τὴν ἑαυτῆς ἀπέτρισε γλῶτταν.*
Λέαιναν μόνην ἑταίραν εἰκόνι Ἀθηναῖοι ἐτίμησαν ἐν ἀκροπόλει. ἄγλωττον δὲ Λέαιναν ταύτην παρεζωγράφησαν ἀντὶ ἐπιγραφῆς τὸ πάθος δηλοῦντες.
20 *Τιμήσεως ἐν Ῥώμῃ γενομένης εὑρέθησαν μυριάδες ιβ′ τοῦ πλήθους.*
Λακεδαιμόνιοι ιδ′ ἐθαλασσοκράτησαν ἔτη {ιβ′ τοῦ πλήθους} ⟨β′⟩.
Δημόκριτος Ἀβδηρίτης φυσικὸς φιλόσοφος καὶ Ἡράκλειτος ὁ σκοτεινὸς λεγόμενος καὶ Ἀναξαγόρας φυσικοὶ ἤκμαζον· Ἑλλάνικος ἱστορικὸς ἐγνωρίζετο.

25 ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

Μακεδόνων ς′ ἐβασίλευσε Φίλιππος ἔτη λε′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δωπς′.

16 *Ση. τίς ἀπέτρισε τὴν γλῶτταν· ἡ Λέαινα*

2 cf. Euseb. 1, 142, 30 = Castor FGrHist 250 F 5 || 3 Euseb. 2, 104[g] || 5–12 Euseb. 2, 103[h,i,k,l,m,n,p] || 13 non exhibet Euseb., cf. Herodot. 3, 125 || 14–19 cf. ps. Sym. f. 55[v] (Gelzer 2, 379, om. Cedr.) || 14–16 Euseb. 2, 106[a] || 17–19 cf. Pausan. 1, 23, 1, Polyaen. 8, 45 || 20 Euseb. 2, 107[c] || 21 cf. Euseb. 1, 107, 10 (ex Diodoro); 2, 190 Arm. (om. Hieron.) || 22–24 Euseb. 2, 107[e] || 26–p. 286, 3 cf. Euseb. 1, 108, 4–6 (ex Diodoro); 2, 95. 98. 101

2 *κολατίνος* B *κολαττῖνος* A || 3 *Συλοσῶν* Scal. *συλλος ὢν* A *σύλλος ὢν* B || 5 *θάλης* B *θαλλῆς* A || 7 *ἅρπαγος* A *ἅρπαγες* B || 8 *θεόγνιος* AB *Θέογνις ὁ* Di. || 13 *σαμίων* A *σαμείων* B || 16 *ἀπέτρισε* B *ἀπέτρησε* A || 17 *εἰκόνι* B *ἐν κόνῃ* A || 21 *ιβ′ τοῦ πλήθους*] repetitur ex superiori linea, recte *β′* || 22 *Ἀβδηρίτης* Di. *ἀβηρίτης* AB || 27 *͵δωπς′*] *͵δωπε′* AB

453 *Μακεδόνων ζ′ ἐβασίλευσεν Ἀερόπας ἔτη κγ′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡκα′.*

Μακεδόνων η′ ἐβασίλευσεν Ἀλκέτας ἔτη κη′. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡμδ′.

ΣΠΟΡΑΔΗΝ 5

Τῆς Αἰγύπτου σειομένης παρ' ἔθος οἱ Χαλδαῖοι δεδιότες ἀνέζευξαν πολιορκοῦντες αὐτήν.

Καμαρίνα πόλις ἐκτίσθη.

Πέρινθος ἐκτίσθη.

Ἡ τῶν Κορινθίων κατελύθη μοναρχία κατὰ τούτους τοὺς χρόνους. 10

Τοῖς ἀγωνιζομένοις παρ' Ἕλλησι τράγος ἐδίδοτο, ἀφ' οὗ καὶ τραγικοὶ ἐκλήθησαν.

Θαλῆς Μιλήσιος ἔκλειψιν ἡλίου σύμπασαν προεῖπεν.

Ἴσθμια καὶ Πύθια πρώτως ἤχθη μετὰ Μελικέρτην.

Οἱ ζ′ σοφοὶ ὠνομάσθησαν. 15

Ἀστυάγης Λυδοὺς κατεπολέμει.

Ἀναξίμανδρος Μιλήσιος φυσικὸς φιλόσοφος ἐγνωρίζετο.

Ἄβαρις ἦλθεν ἐκ τῆς Σκυθίας εἰς Ἑλλάδα.

454 *Κατὰ τούτους τοὺς χρόνους τοὺς παρ' Ἕλλησιν ζ′ φιλοσόφους ἀκμάσαι λόγος, ὧν τὰ ὀνόματα Σόλων Ἀθηναῖος, Θαλῆς Μιλήσιος, Πιττακὸς* 20 *Λέσβιος, Χείλων Λακεδαιμόνιος, Βίας Πριηνεύς, Ἀνάχαρσις ὁ Σκύθης ἀγράμματος, Κλεόβουλος Λίνδιος.*

Ιβ′ Φωκαεῖς ἐθαλάσσοκράτησαν ἔτη μδ′.

Νέμεα πρῶτον ἤχθη ἀγὼν ὑπ' Ἀργείων μετὰ τὸν ἐπ' Ἀρχεμόρῳ.

Αἴσωπος μυθοποιὸς ἐγνωρίζετο, ὃς ὑπὸ Δελφῶν ἀπώλετο. 25

Ὁ τῶν Παναθηναίων γυμνικὸς ἀγὼν ἤχθη.

Εὐγάμων Κυρηναῖος ὁ τὴν Τηλεγονίαν ποιήσας ἐγνωρίζετο.

9 *Ἡράκλεια πάλαι Πέρινθος ἐκτίσθη* || 10 *τῶν Κορινθίων κατελύθη ἡ δυναστεία* || 11 *τίσιν ἐδίδοτο τράγος* || 18 *Ση. περὶ Ἀβάρου*

6 non alibi redit, uide Gelzer 1, 187 || 8–18 Euseb. 2, 98[h]. 99[c]. 100[d,e,f]. 101[d,e,f,g,k] || 19 ex Dexippo suspicatur Gelzer 1, 187 || 23 cf. Euseb. 1, 107, 8 (ex Diodoro); 2, 187 Arm. (om. Hieron.) || 24–27 Euseb. 2, 101[h]. 102[b,c,d] || 28 cf. ps. Sym. f. 55[v] (Gelzer 2, 379, om. Cedr.)

8 *καμαρίνα* **B** *καμμαρίνα* **A** || 9 *πέρινθος* **B** *πρίνθος* **A** || 13 *θάλης* **B** *θαλλῆς* **A** || 14 *πρώτως* **B** *πρῶτος* **A** || 18 *Ἄβαρις ἦλθεν* Di. *ἄβαρεις ἦλθον* **AB** || 20 *θάλης* **B** *θαλλῆς* **A** || 21 *χείλων* **B** *χίλων* **A** | *Ἀνάχαρσις* Di. *ἀνάχαρις ὁ* **A** *ἀναχάρισος* **B** || 23 *Φωκαεῖς* Scal. *φωκιεῖς* **AB** || 24 *νέμεα* **A** *νεμαία* **B** | *τὸν ἐπ' Ἀρχεμόρῳ* Di. *τῶν ἐπαρχεμόρων* **AB** || 25 *ὑπὸ δελφῶν* **A** *ὑπ' ἀδελφῶν* **B** || 26 *Παναθηναίων* Go. *παναθηνῶν* **AB** || 27 *Εὐγάμων* Go. *εὐτάμων* **AB** || 28 *πέρινθος* **B**[m] *πείρινθος* **A**[m] || 29 *ἀβάρου* **B**[m] *τῶν ἀβαρῶν* **A**[m]

Πυθαγόρας ὁ Σάμιος Ὀλυμπίασιν ἐκκριθεὶς παίδων πυγμὴν ὡς ἁπαλὸς προσβὰς τοὺς ἄνδρας ἐνίκα. κατὰ τὴν νδʹ ὀλυμπιάδα Ἀρριχίων Φιγαλεὺς τὸ τρίτον νικῶν παγκράτιον ψιλισθεὶς ἀπέθανε, νεκρός τε ἐστέφθη, φθάσαντος ἀπείπασθαι τοῦ ἀνταγωνιστοῦ κλωμένου τοῦ 5 *ποδὸς ὑπ' αὐτοῦ.*

Πεισίστρατος Ἀθηναίων ἐτυράννησε καὶ εἰς Ἰταλίαν παρῆλθεν.

Ἀναξιμενίδης φυσικὸς ἐγνωρίζετο.

Στησίχορος τέθνηκε. **455**

Σιμωνίδης ἤκμαζε.

10 *Χείλων εἷς τῶν ζʹ φιλοσόφων Λακεδαιμονίων ἔφορος γέγονε.*

ΛΥΔΩΝ ΒΑΣΙΛΕΙΣ

αʹ Ἄρδυσος Ἀλυάτου ἔτη λϛʹ.

βʹ Ἀλυάτης ἔτη ιδʹ.

γʹ Μίλης ἔτη ιβʹ.

15 *δʹ Κανδαύλης ἔτη ιζʹ.*

εʹ Γύγης ἔτη λϛʹ.

ϛʹ Ἄρδυσος ἔτη ληʹ.

ζʹ Σαδυάτης ἔτη ιεʹ.

ηʹ Ἀλυάτης ἔτη μθʹ.

20 *θʹ Κροῖσος ἔτη ιεʹ.*

Κροῖσος κατὰ Κύρου στρατεύσας ἥλω σὺν τῇ Λυδῶν βασιλείᾳ διαρκεσάσῃ ἔτη σλβʹ. οὗτος θʹ βασιλεὺς Λυδῶν γεγονὼς ἔτη ιεʹ ἐβασίλευσεν ἕως τοῦ ιδʹ ἔτους Κύρου.

Ἡ Λυδῶν βασιλεία ἀρξαμένη τῷ ͵δψλεʹ ἔτει τοῦ κόσμου κατελύθη τῷ 25 *͵δϡξϛʹ, ἤτοι Κύρου τοῦ Περσῶν ἔτει ιδʹ, διαρκέσασα ἔτεσι σλβʹ ἐν* **456** *βασιλεῦσι θʹ.*

21 *οὗτος ὁ Κροῖσος πυθόμενος παρὰ τῷ Ἀπόλλωνι εἴληφε μαντείαν χρησμὸν τοιόνδε· Κροῖσος Ἅλυν ποταμὸν περάσας μεγίστην δυναστείαν καταλύσει· καὶ κακονοήσας ἡττήθη* || 22 *ἡ Λυδῶν βασιλεία σλβʹ ἔτη· κατελύθη ὑπὸ Κύρου*

1 cf. Euseb. 1, 93, 10 (Olymp. 48), Diog. Laert. 8, 47 = Eratosth. FGrHist 241 F 11 || 2 cf. Euseb. 1, 93, 31 (Olymp. 54) || 6–10 Euseb. 2, 102[e,f,g,h,i] || 12–20 cf. Euseb. 2, 85. 89. 90. 92; aliter Euseb. 1, 32–33 || 21 Euseb. 2, 103, 13–18 || 27–29 cf. ps. Sym. f. 53[v] = Cedr. 251, 1

1 *σάμιος* A *σάμειος* B | *ὀλυμπίασιν* B *ὀλύμπια θήσειν* A | *ἐκκριθεὶς* Di. *ἐκριθεὶς* B *ἐκρίθη* A || 2 *προσβὰς* Scal. *προβὰς* AB | *ἐνίκα. κατὰ τὴν νδʹ* Gelzer 1, 187 *ἐνίκα κατὰ τὴν ναʹ* AB *ἐνίκα κατὰ τὴν μηʹ* Jac. | *ἀρριχίων* B *ἀριχίων* A || 3 *φιγαλεὺς* A *φυγαλεὺς* B | *παγκράτιον* B *παγκρατίων* A | *ψιλισθεὶς* B *ψιλλισθεὶς* A || 4 *φθάσαντος* A *φάσαντος* B || 7 *ἀναξιμενίδης* AB *Anaximenes* Euseb. 102[f] || 10 *χείλων* B *χίλων* A || 12 *Ἀλυάτου*] *ἀλύτου* AB || 17 *ἄρδυσος* AB *Ardys* Euseb. | *ἔτη ληʹ*] ann. 38 Arm., 37 Hieron. || 19 *ἀλυάτης* A *ἀλλυάτης* B || 25 *ἔτει* B *ἔτη* A || 29 in margine B, in textu A

ΚΟΣΜΟΥ ΕΤΗ

Ἀρχιερέων τῶν ἀπὸ Κύρου

Ὧν πρῶτος Ἰησοῦς υἱὸς Ἰωσεδὲκ ἔτη ξ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡνβ'.

Ἐν Βαβυλῶνι προεφήτευσε Δανιὴλ καὶ Ἰεζεκιήλ, ἐν δὲ τῇ Ἰουδαίᾳ 5
Ἀμβακούμ, ἐν δὲ τῇ ἀνακλήσει τῆς αἰχμαλωσίας Ἀγγαῖος καὶ Ζαχαρίας προεφήτευον.

Ζοροβάβελ υἱὸς Σαλαθιὴλ υἱοῦ Ἰεχονίου τοῦ βασιλέως καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἡγοῦντο. Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ἱεράτευε· προεφήτευον δὲ ὕστατοι προφητῶν Ἀγγαῖος, Ζαχαρίας ὁ τοῦ Ἀδδώ, καὶ Μαλαχίας. 10 *ἡγεῖτο τῶν Ἑβραίων Ζοροβάβελ υἱὸς Σαλαθιήλ.*

Ζαχαρίου καὶ Ἀγγαίου καὶ Μαλαχίου προφητευόντων καὶ Ζοροβάβελ καὶ Ἰησοῦ ἐξαρχόντων τοῦ λαοῦ καὶ τῆς οἰκοδομῆς ἐπληρώθη τῷ ς' ἔτει τῆς βασιλείας Δαρείου τοῦ Ὑστάσπου τὸ ἔργον τοῦ ναοῦ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ε. 15

Ἰησοῦν υἱὸν Ἰωσεδὲκ τὸν ἀρχιερέα λ' καὶ α' ἔτος ἐστοιχείωσαν ἀπὸ τοῦ 457 *λα' ἔτους Κύρου ἀρχιερατεύσαντα ἅπαντες. ἡ δὲ γραφὴ τοῦ Ἔσδρα ἀπὸ τοῦ α' ἔτους Κύρου, ἐν ᾧ μετὰ τοῦ Ζοροβάβελ ἡγήσατο τῆς αἰχμαλωσίας εἰς τὴν Ἱερουσαλήμ, ἀρχιερέα αὐτὸν ὁμολογεῖ. καλῶς ἄρα ἡμῖν ἐστοιχείωται ξ' ἔτη ἱερατεύσας. ἀπὸ γὰρ τοῦ α' ἔτους Κύρου ἕως τοῦ κ' ἔτους* 20 *Δαρείου ἔτη ξ' συνάγεται.*

Ἰωακεὶμ υἱὸς Ἰησοῦ ἱεράτευσεν ἔτη λς'.

ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΣ

Περσῶν β' ἐβασίλευσε Καμβύσης υἱὸς Κύρου ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡπγ'. 25

5 *ἐν Βαβυλῶνι Δανιὴλ Ἰεζεκιήλ· ἐν τῇ Ἰουδαίᾳ Ἀμβακούμ· Ἀγγαῖος καὶ Ζαχαρίας ἐν τῇ ἀνακλήσει τῆς αἰχμαλωσίας*

2 de tabula sacerdotum confer Chron. Pasch. 356, 15–358, 12; 390, 1–392, 18, Anon. Matr. 31, 3–34, 2, Chron. Synt. 95, 12–36; uide Gelzer 2, 170–176 || 5–11 Euseb. 2, 100[b]. 103[a]. 104[d.e] || 12 Euseb. 2, 106[b], 2 Esdr. 5, 1–2. 14–15 || 15 ex epocha Cyri anno 4956, quae ex ecclesiastico canone sequitur; Syncellus annis quattuor discrepat, ut notatur in margine supra 275 || 16 cf. Chron. Pasch. 356, 16, Anon. Matr. 31, 13 (ann. 32), Chron. Synt. 92, 14 (ann. 30) || 17 2 Esdr. 3, 2 || 22 cf. 2 Esdr. 22, 10 (sine annis); ann. 30 iuxta Chron. Pasch. 302, 18, Anon. Matr. 31, 14, Chron. Synt. 92, 18 || 24 ita astr. can. et al.

3 *τοῦ δὲ κόσμου ἦν ἔτος* A *κόσμου δὲ* B || 10 *ἀγγαῖος* B *ἀγγαίας* A || 22 *υἱὸς* B *υἱοῦ* A || 23 titulus in margine A || 24.25 et infra *ἦν ἔτος* om. A

Καμβύσης ἐπιστρατεύων κατὰ τῶν β' ἀδελφῶν Μάγων ἔφιππος τρωθεὶς τελευτᾷ.

Καμβύσης κατὰ Ἰώσηππον ς' ἔτη βασιλεύσας ἐπανιὼν ἐξ Αἰγύπτου θνήσκει ἐν Δαμασκῷ.

5 *Τὸν Καμβύσην τινὲς Ναβουχοδονόσωρ νομίζουσι τὸν κατὰ τὴν Ἰουδήθ· οὐκ ἔστι δέ, ὡς προδέδεικται καὶ ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται.*

Περσῶν γ' ἐβασίλευσαν Μάγοι ἀδελφοὶ δύο μῆνας ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,δϡϛα'.

Περσῶν δ' ἐβασίλευσε Δαρεῖος Ὑστάσπου ἔτη λϛ'. τοῦ δὲ κόσμου ἦν 10 *ἔτος ,δϡϛβ'.*

Δαρεῖος Ὑστάσπου καὶ Παρυσάτιδος παῖς ἔτι ἰδιοτεύων ηὔξατο τῷ **458** *θεῷ, εἰ βασιλεύσοι Περσῶν, ἀνεγεῖραι τὸν ἐν Ἱεροσολύμοις ναὸν καὶ πάντα τὰ Ἰουδαίων ἀποδοῦναι ἱερὰ σὺν τοῖς αἰχμαλώτοις καὶ πατρῴοις ἔθεσι. τούτων τῶν εὐχῶν Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἀκουστὴς καὶ* 15 *σύμβουλος αὐτῷ γεγόνει. διὸ καὶ ἀνέμνησε συνήθης ὢν καὶ πρὸ τῆς βασιλείας.*

Κῦρος μὲν τὴν πρώτην Ἰουδαίοις ἀνάκλησιν ἐπὶ τὰ σφέτερα προσεφώνησεν ἐκ τῆς ὑπὸ Ναβουχοδονόσωρ αἰχμαλωσίας πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, φιλοτιμησάμενος ἅμα καὶ τὰ πρὸς οἰκοδομήν, καὶ τὸν Ζοροβάβελ 20 *υἱὸν τοῦ Σαλαθιὴλ υἱοῦ Ἰεχονίου υἱοῦ τοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα ὡς ἐκ βασιλικοῦ γένους τοῦ Ἰούδα ἡγεῖσθαι τῆς ἀνόδου συνεχώρησε, συνεξάρχοντος αὐτῷ καὶ ἀρχιερατεύοντος Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδέκ· καθ' ὃν χρόνον τῶν θεμελίων ὑποβληθέντων τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου εἴρχθη ἡ οἰκοδομὴ τοῦ ἱεροῦ ἐν Ἱερουσαλὴμ ἕως τοῦ β' ἔτους τῆς* 25 *βασιλείας Δαρείου, ὡς ἐν τῷ Ἔσδρᾳ γέγραπται.*

Ὅτι ἐν τοῖς χρόνοις Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως κατέγραψεν κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ καὶ Ἱερουσαλὴμ Βάλσαμος καὶ Μιθριδάτης καὶ Ταβέλλιος καὶ Ῥάθυμος καὶ Βεέλτεθμος καὶ Ῥαμέλιος οἱ γραμματεῖς καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν 30

3 *ἀπὸ Ναβονασάρου ἔτη σμβ' ἕως τοῦ α' ἔτους Καμβύσου* || 9 *ἀπὸ Ναβονασάρου ἔτη σν'* || 11 *τί λέγει περὶ Δαρείου τοῦ Ὑστάσπου καὶ Ζοροβάβελ*

1 cf. Herodot. 3, 64–66 || 3 Ioseph. Ant. Iud. 11, 30 || 5 Africanus fr. 43, cf. Euseb. 1, 104[c] || 7 ita Euseb. 2, 104, 25 et eccl. can., om. astr. can. || 9–16 cf. ps. Sym. f. 55[v] = Cedr. 253, 15 || 9 ita Herodot. 7, 4, astr. can. et al. || 11 1 Esdr. 4, 42–46 || 17 2 Esdr. 3, 1–4, 24 || 26 1 Esdr. 2, 12–20, 2 Esdr. 4, 7–14

5 *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || 11 *παρυσάτιδος* ps. Sym. *παροισάτιδος* **AB** || 12 *ναὸν* **A** ps. Sym. *νεὼν* **B** || 18 *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || 21 *ὡς* **BA**[c] *ὃς* ante corr. **A** || 22 *τοῦ* om. **A** || 24 *εἴρχθη* Di. *ἤρχθη* **AB** || 28 *μιθριδάτης* **A** *μηθριδάτης* **B** || 29–p. 290, 1 *καὶ οἱ . . . ἐπιστολήν* om. **A**

459 *Σαμαρείᾳ καὶ τοῖς ἄλλοις τόποις τὴν ὑπογεγραμμένην ἐπιστολήν· βασιλεῖ Ἀρταξέρξῃ κυρίῳ οἱ παῖδές σοῦ Ῥάθυμος ὁ τὰ προσπίπτοντα καὶ Ῥαμέλιος ὁ γραμματεὺς καὶ οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν καὶ οἱ κριταὶ οἱ ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ. καὶ νῦν γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ διότι Ἰουδαῖοι οἱ ἀναβάντες παρ' ὑμῶν πρὸς ἡμᾶς εἰς Ἱερουσαλὴμ τὴν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσι τάς τε ἀγορὰς αὐτῆς καὶ τὰ τείχη θεραπεύουσι καὶ ναὸν ὑποβάλλονται. ἐὰν οὖν ἡ πόλις αὕτη οἰκοδομηθῇ καὶ τὰ τείχη συντελεσθῇ, φορολογίαν οὐ μὴ ὑπομείνωσι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. καὶ ἐπεὶ ἐνεργεῖται τὰ κατὰ τὸν ναόν, καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπεριδεῖν τὸ τοιοῦτο· καὶ τὰ ἑξῆς τῆς ἐπιστολῆς.* 5 10

Ἰσοδύναμα τούτοις πρὸς Ἀρταξέρξην, ὥς φησι, γεγραμμένα μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἄνοδον πρὸ τῆς Δαρείου τοῦ Ὑστάσπου βασιλείας, ὡς τὰ ἑπόμενα δείκνυσι τῆς γραφῆς μετὰ τὴν ἀντίγραφον ἐπιστολὴν Ἀρταξέρξου, ἧς ἀναγνωσθείσης Ῥάθυμος καὶ Ῥαμέλιος ὁ γραμματεὺς καὶ οἱ τούτου συντασσόμενοι ἀναζεύξαντες κατὰ σπουδὴν εἰς Ἱερουσαλὴμ μεθ' ἵππου καὶ ὄχλου τάξεως ἤρξαντο κωλύειν τοὺς οἰκοδομοῦντας. καὶ ἤργει ἡ οἰκοδομὴ τοῦ ἱεροῦ μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας Δαρείου τοῦ Περσῶν βασιλέως, καθ' ὃν χρόνον Ζοροβάβελ ὁ τοῦ Σαλαθιήλ, φίλτατος 15
460 *προϋπάρχων Δαρείῳ τῷ Ὑστάσπου καὶ διὰ πολλὴν οἰκειότητα τιμηθείς, εἶναι εἷς τῶν τριῶν σωματοφυλάκων εὐδοκιμήσας ὑπὲρ τοὺς ἄλλους δύο σωματοφύλακας ἐν τῇ περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας προτάσει προετράπη παρ' αὐτοῦ αἰτήσασθαι ὃ θέλει. ὁ δὲ ἀναμνήσας αὐτὸν τῶν εὐχῶν αὐτοῦ, ἃς ηὔξατο ἀνοικοδομῆσαι τὴν Ἱερουσαλὴμ ἐν ᾗ ἡμέρᾳ παρελάμβανε Δαρεῖος τὸ βασίλειον αὐτοῦ, καὶ πάντα τὰ σκεύη ἃ ἐχώρισε Κῦρος, ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα ὁ αὐτὸς Κῦρος, ἠξίωσε Ζοροβάβελ τὸν αὐτὸν Δαρεῖον βασιλέα Περσῶν πληρῶσαι τὰς εὐχάς, ἃς ἐκ στόματος ηὔξατο τῷ βασιλεῖ τοῦ οὐρανοῦ.* 20 25

Καὶ τότε ἀναστὰς Δαρεῖος κατεφίλησεν αὐτὸν καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς πρὸς πάντας τοὺς οἰκονόμους καὶ τοπάρχας καὶ στρατηγοὺς καὶ σατράπας, ἵνα προπέμψωσιν αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ Ἰουδαίους οἰκοδομῆσαι τὴν Ἱερουσαλήμ. καὶ πᾶσι τοπάρχαις ἐν κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ τοῖς ἐν τῷ Λιβάνῳ ἔγραψεν ἐπιστολὰς μεταφέρειν ξύλα 30

20 *σωματοφύλαξ εἷς τῶν γ'*

11–18 1 Esdr. 2, 25, 2 Esdr. 4, 23–24 || 18–p. 291, 18 1 Esdr. 4, 42–57

1–3 *βασιλεῖ . . . γραμματεὺς* om. **A**, add. **A**[m] || 2 *ὁ τὰ* Di. ex Esdr. *ὄντα* **B A**[m] || 5 *ἀποστάτιν* Di. ex Esdr. *ἀποστάτην* **AB** || 10 *τοιοῦτο* **B** *τοιοῦτον* **A** || 16 *ἤρξαντο* **B** *ἤρξατο* **A** || 19 *ὑστάσπου* **B** *ὑστάσπῳ* **A** || 20. 21 *δύο σωματοφύλακας* **B** *β' συσσωματοφύλακας* **A** || 24 *ἐχώρισε* **A** *ἐχώρησε* **B** || 25 *ἐκκόψαι* **B** *ἐγκόψαι* **A** || 33 *εἰς* **A**[m] *ἐκ* **B**[m]

κέδρινα ἀπὸ τοῦ Λιβάνου εἰς Ἱερουσαλήμ, καὶ ὅπως οἰκοδομήσωσι μετ' αὐτοῦ τὴν πόλιν. καὶ ἔγραψε πᾶσι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ τῆς βασιλείας εἰς τὴν Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας, πάντα δυνατὸν καὶ σατράπην καὶ τοπάρχην καὶ οἰκονόμον μὴ ἐπελεύσεσθαι ἐπὶ τὰς
5 *θύρας αὐτῶν, καὶ πᾶσαν τὴν χώραν ἣν κρατήσωσιν ἀφορολόγητον αὐτοῖς ὑπάρχειν, καὶ ἵνα Ἰδουμαῖοι ἀφιῶσι τὰς κώμας ἃς διακρατοῦσι τῶν Ἰουδαίων, καὶ εἰς τὴν οἰκοδομὴν τοῦ ἱεροῦ δοθῆναι κατ' ἐνιαυτὸν τάλαντα* 461 *κ' μέχρι τοῦ οἰκοδομηθῆναι, καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαρπώματα καρποῦσθαι καθ' ἡμέραν, καθὰ ἔχουσιν ἐντολήν, ἑπτὰ καὶ δέκα προσ-*
10 *φέρειν ἄλλα τάλαντα, ι' κατ' ἐνιαυτόν, καὶ πᾶσι τοῖς προσβαίνουσιν ἀπὸ τῆς Βαβυλωνίας κτίσαι τὴν πόλιν ὑπάρχειν τὴν ἐλευθερίαν, αὐτοῖς τε καὶ τοῖς ἐγγόνοις αὐτῶν καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προσβαίνουσιν. ἔγραψε δὲ δοθῆναι καὶ τὴν χορηγίαν καὶ τὴν ἱερατικὴν στολήν, ἐν ᾗ λατρεύουσι, καὶ τοῖς Λευίταις δοῦναι τὴν χορηγίαν, ἕως ἧς ἡμέρας ἐπιτελεσθῇ ὁ*
15 *οἶκος, καὶ Ἱερουσαλὴμ οἰκοδομηθῆναι. καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώνια. καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη, ἃ ἐχώρισε Κῦρος ἀπὸ Βαβυλῶνος. καὶ ὅσα εἶπε Κῦρος ποιῆσαι, καὶ αὐτοῖς ἐπέταξε ποιῆσαι καὶ ἐξαποστεῖλαι εἰς Ἱερουσαλήμ.*

Ταῦτα μὲν ἐν Ἔσδρα πρώτῳ βιβλίῳ γέγραπται, ἅτινα παραθέσθαι
20 *ἀναγκαῖον ἐνταῦθα ἡγησάμεθα μετὰ τῶν ἑξῆς παρατεθησομένων ἐκ τοῦ β' βιβλίου τοῦ αὐτοῦ Ἔσδρα, ἐπεὶ καὶ μόνος τὰ κατὰ τὴν ἀνάκλησιν ἀπεδείχθη τῆς αἰχμαλωσίας γράψας ὀρθῶς καὶ ὑπὸ τῶν ο' σοφῶν ἱερέων ἑρμηνευθεὶς ἐπὶ Πτολεμαίου Φιλαδέλφου σὺν ταῖς λοιπαῖς θεοπνεύστοις γραφαῖς ἐδοκιμάσθη ἀναγινώσκεσθαι.*

25 *Τέως δ' οὖν ἐκ τῶν εἰρημένων ὀρθῶς ἐστι κατανοῆσαι ὅτι Κῦρον τὸν παρ' αὐτῷ καλούμενον Ἀρταξέρξην δηλοῖ, πρὸς ὃν κατέγραψε Βάλσαμος καὶ Μιθριδάτης καὶ οἱ σὺν αὐτοῖς κατὰ τῶν οἰκοδομούντων τὴν Ἱερουσα-* 462 *λὴμ τοῦ παυθῆναι τὴν οἰκοδομήν, πρῶτον μὲν ὅτι φασὶν ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ· γνωστὸν ἔστω τῷ κυρίῳ βασιλεῖ διότι Ἰουδαῖοι οἱ*
30 *ἀναβάντες παρ' ὑμῶν πρὸς ἡμᾶς εἰς Ἱερουσαλήμ. παρὰ τίνος δὲ ἄλλου ἀναβεβήκασιν, εἰ μὴ παρὰ Κύρου; ἔπειτα δὲ ὅτι Ἀρταξέρξης ἀπὸ Κύρου ἕως Δαρείου τοῦ Ὑστάσπου οὐδεὶς ἐβασίλευσεν, ὡς ἐκ τοῦ κανόνος τῶν βασιλέων δηλοῦται, καὶ αὖθις ὅτι Μιθριδάτην λέγει σὺν Βαλσάμῳ καὶ τοῖς λοιποῖς καταγεγραφέναι τῶν οἰκοδομούντων, ὃν καὶ παρειληφότα τὰ*

34 1 Esdr. 2, 10

1 *οἰκοδομήσωσι* **B** *οἰκοδομήσουσι* **A** ‖ **6** *ἰδουμαῖοι* **B** Esdr.^ *ἰουδουμαῖοι* **A** *Χαλδαῖοι* Esdr.ᵛ | *ἀφιῶσι* Di. ex Esdr. *ἀφίουσι* **AB** ‖ **8** *ὁλοκαρπώματα* **AB** *ὁλο-καυτώματα* Esdr. ‖ **10** et **12** *προσβαίνουσιν* **B** *προβαίνουσιν* **A** ‖ **14** *ἧς* om. **A** ‖ **17** *ἐχώρισε* **A** *ἐχώρησε* **B** ‖ **22** *ἱερέων* **B** *ἱερατεύων* **A** ‖ **26** *βάλσαμος* **B** *βάλσα-μας* **A** ‖ **31** *ἔπειτα . . . Κύρου* om. **A**

*ἱερὰ καὶ πάντα τὰ σκεύη οἴκου κυρίου κατὰ πρόσταξιν Κύρου ὡς γαζοφύ-
λακα προείρηκεν. ἔτι μὴν πρὸς τούτοις, εἰ μὴ ἐπὶ Κύρου γέγονε ταῦτα,
ἀλλ' ἐνεργεῖτο τὰ κατὰ τὴν οἰκοδομήν, πῶς οὐκ ἂν ἐτελειώθη λ' ἔτεσι τὰ
συντελεσθέντα μετὰ ταῦτα ἐν τέσσαρσιν ἀπὸ τοῦ β' ἔτους Δαρείου
Ὑστάσπου ἕως τοῦ ϛ' ἔτους αὐτοῦ; τῷ γὰρ β' ἔτει Κύρου ἀναβάντες σὺν* 5
*τῷ Ζοροβάβελ καὶ Ἰησοῦ ἀρχιερεῖ Νεεμίᾳ τε καὶ Σαρετᾷ καὶ Μαρδοχαίῳ
ἐν μυριάσιν ἀνδρῶν τέσσαρσι καὶ δισχιλίοις τριακοσίοις ἑξήκοντα χωρὶς
δούλων αὐτῶν καὶ παιδίσκων καὶ αὐτῶν ἑπτακισχιλίων τλ' καὶ ζ'
ᾀδόντων καὶ ᾀδουσῶν.*

Τῷ μηνί, φησί, τῷ ζ' συνήχθη ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς Ἱερουσαλήμ. καὶ 10
*ἀνέστη Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ Ζοροβά-
βελ υἱὸς Σαλαθιὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον*
463 *θεοῦ Ἰσραὴλ τοῦ ἀνενέγκαι ὁλοκαυτώσεις ἐπ' αὐτῷ κατὰ τὰ γεγραμμένα
ἐν νόμῳ Μωυσῇ ἀνθρώπῳ τοῦ θεοῦ. καὶ ἡτοίμασαν τὸ θυσιαστήριον ἐπὶ
τὴν ἑτοιμασίαν αὐτοῦ, ὅτι ἐν καταπλήξει ἐπ' αὐτοὺς ἀπὸ τῶν λαῶν τῶν* 15
*γαιῶν. καὶ ἀνέβη ἐπ' αὐτὸ ὁλοκαύτωσις τῷ κυρίῳ {ὁλοκαυτώσεις} τὸ πρωὶ
καὶ εἰς ἑσπέραν, καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν σκηνῶν κατὰ τὸ γεγραμ-
μένον, καὶ ὁλοκαυτώσεις τὴν ἡμέραν ἐν ἡμέρᾳ ἐν ἀριθμῷ ὡς ἡ κρίσις,
λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ. καὶ μετὰ τοῦτο ὁλοκαυτώσεις ἐνδελεχισμοῦ
καὶ εἰς τὰς νουμηνίας καὶ εἰς πάσας ἑορτὰς κυρίου τὰς ἡγιασμένας καὶ* 20
*παντὶ ἑκουσιαζομένῳ ἑκουσίως τῷ κυρίῳ. ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ
ζ' ἤρξαντο ἀναφέρειν ὁλοκαυτώσεις κυρίῳ. καὶ ὁ οἶκος κυρίου οὐκ
ἐθεμελιώθη. καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τοῖς τέκτοσι καὶ
βρώματα καὶ ποτὰ καὶ ἔλαιον τοῖς Σιδωνίοις καὶ Τυρίοις, ἐνέγκαι ξύλα
κέδρινα ἀπὸ τοῦ Λιβάνου πρὸς θάλασσαν Ἰόππης κατ' ἐπιχορήγησιν* 25
*Κύρου βασιλέως Περσῶν ἐπ' αὐτούς. καὶ ἐν τῷ ἔτει τῷ β' τοῦ ἐλθεῖν
αὐτοὺς εἰς οἶκον τοῦ θεοῦ εἰς Ἱερουσαλήμ, ἐν μηνὶ τῷ β' ἤρξατο Ζορο-
βάβελ ὁ τοῦ Σαλαθιὴλ καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ καὶ οἱ κατάλοιποι τῶν
ἀδελφῶν αὐτῶν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ πάντες οἱ ἐρχόμενοι ἀπὸ τῆς*

5 *Ση. ὅτι δ' μυριάδες καὶ ͵βτξα' ἀνῆλθον ἀπὸ Βαβυλῶνος εἰς Ἰερουσαλὴμ καὶ παῖ-* **30**
δες καὶ παιδίσκοι ͵ζτλ' καὶ ζ' || **17** *τὴν ἑορτὴν τῶν σκηνῶν α' ἐποίησαν*

5 2 Esdr. 2, 2. 64–65 || **10**–p. 293, **16** 2 Esdr. 3, 1–4, 1

1 *ἱερὰ . . . πρόσταξιν* om. **A** || **6** *μαρδοχαίῳ* **B** *μαρδοχαίᾳ* **A** || **8** *ἑπτακισχιλίων
τλ'* **B** *͵ψτλ'* **A** || **11–12** *οἱ ἱερεῖς . . . αὐτοῦ* **AB** Esdr.[A] om. Esdr.[V] || **15–16** *ὅτι . . .
γαιῶν* **AB** Esdr.[A] om. Esdr.[V] || **16** *ἐπ' αὐτὸ ὁλοκαύτωσις* Di. ex Esdr. *ἐπ' αὐτῷ
ὁλοκαυτώσεις* **AB** | *ὁλοκαυτώσεις* redundat, om. Esdr., secl. Di. | *τὸ* Di. *τῷ* **AB** ||
17 *εἰς* om. **A** || **18** *τὴν ἡμέραν ἐν ἡμέρᾳ ἐν* **B** *ἡμέραν ἐν ἡμέρᾳ* **A** || **19** *λόγον* Di. ex
Esdr. *λόγων* **AB** || **20** *ἑορτὰς* **B** Esdr. *τὰς ἑορτὰς τοῦ* **A** || **22** *ἤρξαντο* Di. ex Esdr.
ἤρξατο **AB** || **23** *ἔδωκαν* **B** *ἔδωκεν* **A** || **24** *βρώματα καὶ* **B** *βρωμάτους* **A** | *τοῖς* **B**
τῶν **A** || **25** *ἰόππης* **B** *ἰόππην* **A** | *ἐπιχορήγησιν* **AB** *ἐπιχώρησιν* Esdr. || **29** *ἐρχό-
μενοι* **A** *ἀρχόμενοι* **B** || **30** lemma om. **A**[m]

αἰχμαλωσίας εἰς Ἱερουσαλήμ, καὶ ἔστησαν τοὺς Λευίτας ἀπὸ υἱοῦ εἰκοσαετοῦς καὶ ἐπάνω τοῦ νικοποιεῖν ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν **464** οἴκῳ κυρίου. καὶ ἔστη Ἰησοῦς καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ Καδμιὴλ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ υἱοὶ Ἰούδα ὁμοῦ τοῦ νικοποιεῖν ἐπὶ τοὺς 5 ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ τοῦ θεοῦ, οἱ υἱοὶ Ἰωναδὰδ καὶ οἱ υἱοὶ αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται. καὶ ἐθεμελίωσαν τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου, δηλαδὴ τῷ ἔτει τῷ γ΄ Κύρου ἐθεμελίωσαν τὸν οἶκον κυρίου, δευτέρῳ δὲ τῆς ἀναβάσεως αὐτῶν, ἡνίκα καὶ ἔστησαν, ὥς φησι τὰ ἀκόλουθα τούτοις ἡ δευτέρα τοῦ Ἔσδρα βίβλος, οἱ ἱερεῖς ἐστολισμένοι ἐν 10 σάλπιγξι καὶ οἱ υἱοὶ Ἀσὰφ ἐν κυμβάλοις, καὶ πολλοὶ σὺν αὐτοῖς ἐκ τῶν ἱερέων καὶ Λευιτῶν καὶ ἄρχοντες πατριῶν πρεσβύτεροι, οἵ, φησίν, εἶδον τὸν οἶκον τὸν πρῶτον ἐν θεμελιώσει αὐτοῦ καὶ τοῦτον τὸν οἶκον ἐν ὀφθαλμοῖς αὐτῶν, ἔκλαιον ἐν φωνῇ μεγάλῃ, καὶ ὄχλος ἐν σημασίᾳ μετ' εὐφροσύνης τοῦ ὑψῶσαι φωνήν. καὶ οὐκ ἦν ὁ λαὸς ἐπιγινώσκων φωνὴν 15 σημασίας τῆς εὐφροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ λαοῦ, ὅτι ὁ λαὸς ἐκραύγασε φωνῇ μεγάλῃ. καὶ ἡ φωνὴ ἠκούετο ἕως ἀπὸ μακρόθεν.

Καὶ ἤκουσαν οἱ θλίβοντες Ἰούδαν καὶ Βενιαμίν· καὶ τὰ λοιπὰ περὶ τῶν γεγραμμένων τῷ Μιθριδάτῃ πρὸς Ἀρθασασθὰ καὶ τοῖς σὺν αὐτῷ Συριστί, κατὰ τὸ αὐτὸ δηλονότι ἔτος γ΄ Κύρου, τοῦ παύσασθαι τοὺς οἰκοδομοῦντας 20 τὸν ναόν. Ἀρθασασθὰ δὲ καὶ Ἀρταξέρξην ἕνα τὸν αὐτὸν ὑποληπτέον Περσικῶς καλούμενον, Κῦρον δὲ Ἑλληνιστὶ λεγόμενον, τὸν καὶ τὴν **465** ἄφεσιν αὐτοῖς πρώτῳ ἔτει αὐτοῦ προσφωνήσαντα καὶ τὴν ἀνοικοδομὴν προστάξαντα τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τὴν τῶν ἱερῶν σκευῶν ͵ευ΄ χρυσῶν τε καὶ ἀργυρῶν, διὰ Σαλμανασὰρ μετὰ τὴν τῆς ἀποικίας ἀνάβασιν 25 ἀριθμηθέντων αὐτῶν ἀπὸ Μιθριδάτου Γασβαρηνοῦ γαζοφύλακος Κύρου, ὡς γέγραπται, καὶ αὖθις ἐκ διαβολῆς τῶν γραψάντων αὐτῷ παύσαντα τοὺς Ἰουδαίους οἰκοδομεῖν ἕως τοῦ β΄ ἔτους Δαρείου τοῦ Ὑστάσπου· ὡς ἐκ τούτων σαφῶς παρίστασθαι ὅτι ἐπὶ ἔτη μ΄ καὶ α΄ ἔμεινε τὰ θεμέλια ὑποβεβλημένα, ἀπὸ δὲ τοῦ β΄ ἔτους Δαρείου ἕως ϛ΄ ἀνεπληρώθη διὰ 30 χειρῶν τοῦ αὐτοῦ Ζοροβάβελ καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ ἐν μϛ΄ ἔτεσιν ὅλοις ἀπὸ τοῦ α΄ ἔτους Κύρου. διὸ καὶ εἴρηται παρὰ τῶν Ἰουδαίων ὅτι ʽμϛ΄ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν γ΄ ἡμέραις ἐγείρεις αὐτόν;ʼ πρὸς τὸν κύριον ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ.

11 ὅτι καὶ τότε οἱ ἱερεῖς εὐλογοῦσι τὰ θεμέλια τῶν ἐκκλησιῶν ἤγουν τοῦ ναοῦ

17 2 Esdr. 4, 7 || 21 2 Esdr. 1, 7–11 || 26 2 Esdr. 4, 5. 24 || 29 2 Esdr. 6, 15 || 32 Iohann. 2, 20

7 ἔτει τῷ γ΄ B γ΄ ἔτει A || 12 εἶδον A ἴδον B || 18 Ἀρθασασθὰ Di. ἀρθασαστὰν AB || 20 ὑποληπτέον A ὑποληπταίον B || 25 γασβαρηνοῦ A γασβαρινοῦ B || 32 γ΄ A τρισσὶν B

Τούτῳ τῷ β' ἔτει Δαρείου τῇ τετάρτῃ καὶ εἰκάδι τοῦ ια' μηνὸς σαββάτου ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου υἱὸν Ἀδδὼ τὸν προφήτην λέγων· ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐφ' ἵππον πυρρόν· καὶ οὗτος εἱστήκει ἀνὰ μέσον τῶν β' ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυρροὶ καὶ ψαροὶ καὶ ποικίλοι καὶ λευκοί. καὶ εἶπα· τί 5
οὗτοι, κύριε; καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί· ἐγὼ δείξω σοι
466 *τί ἐστι ταῦτα. καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν β' ὀρέων καὶ εἶπε πρός με· οὗτοί εἰσιν οὓς ἐξαπέσταλκε κύριος τοῦ περιοδεῦσαι τὴν γῆν. καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφεστῶτι ἀνὰ μέσον τῶν ὀρέων καὶ εἶπαν· περιωδεύσαμεν πᾶσαν τὴν γῆν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ* 10
κατοικεῖται καὶ ἡσυχάζει. καὶ ἀπεκρίθη ὁ ἄγγελος κυρίου καὶ εἶπε· κύριε παντοκράτορ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο τὸ ο' ἔτος;

Ταῦτα ἐν τῷ προφήτῃ Ζαχαρίᾳ φέρεται κατὰ τὸ β' ἔτος Δαρείου ὡς ἐκ τοῦ λαλοῦντος πρὸς αὐτὸν ἀγγέλου πρὸς κύριον λεγόμενα, εἴτε τρόπῳ 15
εὐχῆς εἴτε ἄλλης τινὸς προσωποποιίας χάριν οἰκονομήσαντος τοῦ ἀνεξερευνήτου θεοῦ τοῖς κρίμασιν, ὅσον δέ γε ἡμᾶς κατανοῆσαι, δηλοῦντος τοῦ λόγου τὸν ο' χρόνον ἤδη πεπληρῶσθαι κατὰ τὸν λόγον κυρίου διὰ Ἱερεμίου ἐν τῷ α' ἔτει Κύρου, ὡς ἐκεῖσε ἀποδέδεικται κατὰ τὴν τῶν Παραλειπομένων καὶ τοῦ Ἔσδρα γραφήν, τὸν δὲ λοιπὸν ἀπ' ἐκεί- 20
νου χρόνον ἕως ἔτους Δαρείου δευτέρου ἀμφιβαλλόμενον εἶναι καὶ μήτε τῆς τελείας ἐρημώσεως καταλογίζεσθαι μήτε τῆς τελείας ἀνοικοδομῆς· διὸ καί φησιν 'ἕως τίνος οὐκ ἐλεήσεις τὴν Ἱερουσαλὴμ τοῦτο τὸ ἔτος ο'' ἀντὶ τοῦ εἰπεῖν 'ἕως πότε τὸ ο' τοῦτο ἔτος παρεκτανθήσεται τὸ ἤδη παρελθόν', καὶ οὐχ, ὥς τινες ὑπειλήφασι κατά τινα προσδιορισ- 25
*μὸν *συμπληρώσεως ἀριθμοῦ τῶν ο' ἐτῶν ἀπὸ τῆς καθαιρέσεως*
467 *Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ ἕως τοῦ β' ἔτους Δαρείου λελέχθαι παρὰ τοῦ ἀγγέλου.*

Ἄνευ γὰρ πάσης ὑφαιρετικῆς ἢ προσθετικῆς ἐπινοίας πγ' ἔτη εἰσὶν ἀπὸ τοῦ ιθ' ἔτους Ναβουχοδονόσωρ, ἐν ᾧ Σεδεκίας ᾐχμαλώτευται σὺν 30
τῷ λαῷ καὶ ἡ πόλις Ἱερουσαλὴμ σὺν τῷ λαῷ ἐμπέπρησται· ἀπὸ δὲ τῆς θείας ἀποφάσεως τῆς ἐν τῷ δ' ἔτει Ἰωακεὶμ ἐξενεχθείσης κατὰ τῶν κατοικούντων Ἱερουσαλήμ, ὁπόθεν καὶ ὁ ἑβδομηκονταετὴς χρόνος

1 Zach. 1, 7–12 || 20 2 Paralip. 36, 22; 2 Esdr. 1, 1 || 29 – p. 295, 1 hae computationes cum ratione Syncelli non concordant, sed ex redactione astr. can. supra 246 sequuntur

4–5 *πυρρόν . . . πυρροὶ* Go.[m] *πυρόν . . . πυροὶ* **AB** || 4 *εἱστήκει* **A** *ἱστήκει* **B** || 7 et 9 *μέσον* **B** *μέσων* **A** || 9 *κυρίου* **B** *κυρίῳ* **A** || 10 *περιωδεύσαμεν* **B** *περιοδεύσαμεν* **A** || 12 *παντοκράτορ* **B** *παντοκράτωρ* **A** || 13 *ὑπερεῖδες* **A** *ὑπερίδες* **B** || 17 *δέ* om. **A** || 23 *ἐλεήσεις* **A** *ἐλεεῖς* **B**

ἀναγκαίως ἀριθμεῖται, ἔτη εἰσὶν ργ' ἕως τοῦ αὐτοῦ δευτέρου ἔτους Δαρείου. ὅτι δὲ οὐ κατὰ προσδιορισμὸν ἀκριβοῦς χρόνου, ἀλλὰ κατὰ παρέκτασιν εἴρηται τοῦτο πρὸς τοῦ ἀγγέλου, προφανὲς καὶ ἐκ τῶν μετὰ γ' ἔτη ἐν τῷ δ' ἔτει τῆς βασιλείας τοῦ αὐτοῦ Δαρείου πρὸς Ζαχαρίαν ἐκ 5 *θεοῦ λεγομένων τῇ δ' τοῦ θ' μηνὸς Χασελεῦ πρὸς λέξιν οὕτως·*

Ἐγένετο λόγος κυρίου τῶν δυνάμεων πρός με λέγων· εἰπὸν πρὸς πάντα τὸν λαὸν τῆς γῆς καὶ πρὸς τοὺς ἱερεῖς λέγων· ἐὰν νηστεύσητε ἢ κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ ο' ἔτη μὴ νηστείαν ἐνηστεύσατέ μοι;

10 *Ὁρᾷς πῶς οὐ κατὰ τὸν ἀκριβῆ προσδιορισμὸν οὐδὲ ἐνταῦθα ὁ τῶν ο' ἐτῶν ἀριθμὸς οὐδὲ ἐν τῷ β' ἔτει Δαρείου παρείληπται, ἀλλὰ τὸν ἐπὶ πρώτου ἔτους Κύρου πληρωθέντα κατὰ τὴν Ἱερεμίου πρόρρησιν δηλοῖ. πῶς γὰρ δυνατὸν καὶ τῷ β' ἔτει Δαρείου καὶ τῷ δ' τὰ αὐτὰ ο' ἔτη καταριθμεῖσθαι, ὥς τισι νενόμισται, ἀπταίστως;*

15 *Δαρεῖος Ὑστάσπου Περσῶν δ' ἐβασίλευσεν ἔτη λς'.*

Οὗτος τὰς μυθευομένας κατὰ τῆς Ἑλλάδος μυριάδας μετὰ Δάτιδος **468** *Δατίου καὶ Σαφέρνους τῶν στρατηγῶν ἐξέπεμψε πεισθεὶς τοῖς τυράννοις Ἱππίᾳ τῷ Ἀθηναίῳ καὶ Δημαράτῳ τῷ Λακεδαιμονίῳ διωχθεῖσιν οἴκοθεν, λοιπὸν δὲ καὶ διὰ τὴν Σάρδεων ἅλωσιν ὑπὸ τῶν Ἀθηναίων μὴ καὶ φερόντων* 20 *τῶν κατὰ τὴν Ἀσίαν τὴν Περσῶν ἀνάγκην. τότε δὴ κακῶς πράττουσιν ἐν Μαραθῶνι Πέρσαι, Μιλτιάδου καὶ Ἀριστείδου καὶ Καλλιμάχου καλῶς ἐστρατηγηκότων, ἐν οἷς καὶ ὁ τύραννος Ἱππίας πίπτει μετὰ τῶν βαρβάρων Ἀθηναίοις μαχόμενος. αὐτὸς δὲ Δαρεῖος οὐκ ἐνεγκὼν τὸ πάθος ἐξ ἀθυμίας ἀπόλλυται.*

25 *Ἐπὶ αὐτοῦ τινες νομίζουσι τὰ κατὰ τὸν Γὼγ καὶ Μαγὼγ τετελέσθαι παρὰ τοῦ μεγάλου προαγορευθέντα Ἰεζεκιήλ. ἐπιστρατεύσας γὰρ σὺν διαφόροις ἔθνεσιν, ὥς φασι, Συρίαν μὲν καὶ Φοινίκην καὶ τὰς παραθαλασσίους ἐσκύλευσε, τῇ δὲ Ἱερουσαλὴμ ἐπελθὼν κατεβλήθη θεήλατος, σκηπτοῖς καὶ πληγαῖς τοῦ θεοῦ πατάξαντος αὐτὸν σὺν τῷ πλήθει καὶ* 30 *νίκην δεδωκότος χωρὶς ὅπλων τοῖς ἐν Ἱερουσαλὴμ καὶ πλοῦτον ἄπειρον λαφύρων, στρατηγοῦντος ἐπὶ τῆς Ἰουδαίας τοῦ Ζοροβάβελ, μεθ' ὃν οὐκ ἦρξεν ἄλλος ἐξ Ἰούδα, ἀλλ' οἱ ἀρχιερεῖς ἡγεμόνευον.*

4 Zach. 7, 1–5 || **14** cf. Euseb. 2, 105[d], Clem. Alex. Strom. 1, 122–124, Anon. Matr. 30. 10 || **15** ita Herodot. 7, 4, astr. can. et al. || **16–24** cf. Iustin. 2, 9, 7–10, 21 || **17** cf. Pomp. Trog. prolog. ad libr. 2 et fr. 42[e] (Ampel. 15, 9), qui itidem Tissaphernem nominat loco Artaphernis (Herodot. 6. 94) || **25–32** cf. Pirke Mashiah 75; uide Ginzberg 6, 378

3 *τοῦτο* **B** *τούτου* **A** || **7** *κόψησθε* **B** *κόψεσθε* **A** || **9** *μοι* **B** *μοιδε* **A** || **16, 17** *δάτιδος δατίου* **AB** *δατίου* del. Di. || **18** *Ἱππίᾳ* Di. *ἱππίῳ* **AB** | *τῷ*[2] om. **A** || **19** *μὴ* om. **A** || **25** *τετελέσθαι* **B** *τετελεῖσθαι* **A** || **27** *ὥς φασι* om. **A**

469 ## ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

Μακεδόνων θ' ἐβασίλευσεν Ἀμύντας ἔτη μβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵δϡοβ'.

Οἱ λέγοντες Κῦρον τῶν Περσῶν α' βασιλέα θ' ἔτη μόνα βεβασιλευκέναι ἐπὶ τούτου τοῦ Ἀμύντου φασὶν ἦρχθαι τοῦτον βασιλεύειν· ἡμεῖς δὲ ἐπὶ 5 *Ἀλκέτα τοῦ η' βασιλέως Μακεδόνων φαμὲν κατὰ τὴν ἀκόλουθον τῇ θείᾳ γραφῇ τάξιν.*

Μακεδόνων ι' ἐβασίλευσεν Ἀλέξανδρος ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ειδ'.

Κατὰ τοῦτον ἡ Ξέρξου διάβασις· οὗτος δέδωκε τοῖς Πέρσαις ὕδωρ καὶ 10 *γῆν.*

Μακεδόνων ια' ἐβασίλευσε Περδίκκας ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ενη'.

ΣΠΟΡΑΔΗΝ

Νάξιοι ἐθαλασσοκράτησαν ιε' ἔτη ι', καὶ μετ' αὐτοὺς Ἐρετριεῖς ις' 15 *ἔτη ζ'.*

Γέλων Συρακούσιος ἐκράτησεν {ἔτη ιζ'}.

Ἐθαλασσοκράτησαν Αἰγινῆται ⟨ιζ'⟩ ἔτη ι'.

Πυθαγόρας ὁ φιλόσοφος τέθνηκεν ἐτῶν ϛε', οἱ δὲ οε'.

Αἰσχύλος τραγῳδοποιὸς ἐγνωρίζετο. 20

470 *Ὁ Πειραιεὺς ἐτειχίσθη ὑπὸ Θεμιστοκλέους.*

Λατῖνοι Ῥωμαίων ἀπέστησαν. ἐν Ῥώμῃ ὁ δῆμος ἀπέστη τῆς συγκλήτου.

Ἀριστείδης ἐξωστρακίσθη.

Ἀθηναῖοι τὸν Πειραιᾶ ἐτείχισαν.

Ζεῦξις ζωγράφος ἐγνωρίζετο. 25

Κίμων ἐπ' Εὐρυμέδοντι Πέρσας ἐνίκα ναυμαχίᾳ καὶ πεζομαχίᾳ, καὶ ὁ Μηδικὸς πόλεμος ἐπαύσατο διὰ φιβάλεις ἰσχάδας συστὰς Πέρσαις καὶ

2–8 cf. Euseb. 1, 108, 26–29 || 10 cf. Herodot. 8, 136 || 12 cf. Euseb. 1, 108, 30 || 15 cf. Euseb. 1, 107, 11–12 (ex Diodoro, annos 10 et 15) || 17 Euseb. 2, 108[g] || 18 cf. Euseb. 1, 107, 13 || 19 cf. Euseb. 2, 107[f] (annis aetatis omissis), Dion. Tel. sub anno 1771 (*qui xcv annos uixerat*); ann. 75 fortasse ex Apollodoro FGrHist 244 F 339 || 20 Euseb. 1, 107[h] || 21 Euseb. 2, p. 191 Arm., quam notitiam exhibet solus codex Luccensis Hieronymi || 22–25 Euseb. 2, 107[i.l]. 108[l]. 109[e]. 110[c] || 26 Euseb. 2, 111[b] || 26–p. 297, 2 cf. schol. Aristoph. Ach. 802

1 titulus in margine A || 2 et infra ἦν ἔτος om. A || 6 ἀλκετὰ τοῦ B ἀλκαιτάτου A || 12 περδίκκας B περδίκας A || 15 ἐρετριεῖς A αἰρετριεῖς B || 17 Γέλων Scal. γέλως A γέλω B | συρακούσιος B συρρακούσιος A | ἔτη ιζ' seclusi, nam ιζ' pertinet ad notitiam sequentem || 18 Αἰγινῆται Di. αἰγενῖται AB || 19 ϛε' A ϛθ' B *qui xcv annos uixerat* Dion. Telm. || 21 Πειραιεὺς Di. πειρεὺς AB || 22 λατῖνοι A λατεῖνοι B || 27 φιβάλεις ἰσχάδας Scal. φιβαλισχάδας AB

Ἀθηναίοις καὶ πᾶσιν Ἕλλησιν ἀπ' αὐτοῦ. Φιβάλεις δὲ δῆμος τῆς Ἀττικῆς.

Κρατῖνος καὶ Πλάτων οἱ κωμικοὶ ἤκμαζον.

Ἐν Ῥώμῃ Κλαρίων ἀγὼν ἑκατονταετὴς ἤχθη α'.

5 *Κράτης ὁ κωμικὸς καὶ Τελέσιλλα καὶ Πραξίλλα καὶ Κλεοβουλίνα ἐγνωρίζοντο.*

Βακχυλίδης ὁ μελοποιὸς ἤκμαζεν.

Ὁ τῆς Ἥρας ναὸς ἐνεπρήσθη.

Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι σπονδὰς ἐποιήσαντο πρὸς ἀλλήλους 10 *τριακοντούτεις.*

Ἡρόδοτος ἱστορικὸς ἐτιμήθη παρὰ τῆς Ἀθηναίων βουλῆς ἐπαναγνοὺς αὐτοῖς τὰς βίβλους.

Εὐριπίδης τραγῳδοποιὸς ἐγνωρίζετο. **471**

Πρωταγόρας ὁ σοφιστὴς ἤκμαζε. τούτου Ἀθηναῖοι τὰς βίβλους 15 *ἐψηλάφησαν τοῦ καῦσαι.*

Ἐν Ῥώμῃ πάλιν ὕπατοι.

Ἄβαρις Ὑπερβόριος χρησμολόγος ἐγνωρίζετο.

Μέλισσος φυσικὸς ἐγνωρίζετο.

Φειδίας πλάστης καὶ ἀγαλματοποιὸς ἐγνωρίζετο, ὃς τὴν ἐλεφαντίνην 20 *Ἀθηνᾶν ἐποίησε.*

Θεαίτητος μαθηματικὸς ἤνθει.

Ἐν Ἰταλίᾳ Καμπανῶν ἔθνος συνέστη.

Δημόκριτος Ἀβδηρίτης φυσικὸς φιλόσοφος ἤκμαζεν. ἐν Αἰγύπτῳ μυηθεὶς ὑπὸ Ὀστάνου τοῦ Μήδου σταλέντος ἐν Αἰγύπτῳ παρὰ τῶν 25 *τηνικαῦτα βασιλέων Περσῶν ἄρχειν τῶν ἐν Αἰγύπτῳ ἱερῶν, ἐν τῷ ἱερῷ τῆς Μέμφεως σὺν ἄλλοις ἱερεῦσι καὶ φιλοσόφοις, ἐν οἷς ἦν καὶ Μαρία τις Ἑβραία σοφὴ καὶ Παμμένης, συνέγραψε περὶ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων καὶ πορφύρας λοξῶς· ὁμοίως δὲ καὶ Μαρία. ἀλλ' οὗτοι μὲν Δημόκριτος καὶ Μαρία ἐπῃνέθησαν παρ' Ὀστάνου ὡς πολλοῖς καὶ σοφοῖς αἰνίγ-*

3–18 Euseb. 2, 111[l]. 112[b,e,f,g]. 113[b,c,e,f] || **19** Euseb. 2, 113[g] (om. *πλάστης καὶ ἀγαλματοποιός*, cf. Exc. Barb. 31b: *statuas conpositor*, Africano attribuit Gelzer 1, 177) || **21–23** Euseb. 2, 114[b,c,d] || **24** – p. 298, **2** cf. Euseb. Praep. Euang. 10, 8, 14 (Diodor. 1, 98); Clem. Alex. Strom. 1, 69, 5; ps. Clem. Hom. 1, 5

1 *Φιβάλεις* Scal. *σφιβαλὶς* **B** *σφιδαλὶς* **A** || **3** *κρατῖνος* **A** *κρατεῖνος* **B** | *οἱ κωμικοὶ* Scal. *οἰκονομικοὶ* **AB**, similiter infra || **5** *Τελέσιλλα* Di. ex Euseb. *τελεσίδα* **AB** || **6** *ἐγνωρίζοντο* **B A**[c] *ἐγνωρίζετο* ante corr. **A** || **8** *ναὸς* **A** *νεὸς* **B** *νεὼς* Di. || **10** *τριακοντούτεις* **B** *τριακοντούτης* **A** cum punct. post *ἀλλήλους* || **11** *ἐπαναγνοὺς* Scal. *ἐπαναγούσης* **AB** || **13** *Εὐριπίδης* Go. *εὐριππίδης* **AB** || **15** *ἐψηλάφησαν τοῦ καῦσαι* **AB** *ἐψηφίσαντο καῦσαι* Scal. ex Euseb. (*decreto publico combusserunt*) || **17** *Ἄβαρις* Di. *ἄβαρης* **B** *ἄμαρις* **A** || **18** *Μέλισσος* Go.[m] ex Euseb. *μιλήσιος* **A** *μηολήσιος* **B** || **22** *Καμπανῶν* Scal. *καὶ κάλπων* **AB** *Campanorum* Euseb. || **29** *παρ' Ὀστάνου* Go. *παρὰ στάνου* **AB**

*μασι κρύψαντες τὴν τέχνην, Παμμένους δὲ κατέγνωσαν ἀφθόνως γρά-
ψαντος.*

472 *Ἱπποκράτης Κῷος ἰητρῶν ἄριστος ἐγνωρίζετο Ἀσκληπιάδης τὸ γένος.*
Δικάτωρ ἐν Ῥώμῃ πρῶτος κατεστάθη Ῥοῦφος Λάρκιος.
Πανύασις ποιητὴς ἐγνωρίζετο. 5
*Ἀριστείδης ὁ λεγόμενος δίκαιος ἐξωστρακίσθη μετὰ πολλοὺς πόνους
ὑπὸ Ἀθηναίων.*

ΚΟΣΜΟΥ ΕΤΗ

*Ιωακεὶμ υἱὸς Ἰησοῦ β΄ ἱεράτευσεν ἔτη λϛ΄. τοῦ δὲ κόσμου ἦν ἔτος
͵ειβ΄.* 10
Ἐλιάσιβος γ΄ ἱεράτευσεν ἔτη λδ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εμη΄.

Ἀφρικανοῦ περὶ τοῦ Ἔσδρα
ἑπτακαιδεκάτου ἀπὸ Ἀαρὼν τοῦ πρώτου ἱερέως

*Συγχωρήσαντος Ἀρταξέρξου τοὺς ὑπολοίπους τῆς Ἰουδαίων αἰχμαλω-
σίας ἤθροισεν Ἔσδρας τά τε λείψανα τῶν σκευῶν τοῦ ναοῦ ἦλθεν ἔχων* 15
*εἰς Ἱερουσαλὴμ καὶ τὸν νόμον ἐδίδασκεν. ὡς δὲ ἐπύθετο κατ᾽ ἐπιγαμίας
αὐτοὺς ἀναμεμίχθαι τοῖς ἔθνεσιν, ἠνάγκαζε τοὺς οὐχ ὁμοεθνεῖς ἔχοντας
ἐξεῶσαι ἕκαστον τὴν γυναῖκα τὴν ἑαυτοῦ. οἱ δ᾽ ὑπήκουον καὶ τοῦ χειμῶνος
ἐπειγομένου τὸ ἔργον ἐπετελεῖτο.*

473 ### Εὐσεβίου περὶ τοῦ Ἔσδρα 20

*Ἔσδρας ἱερεὺς παρὰ Ἰουδαίοις ἐγνωρίζετο, καθ᾽ ὃν ἀρχιερεὺς ἦν
Ἐλιασὶβ υἱὸς Ἰωακεὶμ τοῦ υἱοῦ Ἰησοῦ τοῦ Ἰωσεδέκ. ἦν δὲ ὁ Ἔσδρας
γραμματεὺς νόμων ἱερῶν διδάσκαλος ἐπιφανὴς τῶν ἀπὸ Βαβυλωνίας ἐπὶ
τὴν Ἰουδαίαν ἐπανελθόντων. τὰ κατὰ τὴν Ἐσθὴρ καὶ Μαρδοχαῖόν φασί
τινες. ἐγὼ δὲ οὐ πείθομαι· οὐκ ἂν γὰρ ἐσιώπησε τὰς κατ᾽ αὐτὴν πράξεις ἡ* 25
τοῦ Ἔσδρα γραφή.

3 breuius Euseb. 2, 114[d], Anon. Matr. 37, 1 || **4–5** Euseb. 2, 107[d]. 108[c] || **6** breuius Euseb. 2, 108[l], cf. Pomp. Trog. fr. 46 || **9–11** cf. Chron. Pasch. 302, 18; 305, 11, Anon. Matr. 31, 14–15, Chron. Synt. 95, 18–19 (annos 30 et 40) || **13** cf. 2 Esdr. 7, 1–5 || **14–19** Africanus fr. 44, cf. 2 Esdr. 7–10 || **20** Euseb. 2, 110[g]. 111[g]

3 *ἰητρῶν* **A** *ἰατρῶν* **B** || **4** *δικάτωρ* **AB** *Dikator* Euseb. p. 191 Arm. *Δικτάτωρ* Di. || **5** *Πανύασις* Scal. *πανοίας* **AB** || **12–13** *ἀφρικανοῦ περὶ τοῦ ἔσδρα* habet in margine **A** ut *ἑπτακαιδέκατος . . . ἱερέως* ad Eliasibum pertinere uideatur. transposui auctore **B** et 2 Esdr. 7, 1–5, et correxi in *ἑπτακαιδεκάτου* || **20** titulus in margine **A** || **22** *ἐλιασὶβ* **B** *ἐλιασὶμ* **A** || **23** *γραμματεὺς* Go. *γραμματοὺς* **A** *γραμματικὸς* **B** || **25** *πείθομαι* **A** *πείθωμαι* **B**

Ἐν τῇ δευτέρᾳ τῶν Μακκαβαϊκῶν γέγραπται ὅτι Νεεμίας ἐπεσύναξε τὰς προφητικὰς βίβλους καὶ τῶν βασιλέων καὶ ἄλλων θείων γραφῶν βιβλιοθήκην τε κατεβάλλετο.

Τὰ κατὰ Νεεμίαν

5 *Νεεμίας νομομαθὴς ἐκ φυλῆς Ἰούδα, οἰνοχόος Ἀρταξέρξου, εἰκοστῷ ἔτει τοῦ αὐτοῦ Ἀρταξέρξου αἰτήσας τὸν βασιλέα ἄνεισιν εἰς Ἱερουσαλὴμ ἐκ Βαβυλῶνος, ἔτι περιόντος Ἔσδρα, τὴν πόλιν τε σὺν τοῖς τείχεσιν ἤγειρεν ἐνόπλοις τοῖς οἰκοδόμοις, ἐπιβουλεύειν αὐτῷ διὰ φθόνον πειρωμένων τῶν πλησιοχώρων ἀλλογενῶν. οὗτος χρεῶν ὀφειλὰς ἀπέκοψε τοῖς* 10 *Ἰουδαίοις, ἀφορίσας τοὺς ἐθνικοὺς τῶν συναγωγῶν, τοὺς δὲ ὁμογενεῖς ἐκπαιδεύσας σὺν τῷ Ἔσδρᾳ τῷ νόμῳ Μωυσέως ἀκριβῶς καὶ πᾶσι τοῖς πατρῴοις ἔθεσιν. ἐπέκτισε δὲ τὴν πόλιν κατὰ φυλάς.* 474

Ἡ δὲ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος κατὰ τὴν πρόρρησιν Δανιὴλ τοῦ προφήτου, εἰκοστῷ ἔτει Ἀρταξέρξου τοῦ Μακρόχειρος ἀρξαμένου τοῦ 15 *ἔργου καὶ τελειωθέντος κατὰ τὸ λβʹ ἔτος αὐτοῦ, ὡς ἱστορεῖ ἡ τοῦ Ἔσδρα γραφή, ἐπὶ ἀρχιερέως Ἰωδαὲ υἱοῦ Ἰασίβ· μετὰ δὲ τὸν Ἰωδαὲ Ἰωάννης ὁ υἱὸς αὐτοῦ ἀρχιεράτευσεν ἔτη ⟨***⟩, μετὰ δὲ τὸν Ἰωάννην ὁ κατὰ Ἀλέξανδρον γενόμενος ὕστερον τὸν Μακεδόνα Ἰασδούς.*

Ἕως μὲν οὖν Ἔσδρα καὶ Νεεμίου αἱ ἐνδιάθετοι Ἑβραϊκαὶ γραφαὶ ἐκ- 20 *κλησιάζεσθαι παρεδόθησαν ὑπὸ τῶν μακαρίων ἀποστόλων καὶ μαθητῶν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἁγίων πατέρων καὶ διδασκάλων ἡμῶν, τὰ δὲ μετὰ ταῦτα συμβάντα ἢ πραχθέντα ἕως τῆς θείας σαρκώσεως τοῖς Ἰουδαίοις Ἰώσηππος ἐν τοῖς Μακκαβαϊκοῖς ἱστορεῖ καὶ Ἀφρικανὸς μετ' αὐτὸν ἐν ἐπιτόμῳ.*

25 *Τὰς μέντοι οʹ ἑβδομάδας παρὰ τῷ Δανιὴλ ἕως Χριστοῦ ἡγουμένου ἐντεῦθεν ἀριθμεῖσθαι δεῖ κατὰ τὸν Ἀφρικανὸν ἔτη υςʹ. Εὐσέβιος δὲ ὁ Καισαρεύς φησιν ὅτι εἴ τις ἐντεῦθεν ἀριθμήσειε τὰ παρὰ τῷ Δανιὴλ οʹ ἑβδομάδας, ⟨αἳ⟩ γίνονται ἔτη υςʹ, εὕροι ἂν αὐτὰς ἐπὶ Νέρωνα Ῥωμαίων αὐτοκράτορα περαιουμένας, καθ' ὃν πολιορκεῖσθαι ἀρξαμένη ἡ πόλις* 475 30 *μετὰ Νέρωνα ἔτους βʹ Οὐεσπασιανοῦ τὴν ἐσχάτην ἅλωσιν ὑπέμεινεν.*

1 2 Macc. 2, 13 || 4–18 2 Esdr. 12, 1; 14, 16; 15, 7–15; 18, 1–6; 19, 2, Daniel 9, 25; ex Africano iuxta Gelzer 1, 111, qui confert [Leon. Gramm.] 48, 1–7 || 19–24 Euseb. 2, 113[a] || 25 Africanus fr. 50 || 26 Euseb. 2, 114[f]

1 *νεεμίας* B *νεεμᾶς* A || 7 *περιόντος* A *παριόντος* B | *σὺν τοῖς* B *αὐτοῖς* A || 8 *αὐτῷ* B *τὸ* A || 12 *πατρῴοις ἔθεσιν* A *πατρίοις ἔθνεσιν* B || 13 *ᾠκοδομήθη* A *οἰκοδομήθη* B || 16 *ἰασίβ* B *ἰασίμ* A || 17 lacunae indicium habet B, om. A *λβʹ* add. Go.[m] ex 306, 3, melius fortasse *ἔτη* delere || 17 *δὲ τὸν* B *δὲ* A || 28 *αἳ* add. Di. ex Euseb. om. AB || 29 *περαιουμένας* A *περαιούμενα* B || 30 *Νέρωνα* om. B | *ὑπέμεινεν* Go.[m] *ὑπομένοι* AB

Ἐν τῇ δευτέρᾳ τῶν Μακκαβαϊκῶν ἐπιστολῇ τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις γέγραπται περὶ Νεεμίου ὅτι ἀνοικοδομήσας τὸ ἱερὸν καὶ τὸ θυσιαστήριον, μέλλων ἀναφέρειν τὴν θυσίαν ἔπεμψε τοὺς ἐγγόνους τῶν ἱερέων ἐπὶ τὸ φρέαρ, ἐν ᾧ κατέκρυψαν οἱ πατέρες αὐτῶν ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας, λαβόντες ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, ὡς καὶ Ἱερεμίας 5 *φησί, τοῦ ἀγαγεῖν πῦρ ἐξ αὐτοῦ. οἱ δὲ ἀπελθόντες οὐχ εὗρον πῦρ, ἀλλ' ὕδωρ παχύ. ἐκέλευσε δὲ Νεεμίας ἐκ τοῦ ὕδατος τούτου ἀποβάψαντας φέρειν καὶ ἐπιρρᾶναι τοῖς ξύλοις καὶ ὑποκειμένοις θύμασι. τοῦ δὲ ἡλίου ἐπινεφοῦς λάμψαντος ἀνήφθη πυρὰ μεγάλη κατὰ τῶν θυσιῶν καὶ ἐδαπάνησεν αὐτάς, ὥστε θαυμάσαι πάντας καὶ δοξάσαι τὸν θεὸν μετ' εὐχῆς.* 10

Ἡ τοῦ Ἔσδρα γραφὴ τελευταία οὖσα τῶν ἐνδιαθέτων βιβλίων τῆς παλαιᾶς θεοπνεύστου γραφῆς ἤρξατο τῆς ἱστορίας ἀπὸ τοῦ ιη' ἔτους τῆς βασιλείας Ἰωσίου βασιλέως Ἰούδα καὶ τοῦ κατ' αὐτὸν γεγονότος θαυμαστοῦ πάσχα ὑπ' αὐτοῦ. ἱστορεῖ δὲ καὶ περὶ τῶν μετὰ ταῦτα βασιλέων Ἰούδα καὶ περὶ τῆς ὑπὸ Ναβουχοδονόσωρ γεναμένης αἰχμαλωσίας τοῦ 15 *Ἰούδα καὶ ἐμπρησμοῦ τῆς Ἱερουσαλήμ, καὶ ἔτι περὶ τῆς ἐπὶ Κύρου* **476** *γενομένης ἀφέσεως τοῦ ἔθνους τῷ ο' ἔτει ἀπὸ τοῦ δ' ἔτους Ἰωακεὶμ κατὰ τὴν προφητείαν Ἱερεμίου, καὶ τοῦ ἀριθμοῦ τῶν ἐπανελθόντων ἐκ τῆς αἰχμαλωσίας εἰς Ἱερουσαλήμ, τῶν τε ἱερῶν σκευῶν, καὶ ὅπως ὑπὸ τῶν ἐν Σαμαρείᾳ φθονηθέντες ἐκωλύθησαν ἀναστῆσαι τὸν ναὸν καὶ τὴν* 20 *πόλιν, γραψάντων πρὸς Κῦρον κατ' αὐτῶν, καὶ προσέτι περὶ τῆς μβ' ἔτη ἐπὶ Δαρείου τοῦ Ὑστάσπου γεγονυίας δευτέρας ἀφέσεως τοῦ λαοῦ καὶ αὐτῆς διὰ Ζοροβάβελ καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ ἀρχιερέως καὶ ἀνακαινίσεως τοῦ οἴκου τοῦ θεοῦ, καὶ αὖθις τῆς ἐπὶ Ἀρταξέρξου τρίτης γεγονυίας διὰ Νεεμίου καὶ Ἔσδρα ἀνανεώσεως τῆς πόλεως καὶ τῶν τειχέων Ἱερουσα-* 25 *λήμ.*

ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΣ

Περσῶν ε' ἐβασίλευσε Ξέρξης υἱὸς Δαρείου ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εκη'.

17 *ὅτι τὰ ο' ἔτη ἀπὸ τοῦ δ' ἔτους Ἰωακεὶμ ἀριθμεῖται ὡς Ἱερεμίας προεφήτευσεν* 30 *ἕως Κύρου α' ἔτους* ‖ **28** *ἀπὸ Ναβονασάρου ἕως Ξέρξου ἔτη σπε'*

1–10 cf. ps. Sym. f. 55ᵛ = Cedr. 254, 21; 2 Macc. 1, 19–2, 1 ‖ **11–16** 1 Esdr. 1 ‖ **16–21** 1 Esdr. 2; 2 Esdr. 4 ‖ **21–24** 1 Esdr. 6; 2 Esdr. 6 ‖ **24–26** 2 Esdr. 7–8 ‖ **28** ita Euseb. 1, 33, 18 et eccl. can. ann. 21 astr. can.

8 *θύμασι* Di. *θαύασι* **AB** *τῇ θυσίᾳ* ps. Sym. om. 2 Macc. | *ἐπινεφοῦς* Di. ex 2 Macc. *ἐπὶ νέφους* **AB** *ἀπὸ νέφους* ps. Sym. ‖ **16** *ἔτι*] *ὅτι* **AB** ‖ **19** *εἰς* om. **A** ‖ **23** *ἀνακαινίσεως* **A** *ἀνακαινήσεως* **B** ‖ **25** *τειχέων* **B** *τειχῶν* **A** ‖ **27** titulum om. **A** ‖ **28.29** *ἦν ἔτος* om. **A** ‖ **30** *ἀριθμεῖται* **A**ᵐ *ἀριθμοῦνται* **B**ᵐ

Ξέρξης Αἴγυπτον παρέλαβε· Ξέρξης εἰς Ἀθήνας ἐλθὼν ἐνέπρησεν αὐτὰς ἐπὶ Καλλιάδου Ἀθηναίων ἄρχοντος.

Τινὲς δέ φασιν ὅτι Ἔσδρας τούτῳ τῷ Ξέρξῃ υἱῷ Δαρείου φίλος ὢν ἐπὶ αὐτοῦ ἀνῆλθεν εἰς Ἱερουσαλὴμ διδάξαι τὸν θεῖον νόμον, ὡς πάντων τῶν 5 κατὰ τούσδε τοὺς χρόνους ἐμπειρότερος γραμματεὺς καὶ ἱερεύς· ἡμῖν δὲ τοῦτο οὐ δοκεῖ σύμφωνον τῇ τοῦ Ἔσδρα γραφῇ.

Μᾶλλον δὲ τὰ κατὰ τὴν Ἰουδὴθ ἄν τις ἀξίως ὑπολάβοι πεπρᾶχθαι ἐπὶ **477** *τούτου καὶ τὸν Ὀλοφέρνην, ἐπεὶ καὶ Ἰωακεὶμ ὁ ἱερεὺς ὁ μέγας, ὡς ἐν τῇ Ἰουδὴθ γέγραπται, ἦν ἀρχιερατεύων κατὰ τοὺς χρόνους αὐτῆς, ὁ δ' αὐτὸς 10 καὶ ἐπὶ τοῦδε τοῦ Ξέρξου. εὐλόγως ἄρα καὶ Ναβουχοδονόσωρ ἄν τις τὸν αὐτὸν ὑπολάβοι Ξέρξην, οὗ κατὰ τὸ ιη' ἔτος ὁ Ὀλοφέρνης ἐξαπεστάλη κατὰ πάσης Συρίας καὶ Αἰγύπτου, ὡς ἐκεῖσε γέγραπται.*

Οὗτος καὶ τὴν Αἴγυπτον τυραννήσασαν ἐπὶ τοῦ πατρὸς αὐτοῦ Δαρείου καθυπέταξε καὶ τὰς Ἀθήνας ἐνέπρησε σὺν πολλαῖς μυριάσι καὶ ναυτικῷ 15 μεγίστῳ παραγενόμενος εἰς Ἑλλάδα· ὃς εἰσελθὼν τὰς Θερμοπύλας καὶ κατελθὼν εἰς Πειραιᾶ τῇ στρατηγίᾳ Θεμιστοκλέους ἐν Ἀρτεμισίῳ καὶ Σαλαμῖνι νίκῃ δεινῶς πράξας μόλις ἐπάνεισιν εἰς τὰ οἰκεῖα, Μαρδόνιον καὶ Μασίστιον στρατηγοὺς καταλείψας σὺν λ' μυριάσιν ἐν Πλατείαις καὶ Μυκάλῃ πολέμῳ κρατηθέντας κἀκεῖσε διαφθαρέντας πολλά τε βουληθέν-20 τας Ἀθηναίοις σπείσασθαι καὶ μὴ δυνηθέντας.

Τότε καὶ Φειδίας ὁ πλάστης καὶ Ἡρόδοτος ἱστορικὸς ἤκμαζον.

Κατὰ τοῦτόν φασι πρῶτον γενέσθαι δικάτωρα Ῥωμαίοις Τιβέριον Μάρκιον.

Καὶ Μιλτιάδην τὸν στρατηγὸν μετὰ τὴν ἐν Μαραθῶνι κατὰ Περσῶν **478** *25 νίκην ἐκείνην ἀδίκως ὑπ' Ἀθηναίων μέχρι θανάτου δεθῆναι καὶ μηδὲ ταφῆς ἀξιωθῆναι, ἕως Κίμων ἑαυτὸν εἰς τὸν δεσμὸν ὑπὲρ τοῦ πατρὸς ἔδωκε, μόλις ἔπειτα λυθεὶς δι' Ἐλπινίκης ἰδίας ἀδελφῆς ἀνδρὶ πλουσίῳ συναφθείσης διὰ τὴν ὥραν, δι' οὗ καὶ τὸν ἀδελφὸν ἔλυσε Κίμωνα.*

7 *ὅτι τὰ περὶ τῆς Ἰουδὴθ καὶ Ὀλοφέρνους ἐπὶ Ξέρξου υἱοῦ Δαρείου καὶ Ἰωακεὶμ 30 ἀρχιερέως* || **11** *ιη' γὰρ αὐτοῦ ἔτει ἀπεστάλη Ὀλοφέρνης· ὃς καὶ Ναβουχοδονόσωρ ἐκλήθη*

1–2 Euseb. 2, 108[k]. 109[c], cf. ps. Sym. f. 56[r] = Cedr. 255, 9 || **3** cf. Ioseph. Ant. Iud. 11, 121, Chron. Pasch. 304, 1 || **9** Iudith 4, 6 || **12** Iudith 2, 1 || **13–20** cf. Euseb. 2, 108[k]. 109[c.d.h], Herodot. 9, 20, Plutarch. Aristid. 14 || **21** cf. Euseb. 2, 110[a]. 113[g], Exc. Barb. 31b || **22** cf. Euseb. 2, 107[d] (*Larcius*). 108[a] (*Marcius*, sed exhibet solus cod. Lucc.), p. 191 Arm. (*Darkos*) || **24** cf. Iustin. 2, 15, 18–20 = Pomp. Trog. fr. 53

3 *τινὲς δέ* **A** *τινές* **B** || **10** *ναβουχοδονόσωρ* **B** *ναβουχοδονόσορ* **A** || **13** *τυραννήσασαν* **B** *τυραννήσας* **A** || **14** *πολλαῖς* **A** *πολλοῖς* **B** || **20** *Ἀθηναίοις* Scal. *ἀθηναῖοι* **AB** | *σπείσασθαι* **A** *σπήσασθαι* **B** || **22** *δικάτωρα*] *δικάτορα* **AB** cf. Euseb. 2, p. 191 Arm. *δικτάτωρα* Scal.

Περσῶν ς' ἐβασίλευσεν Ἀρτάβανος υἱὸς Ξέρξου μῆνας ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εμη'.

Περσῶν ζ' ἐβασίλευσεν Ἀρταξέρξης Ξέρξου ὁ λεγόμενος Μακρόχειρ ἔτη μα'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εμθ'.

Ἐν ἔτει ζ' βασιλεύοντος τοῦ Ἀρταξέρξου ἐν τῷ ε' μηνὶ ἀνέβη Ἔσδρας ὁ 5 *ἱερεὺς καὶ νομοδιδάσκαλος μετὰ πολλῶν αἰχμαλώτων ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ, χρυσοῦ ταλάντων ρ' καὶ ἀργυρίου ταλάντων χν' καὶ λοιπῶν σκευῶν χρυσῶν καὶ ἀργυρῶν καὶ χαλκῶν ἐκλεκτῶν, ὡς γέγραπται ἐν α' καὶ β' βίβλῳ αὐτοῦ, ὅτι ὁ θεὸς ἔδωκεν ἐν καρδίᾳ τοῦ βασιλέως τοῦ δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν Ἱερουσαλήμ, καὶ ἔδωκεν αὐτῷ χάριν ἐνώπιον* 10 *Ἀρταξέρξου καὶ τῶν ἑπτὰ συμβούλων καὶ πάντων ἀρχόντων τῶν αὐτοῦ. καὶ ἔγραψε πᾶσι τοῖς ἄρχουσι καὶ γαζοφύλαξι Συρίας καὶ Φοινίκης διδόναι πᾶν ὃ ἂν γένηται εἰς χρείαν τοῦ ἱεροῦ καὶ προστάξῃ Ἔσδρας ἕως ταλάντων ρ' ἀργυρίου καὶ σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἁλὸς ἐκ τοῦ* **479** *βασιλικοῦ γαζοφυλακίου πρὸς τὸ τελεῖσθαι, φησί, τῷ θεῷ τῷ ὑψίστῳ* 15 *ἕνεκα τοῦ μὴ γενέσθαι ὀργὴν εἰς τὴν βασιλείαν αὐτοῦ καὶ τῶν υἱῶν αὐτοῦ, καὶ μηδένα ἄλλον ἄρχειν τοῦ Ἰουδαίων ἔθνους πλὴν Ἔσδρα τοῦ ἀρχιερέως, καὶ καθηγεῖσθαι αὐτὸν ἐν τοῖς νομίμοις, καὶ ὅσα ἐκεῖσε γέγραπται λοιπὰ περί τε τοῦ κολάζειν αὐτὸν τοὺς παραβαίνοντας τὸν νόμον κυρίου, θανατοῦν τε καὶ ἀτιμάζειν καὶ ζημίας ἐπάγειν τοῖς ἀξίοις* 20 *τούτων, καὶ διδάσκειν ἐπιμελῶς τοὺς ἀγνοοῦντας. καὶ εὐλογητός, φησί, μόνος ὁ κύριος ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν μου τοῦ βασιλέως.*

Ταῦτα καὶ ἕτερα παραπλήσια τούτοις ἔγραψεν Ἀρταξέρξης ἐνισχύων τὸν Ἔσδραν καὶ τοὺς σὺν αὐτῷ· ὁ δ' αὐτὸς θεοφιλέστατος ὢν καὶ ἐπιστήμων τοῦ θείου νόμου παραγενόμενος εἰς Ἱερουσαλὴμ τοσαύτην ἀκρίβειαν 25 *περὶ τὴν φυλακὴν τῶν θείων ἐντολῶν ἐπεδείξατο ὥστε πάντα τὸν λαὸν συμμιχθέντα γυναιξὶν ἀλλοφύλοις καὶ αὐτοὺς τοὺς ἱερεῖς καὶ Λευίτας παρὰ τὸν Μωυσέως νόμον ἀποζεῦξαι τῆς αὐτῶν συζυγίας, ὅπερ οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ φαίνεται δράσας.*

Οὗτος παρ' ὅλην τὴν συγγραφὴν αὐτοῦ ἀρχιερέως ἄλλου οὐ μέμνηται 30 *ἢ ἑαυτοῦ. ἑαυτὸν δὲ ἱερέα γενεαλογεῖ υἱὸν Ἀζαρέου τοῦ Ἐζερίου τοῦ*

3 *ἀπὸ Ναβονοσάρου ἕως Ἀρταξέρξου τούτου ἔτους α' εἰσὶν ἔτη τς'*

1 Euseb. 2, 110, 16, om. astr. can. || 3 Euseb. 1, 33, 19, ita astr. can., sed ann. 43 eccl. can. || 5 1 Esdr. 8, 6; 2 Esdr. 7, 7–8 || 7 1 Esdr. 8, 56; 2 Esdr. 8, 26 || 9 1 Esdr. 8, 25–26; 2 Esdr. 7, 27–28 || 12–22 1 Esdr. 8, 9–25; 2 Esdr. 7, 13–26 || 23 1 Esdr. 9; 2 Esdr. 9–10 || 31 1 Esdr. 8, 1–2

12 *γαζοφύλαξι* **B** *γαζοφύλακι* **A** || 13 *προστάξῃ* Go.[m] *προστάξει* **AB** || 14 *ἀργυρίου* **A** *ἀργύρου* **B** || 15 *πρὸς τὸ* **B** *πρὸς τῷ* **A** || 22 *ὁ κύριος* **A** *κύριος* **B** || 29 *ἄλλος τῶν πρὸ αὐτοῦ* **B** *τῶν πρὸ αὐτοῦ ἄλλος* **A** || 31 *ἢ ἑαυτοῦ* Go.[m] *ἐνιαυτοῦ* **AB**

Χελκίου τοῦ Σαλήμου τοῦ Σαδδοῦ τοῦ Βοκοκὰ τοῦ Ἀβασαὶ τοῦ Φινεὲς τοῦ Ἐλεάζαρ τοῦ Ἀαρὼν τοῦ πρώτου ἱερέως.

Ταῦτα ἐν τῷ α′ βιβλίῳ διὰ ι′ γενεῶν ἑαυτὸν καταγαγών, ἐν δὲ τῷ β′ διὰ **480** *ις′ γενεῶν οὕτως ἑαυτὸν γενεαλογεῖ· Ἔσδρας υἱὸς Σαρείου υἱοῦ Ἀζαρίου* 5 *υἱοῦ Ἐλκία υἱοῦ Σελοὺμ υἱοῦ Σαδδοὺκ υἱοῦ Ἀχιτὼβ υἱοῦ Σαμαρεία υἱοῦ Ἐσδρία υἱοῦ Μαρεὼθ υἱοῦ Ζαρέα υἱοῦ Ὀζεὶ υἱοῦ Βοκκεὶ υἱοῦ Ἀβισουὲ υἱοῦ Φινεὲς υἱοῦ Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου.*

Καὶ ἀρχιερεὺς δὲ ἐν τέλει τοῦ α′ βιβλίου αὐτοῦ φέρεται, ἐν οἷς γέγραπται ὅτι 'καὶ εἶπεν Ἀταράτης Ἔσδρᾳ τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ καὶ τοῖς 10 *Λευίταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάντας· ἡ ἡμέρα αὕτη ἐστὶν ἁγιωτάτη τῷ κυρίῳ.'*

Ὡς ἐκ τούτων τεκμαίρεσθαι ἡμᾶς, μᾶλλον δὲ εἰπεῖν πληροφορεῖσθαι ὅτι αὐτὸς Ἔσδρας ἱεράτευσε μετὰ τὸν Ἰωακεὶμ υἱὸν Ἰησοῦ τοῦ Ἰωσεδέκ, τὸν ἐπὶ τῆς Ἰουδὴθ καὶ Ὀλοφέρνου ἐν τοῖς χρόνοις Ξέρξου ἀρχιερατεύ- 15 *σαντα, ὡς τῆς Νεεμίου τοῦ οἰνοχόου Ἀρταξέρξου τούτου ἀναβάσεως μετὰ ιγ′ ἔτη τῆς Ἔσδρα τούτου ἀνόδου κατὰ τὸ κ′ ἔτος Ἀρταξέρξου τοῦ βασιλέως. ὁ γὰρ αὐτὸς Ἀρταξέρξης Μακρόχειρ καὶ τὸν ἀρχιερέα Ἔσδραν τῷ ζ′ ἔτει αὐτοῦ θεόθεν κινηθεὶς ἐξέπεμψε πρὸς διδασκαλίαν τῶν ἐν Ἱερουσαλὴμ Ἰουδαίων, καὶ αὖθις τὸν Νεεμίαν μετὰ ιγ′ ἔτη πρὸς ἀνοι-* 20 *κοδομὴν τῶν τειχῶν τελείαν καὶ τῆς πόλεως τῷ κ′ ἔτει τῆς βασιλείας* **481** *αὐτοῦ διὰ πολλὴν οἰκείωσιν δοθεῖσαν καὶ αὐτῷ ὡς θεοφιλεῖ πρὸς Ἀρταξέρξην καὶ αἰτησαμένῳ ἀναστῆσαι τὴν πόλιν τῶν πατέρων.*

Ἐπὶ τούτου δὲ Ἐλιασοὺβ ἦν ἀρχιερεὺς υἱὸς Ἰωακείμ, ὡς γέγραπται ἐν λόγοις Νεεμίου, ἐν τέλει β′ Ἔσδρα βιβλίου, ὅτι 'καὶ ἀνέστη Ἐλιασοὺβ ὁ 25 *ἱερεὺς ὁ μέγας καὶ οἱ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατικήν· αὐτοὶ ἡγίασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς.' ὥσπερ οὖν ἐν τοῖς κατὰ Νεεμίαν λόγοις ἐμνήσθη αὐτοῦ ἡ τοῦ Ἔσδρα γραφή, οὕτως ἂν καὶ ἐν τοῖς κατὰ τὸν αὐτὸν Ἔσδραν, εἴπερ ἱεράτευεν, οὐκ ἂν ἀπεσιώπησεν αὐτόν. πλὴν ἐπειδὴ πάντες οἱ προγενέστεροι τὸν Ἐλιασούβ,*

30 **12** *Ση. ὅτι μετὰ τὸν υἱὸν Ἰησοῦ τοῦ Ἰωσεδὲκ ἱεράτευσε Ἔσδρας*

4 2 Esdr. 7, 1–5 || **8** 1 Esdr. 9, 49–50 || **17** 2 Esdr. 7, 7 || **19** 2 Esdr. 12, 1 || **23** 2 Esdr. 13, 1 || **28** cf. Euseb. 2, 111[g]

1 *σαλήμου* B *σαλίμου* A || **4** *σαρείου* B *σαρίου* A || **5** *ἐλκία* A *ἐλκεία* B | *σαδδοὺκ* A *σαδοὺκ* B | *Σαμαρεία* Esdr. *ἀμάρεια* AB || **6** *μαρεὼθ* A *μαραιὼθ* B | *ὀζεὶ* B *δοζεὶ* A *ὀζιυὶ* Esdr.[A] *Σαουιὰ* Esdr.[v] | *βοκκεὶ* B *βοκκῆ* A | *ἀβισουὲ* B *ἀβισσουὲ* A || **7** *πρώτου* B *α′* A || **14** *ἀρχιερατεύσαντα* A *ἀρχιερατεύσαντος* B || **15** *ὡς τῆς* B *ὅστις* A || **18** *διδασκαλίαν* B *διδασκαλείαν* A || **23** *ἐλιασοὺβ* B *ἐλιασοὺν* A || **24** et **29** *ἐλιασοὺβ* B *ἐλιασοὺμ* A || **28** *ἱεράτευεν* B *ἱεράτευσεν* A

ὃν καὶ Ἐλιάσιβον καλοῦσι, μετὰ Ἰωακεὶμ τὸν πατέρα αὐτοῦ ἐστοιχείωσαν, ἀναγκαζόμεθα καὶ ἡμεῖς.

Ἐπὶ Ἀρταξέρξου τούτου τοῦ Μακρόχειρος ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς ἀλλήλους τὸν ἱερὸν λεγόμενον πόλεμον.

Τότε καὶ Κάμιλλος παρὰ Ῥωμαίοις ὑπάτευσεν ἄριστος στρατηγὸς 5 *ἀλόγως διωχθεὶς ἐκ συκοφαντίας, ὃς οὐ καρτερήσας ὁρᾶν πολιορκουμένην ὑπὸ Γάλλων τὴν Ῥώμην, δύναμιν συλλέξας ἠλευθέρωσε τῆς πολιορκίας τὴν πόλιν ἐπελθὼν ἔξωθεν καὶ διαφθείρας τοὺς πολεμίους.*

482 *Τότε καὶ Θουκυδίδης ὁ συγγραφεὺς παρ' Ἀθηναίοις ἤκμαζε.*

Τότε καὶ ὁ Πελοποννησιακὸς συνέστη πόλεμος διὰ τὸ γεγονὸς ὑπὸ 10 *Περικλέους ψήφισμα μὴ κοινωνεῖν Μεγαρεῦσι τοὺς Ἀθηναίους, ὡς ὑβρίσασιν Ἀσπασίαν τὴν γαμετὴν αὐτοῦ, καὶ διὰ τὴν τοιαύτην αἰτίαν προσθεμένων τῶν Μεγαρέων τοῖς Λακεδαιμονίοις.*

Τότε καὶ Κίμων στρατηγὸς ἀκμάσας, ἀχαριστηθεὶς μετ' οὐ πολὺν ἐξωρίσθη χρόνον ὑπ' Ἀθηναίων τῶν καὶ Ἀριστείδην ἐξορισάντων καὶ 15 *τοὺς Θεμιστοκλέους πόνους ἀγνωμονησάντων οὕτως ὡς φάρμακον αὐτὸν ἑλέσθαι καὶ καταλῦσαι τὸν βίον.*

Τότε καὶ Δημόκριτος Ἀβδηρίτης φυσικὸς φιλόσοφος ἐγνωρίζετο καὶ Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος, Ζήνων τε καὶ Παρμενίδης οἱ φιλόσοφοι καὶ Ἱπποκράτης Κῷος ἰητρός· ῥήτορες δὲ Λυσίας τε καὶ Ἰσαῖος καὶ Ἀντισθέ- 20 *νης ὠνομάζοντο, Ἀριστοφάνης τε ὁ κωμικὸς καὶ Εὐριπίδης ποιητὴς καὶ Ἡράκλειτος φυσικὸς φιλόσοφος, καθ' οὓς φασι καὶ Σωκράτην φιλόσοφον τεχθῆναι.*

ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

Μακεδόνων ιβ' ἐβασίλευσεν Ἀρχέλαος ἔτη ιδ'. τοῦ δὲ κόσμου ἦν ἔτος 25 *͵επα'.*

Μακεδόνων ιγ' ἐβασίλευσεν Ὀρέστης ἔτη γ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εϛε'.

3 *ὁ ἱερὸς πόλεμος Ἀθηναίων καὶ Πελοποννησίων* || 5 *Κάμιλλος στρατηγὸς Ῥωμαίων ὑπάτευσε καὶ πολιορκοῦντας Γάλλους Ῥώμην ἠλευθέρωσε τῆς πολιορκίας* || 9 *πό-* 30 *τε ἦν Θουκυδίδης* || 18 *Δημόκριτος Ἐμπεδοκλῆς ἀπὸ Σικελίας Ἱπποκράτης Ἀντισθένης Ἀριστοφάνης Εὐριπίδης Σωκράτης*

3 cf. Pomp. Trog. prolog. libr. 3, Thuc. 1, 112, 5 || 5 cf. Eutrop. 1, 20, Euseb. 2, 120[c] (temporibus Artaxerxis Ochi) || 9–13 cf. infra 309, 9–11 = African. fr. 45 || 14–17 cf. Nep. Cimon. 3, 1, Euseb. 2, 108[i]. 110[d] || 18–23 cf. Euseb. 2, 114[d], Anon. Matr. 36, 16–37, 2, Exc. Barb. 31 b || 25–27 Euseb. 1, 108, 31 Archelaus ann. 24, Orestes ann. 3)

5 et 29 *κάμιλλος* **A A[m]** *κάμηλος* **B B[m]** || 7 *συλλέξας* **B** *συλλεξάμενος* **A** || 10. 11 *ὑπὸ Περικλέους* Go. *ὑπ' ἐρικλεούς* **AB** || 15 *τῶν* **A** *τὸν* **B** | *ἀριστίδην* **B** *ἀριστίνδην* **A** || 20 *Λυσίας* Scal. *συσίας* **AB** || 21 *καὶ εὐριππίδης* **A** *εὐριπίδης* **B** || 31 *θουκιδίδης* **A[m]B[m]**

ΣΠΟΡΑΔΗΝ

Ἐν Ῥώμῃ Σουνία παρθένος φθαρεῖσα κατωρύγη ζῶσα.
Λίθος ἐκ τοῦ οὐρανοῦ ἔπεσεν ἐν Ποταμοῖς Αἰγός.
Σωκράτης ἐγεννήθη.
5 *Πίνδαρος καὶ Σιμωνίδης μελοποιοὶ ἐγνωρίζοντο.*
Ἡ ἐν Θερμοπύλαις μάχη καὶ ἡ ἐν Σαλαμῖνι ναυμαχία.
Ἐν Ῥώμῃ Πόρπιλά τις παρθένος ἐπὶ διαφθορᾷ καταγνωσθεῖσα ζῶσα κατωρύγη.
Χοίριλος καὶ Προύνικος ἐγνωρίζοντο.
10 *Οἱ περὶ Διαγόραν φυσικοὶ φιλόσοφοι ἤκμαζον.*
Ἱέρων Συρακουσίων ἐτυράννει καὶ ὅλης Σικελίας.
Σοφοκλῆς τραγῳδοποιὸς πρῶτος ἐπεδείξατο.
Θεμιστοκλῆς εἰς Πέρσας φεύγει διὰ τὴν Ἀθηναίων ἄνοιαν, ὃς αἷμα ταύρου πιὼν τελευτᾷ.
15 *Σικελίας δημοκρατία.*
Ἡλίου ἔκλειψις.
Ἀναξαγόρας θνήσκει.
Κίμων ἐπ' Εὐρυμέδοντι ναυμαχίᾳ Πέρσας νικᾷ καὶ πεζομαχίᾳ.
Εὐήνιος ἐλεγείας ποιητὴς ἐγνωρίζετο.
20 *Ἐμπεδοκλῆς καὶ Παρμενίδης φυσικοὶ φιλόσοφοι ἐγνωρίζοντο.*
Ζήνων καὶ Ἡράκλειτος ὁ σκοτεινὸς ἤκμαζον.
Δήμαρχοι ἐν Ῥώμῃ καὶ ἀγορανόμοι ᾑρέθησαν μηκέτι ὄντων ὑπάτων.
Νόμους ἐκ τῆς Ἑλλάδος Ῥωμαῖοι μετεστείλαντο, ἀφ' ὧν τὰς δώδεκα
25 *δέλτους συνέθηκαν.*

13 *τίς ἔπιεν αἷμα ταύρου*

2–25 Euseb. 2, 108^{h,i}. 109^{a,b,d,f,i,l,o,p}. 110^{c,f}. 111^{a,b,c,d,f,h,i}. 112^{d,h} || **7** cf. ps. Sym. f. 56^{r} = Cedr. 255, 10 || **24** cf. ps. Sym. f. 56^{r} = Cedr. 255, 12

2 *Σουνία* Di. ex Euseb. *σουσουνία* **AB** | *κατωρύγη* **B** *κατωρύγει* **A** || **7** *πόρπιλα* **A** *πόρπηλα* **B** · *πόρτιλα* ps. Sym. *Porpilia* Euseb. Arm. *Pompilia* Hieron. || **8** *κατωρύγη* **B** *κατωρύγει* **A** ps. Sym. || **9** *χοίριλος* **B** *χοίριλλος* **A** | *προύνικος* **AB** *Pronikos* Euseb. Arm. *Frynicus* Hieron. || **11** *συρακουσίων* **B** *συρρακουσίων* **A** || **12** *ἐπεδείξατο* **A** *ἐγνωρίζετο* **B** *opera publicauit* Euseb. || **15** *δημοκρατία* **A** *δημοκρατεία* **B** || **19** *εὐήνιος* **AB** *Εὔηνος* Di. ex Euseb. | *ἐλεγείας* **A** *ἐλεγίας* **B** || **22** *Δήμαρχοι ἐν Ῥώμῃ καὶ ἀγορανόμοι ᾑρέθησαν* Scal. *δήμαρχος ἐν ῥώμῃ καὶ ἀγορᾷ ἣν ὁμηρέθησαν* (*ὠμηράθησαν* **A**) **AB** *Volkshäuptlinge zu Rom und auf dem Markt wurden Gesetze genehmigt* Euseb. Arm. *tribuni plebis et aediles Romae facti* Hieron. legebatur fortasse *καὶ ἐν ἀγορᾷ νόμοι* ut arbitratur Karst

ΚΟΣΜΟΥ ΕΤΗ

Ἀρχιερεὺς δ' Ἰωδαὲ ἔτη λς'. τοῦ δὲ κόσμου ἦν ἔτος ,επβ'.
Ἀρχιερεὺς ε' Ἰωάννης ἔτη λβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερι η'.
Ἀρχιερεὺς ς' Ἰαδδοῦς ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερν'.
Μανασσῆς ἀδελφὸς Ἰαδδοῦς ἀρχιερέως ᾠκοδόμησε τὸ ἐν Γαριζεὶν ἱερὸν Σαμαρείας. 5

ΠΕΡΣΩΝ ΒΑΣΙΛΕΙΣ

Περσῶν η' ἐβασίλευσε Ξέρξης υἱὸς Ἀρταξέρξου μῆνας β'.
Περσῶν θ' ἐβασίλευσε Σογδιανὸς μῆνας ζ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ες'. 10
Περσῶν ι' ἐβασίλευσε Δαρεῖος ὁ Νόθος ἀνελὼν Σογδιανὸν ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εςα'.
485 *Κατὰ τοῦτον τὸν ἐπικληθέντα Δαρεῖον Νόθον ἡ Ἀθηναίων συμφορὰ γέγονεν ἐν Σικελίᾳ, καὶ Αἴγυπτος ἀπέστη Περσῶν.*
Τότε δὴ καὶ Πολυδάμας Σκοτουσαῖος παγκράτιον νικήσας παρ' Ὤχῳ τῷ Περσῶν βασιλεῖ γέγονε μετὰ χρόνους, λέοντας διαχρώμενος καὶ ὡπλισμένοις γυμνὸς πολεμῶν, παμμεγέθης ὑπάρχων καὶ ἀλκιμώτατος. 15
Περσῶν ια' ἐβασίλευσεν Ἀρταξέρξης, υἱὸς Δαρείου Νόθου, ὁ καὶ Μνήμων, ἔτη μ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερι'.
Εὐσέβιός φησι· κατὰ τοῦτόν μοι δοκεῖ ἡ κατὰ τὴν Ἐσθὴρ ἱστορία, εἰ δὴ αὐτός ἐστιν ὁ παρὰ μὲν Ἑβραίοις Ἀσούηρος, παρὰ δὲ τοῖς ο' ἑρμηνευταῖς Ἀρταξέρξης. 20
Τῷ λβ' ἔτει Ἀρταξέρξου υἱοῦ Δαρείου Νόθου Ἀλέξανδρος ὁ Φιλίππου Μακεδόνων βασιλεὺς ἐξ Ὀλυμπιάδος ἐγεννήθη.
Ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ Μνήμονος Κῦρος ἀδελφὸς αὐτοῦ, Δαρείου τοῦ Νόθου παῖς καὶ Παρυσάτιδος, οἰκῶν ἐν τῇ Ἀσίᾳ, ἐπιστρατεύει κατὰ τοῦ 25

11 *ἀπὸ Ναβονασάρου ἔτη τμς'* || **13** *πότε ἀπέστη Περσῶν ἡ Αἴγυπτος* || **15** *μονομάχος ἀνδρεῖος* || **23** *ἀπὸ Ναβονασάρου ἕως μ' ἔτους Μνήμονος ἔτη νε'* || **25** *τίς ἐπιστρατεύει κατὰ Ἀρταξέρξου μετὰ πλήθους Ἑλλήνων*

2–4 cf. Chron. Pasch. 357, 1–3, Anon. Matr. 31, 16–18, Chron. Synt. 96, 20–22 || **5** Euseb. 2, 123[a], Anon. Matr. 38, 4, Ioseph. Ant. Iud. 11, 302–310 || **8–11** Euseb. 2, 115, 15–20, ita etiam eccl. can., solum Darium habet astr. can. || **13** Euseb. 2, 116[a] || **14** Euseb. 2, 116, 5–7 || **15** Euseb. 1, 95, 11 (Olymp. 93) || **18** Euseb. 2, 117, 2 et eccl. can., ann. 46 astr. can. || **20** Euseb. 2, 117[a] || **23** computatio ex eccl. can. ab primo anno Darii Arsis = ann. 20 Alexandri (infra 318, 2) || **25**–p. 307, 11 cf. Pomp. Trog. fr. 59, Iustin. 5, 11

2 *ἰωδαὲ* **B** *ἰωδδαὲ* **A** || **5** *γαριζεὶν* **B** *γαριζὶν* **A** || **15** *σκοτουσαῖος* **B** *σκουτουσαῖος* **A** || **17** *ὡπλισμένος* **AB** || **21** *ἀσούηρος* **B** *ἀσσούηρος* **A** || **27–29** lemmata (13–25) om. **A**[m] || **29** *ἀρταξέρξην* **B**[m]

ἀδελφοῦ περὶ τῆς βασιλείας μετὰ πλήθους Ἑλληνικοῦ στρατοπέδου, συνόντος αὐτῷ Ξενοφῶντος ἱστορικοῦ τοῦ γράψαντος τὴν ἀνάβασιν αὐτοῦ. πολέμου δὲ συστάντος ὑπὲρ τὸν Τίγριν ποταμὸν σταδίοις τξʹ κατὰ τὸν Ξενοφῶντα, πίπτει μὲν τρωθεὶς ὁ Κῦρος, κρατοῦσι δὲ τῶν Περσῶν 5 Ἕλληνες. Ἀρταξέρξης δὲ μηδ' ὅπλοις κρατεῖν Ἑλλήνων ἰσχύων μηδ' ἀταράχως ἐπανελθεῖν πείθων, παρασπονδήσας δόλῳ τοὺς στρατηγοὺς διὰ **486** Τησαφέρνους ἀνεῖλε. Ξενοφῶν δὲ τοὺς Ἕλληνας παραλαβών, ἀπαχθεὶς εἰς Ἑλλάδα διέσωσε διὰ μαχίμων ἐθνῶν ἐπὶ τὸν Εὔξεινον πόντον ἐπανελθὼν εἰς Βυζάντιον, κἀκεῖθεν ἐλθὼν εἰς Θράκην, Σεύθῃ τῷ Θρακῶν βασιλεῖ 10 παραδοὺς Λακεδαιμονίους συμμαχήσοντας Θίβρωνι παρέπεμψε διαβιβάσας εἰς Πέργαμον ναυαρχοῦντι τῶν Λακεδαιμονίων.

Περσῶν ιβʹ ἐβασίλευσεν Ὦχος ὁ καὶ Ἀρταξέρξου παῖς ἔτη εʹ, κατὰ δὲ τινὰς κʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερνʹ.

Ὦχος Ἀρταξέρξου παῖς εἰς Αἴγυπτον στρατεύων μερικὴν αἰχμαλωσίαν 15 εἷλεν Ἰουδαίων, ὧν τοὺς μὲν ἐν Ὑρκανίᾳ κατῴκισε πρὸς τῇ Κασπίᾳ θαλάσσῃ, τοὺς δὲ ἐν Βαβυλῶνι, οἳ καὶ μέχρι νῦν εἰσιν αὐτόθι, ὡς πολλοὶ τῶν Ἑλλήνων ἱστοροῦσιν.

Οὗτος ὁ Ὦχος κρατήσας Αἰγύπτου βʹ ἔτη ἀναιρεῖται ὑπὸ Βαγώου τινὸς Πέρσου τῶν ἐν τέλει.

20 Ὁ αὐτὸς καὶ Σιδῶνα κατέσκαψεν.

Ἕως Ὤχου καὶ Νεκτανεβὼ ὁ Μανεθῶ τὰς λαʹ δυναστείας Αἰγύπτου περιέγραψε τρίτου τόμου ἔτη ͵ανʹ, τὰ δὲ μετὰ ταῦτα ἐξ Ἑλληνικῶν συγγραφέων. Μακεδόνων βασιλεῖς ιεʹ.

Οὗτος ὁ Ὦχος εἰς Αἴγυπτον ἐπιστρατεύσας ἔτι ζῶντος τοῦ πατρὸς **487** 25 Ἀρταξέρξου, ὡς καὶ ἄλλοι, μετὰ ταῦτα ἐκράτησεν Αἰγύπτου, φυγόντος Νεκτανεβώ, ὥς τινές, εἰς Αἰθιοπίαν, ὡς δὲ ἕτεροι, εἰς Μακεδονίαν· ἡνίκα καὶ Ὀλυμπιάδι μιχθεὶς διὰ γοητείας υἱὸν ἔσχεν Ἀλέξανδρον Ἄμμωνος εἶναι θεοῦ υἱὸν νομιζόμενον.

4 ὅτι Ἕλληνες Πέρσας ἐνίκησαν || 27 Ἀλέξανδρος υἱὸς Ὤχου ἐξ Ὀλυμπιάδος μοι- 30 χευθείσης ὑπὸ Ὤχου

12 eccl. can. (supra 247, 26, ann. 5), ann. 21 astr. can., ann. 26 Euseb. 1, 33, 24 || 14 Euseb. 2, 121[b] || 18 Diodorus 17, 5, 4 || 20 Euseb. 2, 121[i] || 21 cf. Euseb. 2, 121[h] || 24–26 cf. Euseb. 2, 121[h] || 27 ps. Callisthenes uit. Alexandri 1, 5

3 τίγριν A τίγρην B || 5 ἑλλήνων B ἕλληνας A || 6 παρασπονδήσας B παρασπονδίσας A || 7 τῆς ἀφέρνους AB || 9 βυζάντιον A βυζάτιον B | Σεύθῃ Di. εὐθῇ B εὐθεῖ A || 13 ἦν ἔτος om. A || 15 κατῴκισε Scal. κατῴκησε AB || 21 νεκτανεβὼ B νεκταναβῶ A || 23 συγγραφέων Di. συγγράφων AB cf. supra 87, 7 || 26 νεκτανεβὼ B νεκταναβῶ A || 29 lemma (4) om. A[m]

Περσῶν ιγ' ἐβασίλευσεν Ἀρσῆς Ὤχου ἀδελφὸς ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερνε'.

Περσῶν ιδ' ἐβασίλευσε Δαρεῖος Ἀρμουσάμου ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερνθ'.

Οὗτος ὁ Δαρεῖος ὁ Ἀρμουσάμου συμβαλὼν Ἀλεξάνδρῳ ἐν Ἰσσῷ ποταμῷ τῆς Κιλικίας ἡττᾶται. 5

Ἰωσήππου

Δαρεῖος Ἀρσάμου, ὃν Ἀλέξανδρος καθεῖλε, Σαναβαλλέτην τινὰ Χουσαῖον σατράπην ἔπεμψεν ἐν τῇ Ἰουδαίᾳ. τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονε Νικᾶς ὁ τοῦ τηνικαῦτα ἀρχιερέως Ἰαδδοῦς ἀδελφός, ὁ καὶ Μανασσῆς, ὃν 10 *μὴ δυνηθεὶς Σαναβαλλέτης εἰς Ἱερουσαλὴμ καταστῆσαι ἀρχιερέα, κτίζει ναὸν ἐν τῷ ὄρει Γαριζείν, δεηθεὶς πρῶτον μὲν Δαρείου, ἔπειτα δὲ καὶ Ἀλεξάνδρου τοῦ μεγάλου, καὶ καθιστᾷ αὐτὸν ἀρχιερέα ἐν τῷ αὐτῷ ναῷ τῷ ὑπὸ Σαμαρειτῶν νῦν προσκυνουμένῳ.*

488 ## ΑΙΓΥΠΤΙΩΝ ΔΥΝΑΣΤΕΙΑΙ 15

Αἴγυπτος ἀπέστη Περσῶν δευτέρῳ ἔτει Νόθου Δαρείου.

Αἰγυπτίων κη' δυναστεία Ἀμυρταῖος Σαΐτης ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσβ'.

Αἰγυπτίων κθ' δυναστεία Μενδησίων βασιλέων δ'. ὧν α' Νεφερίτης ἔτη ς'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εση'. 20

Αἰγυπτίων κθ' δυναστεία, β' Ἄχωρις ἔτη ιγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερδ'.

Αἰγυπτίων κθ' δυναστεία, ⟨γ'⟩ Ψάμμουθις ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερις'.

Αἰγυπτίων κθ' δυναστεία, δ' ⟨Νεφερίτης⟩ μῆνας δ'. τοῦ δὲ κόσμου ἦν 25 *ἔτος ͵εριθ'.*

12 *πῶς καὶ ὑπὸ τίνος ἐκτίσθη εἰς τὸ Γαριζεὶν ναὸς ὁ καὶ νῦν Σαμαρείταις προσκυνητός*

1–3 ita Euseb. 1, 33, 25 et eccl. can., ann. 2 et 6 astr. can. || 5 cf. Euseb. 1, 33, 27, Pomp. Trog. fr. 74 || 8 Ioseph. Ant. Iud. 11, 302–312 || 16 cf. Euseb. 2, 116, 9 (anno duodecimo Nothi) || 17 – p. 309, 6 Manetho FGrHist 609 F 2–3 = Euseb. 1, 69, 19–24 et Africanus fr. 11, p. 262 Routh

1 *Ἀρσῆς* Di. *ναρσῆς* **AB** || 7 titulus in textu litteris maiusculis **B**, in margine **A** || 8 *σαναβαλλέτην* **B** *σὺν ἀβαλὲν τὴ* **A** || 10 *ἰαδδοῦ ὁ* **A** *ἰαδδουὼ* **B** || 11 *συναβαλλέτης* **B** *συναβαλέτης* **A** || 12 *γαριζεὶν* **B** *γαριζεὶ* **A** || 17, 18 et infra *ἦν ἔτος* om. **A** || 21 *ἄχωρις* **A** *ἄχαρις* **B** || 23 *γ'* om. **AB** | *ψάμμουθις* **A** *ψαμούθης* **B** || 25 ⟨*Νεφερίτης*⟩ suppleui ex Euseb. et African. *δ' . . . μῆνας δ'* **B** *δ' μῆνας ἔτη δ'* **A** || 27 *γαριζεὶν* **B**[m] *γαρίζε* **A**[m]

Αἰγυπτίων λ' δυναστεία Σεβεννυτῶν, α' Νεκτανέβης ἐβασίλευσεν ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκ'.

Αἰγυπτίων λα' δυναστεία Σεβεννυτῶν, Νεκτάνεβος β', ἔτη ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκη'.

5 *Αἰγυπτίων λβ' δυναστεία, β' Τεὼς ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερμς'.*

ΣΠΟΡΑΔΗΝ

Πλάτων πρὸς Σωκράτην ἐφοίτα· Σιμίας καὶ Κέβης καὶ οἱ λοιποὶ Σωκρατικοί. Ἀφρικανοῦ· ὀλυμπιὰς πζ'· ὁ Πελοποννησίων καὶ Ἀθηναίων **489**
10 *πόλεμος ζ' καὶ εἰκοσαετής, ὃν Θουκυδίδης συνέγραψε, δι' Ἀσπασίας πόρνας β' καὶ στήλας κατὰ Μεγαρέων ἀστυγειτόνων Ἀθηναίοις συνέστη. ὀλυμπιὰς πη'· Βακχυλίδης μελοποιὸς ἐγνωρίζετο.*

Ἀθηναίους ἔπεισεν ὁ λιμός.

Σωκράτης φιλόσοφος καθαρτικὸς ἤνθει.

15 *Εὔπολις καὶ Ἀριστοφάνης κωμικοί, Σοφοκλῆς τε ὁ τραγῳδοποιὸς ἐγνωρίζετο.*

Γοργίας καὶ Ἱππίας καὶ Πρόδικος, ὡς δέ τινες, καὶ Ζήνων καὶ Παρμενίδης κατὰ τούτους ἤκμαζον.

Πῦρ ἐκ τῆς Αἴτνης ἐν τοῖς κατὰ Σικελίαν τόποις ἐρράγη. σεισμῶν
20 *γεγονότων ἡ πρὸς Λοκροῖς Ἀταλάντη σχισθεῖσα νῆσος ἐγένετο.*

Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐσπείσαντο.

Εὔδοξος ὁ Κνίδιος ἐγνωρίζετο.

Λακεδαιμόνιοι ἀπῴκισαν Ἡρακλεῖδα.

Ἀθηναίων συμφορὰ ἐν Σικελίᾳ. **490**

25 **19** *τῷ ,ερμς' ἔτει τοῦ κόσμου ἐρράγη ἐν Σικελίᾳ τὸ Αἰτναῖον ὄρος καὶ ἐξῆλθε πῦρ*

8 cf. uit. Plat. 389, 26–42 West., Suda s. v. Socr. || **9–12** Africanus fr. 45, sed non liquet ex libris manuscriptis utrum *Ἀφρικανοῦ* ad lemmata sequentia pertineat an ad praecedentia. in duobus codicibus scriptum est in fine lineae post *σωκρατικοί*. in textu interpunxi interpellauique ita ut in libris manuscriptis || **12** Euseb. 2, 114[h] (Olymp. 87), cf. Suda s. v. Diagoras Melius (Olymp. 78) || **13–23** Euseb. 2, 114[b,d,e]. 115[a,d,e,f,h,i,k] || **24**–p. 310, **7** Euseb. 2, 116[a]. 117[c,d,g,h,i,k] || **25** eadem ps. Sym. f. 55[v] (aliter Cedr. 255, 13)

1–5 apud Euseb. et African. hi tres ad dynastiam 30 pertinent et Teos secundus, non tertius, nominatur || **1, 2** *ἔτη η'*] ann. 10 Euseb. 1, ann. 18 Euseb. 2 et African. || **2–4** *,ερκ' . . . ἔτος* om. **A** || **3** *ἔτη ιη'*] ann. 8 Euseb. 1, ann. 18 Euseb. 2 et African. || **7** *σποράδην* om. **A** in margine (bis) **B** || **8** *Σιμίας* Di. *σημίας* **A** *σημεία* **B** || **10** *ὃν* **B** *ὧν* **A** || **11** *στήλας* **B** *στείλας* **A** | *ἀστυγειτόνων* Scal. *ἀστυγείτων* **AB** || **13** *ἔπεισεν ὁ λιμός* **AB** *Olomios überzeugte* Euseb. Arm. *pestilentia laborant* Hieron. recte *ἐπίεσεν ὁ λοιμός* || **20** *λοκροῖς* **A** *λύκροις* **B** || **23** *ἀπῴκισαν* Scal. *ἀπῴκησαν* **A** *ἀπώκεισαν* **B** | *ἡρακλεῖδα* **AB** *Ἡράκλειαν* Di. ex Euseb.

Ἀθηναῖοι ἐτυραννήθησαν.
Ἀλκιβιάδην ἀνεῖλε Φαρνάβαζος.
Κύρου Πέρσου ἀνάβασις, ἣν ἱστορεῖ Ξενοφῶν ὁ Γρύλλου.
Σωκράτης ῥήτωρ, Κτησίας, Διόδωρος ἐγνωρίζοντο.
Ἀθηναῖοι τὰ κδʹ Ἑλληνικὰ γράμματα κατὰ τούτους τοὺς χρόνους 5
ἐχρήσαντο, ιςʹ μόνα ὄντα πρότερον.
Οἱ ἐν Ἀθήναις τύραννοι κατελύθησαν.
Ἀθηναῖοι ἡττηθέντες ὑπὸ Λυσάνδρου ἐν Αἰγὸς Ποταμοῖς παρέδοσαν
ἑαυτοὺς Λακεδαιμονίοις ἔτη ρνζʹ.
Ῥόδιοι ἐκ τῆς Τριπόλεως εἰς μίαν συνῆλθον πόλιν. 10
Καὶ Κῦρος ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἀπὸ τῆς Ἑλλάδος ἀνελθὼν
ἀναιρεῖται, ὡς ἱστορεῖ Ξενοφῶν τὴν ἀνάβασιν, ὃς ἡγήσατο τῶν μυρίων ἐν
τῇ καθόδῳ.
Οἱ λʹ ἐν Ἀθήναις κατελύθησαν τύραννοι.
Σαλπιγκτῶν ⟨καὶ⟩ κηρύκων ἀγὼν προσετέθη ἐν Ὀλυμπίᾳ. 15
Ἑλίκη καὶ Βοῦρα πόλεις ἐν Ἀχαΐᾳ ἤτοι Πελοποννήσῳ κατεπτώθησαν
μεγάλῳ σεισμῷ, ὧν ἔτι κατὰ θάλασσαν ἴχνη φαίνεται τοῖς πλέουσιν
ἀπὸ Πατρῶν ἐπὶ Κόρινθον εἰς δεξιά.
491 *Εὐδόξιος ἀστρολόγος ἐγνωρίζετο.*
Καρχηδονίων ὁ ἱερὸς πόλεμος. 20
Σκηπίων Ἀφρικανὸς Ῥωμαῖος δικάτωρ πορθήσας Καρχηδόνα Ἀφρικὴν
τὴν χώραν μετωνόμασε.
Σωκράτης ἐξ ἀνοίας Ἀθηναίων ἀποθνήσκει, κατακριθεὶς πιεῖν τὸ
κώνειον.

5 *πότε προσετέθησαν τὰ κδʹ Ἑλληνικὰ γράμματα* || **16** *Βοῦρα πόλις καὶ Ἑλίκη* 25
ἐπτώθησαν ἐν Ἀχαΐᾳ ἀπὸ σεισμοῦ || **21** *πότε μετεκλήθη ἡ Καρχηδὼν Ἀφρική*

8 cf. Pomp. Trog. fr. 58[b] || **10** Diodorus 13, 75, 1 || **11** cf. Euseb. 2, 117[h], Pomp. Trog. fr. 59 || **14** cf. Euseb. 2, 117[i], Pomp. Trog. fr. 58 || **15** Euseb. 1, 96, 3 (Olymp. 96) || **16** Euseb. 2, 119[c] || **17–18** non ex Euseb., cf. Pausan. 7, 25, 4 || **19–20** Euseb. 2, 118[h,i] || **21–22** et p. 311, **5** et **12–14** cf. ps. Sym. f. 56[r.v] = Cedr. 255, 17–256, 3 || **21–22** cf. Barhebr. 32 (p. 35 Budge): *and in his* (Artaxerxis Mnemonis) *fifteenth year Africanus the dictator of the Romans laid waste Carthage and he called that country Afriki after his own name.* hanc notitiam Gelzer (1, 182) Anniano attribuit quem suspicatur annos Africani et Camilli confudisse || **23** et p. 311, **13** breuius Euseb. 2, 118[b] || **25–26** eadem ps. Sym. f. 55[v] = Cedr. 255, 15–18

4 *σωκράτης* **AB** *Sokrates* Euseb. Arm. *Isocrates* Hieron. | *ἐγνωρίζοντο* **B** *ἐγνωρίζετο* **A** || **8** *παρέδοσαν* **A** *παρέδωσαν* **B** || **9** *ἔτη ρνζʹ* **AB** *ἔτη ἀπὸ Κύρου ρνζʹ* Gelzer 1, 182 || **12** ante *τὴν* add. *γράψας* Go.[m], *ὁ* Di. || **14** *οἱ δʹ* **AB** om. Euseb. || **15** *καὶ* add. Scal. || **16** *βοῦρα πόλεις* ps. Sym. *βουράπολις* **AB** || **19** *εὐδόξιος* **AB** *eudoxius* quibusdam in codicibus Hieron., *eudoxus* in aliis. notitiam om. uers. Arm. || **21** *σκηπίων . . . δικάτωρ* **AB** et ps. Sym. *Σκιπίων . . . δικτάτωρ* maluit Di. || **24** *κώνειον* **A** *κώνιον* **B**

Ὁ ἐν Ἐφέσῳ ναὸς αὖθις ἐνεπρήσθη.
Διογένης κυνικὸς φιλόσοφος ἐγνωρίζετο.
Διονύσιος Σικελίας ἐτυράννει.
Πλάτων καὶ ἄλλοι Σωκρατικοὶ φιλόσοφοι ἤνθουν.
5 *Γαλάται καὶ Κέλται Ῥώμης ἐκράτησαν πλὴν τοῦ Καπετωλίου.*
Εὐαγόρας βασιλεύων τῆς Κύπρου ἐξέστη.
Πρεσεντίνους ἐνίκησαν Ῥωμαῖοι.
Ἰσοκράτης σοφιστὴς ἤκμαζε.
Διονύσιος τύραννος Σικελίας ἀπέθανε κρατήσας ἔτη ιη΄. μεθ᾽ ὃν ὁ β΄
10 *υἱὸς αὐτοῦ Διονύσιος ὁ νεώτερος, καθ᾽ ὃν ὁ Πλάτων ἐν Σικελίᾳ γέγονε τὸ β΄.*
Ἀριστοτέλης Πλάτωνι ἐμαθήτευσεν ἀπὸ ιζ΄ ἔτους τῆς ζωῆς αὐτοῦ.
Τότε, φασί, καὶ Σωκράτης ἐξ ἀνοίας τῶν Ἀθηναίων τὸ κώνειον πιὼν ἐτέλεσε τὸν βίον.
15 *Ἐπ᾽ αὐτοῦ Διονύσιος ἐτυράννει τῆς Σικελίας, καθ᾽ ὃν ὁ Πλάτων* **492** *ἀποδημήσας ἱστορίας ἕνεκα τῶν λεγομένων Αἰτναίων τοῦ πυρὸς κρατήρων, ὥς φασιν οἱ κατ᾽ αὐτὸν φιλόσοφοι, ὡς δὲ Ἀριστείδης ὁ ῥήτωρ κατὰ Πλάτωνος γράψας, Σικελικῆς χάριν τραπέζης, τῷ τυράννῳ γινώσκεται διά τινος Δίωνος γυναικαδέλφου τοῦ Διονυσίου ἀνδρὸς προσκειμένου*
20 *φιλοσοφίᾳ. ὡς δὲ ἐπηρώτησε Διονύσιος Πλάτωνα, τίς εὐδαίμων ἐν ἀνθρώποις, ἐλπίζων ἀκοῦσαι παρὰ τοῦ φιλοσόφου ὅτι σύ, ὁ δ᾽ οὐ κολακεύσας τὸν τύραννον, ἀλλ᾽ εἰπὼν ὅτι Σωκράτης, ἀπαντᾶν τοὺς κατ᾽ ἐκεῖνον ζῶντας φιλοσόφως. αὖθις ἠρωτήθη, τί ἔργον πολιτικοῦ, καὶ ἀπεκρίνατο τῷ αὐτῷ τυράννῳ τὸ καλοὺς καὶ ἀγαθοὺς ποιεῖν τοὺς πολίτας, ἀκούσειν*
25 *ποθοῦντι παρὰ Πλάτωνος ὅτι τὸ ὀρθῶς δικάζειν· ηὔχει γὰρ ἐπὶ τούτῳ Διονύσιος. εἶτά φησι· τὸ ὀρθῶς δικάζειν τίνος ἔργον σοὶ δοκεῖ; πρὸς ὃν ὁ Πλάτων· μόριόν τι μικρὸν πολιτικοῦ τὸ δικάζειν ὀρθῶς. ἀκεσταῖς γὰρ ἐοίκασι τοῖς τὰ διερρωγότα ἱμάτια ἀνυφαίνουσι. τρίτον αὐτὸν ἐπανήρετο τὸ τύραννον εἶναι, φάς, ποταπόν σοι φαίνεται; πρὸς ὃν ἀντέφη Πλάτων·*

30 **15** *Ση. ὅλον τὸ χωρίον περὶ Πλάτωνος καὶ Διονυσίου τυράννου Σικελίας*

1–12 Euseb. 2, $118^{c,d,e',g,k}$. $119^{a,d,f}$. $120^{b,c}$ || **10** Platonem in Sicilia non notat Euseb., cf. uit. Plat. 386 West. || **15**–p. 312, **22** eadem fere apud uit. Plat. 385, 93–386, 39 West. || **15**–p. 312, **2** cf. ps. Sym. f. 56^v = Cedr. 256, 5–18 || **17** Aristid. or. 46

7 *πρεσεντίνους* **AB** *Presantāer* Euseb. Arm. *Praenestini* Hieron. || **8** *σωκράτης σοφιστὴς* **AB** *Isokrates sophestes* Euseb. Arm. *Isocrates rhetor* Hieron. || **9** *τύραννος σικελίας* **B** tr. **A** || **12** *ιζ΄* **AB** Euseb. Arm. *xviii aetatis* Hieron. || **16** *αἰτναίων* ps. Sym. *αἰτνιαίων* **AB** || **17** *δὲ* **B** *καὶ* **A** || **19** *προσκειμένου* **A** *προκειμένου* **B** || **20** *ἐπηρώτησε* Di. *ἐπερώτησε* **AB** *ἐπερωτᾷ* ps. Sym. || **22** *ἀπαντᾶν* **AB** *ἀπατᾶν* ps. Sym. *ἁπάντων* Cedr. || **25** *παρὰ* om. **B** | *ηὔχει* **A** *ηὔχη* **B** || **26** *δικάζειν* **B** ps. Sym. Cedr. *δικάζειν δὲ* **A** || **28** *διερρωγότα* **A** *διερραγῶτα* **B** || **30** lemma om. A^m

σφόδρα δεινόν, ὅπου γε καὶ τὰ κουρευτικὰ μαχαίρια φοβεῖται μὴ ὑπ' αὐτῶν ἀναιρεθῇ.

Πρὸς ταῦτα, φασὶν οἱ Πλατωνικοὶ Πλάτωνος ὑπεραπολογούμενοι τοῦ
493 διδασκάλου ἐν τοῖς κατὰ τοῦ Ἀριστείδου, Διονύσιος ὁ Σικελίας τύραννος
χαλεπήνας ἐπὶ τῷ φιλοσόφῳ μηδ' ὅλως αὐτὸν κολακεύσαντι ἀπεφήνατο 5
Πλάτωνα Συρακουσῶν αἱρεσθαι ἡλίου ὑπὲρ γῆν ὄντος, καὶ ἐπρίατο αὐτὸν
Ἀννίκηρίς τις ἐξ Αἰγίνης, οὗ χάριν ὁ λόγος παρὰ τοῖς Πλατωνικοῖς μέχρι
νῦν ἐπεκράτησε· καὶ οὐδεὶς Ἀννίκηριν ἐγίνωσκεν, εἰ μὴ Πλάτωνα
ἐπρίατο. ἕτεροι δὲ ἱστοροῦσιν ὅτι Πόλλιδι τινὶ πρὸς πρᾶσιν παραπλέοντι
τὴν Σικελίαν παραδοὺς ὁ τύραννος ἐκβάλλει τῆς νήσου, ὃς τὸν φιλόσοφον 10
παραλαβὼν Αἰγινήταις πρὸς Ἀθηναίους οὐκ εἰρηνεύουσι προσορμίσας
ἀποδέδωκε τὸν Πλάτωνα, τοῦτο κελεύσαντος αὐτῷ λάθρα τοῦ Διονυσίου.
αὐτὸς δὲ Πλάτων τοῦ πριαμένου μεταθέντος αὐτὸν εἰς Ἀθήνας διαπλεῖ.

Διονυσίου δὲ τελευτήσαντος ιη' ἔτει τῆς τυραννίδος κρατεῖ Διονύσιος
παῖς αὐτοῦ μετ' αὐτόν· τῆς ⟨δὲ⟩ Σικελίας τυραννεῖ, Πλάτωνά τε μετακα- 15
λεῖται τῷ Δίωνι χαριζόμενος καὶ σφόδρα τιμᾷ παραγενάμενον διὰ τὴν
Δίωνος προτροπὴν ἐλπίδι τοῦ μεταβάλλειν εἰς ἀριστοκρατίαν τὴν
τυραννίδα. Δίωνος δὲ συκοφαντίᾳ προδοσίας ἐκδιωχθέντος ὑπὸ τοῦ
τυράννου τῆς νήσου καὶ πλεύσαντος εἰς Ἀθήνας ἐκπέμπεται καὶ Πλάτων,
ἐν ᾗ μεταμεληθεὶς ὁ τύραννος μετακαλεῖται Πλάτωνα, ὑποσχόμενος 20
494 ἐπαναγαγεῖν καὶ Δίωνα δι' αὐτόν. καὶ παραγίνεται Πλάτων, Διονυσίου δὲ
ψευσαμένου μετ' ὀλίγον ἀπαίρει.

Ὁ δὲ Δίων ἐπαναστὰς μεθ' Ἑλληνικῆς δυνάμεως ἐκβάλλει Διονύσιον
τῆς ἀρχῆς, αὐτός τε μετ' ὀλίγον ἀναιρεῖται παρά τινων οἰκείων· καὶ
Διονύσιος πάλιν κρατεῖ, ὃς ὑπὸ Κορινθίων καὶ Τιμολέοντος στρατηγοῦ 25
ἀχθεὶς ἐν Κορίνθῳ ἀσχήμως ἐκεῖ τελευτᾷ ἐν πενίᾳ καταγηράσας.

Πλάτων τελευτῶν κατὰ τὴν ρζ' ὀλυμπιάδα Σπεύσιππον ἀδελφιδοῦν
διάδοχον τῆς Πλατωνικῆς διατριβῆς προεστήσατο.

Ἀριστοτέλης ὁ Νικομάχου Σταγειρίτης μαθητὴς Πλάτωνος ἤνθει.

23–26 cf. Pomp. Trog. fr. 122–123 || 27–28 Euseb. 2, 122c (Olymp. 108 Hieron., notitiam om. Arm.) || 29 – p. 313, 3 cf. Dexipp. FGrHist 100 F 10 (infra 318, 7)

[**AB** (207, 6–312, 29)] 1 *κουρευτικὰ* **A** *κουρετικὰ* **B** | *φοβεῖται* **A** *φοβῆται* **B** || 3 *φασὶν* **B** *φησὶν* **A** || 4 *ἀριστείδου* **A** *ἀριστείδους* **B** || 7 *Ἀννίκηρις* Scal. *ἀννικήριος* **AB** || 8 *ἀννίκηριν* **B** *ἀννικήρην* **A** || 9 *Πόλλιδι τινὶ πρὸς πρᾶσιν παραπλέοντι* dedi ex uit. Plat. *πολλὴ τιτινὶς παρὰ τατιάτι παραπλέοντι* **B** *πολλὴ τιτινὶς παρὰ τιάτιπα πλέοντι* **A** *Πόλιδι τινὶ παρ' αἰτίαν τινὰ παραπλέοντι* Scal. *Πόλλιδι παραπλέοντι* Di. || 11 *Αἰγινήταις* Scal. *αἰγενίταις* **AB** | *εἰρηνεύουσι* Scal. *εἰρηνεύοντας* **AB** | *προσορμίσας* **A** *προσωρμήσασα* **B** || 14 *ἔτει* Scal. *ἔτη* **AB** || 15 *αὐτὸν* **A** *αὐτοῦ* **B** | *δὲ* addidi *τυραννεῖ* delere maluit Di. || 16 *παραγενάμενον* Di. *παραγενάμενος* **AB** || 17 *ἀριστοκρατίαν* **A** *ἀριστοκρατείαν* **B** || 22 *ὀλίγον* **A** *ὀλίγου* **B** || 29 *Ἀριστοτέλης*] explicit **B** f. 99v post quod excidit folium unum | *Σταγειρίτης* Go. *σταγειρίτου* **A**

τούτου μαθητὴς γνησιώτατος Ἀλέξανδρος ὁ Φιλίππου πᾶσαν λογικὴν καὶ σωματικὴν παίδευσιν ἀσκηθεὶς ὑπ' αὐτοῦ ἐπὶ σοφίᾳ καὶ λόγοις δογματικοῖς.

Ἤνθουν Ξενοκράτης διάδοχος Σπευσίππου Πλάτωνος, Κράτης καὶ 5 *Διογένης κυνικοί, καὶ Ἱππαρχία Κράτητος γυνὴ φιλόσοφος.*

Δημοσθένης ὁ ῥήτωρ.

Ἠρίνα ποιήτρια.

Διονύσιος ὁ τύραννος ἐξέπεσε Σικελίας.

ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ

10 *Μακεδόνων ιδ' ἐβασίλευσεν Ἀρχέλαος ἔτη δ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εϛη'.*

Μακεδόνων ιε' ἐβασίλευσεν Ἀμύντας ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερβ'. 495

Μακεδόνων ιϛ' ἐβασίλευσε Πανσανίας ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος 15 *,εργ'.*

Μακεδόνων ιζ' ἐβασίλευσεν Ἀμύντας ἔτη ε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερδ'.

Μακεδόνων ιη' ἐβασίλευσεν Ἀργαῖος ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερθ'.

20 *Μακεδόνων ιθ' ἐβασίλευσεν Ἀμύντας ἔτη ιβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερια'.*

Μακεδόνων κ' ἐβασίλευσεν Ἀλέξανδρος ἔτος α'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκγ'.

Μακεδόνων κα' ἐβασίλευσε Πτολεμαῖος ἔτη γ'. τοῦ δὲ κόσμου ἦν 25 *ἔτος ,ερκδ'.*

Μακεδόνων κβ' ἐβασίλευσε Περδίκκας ἔτη ϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερκζ'.

Μακεδόνων κγ' ἐβασίλευσε Φίλιππος ἔτη κγ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερλγ'.

30 *Οὗτος δοθεὶς πρὸς ὁμηρείαν εἰς Θήβας Ἐπαμυνοδότῳ κατὰ τὰς Θήβας ἀκμάζοντι στρατηγικῷ ἀνδρί, τότε ζηλωτὴς γέγονε τῆς αὐτοῦ ἀρετῆς,*

4 Euseb. 2, 122[h] || **5** Diogenem habet Euseb. 2, 118[c], de Cratete et Hipparchia cf. Suda s. v. Crates || **6–8** Euseb. 2, 121[a,c,z] || **10–29** cf. Euseb. 1, 108, 33–109, 6 || **30**–p. 314, **3** cf. Iustin. 6, 9, 7; 9, 6, 4, Pomp. Trog. fr. 72

5 *Ἱππαρχία* Di. *ὑπαρχία* **A** || **9** titulus in margine **A** || **10.11** et infra *ἦν ἔτος* om. **A** || **16** *ἔτη ε'*] ann. 6 Euseb. || **20** *ἔτη ιβ'*] ann. 18 Euseb. || **22** *ἄλλος ἀλέξανδρος ὁ λωρίτης* add. **A**[m] || **28** *ἔτη κγ'*] ann. 26 Euseb. || **30** *ὁμηρείαν* Scal. *ὁμηρίαν* **A** | *Ἐπαμυνοδότῳ* Go. *ἀπ' ἀμινοδότῳ* **A**

βασιλεύσας δὲ ὄντως μετιὼν τοῖς πράγμασιν· ὅθεν καὶ τὴν Μακεδόνων ἀρχὴν μεγάλως ηὔξησε. τούτου δὲ ἀναιρεθέντος ὑπὸ Παυσανίου Ἀλέξανδρος παῖς αὐτοῦ ἐβασίλευσεν ὁ Πέρσας καταπολεμήσας.

496 *Μακεδόνων κδʹ ἐβασίλευσεν ἔτη ιβʹ ὁ Φιλίππου καὶ Ὀλυμπιάδος παῖς. τοῦ δὲ κόσμου ἦν ἔτος ,ερνςʹ.* 5

Ἀλέξανδρος Ἰλλυριοὺς καὶ Θρᾷκας εἷλε, Θήβας κατέσκαψε, τοὺς Δαρείου στρατηγοὺς ἐπὶ τῷ Γρανικῷ ποταμῷ Λυδῶν ἐνίκησε, Σάρδεις εἷλε, Τύρον ἐπολιόρκησεν, Ἰουδαίαν προσελάβετο, καὶ τὸν ἀρχιερέα Ἰαδδοὺς ἐτίμησε θύσας τῷ θεῷ, ὡς παρ' αὐτοῦ τὴν οἰκουμένην ὁμολογῶν προσειληφέναι· ἧς καὶ ἐπιμελητὴν μετὰ τῶν λοιπῶν τόπων Ἀνδρόμαχον 10 *κατέστησεν· ὃν ἀνελόντες οἱ τὴν Σαμαρέων οἰκοῦντες δίκας ἔτισαν ἐπανελθόντος Ἀλεξάνδρου ἐξ Αἰγύπτου. τὴν Σαμάρειαν πόλιν ἑλὼν Ἀλέξανδρος Μακεδόνας ἐν αὐτῇ κατῴκισεν.*

Ἑλλήνων βασιλείας ἔτος αʹ ἀπὸ ζʹ ἔτους Ἀλεξάνδρου ἀριθμοῦσιν· Ἕλληνες γὰρ καὶ Μακεδόνες οἱ αὐτοί. 15

Ἀπὸ ζʹ ἔτους Ἀλεξάνδρου ἕως κβʹ Κλεοπάτρας ἔτη τʹ.

Ἀλεξάνδρεια ἡ κατ' Αἴγυπτον ζʹ ἔτει Ἀλεξάνδρου ἐκτίσθη.

Τῷ αὐτῷ ἔτει τοὺς ἐν Σαμαρείᾳ διὰ τὸν Ἀνδρομάχου φόνον ἐπανιὼν Ἀλέξανδρος ἐξ Αἰγύπτου ἐτιμωρήσατο, Μακεδόνας ἐγκατοικίσας τῇ πόλει αὐτῶν. 20

Τῷ αὐτῷ ἔτει ἡ ἐν Ἀρβήλοις τῆς Μηδικῆς ἤχθη μάχη, καθ' ἣν Δαρεῖος 497 *μὲν ὑπὸ τῶν περὶ Βῆσσον ἀνῃρέθη τῶν Βακτριανῶν, Ἀλέξανδρος δὲ τὴν Περσικὴν βασιλείαν σὺν τῇ Βαβυλῶνι καὶ Σουσᾶν προσηγάγετο, διαρκέσασαν ἀπὸ Κύρου ἕως Δαρείου ἔτη σλʹ. ὁ αὐτὸς Ὑρκανοὺς καὶ Μάρδους ἐχειρώσατο, Βῆσσος συνελήφθη, Ἀλέξανδρος Σογδιανὴν κατεστρέψατο.* 25 *ὁ αὐτὸς τὴν Ἀορνὴν πέτραν ἐχειρώσατο καὶ Βερναβοᾶν ποταμὸν Ἰνδῶν πρὸς Δάνδαμιν διέβη Βραχμανόν.*

6 *ἀπὸ Ναβονασάρου ἕως αʹ ἔτους Ἀλεξάνδρου ἔτη υιβʹ* || 9 *Ση. ὅτι καὶ Ἀλέξανδρος ἔθυσε τῷ θεῷ* || 24 *σλʹ ἔτη ἀπὸ Κύρου Περσῶν βασιλέως ἕως Δαρείου ἀναιρεθέντος ὑπὸ Ἀλεξάνδρου* 30

4 Euseb. 1, 108, 12 || 6–12 eadem fere apud ps. Sym. f. 56v (om. Cedr.) || 6–13 Euseb. 2, 123b,d || 14–15 ex astr. can. cf. Chron. Min. 3, p. 451 et Euseb. 2, 123e || 16 cf. African. fr. 50 apud Euseb. Demonstr. Euang. 8, 2, 52 (ann. 300); ann. 302 iuxta astr. can. || 17 Euseb. 2, 123e || 18 Euseb. 2, 123d || 21–24 cf. Pomp. Trog. fr. 74, Euseb. 2, 124a, Hippolyt. fr. 13 || 24–27 eadem ps. Sym. f. 56v (om. Cedr.) || 24–26 cf. Euseb. 2, 124c,d || 26 cf. Megasthen. FGrHist 715 F 9. 18 = Arrian. Ind. 4, 3; 10, 5 (*Ἐραννοβόαν*) || 27 cf. Arrian. Anab. 7, 2, 2 (*Δάνδαμις*)

7 *τῷ γρανικῷ* ps. Sym. *γραννικῷ* A || 8 *ἰουδαίαν* ps. Sym. *ἰούδαν* A || 13 *κατῴκισεν* Scal. *κατῴκησεν* A || 19 *ἐγκατοικίσας* Di. *ἐγκατοικήσας* A || 23 *βασιλείαν σὺν τῇ Βαβυλῶνι*] *βαβυλῶνα σὺν τῇ βασιλείᾳ* A || 27 *πρὸς Δάνδαμιν*] *πρὸς δ' ἄμδαμειν* A *πρὸς δ' ἄμδαμην* ps. Sym.

Σπουδὴν θέμενος τὸ ͵ερο' ἔτος τοῦ κόσμου κατὰ τὸ τέλος Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀποδεῖξαι συντρέχον, ὡς ἂν καὶ τὰ ἀπὸ Φιλίππου μετὰ Ἀλέξανδρον ἔτη λαμβανόμενα κατὰ τοὺς Πτολεμαίου προχείρους τῆς ἀστρονομίας κανόνας ὁμοφωνεῖν ἐν τοῖς ἐφεξῆς ἡμῖν ἔτεσιν, εὗρον Κῦρον 5 *τὸν α' βασιλέα Περσῶν ἐν τοῖς ἀπὸ Ναβονασάρου καταγομένοις ἐπὶ Ἀλέξανδρον ἔτεσιν θ' μόνον ἔτη βασιλεύσαντα Περσῶν ἐν πᾶσι τοῖς ἀκριβέσι κανονίοις. μὴ δυνάμενος δὲ Κῦρον οὕτω στοιχειῶσαι διὰ τὸ ταῖς θείαις γραφαῖς ἀντιπίπτειν (ἁπανταχοῦ γὰρ λα' ἔτη κεῖται βασιλεύσας παρὰ τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς) ἐξ ἀνάγκης ἐκ τῶν Ὤχου χρόνων* 10 *ἀμφιβαλλομένων παρ' ἐνίοις ὑφελὼν ἔτη τὰ δοκοῦντα εἶναι περιττὰ ἀντὶ τῶν κα' ε' μόνα ἐπ' αὐτοῦ ἐστοιχείωσα, καὶ ἔστιν ὁ κανὼν σύμφωνος.*

Ὁ περὶ τῆς βασιλείας Μακεδόνων λόγος διὰ τὴν ἀρετὴν Ἀλεξάνδρου καὶ Φιλίππου τοῦ πατρὸς αὐτοῦ τοῖς φιλομαθέσι καὶ περὶ ταῦτα σπουδά- 498 *ζουσιν ἀναγκαῖος πέφυκε. προκείσθω γοῦν κεφαλαιωδῶς ὑπὸ μίαν* 15 *σύνοψιν ἀρχόμενος ἀπὸ Καράνου τοῦ πρώτου βασιλέως Μακεδόνων ἕως Ἀλεξάνδρου. τὸ μὲν οὖν πρῶτον γένος τοῖς βασιλεῦσι τῶν Μακεδόνων εἰς Ἡρακλέα ἀναφέρεται. μετὰ γὰρ τὴν ἅλωσιν Τροίας ἔτεσιν π' Ἡρακλεῖδαι κατέσχον τὴν Πελοπόννησον, ἐξ ὧν αἱ τῶν Κορινθίων καὶ Λακεδαιμονίων βασιλεῖαι πρῶται συνέστησαν. χρόνοις δὲ ὕστερον περὶ τὰ τέλη τούτων ἡ* 20 *τῶν Μακεδόνων ἤρξατο βασιλεία οὕτως.*

Κάρανος ὁ Ἀργεῖος ἀδελφὸς ὢν Φείδωνος ἑνὸς τῶν ἀφ' Ἡρακλέους

21 *Κάρανος ἀπὸ Πελοποννήσου ἐκ τῆς Ἄργους βασιλεύει Μακεδόνων. Κάρανος ἔτη λ'· Κοῖνος κη', ὁμοῦ νη'· Τυρίμμας μγ', ργ'· Περδίκκας μη', ρνα'· Ἀργαῖος λδ', ρπε'· Φίλιππος λε', ρς'· Ἀεροπᾶς κγ', σιγ'· Ἀλκέτας κη', σμα'· Ἀμύντας μβ', σπγ'·* 25 *Ἀλέξανδρος μδ', τκς'· Περδίκκας κγ', τμθ'· Ἀρχέλαος ιδ', τξγ'· Ὀρέστης γ', τξς'· Ἀρχέλαος δ', το'· Ἀμύντας δ', τοδ'· Παυσανίας α', τοε'· Ἀμύντας ε', τοζ'· Ἀργαῖος β', τοθ'· Ἀμύντας ια', τς'· Ἀλέξανδρος α', τςβ'· Πτολεμαῖος γ', τςε'· Περδίκκας ς', υα'· Φίλιππος κγ', υκδ'· Ἀλέξανδρος ὁ Φιλίππου ιβ', υλς'· Φίλιππος Ἀριδαῖος ζ', υμγ'· Κάσανδρος ιθ', υξβ'· παῖδες Κασάνδρου γ', υξε'· Δημήτριος Ἀντιγόνου ς',* 30 *υοα'· Πύρρος μῆνας ζ'· Λυσίμαχος ἔτη ε' μῆνας ε', υοζ'· Πτολεμαῖος ὁ Κεραυνὸς β', υοθ'· Μελέαγρος μῆνας β'· Ἀντίπατρος ἡμέρας με'· Σωσθένης β', υπα'· Ἀντίγονος ὁ Γονατᾶς μδ', φκε'· καὶ ἀναρχίας β'· Δημήτριος υἱὸς Ἀντιγόνου ι', φκζ'· Ἀντίγονος ιβ', φλζ'· Φοῦσκος μβ', φςα'· Φίλιππος ι', χα'· Περσεὺς μῆνας γ'*

8 e. g. Euseb. 1, 33, 11 || **16–20** cf. Euseb. 1, 105, 19; 108, 13 || **21**–p. 316, **7** cf. Diodor. apud Euseb. 1, 107, 20–27 et supra 234, 1

[**AB** (315, 15–324, 11)] **1** *τὸ* Go.^{m} *τῷ* **A** || **8** *ἔτη* Di. *ἔτος* **A** || **10. 11** *ἀντὶ τῶν κα'*] *περὶ τὰ κύρου* **A** || **15** *Μακεδόνων*] inc. **B** f. 100^{r} || **21** *Φείδωνος* Di. *φίλωνος* **AB** | *ἀφ'* **B** *ἀμφ'* **A** || **22** *Κάρανος . . . Μακεδόνων* hoc loco **A**^{m}, post catalogum regum **B**^{m} | *ἐκ τῆς*] *ἐκτὸς* **A**^{m} *ἐκ τοῦ* **B**^{m} || **23** *κοῖνος* **B**^{m} *κυνὸς* **A**^{m} | *λδ'* **B**^{m} *λα'* **A**^{m} || **26** *ἀμύντας δ'* **A**^{m} *ἀμύντας α'* **B**^{m} | *τοζ' ἀργαῖος β'* **B**^{m} om. **A**^{m} || **27** *πτολεμαῖος γ' τςε'* **B**^{m} om. **A**^{m} || **28** *ὁ φιλίππου* **B**^{m} om. **A**^{m} | *ἀριδαῖος* **B**^{m} *ἀριδαῖας* **A**^{m} | *ζ'* **A**^{m} *ιζ'* **B**^{m} || **29** *κάσανδρος* **B**^{m} *κάσσανδρος* **A**^{m} || **30** *πύρρος* **B**^{m} *πύρος* **A**^{m} | *ἔτη ε'* **A**^{m} *ε'* **B**^{m} || **31** *υπα'* **B**^{m} om. **A**^{m} || **32** *β'*] *σβ'* **B**^{m} om. **A**^{m} || **33** *ιβ'* **B**^{m} om. **A**^{m}

καταγόντων τὸ γένος καὶ τῆς Ἀργείας βασιλεύοντος σπουδάζων ἑαυτῷ χώραν κατακτήσασθαι δύναμιν ἤθροισε παρὰ τοῦ ἀδελφοῦ καὶ ἐκ τῆς
499 *ὅλης Πελοποννήσου, μεθ᾽ οἷς τοῖς ὑπὲρ Μακεδονίαν τόποις ἐπιστρατεύσας, συμμαχήσας ἅμα καί τινι τῶν Ὀρεστῶν λεγομένων δυνάστῃ περὶ τὴν χώραν κατὰ τῶν πλησιοχώρων βαρβάρων, τὴν ἡμίσειαν ἔλαβε χώραν καὶ* 5
πόλιν ἤγειρε κατὰ χρησμὸν καὶ βασιλείαν ἐν αὐτῇ συνεστήσατο, ἣν οἱ κατὰ γένος ἐξ αὐτοῦ καὶ μετ᾽ αὐτὸν διεδέχοντο.

Οὗτος ὁ Κάρανος ἀπὸ μὲν Ἡρακλέους ια´ ἦν, ἀπὸ δὲ Τημένου τοῦ μετὰ τῶν ἄλλων Ἡρακλειδῶν κατελθόντος εἰς Πελοπόννησον ζ´. γενεαλογοῦσι δ᾽ αὐτὸν οὕτως, ὥς φησιν ὁ Διόδωρος, οἱ πολλοὶ τῶν συγγραφέων, ὧν εἷς 10
καὶ Θεόπομπος. Κάρανος Φείδωνος τοῦ Ἀριστοδαμίδα τοῦ Μέροπος τοῦ Θεοστίου τοῦ Κισσίου τοῦ Τημένου τοῦ Ἀριστομάχου τοῦ Κλεαδάτους τοῦ Ὕλλου τοῦ Ἡρακλέους. ἔνιοι δὲ ἄλλως, φησί, γενεαλογοῦσι, φάσκοντες εἶναι Κάρανον Ποίαντος τοῦ Κροίσου τοῦ Κλεοδαίου τοῦ Εὐρυβιάδα τοῦ Δεβάλλου τοῦ Λαχάρους τοῦ Τημένου, ὃς καὶ κατῆλθεν εἰς 15
Πελοπόννησον.

Οὗτος ὁ Κάρανος λ´ ἔτη ἐβασίλευσε· μεθ᾽ ὃν Κοῖνος παῖς ἔτη κη´. μετὰ δὲ τοῦτον ὁ υἱὸς {Κάρανος ἔτη λ´} Τυριμμᾶς ἔτη με´, καὶ τὴν λοιπὴν τῆς Μακεδονίας προσελάβετο χώραν καὶ καθ᾽ ὅλου τὴν βασιλείαν ηὔξησεν. εἶτα Ἀργεῖος παῖς Τυριμμᾶ ἔτη λδ´, μεθ᾽ ὃν Φίλιππος υἱὸς Ἀργείου ἔτη 20
500 *λε´. πρὸς οἷς Ἀλκέτας ὁ Φιλίππου υἱὸς ἔτη ⟨***⟩, εἶτ᾽ Ἀμύντας υἱὸς Ἀλκέτου ἔτη ⟨***⟩, ἑξῆς Ἀλέξανδρος Ἀμύντου.*

*Οὗτος κατὰ τὴν Ξέρξου διάβασιν Πέρσαις ἔδωκεν ὕδωρ καὶ γῆν. οὗτος ἔσχε β´ υἱούς, Περδίκκαν καὶ Ἀμύνταν, ὧν Περδίκκας μὲν ἐβασίλευσεν ἔτη ⟨***⟩, Ἀμύντας δὲ πάντα τὸν βίον ἰδιωτικῶς ζήσας κατέλιπεν υἱὸν* 25
Ἀριδαῖον, οὗ παῖς γέγονεν Ἀμύντας ἕτερος ὁμώνυμος τῷ πάππῳ, περὶ οὗ

8–16 om. Diodorus apud Euseb. 1, 107; cf. supra 234, 9 || **11** Theopompus FGrHist 115 F 393, cf. Ephorum FGrHist 70 F 115 (Pheidon decimus ab Temeno), Marm. Par. FGrHist 239 A 30–31 (aut decimus ab Temeno aut undecimus ab Hercule) || **13–16** non alibi redit; cf. Satyrum FGrHist 631 F 1 (Caranus, Aristodamidas, Acoos, Thestius, Maron, Ceisus, Temenus) || **17–22** cf. Diodor. apud Euseb. 1, 107, 18–108, 12 || **23–26** om. Euseb., cf. Diodor. 15, 60, 3

8 *τημένου* **B** *τιμένου* **A** || **10** *οὕτως* **B** *οὗτος* **A** | *Διόδωρος, οἱ*] ita interpunx. **AB** *Διόδωρος καὶ οἱ* Scal. || **11** *Φείδωνος* Di. *φίλωνος* **AB** *ἀδελφὸς Φείδωνος* Beloch I 2, 192 | *Ἀριστοδαμίδα τοῦ* Scal. *ἀριστοδαμιδάδου* **A** *ἀριστοδαμηδάτου* **B** | *μέροπος* **A** *μέρωπος* **B** || **12** *κισσίου* **A** *κισοῦ* **B** | *τημένου* **B** *τιμένου* **A** || **14** *Κλεοδαίου* Scal. *κλεοδίου* **A** *κλεοδέου* **B** || **15** *δεβάλλου* **A** *δαιβάλου* **B** | *τημένου* **B** *τιμένου* **A** || **18** *Κάρανος ἔτη λ´* del. Scal. | *ἔτη με´*] ann. 43 Euseb. qui post Turimmam addit Perdiccam ann. 48 ei regnum adauctum attribuens || **20** *ἔτη λδ´*] ann. 38 Euseb || **20, 21** *ἔτη λε´*] ann. 33 Euseb. || **21–22** lacunas indicat **B** Alcetas ann. 18 Euseb., ann. 28 **AB** in margine supra || **22** Amyntas ann. 42 Euseb. et **AB** in margine || **25** lacunam ind. **B** ann. 23 Euseb. et **AB** in margine | *κατέλιπεν* **A** *κατέλειπεν* **B**

ἑξῆς λεχθήσεται, πῶς ἐπὶ τὴν βασιλείαν παρῆλθε. μετὰ γὰρ Περδίκκαν Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιδʹ, πρὸς ὃν καὶ Εὐριπίδης τραγῳδοποιὸς παραγενηθεὶς πάντα τὸν χρόνον διῆξε τιμώμενος παρʼ αὐτῷ. Ἀρχελάου δʼ ἀναιρεθέντος διεδέξατο τὴν βασιλείαν Ὀρέστης υἱὸς αὐτοῦ
5 ἔτη δʹ. ὃν ἀνεῖλεν Ἀερόπας ἐπίτροπος καὶ ἐβασίλευσε μετʼ αὐτὸν ἔτη δʹ. μεθʼ ὃν Ἀμύντας ἔτος αʹ βασιλεύσας ὑπὸ Μακεδόνων ἐξεβλήθη. καὶ Ἀμύντας ὁ προρρηθεὶς καθείρχθη, υἱὸς μὲν Ἀριδαίου τοῦ υἱοῦ Ἀμύντου τοῦ Ἀλεξάνδρου, καθʼ ὃν, ὡς προείρηται, γέγονεν ἡ Ξέρξου διάβασις ἐπὶ τὴν Ἑλλάδα. Ἀμύντου τοίνυν τούτου βασιλεύσαντος ἔτη ιβʹ διεδέξατο
10 τὴν ἀρχὴν Ἀλέξανδρος υἱὸς αὐτοῦ πρῶτος ἔτος αʹ. μετὰ δὲ τοῦτον Πτολεμαῖος ἦρξεν ὁ λεγόμενος Ἀλωρίτης, ἀλλότριος τοῦ γένους, ἔτη ⟨***⟩. τοῦτον ἀνελὼν Περδίκκας υἱὸς καὶ αὐτὸς Ἀμύντου, ἔτη κγʹ **501** κρατήσας τῆς βασιλείας Μακεδόνων, δεόντως τε ἅπαντα πράξας καὶ κατὰ τάξιν, μεγίστην πασῶν τῶν κατὰ τὴν Εὐρώπην ἀναδείξας τὴν
15 Μακεδόνων ἀρχήν, οὗτος τοὺς περὶ τὴν χώραν ἅπαντας ἐδουλώσατο πολεμίους, βουληθεὶς καὶ αὐτοὺς Ἕλληνας ὑπὸ χεῖρα ποιήσασθαι, μεγάλην κτησάμενος δύναμιν καὶ Τριβάλλους ὑποτάξας. ἐπʼ αὐτοῦ Πλάτων μὲν τελευτᾷ καταγηράσας, Ἀριστοτέλης δʼ ὁ Σταγειρίτης Νικομάχου παῖς ἤνθει, οὗ καὶ ἀκροατὴς γέγονεν Ἀλέξανδρος ὁ Φιλίππου τούτου παῖς ἐξ
20 Ὀλυμπιάδος γαμετῆς, ἣν Ἕλληνές φασιν ἐξ Ἀχιλλέως τοῦ Θέτιδος φέρειν τὸ γένος.

Φίλιππος οὗτος πρὸ μικροῦ χρόνου τῆς τελευτῆς τὸ Βυζάντιον ἐπολιόρκησε· συμμαχούντων δὲ Βυζαντίοις Ἀθηναίων διὰ Χάρητος στρατηγοῦ ἀποτυχὼν ὁ Φίλιππος ἐπὶ Χερρόνησον χωρεῖ, καὶ ταύτην λαβὼν ἐπανῆλθε.
25 τότε καὶ Ἀθηναίοις σπένδεται βασιλεύσας, ὡς προλέλεκται, ἔτη κγʹ, καὶ ἀναιρεθεὶς ὑπὸ Παυσανίου κατὰ τὴν ριʹ ὀλυμπιάδα ἀρχομένην, καθʼ ἣν

17 ἐπὶ τίνος τελευτᾷ Πλάτων, ἐπὶ Περδίκκα

2 cf. Euseb. 1, 108, 9 (ann. 17); 108, 12 (ann. 24) || **3** om. Euseb., cf. Diodor. 13, 103, 5 || **4–11** aliter Euseb. 1, 108 in duabus uersionibus || **12–17** cf. Iustin. 9, 1–3, Pomp. Trog. fr. 70 || **17** cf. Euseb. 2, 122ᶜ || **18–19** cf. Dexipp. FGrHist 100 F 9 (infra 318, 7) || **20–21** cf. Theopomp. FGrHist 115 F 355, Iustin. 17, 3, 14 || **22–25** cf. Pomp. Trog. fr. 70–72 || **26** cf. Diodor. 16, 94–95 (ann. 24, Olymp. 111), Euseb. 2, 122, 21 (ann. 26, Olymp. 110, 4)

2 ἔτη ιδʹ] ann. 24 Euseb. | εὐριπίδης τραγῳδοποιὸς **B** εὐριππίδης τραγοποιὸς **A** || **4** διεδέξατο **A** διεδέξαντο **B** || **5** ἀερόπας **AB** ἀρχέλαος **AB** in margine et Euseb. || **7** προρρηθεὶς **A** προρηθεὶς **B** || **6–9** inter Amynt. ann. 1 et Amynt. ann. 12 (18 Euseb.) apud Eusebium sunt Pausanias ann. 1, Amyntas ann. 6, Argaeus ann. 2. similiter **AB** in margine || **12** lac. ind. **B** ann. 3 Euseb. et **AB** in margine | post Ἀμύντου excidit ἔτη ϛʹ μεθʼ ὃν Φίλιππος uel sim. ut apud Euseb. et **AB** supra in margine || **23** Χάρητος Di. χάριτος **AB** || **24** χερρόνησον **A** χερόνησον **B**

Ἀλέξανδρος παῖς ἐβασίλευε Μακεδόνων. μετὰ γὰρ τὸν πατέρα Φίλιππον ἀναδέδεικται κατὰ τὸ α' ἔτος Δαρείου Ἀρσάμου Περσῶν βασιλέως μετὰ Κῦρον γεγονότος.

Μέχρι τοῦ νῦν τῆς ἀρχῆς Ἀλεξάνδρου γίνεται χρόνος ἀπὸ μὲν α' ὀλυμπιάδος καὶ αὐτῆς ἀρχομένης, καθ' ἣν Ῥωμύλος Ῥώμην κτίζει, 5 *ἔτη υκ', ἀπὸ δὲ Τροίας ἁλώσεως ἔτη ω'.*

502 *Ἀλέξανδρος οὖν εἰκοστὸν ἄγων ἔτος κατὰ Δέξιππον πᾶσαν ἄσκησιν ἠσκημένος σωματικήν, αὐτοῦ τε γνησιώτατος Ἀριστοτέλους γεγονὼς τοῦ δαιμονιῶντος φοιτητής, ἐπὶ τὴν πατρῴαν παρῆλθε βασιλείαν. καὶ πρῶτον μὲν Θρᾴκης καὶ Ἑλλάδος ἁπάσης πλὴν Λακεδαίμονος μόνης κρατήσας, εἰς* 10 *τὴν μεγάλην Ἀσίαν διὰ τὸν Περσικὸν περαιοῦται πόλεμον, ἐν Γρανικῷ τε ποταμῷ πρότερον καταγωνισάμενος τῶν Περσικῶν στρατευμάτων, ἔπειτα καὶ ἐν Ἰσσῷ τῆς Κιλικίας αὐτῷ πολεμεῖ Δαρείῳ, καὶ τελευταῖον εἴσω χωρεῖ τῆς Ἀσσυρίας. καταλαβὼν δὲ Δαρεῖον ὑπὸ Βησσᾶ τινος τῶν ἀρχόντων ἀναιρεθέντα θάπτει μεγαλοπρεπῶς, ἔχων ἤδη τὴν αὐτοῦ* 15 *γαμετὴν ἀπὸ τῆς ἐν Ἰσσῷ μάχης σὺν τῇ μητρί τε καὶ τοῖς τέκνοις. βασιλεύει δὲ βασιλείαν Περσικὴν ἅμα τῇ βαρβάρῳ διαίτῃ. γενόμενος δὲ καὶ ἐν Καυκάσῳ κρατεῖ τῶν αὐτόθι βαρβάρων Μαιώτιδος λίμνης ἐλθών. κἀκεῖθεν μεταχωρήσας ἐπὶ τοὺς Ἰνδοὺς παντός τε κρατήσας ἔθνους Ἰνδικοῦ μέχρι ποταμοῦ Γάγγου πάλιν ἀναζεύγνυσι διὰ τοῦ Ἰνδοῦ ποταμοῦ* 20 *μέχρι τῆς Ἰνδικῆς θαλάσσης, καὶ οὕτως εἰς τὴν Ἀσσυρίαν ἐπάνεισι Βαβυλῶνα, πᾶσαν ἔχων Εὐρώπην ὑπὸ χεῖρα καὶ τὴν Ἀσίαν. τελευτᾷ δὲ τὸν βίον ἐκεῖ νόσῳ καμών. θάπτεται δὲ μετὰ βραχὺ τὸ σῶμα εἰς τὴν κατ' Αἴγυπτον Ἀλεξάνδρειαν, ἣν μετὰ τὴν ἐν Ἰσσῷ μάχην αὐτὸς ᾠκοδομήσατο, Τύρον καὶ Γάζαν καὶ τὰς λοιπὰς πόλεις παραστησάμενος πλὴν* 25
503 *Ἱεροσολύμων διὰ τὴν ἑξῆς παρατεθησομένην αἰτίαν, ἐκ Παλαιστίνης εἰς Αἴγυπτον ἐλθών· θάπτεται οὖν τὸ σῶμα σταλὲν εἰς Ἀλεξάνδρειαν ὑπὸ*

4 *πόσα ἔτη ἀπὸ Ῥωμύλου ἕως Ἀλεξάνδρου καὶ πόσα ἀπὸ Τροίας ἁλώσεως* || 7 *Ἀλέξανδρος φοιτητὴς Ἀριστοτέλους κ' ἐτῶν βασιλεύς* || 22 *Ἀλεξάνδρου τελευτή*

1 aliter in filis supra 308, 4; 314, 5 || 4–6 eadem fere apud ps. Sym. f. 56v (om. Cedr.) || 7–10 cf. ps. Sym. f. 56v (Gelzer 2, 380, om. Cedr.) || 7–9 Dexippus FGr Hist 100 F 9 || 9–14 cf. Pomp. Trog. fr. 74. 75. 91 || 14–16 cf. Pomp. Trog. fr. 80. 89 || 17 cf. Pomp. Trog. fr. 95 || 17–18 cf. Iustin. 12, 5, 9–13 || 19–23 cf. Pomp. Trog. fr. 74. 101 || 20 cf. Arrian. Ind. 2, 8, Craterum FGrHist 153 F 2 || 23–24 cf. Pomp. Trog. fr. 102 || 24–26 cf. Euseb. 2, 123d || 27 cf. Pomp. Trog. fr. 103

1 *ἐβασίλευε* B *ἐβασίλευσε* A || 5 *ῥωμύλος* B *ῥωμύλλος* A || 7 ante *Ἀλέξανδρος* add. *τῷ ͵ερνβ' ἔτει* et post *βασιλείαν* (9) add. *καὶ βασιλεύσας χρόνους κθ' Μακεδόνων* ps. Sym. || 9 *πρῶτον* A *πρῶτος* B || 13 *ἰσσῷ* altera manu A *νήσῳ* AB, similiter infra | *δαρείῳ* B *δαρεῖον* A || 17 *βαρβάρῳ διαίτῃ* Scal. *βαρβαρώδει ἔτη* A *βαρβαρώδη ἔτη - -* B || 18 *μαιώτιδος* A *νοιώτιδος* B

*Ἀριδαίου ἀδελφοῦ αὐτοῦ πρὸς πατρός, ὃς μετὰ Ἀλέξανδρον ἦρξε Μακε-
δόνων, μετονομασθεὶς ὑπ᾽ αὐτῶν Φίλιππος, σὺν Ἀλεξάνδρῳ ἐκ Ῥωξάνης
τῆς Δαρείου παιδὸς τοῦ μεγάλου Ἀλεξάνδρου, ἐγγὺς ἔτη ζ΄. ἀπὸ τῆς
ἀρχῆς οὖν τούτου οἱ χρόνοι τῶν προχείρων κανόνων κατὰ Πτολεμαῖον
5 ληφθέντες καὶ τὰ κατὰ ἀποκατάστασιν Αἰγυπτιακοῦ ἔτους ψηφίζονται.*

*Ὅσα μὲν οὖν ἐχρῆν πρὸ τῆς Ἀλεξάνδρου βασιλείας περὶ τῆς Μακεδόνων
ἀρχῆς παραθέσθαι συνοπτικῶς ἤδη προτέτακται μέχρις αὐτοῦ. λοιπὸν δὲ
καὶ τοὺς μετ᾽ αὐτὸν διαδεξαμένους τὴν ἡγεμονίαν ἐπισημοτέρους ἄξιον
εἰπεῖν καὶ αὐτοὺς ἐν κεφαλαίῳ.*

10 *Μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν διαιροῦνται τὴν ἡγεμονίαν Μακεδόνων
μέν, ὡς ἤδη λέλεκται, Ἀριδαῖος ἀδελφὸς αὐτοῦ πρὸς πατρὸς ἐκ Φιλίννης
τῆς Θετταλῆς ὁ ἐπικληθεὶς Φίλιππος πόθῳ τῶν Μακεδόνων τῷ πρὸς
τὸν πατέρα Φίλιππον, καὶ Ἀλέξανδρος παῖς Ἀλεξάνδρου ἐκ Ῥωξάνης τῆς
Ὀξυάρτου· εἶτα καὶ οἱ λοιποὶ καθ᾽ ἑαυτοὺς ἕκαστος, ὧν οἱ προύχοντες
15 ἦσαν Πτολεμαῖος ὁ Λάγου κληρωσάμενος τὴν Αἰγύπτου βασιλείαν,
Σέλευκος ὁ Νικάτωρ Συρίας καὶ Κιλικίας μέχρι Βαβυλῶνος, Περδίκκας
ὁ λαβὼν παρὰ Ἀλεξάνδρου τὸν δακτύλιον ἐπὶ τῆς μεγάλης τάττεται
Φρυγίας, Λυσίμαχος τὴν εἰς δεξιὰ τοῖς πλέουσι τὸν Πόντον ἡγεμονίαν
παραλαμβάνει, Ἀντίγονος Φρυγίας τῆς μικρᾶς καὶ Παμφυλίας καὶ* 504
*20 Λυκίας ἄρχει, Εὐμένης Παφλαγονίας καὶ Καππαδοκίας κληροῦται,
Κάσανδρος ὁ Ἀντιπάτρου σὺν τῷ πατρὶ τὴν Ἀριδαίου καὶ Ἀλεξάνδρου
διοικεῖ βασιλείαν ἐν Μακεδόσι καὶ τῆς Ἑλλάδος κρατεῖ.*

*Ταῦτα πάντα συντρέχει κατὰ τὴν ριε΄ ὀλυμπιάδα, καθ᾽ ἣν ἀρχομένην,
ἢ πρὶν ἄρξασθαι, τὸν Ἀριδαῖον Ὀλυμπιὰς κτείνει ἡ Ἀλεξάνδρου μήτηρ ἡ*

25 **1** *Ἀριδαῖος ἀδελφὸς πρὸς πατρὸς Ἀλεξάνδρου ὁ μετονομασθεὶς Φίλιππος* ‖ **6** *διηρέθη ἡ Ἀλεξάνδρου βασιλεία εἰς ἀρχὰς πλείστας οὕτως· Ἀριδαῖος σὺν Ἀλεξάνδρῳ παιδὶ τοῦ μεγάλου Ἀλεξάνδρου τῶν Μακεδόνων· Πτολεμαῖος ὁ Λάγου Αἰγύπτου βασιλεύει· Περδίκκας Φρυγίας· Ἀντίγονος Λυκίας· Σέλευκος Συρίας καὶ Κιλικίας· Λυσίμαχος Πόντου· Εὐμένης Παφλαγονίας καὶ Καπποδοκίας· Κάσανδρος ὁ Ἀντιπά-
30 τρου σὺν τῷ πατρὶ τὴν Ἀριδαίου καὶ Ἀλεξάνδρου διοικεῖ βασιλείαν τῶν Μακεδόνων καὶ τῆς Ἑλλάδος* ‖ **23** *τίς κτείνει τὸν Ἀριδαῖον*

1–3 Porphyrius FGrHist 260 F 1. 3 ‖ **3–5** cf. astr. can. (laterculum acephalum) Chron. Min. 3, p. 454 ‖ **10–22** cf. Dexipp. FGrHist 100 F 8 ‖ **23** quae narrat Georgius Syncellus de regnis Hellenisticis et hic et infra passim per paginas sequentes similia quidem sunt ei uersioni quam ex Porphyrio (FGrHist 260) excerpsit Eusebius 1, 109–124, attamen plenior est narratio Syncelli alioque ordine cum additamentis ex Diodoro et, ut mihi uidetur, ex Pompeio Trogo. forsitan Syncellus aut auctor eius ex Dexippo (FGrHist 100 F 8) hauserit. de rebus chronologicis uide Ferguson, Class. Phil. 23, 1929, 20 ‖ **23**–p. 320, **19** cf. Porphyr. FGrHist 260 F 3 = Euseb. 1, 109, 13–110, 15 ‖ **24**–p. 320, **4** cf. Iustin 14, 5, 4–6, 1

5 *τὰ* om. **A** ‖ **8** *τοὺς* **B** *τοῖς* **A** ‖ **11** *φιλίννης* **A** *φιλλίνης* **B** ‖ **14** *ἕκαστος* om. **B** ‖ **23. 24** *ἀρχομένην ἢ* Di. *ἀρχομένη ἡ* **AB** ‖ **24** *κτείνει* **A** *κτείνη* **B**

παρὰ Αἰακοῦ σταλεῖσα τοῦ βασιλέως Ἠπείρου, ἢ τοῦτον φυγοῦσα καὶ πρὸς Μακεδόνας ἐλθοῦσα· διττῶς γὰρ ἱστορεῖται. τοῦτον μὲν οὖν ἀνελοῦσα σὺν τῇ γαμετῇ ἑβδόμῳ ἔτει τῆς μετὰ Ἀλέξανδρον βασιλείας αὐτοῦ καὶ αὐτὴ μετὰ βραχὺν χρόνον ἀναιρεῖται ὑπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου· βασιλεύει δὲ Μακεδόνων ἀρξαμένη σὺν δύο παισὶν Ἀλεξάνδρου, τῷ τε ἐκ 5 *Φαρσίνης τῆς Φαρναβάζου Ἡρακλεῖ καλουμένῳ καὶ Ἀλεξάνδρῳ τῷ προρρηθέντι ἐκ Ῥωξάνης τῆς θυγατρὸς Ὀξυάρτου Βακτρῶν βασιλέως, οὓς καὶ αὐτοὺς ὁ Κάσανδρος ἀνελών, τὴν δὲ Ὀλυμπιάδα καὶ ἄταφον ἐκρίψας, ἑαυτὸν Μακεδόσι βασιλέα ἀνηγόρευσε, γήμας τὴν Φιλίππου τοῦ βασιλέως γαμετὴν Θεσσαλονίκην, καὶ βασιλεύσας ἔτη ιθʹ, φθινάδι τε* 10 *νόσῳ διαλυθείς, ἐπὶ τρισὶν υἱοῖς, Φιλίππῳ, Ἀλεξάνδρῳ καὶ Ἀντιπάτρῳ·* 505 *ὧν Φίλιππος πρῶτος ἦρξε μετὰ Κάσανδρον τὸν πατέρα Μακεδόνων ἐν Ἐλατείᾳ θανών, Ἀντίπατρος δὲ Θεσσαλονίκην ἀνελὼν τὴν ἰδίαν μητέρα συμπράττουσαν Ἀλεξάνδρῳ τἀδελφῷ περὶ τῆς βασιλείας εἰς Πόντον φεύγει πρὸς Λυσίμαχον καὶ ἀναιρεῖται ὑπ' αὐτοῦ, καίπερ γήμας θυγατέρα* 15 *αὐτοῦ. Ἀλέξανδρος δὲ Λυσάνδραν τὴν Πτολεμαίου γαμεῖ, παρὰ Δημητρίου δὲ ἀναιρεῖται τοῦ Πολιορκητοῦ, συμμαχήσειν κατὰ Ἀντιπάτρου τοῦ νεωτέρου ἀδελφοῦ τοῦτον προσκαλεσάμενος, καὶ ἄρχει Μακεδόνων Δημήτριος.*

Ὁ Ἀντιγόνου μὲν παῖς οὗτος τοῦ τὴν μικρὰν κληρωσαμένου Φρυγίαν, 20 *ὡς ἀνωτέρω προείρηται, φοβερωτάτου δὲ τῶν τότε κατὰ τὴν Ἀσίαν βασιλέων, ὃς καὶ ἐν Φρυγίᾳ θνήσκει πάντων αὐτῷ διαφόρων ἐπιτεθέντων δυναστῶν, ἔτη ιηʹ τῆς βασιλείας κρατήσας· Πολιορκητὴς δὲ ἐπικληθεὶς διὰ τὸ μετὰ θάνατον Ἀντιγόνου τοῦ πατρὸς ἐν Ἐφέσῳ διασωθῆναι φυγάς, ἡνίκα τῆς ὅλης Ἀσίας ἀποσφαλεὶς ὤφθη δεινότατος ἐν τῇ πολιορκίᾳ* 25 *βασιλεύσας ἁπάντων τῶν τηνικαῦτα.*

Οὗτος τῆς μὲν Ἀσίας τῆς μικρᾶς ἔτη ιζʹ, Μακεδόνων δὲ ϛʹ ἐβασίλευσεν ἔτη μόνα μετὰ τὸ ἀνελεῖν Ἀλέξανδρον τὸν Κασάνδρου, καὶ ἐκβάλλεται τῆς ἀρχῆς ὑπὸ Πύρρου βασιλέως Ἠπείρου, υἱοῦ μὲν Αἰακοῦ τοῦ Ἠπειρώ-

4 *κτείνεται καὶ αὐτὴ ὑπὸ Κασάνδρου Ἀντιπάτρου ἣ καὶ ἐβασίλευσε μετὰ βʹ παιδῶν* 30 *Ἀλεξάνδρου οὓς συνανεῖλε* || **11** *γʹ υἱοὶ Κασάνδρου Φίλιππος Ἀλέξανδρος Ἀντίπατρος* || **13** *Ἀντίπατρος τὴν ἰδίαν μητέρα ἀνεῖλεν ὃς ἀνῃρέθη ὑπὸ Λυσιμάχου* || **27** *Δημήτριος βασιλεὺς ϛʹ ἔτη Μακεδόνων*

20–26 cf. Porphyr. FGrHist 260 F 32 = Euseb. 1, 117, 1–14 || **27**–p. 321, **14** cf. Porphyr. FGrHist 260 F 3 = Euseb. 1, 110, 12–111, 6 || **29**–p. 321, **3** cf. Iustin. 17, 3, 16

1 *αἰακοῦ* **A** *ἐάκου* **B** | *ἢ* **B** *ἡ* **A** || **3** *ἑβδόμῳ ἔτει* **B** *ζʹ ἔτη* **A** || **4** *βραχὺν* Scal. *βραχὺ* **AB** || **6** *Φαρναβάζου* Di. *φαρναζάβου* **AB** || **7** *προρρηθέντι* **A** *προρηθέντι* **B** || **8** *αὐτοὺς* **A** *αὐτὸς* **B** || **9** *τοῦ* om. **B** || **10** *φθινάδι* **A** *φθεινάδι* **B** || **11** *φιλίππῳ* **B** *φιλίππου* **A** || **13** *ἐλατείᾳ* **A** *ἐλατίᾳ* **B** || **14** *εἰς πόντον* **B** *εἰπόντων* **A** || **25** *ἡνίκα* Scal. *ἐνίκα* **AB** || **29** *αἰακοῦ* **A** *ἐάκου* **B** | *τοῦ* om. **B** || **30–33** lemmata om. **A**^m || **30** *αὐτὸς* **B**^m

του δυνάστου διαδεξαμένου τὴν Ἠπειρωτικὴν ἀρχὴν ἀπ' αὐτοῦ, εἰκοστοῦ δὲ καὶ τρίτου ἀπὸ Ἀχιλλέως τοῦ Θέτιδος καὶ Πηλέως, ἀνδρὸς καὶ χειρὶ δυνατοῦ καὶ εὐβουλίᾳ στρατηγικοῦ· ὃς Πύρρος ἐκβαλὼν Δημήτριον, ὡς προσηκούσης αὐτῷ τῆς Μακεδόνων ἀρχῆς μετὰ τὸ γένος Φιλίππου διὰ 506
5 *Ὀλυμπιάδα τὴν Ἀλεξάνδρου τοῦ κτίστου μητέρα φέρουσαν ἐκ Πύρρου τοῦ καὶ Νεοπτολέμου παιδὸς Ἀχιλλέως τὸ γένος, ἐκράτησε Μακεδόνων μῆνας ζ'.*

Λυσίμαχος δὲ ὁ Θετταλὸς Ἀγαθοκλέους παῖς, εἷς τῶν Ἀλεξάνδρου δορυφόρων, Θρᾴκης τε καὶ Χερρονήσου τῆς λοιπῆς τε βασιλεύων ὁμόρου
10 *χώρας, τῷ Πόντῳ καὶ τῇ Μακεδονίᾳ ταύτῃ ἐπιδραμὼν ὡς γείτονι, Πύρρον μὲν διεδέξατο, αὐτὸς δὲ ἐβασίλευσε Μακεδόνων ἔτη ε' καὶ μῆνας ς'. οὗτος ἡττηθεὶς ἐν τῇ πρὸς Σέλευκον τὸν Νικάτορα μάχῃ βασιλέα Συρίας καὶ Ἀσίας, τὸν αἰχμάλωτον ἑλόντα καὶ τὸν Πολιορκητὴν Δημήτριον, ἐκπίπτει τῆς ἀρχῆς.*

15 *Φανεροῦ δὴ ὄντος τοῦ τρόπου, καθ' ὃν Ἀντίγονός τε ὁ τῆς μικρᾶς Φρυγίας καὶ Παμφυλίας καὶ Λυκίας ἄρξας εὐθὺς μετὰ Ἀλέξανδρον τέθνηκε, καὶ ὅπως ὁ τούτου παῖς Δημήτριος δόλῳ κρατήσας Μακεδόνων ὑπὸ Πύρρου ἐξεβλήθη, αἰχμάλωτός τε ἁλοὺς ὑπὸ Σελεύκου ἐν Κιλικίᾳ τηρούμενος βασιλικῶς θνήσκει, καὶ αὖθις ὁ Λυσίμαχος Πύρρον ἐκβαλὼν*
20 *Μακεδόνων ἐβασίλευσεν ὑπὸ Σελεύκου τε τοῦ Νικάτορος καταπολεμηθεὶς ἐκπέπτωκε τῆς ἀρχῆς, ὑπολείπεται δεῖξαι καὶ Σέλευκον ὅπως τῆς βασιλείας ἔτυχε.*

Πτολεμαῖος ὁ Λάγου πρῶτος τῆς Αἰγύπτου μετὰ Ἀλέξανδρον βασιλεύσας ἔτη μ', ἐλθὼν εἰς Παλαίγαζαν συνάπτει μάχην Δημητρίῳ τῷ
25 *Ἀντιγόνου, καὶ νικήσας ἀναδείκνυσι Σέλευκον βασιλέα Συρίας καὶ τῶν ἄνω τόπων. Σέλευκος δ' ἀναβὰς μέχρι Βαβυλωνίας καὶ κρατήσας τῶν* 507 *βαρβάρων βασιλεύει ἔτη λβ'. διὸ καὶ Νικάνωρ ἐπεκλήθη. τῷ γοῦν λβ' ἔτει τῆς βασιλείας αὐτοῦ, οε' τῆς ὅλης ζωῆς, Λυσίμαχον ἐκβαλὼν τῆς Μακεδονικῆς ἀρχῆς, ἐπαρθεὶς δὲ ἐπὶ τῇ νίκῃ καὶ αὐτὸς ἀναιρεῖται πρὸς*
30 *Πτολεμαίου τοῦ Λάγου τοῦ Κεραυνοῦ λεγομένου, μέλλων καὶ Μακεδόνων ἄρχειν, καὶ κρατεῖ Μακεδόνων Πτολεμαῖος.*

Οὗτος ὁ Λάγου καὶ Εὐρυδίκης παῖς τῆς Ἀντιπάτρου Σέλευκον ἀνελὼν εὐεργέτην τε ὄντα ἑαυτοῦ καὶ ἐκ φυγῆς ὑποδεξάμενον ἔτος ἓν καὶ μῆνας

8 *Λυσίμαχος δορυφόρος βασιλεὺς Θετταλὸς Μακεδόνων*

15–31 cf. Porphyr. FGrHist 260 F 32 = Euseb. 1, 117, 1–14 || **32** cf. Porphyr. FGrHist 260 F 3 = Euseb. 1, 111, 10–27

3 *εὐβουλίας* **AB** | *ἐκβαλὼν* **B** *ἐκβάλλων* **A** || **6** *μακεδόνων* **B** *μακεδόνας* **A** || **19** *ἐκβαλὼν* **B** *ἐκβάλλων* **A** || **24** *Παλαίγαζαν* Scal. *πάλαι γάζαν* **A** *πάλαι γάζην* **B** || **29** *πρὸς* Di. *πρὸ* **AB**

ε΄ ἀναιρεῖται καὶ αὐτός, Γαλάταις πολεμῶν, κατακοπεὶς μετὰ τῆς δυνάμεως καὶ τῶν ἐλεφάντων.

Κατὰ δὲ τοὺς χρόνους τούτους τῶν Γαλατῶν ἐπικειμένων τῇ Μακεδονίᾳ καὶ λεηλατούντων αὐτὴν διὰ τὸ πολλοὺς ἐπεμβαίνοντας τῇ βασιλείᾳ πρὸς βραχὺ κρατεῖν καὶ ἐκπίπτειν αὐτῆς, ὧν εἷς καὶ Μελέαγρος ἀδελφὸς 5 *Πτολεμαίου τοῦ Λάγου, πρὸς ὀλίγας ἡμέρας δυναστεύσας καὶ ἐκπεσών, ὡσαύτως δὲ καὶ Ἀντίπατρος ἡμέρας με΄· μεθ' οὓς Σωσθένης· ἔτι δὲ Πτολεμαῖος· πρὸς δὲ τούτοις Ἀλέξανδρος καὶ Πύρρος ὁ Ἠπειρώτης. οἳ πάντες ἔτη γ΄ κατὰ Διόδωρον.*

Ἀντίγονος ὁ Γονατᾶς ἐπικληθεὶς διὰ τὸ ἐν Γόνοις τῆς Θετταλίας 10 *τραφῆναι υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ βασιλεύει Μακεδόνων ἔτη* 508 *μδ΄, προβασιλεύσας ἔτη ιβ΄ τῆς Ἑλλάδος, καὶ μετὰ ταῦτα τῆς Μακεδονικῆς ἀρχῆς σὺν τῇ Ἑλλαδικῇ ἀντιποιησάμενος ἓν κράτος. μετὰ τοῦτον ὁ υἱὸς Δημήτριος ἔτη ι΄ βασιλεύσας τελευτᾷ καταλιπὼν Φίλιππον υἱὸν νήπιον. τούτου ἐπίτροπος Ἀντίγονος κατασταθεὶς ὁ Δημητρίου κρατεῖ* 15 *Μακεδόνων ἔτη ιβ΄, κατὰ δὲ τὸν Διόδωρον ἔτη θ΄. μεθ' ὃν ὁ Φίλιππος αὐξηθεὶς ἀπέλαβε τὴν πατρῴαν ἀρχήν, καὶ ἦρξεν ἔτη μβ΄. τούτου τελευτήσαντος διεδέξατο τὴν ἀρχὴν Περσεὺς ἔτη ι΄ ἢ θ΄, κατά τινας ὕστατος βασιλεὺς Μακεδόνων γεγονὼς ὑποχείριός τε Ῥωμαίοις καὶ τὸν βίον οἰκτρῶς καταστρέψας κατὰ τοὺς χρόνους τῶν Μακκαβαίων.* 20

Τῆς μὲν οὖν πρὸς Ῥωμαίους δυστυχοῦς μάχης Φίλιππος προκατῆρξεν ὁ Περσέως πατήρ, τοῦ δὲ αἰσχίστου τέλους Περσεὺς ἀπήλαυσε σὺν τοῖς ὑπ' αὐτὸν Μακεδόσι καὶ τοῖς συμμαχήσασιν Ἰλλυριοῖς καὶ Ἠπειρώταις καὶ Μολοσσοῖς.

Αἰμίλιος γὰρ Μάρκος Ῥωμαίων ὕπατος καὶ ἄριστος στρατηγὸς Περσέα 25 *λαβὼν αἰχμάλωτον, τοῦτον μὲν ἄδικον πρὸς Ῥωμαίους ἐξαγαγόντα παρὰ τὰς συνθήκας πόλεμον εἰς ἐλευθέραν ἀπέθετο φυλακήν, τὰς δὲ πόλεις Μακεδόνων καὶ Ἰλλυριῶν ἁλούσας παρ' ἐλπίδα πάσας ἐλευθέρας ἀφῆκε, καίτοι μεγάλων μεγάλους κινδύνους ὑπομεινάντων Ῥωμαίων πολλάκις ἐν τοῖς πρὸς Περσέα πολέμοις, καὶ πρό γε τούτου κρατήσαντες πολέμῳ* 30

3 *περὶ τῶν Γαλατῶν ὅπως ἐνίκησαν Μακεδόνας* || 14 *Φίλιππος νήπιος* || 16 *μβ΄ ἔτη Φίλιππος ἦρξε Μακεδόνων καὶ ὁ Περσεὺς καταλύει τὸν βίον κατὰ τοὺς χρόνους τῶν Μακκαβαίων* || 23 *Ῥωμαίων νίκη κατὰ Μακεδόνων*

9 Diodorus (frag.) 22, 4 || 10–18 cf. Porphyr. FGrHist 260 F 3 = Euseb. 1, 112, 1–113, 6 || 16 Diodorus (frag.) 25, 18 || 19–20 cf. Euseb. 2, 140b. 141a || 21 cf. Pomp. Trog. fr. 143 || 25–p. 323, 10 = Diodorus (frag.) 31, 8, 4–5, cf. 31, 8, 1–3 (Excerpta Constantiniana)

1 *δυνάμεως* **A** *δυνάμενος* **B** || 14 *Δημήτριος* Go.m *δημητρίου* **AB** | *καταλιπὼν* **A** *καταλειπὼν* **B** || 18 *ἢ θ΄* **B** *ὅθεν* **A** || 19 *βασιλεὺς* **B** *βασιλεύσας* **A** || 20 *μακκαβαίων* **A** *μακαβαίων* **B** || 22 *ἀπήλαυσε* **A** *ἀπήλασε* **B** || 25 et infra *Μάρκος*] ita solus Syncellus, recte Lucius Aemilius Paullus

Φιλίππου τοῦ πατρὸς αὐτοῦ καὶ Ἀντιόχου τοῦ μεγάλου, καὶ τοσοῦτον ἐπ' αὐτοῖς φιλανθρωπευθέντων, ὡς μὴ μόνον τὰς βασιλείας αὐτῶν ἔχειν, ἀλλὰ καὶ φίλους αὐτοὺς εἶναι συγχωρησάντων· ἐφ' οἷς ἑαυτοὺς Μακε- 509 *δόνες ἀγνωμονήσαντες ἀναξίους ἐδόκουν ἔσεσθαι παντὸς ἐλέους χειρω-* 5 *θέντες Ῥωμαίοις σὺν τῷ Περσεῖ. ἀλλ' ἡ σύγκλητος ἀμνησικάκως καὶ μεγαλοψύχως αὐτοῖς προσηνέχθη, τὴν ἐλευθερίαν ἀντὶ δουλείας χαρισαμένη, ὁμοίως δὲ καὶ τοῖς Ἰλλυριοῖς. καὶ τούτων γὰρ τὸν βασιλέα Γετίωνα αἰχμάλωτον ἔλαβον σὺν τῷ Περσεῖ.*

Εὐγενῶς οὖν δυνατοῖς Ῥωμαῖοι τὴν ἐλευθερίαν χαρισάμενοι τὰ ἡμίση 10 *δίδειν τῶν τελῶν προσέταξαν ὧν πρότερον ἐτέλουν τοῖς ἰδίοις βασιλεῦσιν· ἐξέπεμψάν τε ι' μὲν πρεσβευτὰς ἐκ τοῦ συνεδρίου εἰς Μακεδονίαν, ε' δὲ εἰς Ἰλλυριούς, οἳ καὶ πρὸς Αἰμίλιον Μάρκον ἐλθόντες συνεῖδον τὰ τείχη Δημητριάδος πόλεως Μακεδόνων πρώτης καθελεῖν, Ἀμφιλόχους δὲ τῶν Αἰτωλῶν ἀποζεῦξαι καὶ τοὺς ἐπιφανεῖς ἄνδρας τῶν Μακεδόνων εἰς ἓν* 15 *συναγαγεῖν, ἔνθα ἐλευθέρους καὶ ἀφρουρήτους αὐτοὺς ἀφῆκαν. κατέλυσαν δὲ καὶ τὰς ἐκ τῶν μετάλλων ἀργύρου καὶ χρυσοῦ προσόδους διά τε τὸ τῶν ἐνοικούντων ἀνεπηρέαστον καὶ ὅπως μή τινες μετὰ ταῦτα νεωτερίζοιεν διὰ τῶν χρημάτων ἀνακτώμενοι τὴν Μακεδόνων ἀρχήν.*

Τὴν δὲ χώραν ὅλην διεῖλον εἰς δ' μέρη, ὧν πρῶτον τὸ μεταξὺ Νέστου 20 *ποταμοῦ καὶ Στρυμόνος καὶ τὰ πρὸς ἀνατολὴν τοῦ Νέστου ἐρύμην καὶ τὰ πρὸς Ἄβδηρα καὶ Μαρώνειαν καὶ Αἶνον πόλεις, πρὸς δυσμὰς δὲ τοῦ* 510 *Στρυμόνος Βισαλτία πᾶσα μετὰ τῆς ἐν τῇ Σικτικῇ Ἡρακλείας.*

Δεύτερον μέρος, ὅπερ ἀπὸ μὲν ἀνατολῆς ὁρίζει ὁ Στρυμὼν ποταμός, ἀπὸ δὲ δυσμῶν ὁ καλούμενος Ἄξιος ποταμὸς καὶ οἱ παρακείμενοι αὐτῷ 25 *τόποι.*

Τρίτον ὃ περιέχει κατὰ δυσμὰς μὲν ὁ Πηνειὸς ποταμός, κατὰ δὲ ἄρκτον τὸ λεγόμενον Βέρνον ὄρος, προστεθέντων καί τινων τόπων τῆς Παιονίας, ἐν οἷς καὶ πόλεις ἀξιόλογοι Ἔδεσσα καὶ Βέροια.

Τέταρτον καὶ τελευταῖον, ὅπερ ὑπὲρ τὸ Βέρνον ὄρος συνάπτει τῇ 30 *Ἠπείρῳ καὶ τοῖς κατὰ τὴν Ἰλλυρίδα τόποις.*

Ἡγοῦντο δὲ καὶ πόλεις δ' τῶν αὐτῶν δ' μερῶν· τοῦ μὲν πρώτου Ἀμφίπολις, τοῦ β' Θεσσαλονίκη, τοῦ γ' Πέλλα καὶ τοῦ δ' Πελαγωνία.

19 *Ῥωμαίων α' νίκη· τὴν χώραν διεῖλον εἰς δ'*

11 – p. 324, 3 = Diodorus (frag.) 31, 8, 6 – 9; cf. Liv. 45, 17 et 29

1 *τοσοῦτον* A *τοσούτων* B || 4 *ἀναξίους* B *ἀναξίως* A || 5 et 8 *περσεῖ* B *πέρσῃ* A || 8 *γετίωνα* B *γαιτιῶνα* A *Γεντίωνα* Di. || 9 *ἡμίση* Go.[m] *ἥμισυ* AB || 11 *ἐξέπεμψαν* B *ἐξέπεμψεν* A || 16 *τὸ* om. B || 20 *ἐρύμην καὶ* AB *ἐρύματα πλὴν* Wesseling ex Liv. 45, 29 || 21 *αἶνον* A *ἔνον* B || 26 *πηνειός* A *πήνιος* B || 28 *ἔδεσσα* B *ἔδεσα* A || 32 *πελαγωνία* B *πελαγονία* A

ἐν ταύταις ἀρχηγοὶ δ΄ κατεστάθησαν καὶ οἱ φόροι ἠθροίζοντο, ἐν δὲ τοῖς ἐσχάτοις τῆς Μακεδονίας τόποις διὰ τὰς τῶν παρακειμένων ἐθνῶν ἐπιβουλὰς κατέστησαν στρατιώτας.

Ἐπὶ τούτοις ὁ Αἰμίλιος ἀγῶνας καὶ πότους μεγαλοπρεπεῖς τῷ πλήθει συντάξας τὰ εὑρεθέντα χρήματα εἰς τὴν Ῥώμην ἀπέστειλε. καταλαβὼν δὲ 5 *καὶ αὐτὸς θρίαμβον καταγαγεῖν ἅμα τοῖς σὺν αὐτῷ στρατηγοῖς κελεύεται παρὰ τῆς συγκλήτου· καὶ πρῶτος μὲν Ἀνίκιος καὶ Ὀκταούιος ὁ τῆς ναυτικῆς δυνάμεως ἡγησάμενος, ἀνὰ μίαν ἡμέραν ἑκάτερος ἐθριάμβευσεν, ὁ δὲ σοφώτατος Αἰμίλιος ἐπὶ τρεῖς.*

Καὶ τῇ μὲν πρώτῃ ἅμαξαι χίλιαι διακόσιαι προῆλθον φέρουσαι λευκὰς 10
511 *καὶ τραχείας ἀσπίδας, καὶ ἄλλαι ͵ασ΄ ἅμαξαι πλήρεις ἀσπίδων χαλκῶν, καὶ ἕτεραι τριακόσιαι λόγχας καὶ σαρίσσας καὶ τόξα καὶ ἀκόντια γέμουσαι. προηγοῦντο δὲ αὐτῶν ὡς ἐν πολέμῳ σαλπιγκταί. ἦσαν δὲ καὶ ἄλλαι πολλαὶ ποικίλα εἴδη φέρουσαι ὅπλων, κάμακες ὀκτακόσιαι καθωπλισμέναι. τῇ δὲ δευτέρᾳ προεκομίσθη νομισμάτων τάλαντα χίλια, ἀργύρου τάλαντα* 15 *δισχίλια διακόσια, ἐκπωμάτων πλῆθος, ἀγαλμάτων καὶ ἀνδριάντων ποικίλων ἅμαξαι πεντακόσιαι, ἀσπίδες τε χρυσαῖ καὶ πίνακες ἀναθεματικοὶ πάμπολλοι. τῇ τρίτῃ προηγοῦντο λευκαὶ βόες εὐπρεπεῖς ρκ΄, χρυσοῦ τάλαντα ἐν φορήμασι διακοσίοις εἴκοσι, φιάλη δέκα ταλάντων χρυσοῦ διάλιθος, χρυσωμάτων παντοῖαι κατασκευαὶ ταλάντων δέκα, ἐλεφάντων* 20 *ὀδόντες δισχίλιαι τριπήχεις, ἅρμα ἐλεφάντινον ἐκ χρυσοῦ καὶ λίθων, ἵππος φαλάροις διάλιθος καὶ τῇ λοιπῇ κατασκευῇ διαχρύσῳ πολεμικῶς κεκοσμημένος, κλίνη χρυσῆ στρωμναῖς πολυανθέσι κατεστρωμένη, φορεῖον χρυσοῦν περιπεπετασμένον πορφύραν, ἐφ᾽ οἷς Περσεὺς ὁ δυστυχὴς βασιλεὺς Μακεδόνων ἅμα δυσὶν υἱοῖς καὶ θυγατρὶ μιᾷ καὶ τοῖς ἡγεμόσι* 25 *διακοσίοις πεντήκοντα, στέφανοι τετρακόσιοι δοθέντες ἐκ τῶν πόλεων καὶ τῶν βασιλέων, καὶ ἐπὶ πᾶσιν Αἰμίλιος ἐφ᾽ ἅρματος ἐλεφαντίνου καταπλήκτου.*

512 ## ΚΟΣΜΟΥ ΕΤΗ

Ἰουδαίων ἀρχιεράτευσεν ζ΄ Ὀνείας υἱὸς Ἰαδδοῦς ἔτη κα΄. τοῦ δὲ 30 *κόσμου ἦν ἔτος ͵ερο΄.*

9 *τί ἐστι θρίαμβος Ῥωμαίων ἐπὶ τοὺς νικητάς*

4–9 = Diodorus (frag.) 31, 8, 9–10; cf. Liv. 45, 32. 40. 42. 43 ‖ 10–28 = Diodorus (frag.) 31, 8, 10–12; cf. Plutarch. Aem. Paull. 32–34 ‖ 30 cf. Chron. Pasch. 319, 19, Anon. Matr. 31, 19, Chron. Synt. 95, 23

[AB (315, 15–324, 11)] 11 *τραχείας* A *τραχίας* B | *ἅμαξαι*] explicit B f. 103ᵛ post quod excidit folium unum ‖ 14 *κάμακες* Go. *καὶ μάκες* A ‖ 22 *φαλάροις* Scal. *φιλάροις* A ‖ 30 *Ἰαδδοῦς* Di. *ἰασδδοὺς* A, sed infra (p. 325, 1) *ἰασδδοῦ* ‖ 31 et infra *ἦν ἔτος* om. A

Ἰουδαίων Ὀνείας ἀρχιερεὺς ἐγνωρίζετο υἱὸς Ἰαδδοῦς ἀρχιερέως.
Ἀρχιεράτευσεν η΄ Σίμων υἱὸς Ὀνείου ⟨ἔτη ιθ΄⟩. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερϙα΄.
Σίμων Ἰουδαίων ἀρχιερεὺς υἱὸς Ὀνείου ἐγνωρίζετο, ὃς δι' εὐσέβειαν 5 πρὸς θεὸν δίκαιος ἐκλήθη καὶ τὴν πρὸς τοὺς ὁμοφύλους εὔνοιαν.
Ἰουδαίων ἀρχιεράτευσεν θ΄ Ἐλεάζαρ Σίμωνος ἀδελφὸς ἀντ' Ὀνείου παιδὸς Σίμωνος νηπίου καταλειφθέντος, ἐφ' οὗ αἱ γραφαὶ ἑρμηνεύονται, ἔτη λβ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσι΄.
Ἰουδαίων ἀρχιεράτευσε ι΄ μετὰ Ἐλεάζαρον Μανασσῆς ὁ θεῖος τοῦ 10 Ὀνείου ἔτη κς΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσμβ΄.
Ἰουδαίων ἀρχιεράτευσεν ια΄ Ὀνείας ὁ προρρηθεὶς νήπιος υἱὸς Σίμωνος τοῦ δικαίου κληθέντος ἔτη ιδ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσξη΄.
Οὗτος Πτολεμαίου παρελογίσατο τὸν συνήθη φόρον μὴ τελῶν. Ἰώσηππος δέ τις ἀφανὴς Ἰουδαῖος πρὸς Πτολεμαῖον στειλάμενος καὶ δῆθεν 15 τὴν ὀργὴν θεραπεύσας στρατηγὸς ὑπ' αὐτοῦ τῆς ὅλης Ἰουδαίας καθίσταται.

⟨ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ⟩ 513

Μακεδόνων α΄ ἐβασίλευσε μετὰ Ἀλέξανδρον Φιλίππου ὁ Ἀριδαῖος ἔτη ζ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερϙα΄.
20 *Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον.*
Μακεδόνων β΄ ἐβασίλευσε Κάσανδρος ἔτη ιθ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερϙη΄.
Μακεδόνων τρεῖς ἐβασίλευσαν παῖδες Κασάνδρου Φίλιππος καὶ Ἀλέξανδρος καὶ Ἀντίπατρος ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ερϙζ΄.
25 *Μακεδόνων δ΄ ἐβασίλευσε Δημήτριος ὁ Ἀντιγόνου Πολιορκητὴς ὁ καὶ τῆς Ἀσίας ἔτη ϛ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσ΄.*
Μακεδόνων ε΄ ἐβασίλευσε Πύρρος μῆνας ζ΄.
Μακεδόνων ϛ΄ ἐβασίλευσε Λυσίμαχος ἔτη γ΄. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσϛ΄.
Μακεδόνων ζ΄ ἐβασίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτος α΄. τοῦ δὲ κόσμου 30 ἦν ἔτος ͵εσι΄.

1 Euseb. 2, 125[h] || 2 cf. Chron. Pasch. 324, 14 (ann. 14), Anon. Matr. 32, 1 (ann. 15), Chron. Synt. 95, 24 (ann. 11) || 4 Euseb. 2, 127[e] || 6 cf. Chron. Pasch. 323, 8 (ann. 15), Anon. Matr. 32, 3 (ann. 32), Chron. Synt. 95, 23 (ann. 32) || 6–7 Euseb. 2, 128[f] || 7 cf. Euseb. 2, 129[f] || 9–12 cf. Chron. Pasch. 329, 7; 334, 3, Anon. Matr. 32, 4–5, Chron. Synt. 95, 26–28, Euseb. 2, 131[h]. 132[b] || 13–16 Euseb. 2, 132[b] || 18–p. 326, 1 cf. Euseb. 1, 113, 36–114, 6

2 ὀνείου A, sed infra ὀνίου et ὀνίας | ἔτη ιθ΄ add. Go.[m] om. A || 6 ἀντ' Ὀνείου Di. ἀντωνίου A || 9 Ἐλεάζαρον Go.[m] ἐλεαζάρου A || 17 titulum add. Go. om. A || 19 et infra ἦν ἔτος om. A, sed habet 28

Μακεδόνων η' ἐβασίλευσε Πτολεμαῖος Μελέαγρος ἀδελφὸς Πτολεμαίου τοῦ Λάγου μῆνας β'.

Τὴν Μακεδονίας ἀρχὴν Μελέαγρος παραλαμβάνει μετὰ τὴν ἀναίρεσιν Πτολεμαίου τοῦ Λάγου ἀδελφοῦ αὐτοῦ, ὃν εὐθὺς ἐκβάλλουσι Μακεδόνες μετὰ μῆνας β' ὡς ἀνάξιον φανέντα, καὶ ἀντ' αὐτοῦ βασιλεύουσιν Ἀντίπα- 5
514 *τρον, ἀδελφιδοῦν μὲν Κασάνδρου, υἱὸν δὲ Φιλίππου, δι' ἀπορίαν γένους βασιλικοῦ. ὃν μετὰ ε' ἡμέρας Σωσθένης δημοτικὸς ἐξήλασεν ὡς ἀδυνατοῦντα στρατηγεῖν, Βέρνου τοῦ Γαλάτου ἐπιόντος αὐτοῖς, ὃν Σωσθένης ἐκδιώξας κρατεῖ καὶ αὐτὸς ἔτη β' τῶν Μακεδόνων. τούτου θανόντος ἀναρχία γέγονε. τῶν δὲ πραγμάτων προΐσταντο οἱ ἐξ Ἀντιπάτρου καὶ* 10 *Πτολεμαίου καὶ Ἀριδαίου. τοῦ δὲ Ἀντιπάτρου ζῶντος καὶ τοῖς πράγμασιν ἐπιβουλεύοντος Ἀντίγονος υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ καὶ Κεφίλλας τῆς θυγατρὸς Ἀντιπάτρου μεταποιεῖται τῆς Μακεδόνων ἀρχῆς ἔτη μδ', ὃς ἐν Γόνασι τραφεὶς τῆς Θετταλίας Γονατᾶς ἐπεκλήθη. ἦν δὲ καὶ πρὸ τοῦ βασιλεῦσαι Μακεδόνων ἔτη ιβ' βασιλεύσας. οὗτος τῆς* 15 *πάσης Ἑλλάδος ἐγκρατῶς ἐκυρίευσε ζήσας ἔτη πγ'.*

Μακεδόνων θ' ἐβασίλευσεν Ἀντίπατρος ἡμέρας με'.

Μακεδόνων ι' ἐβασίλευσε Σωσθένης ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσια'.

Μακεδόνων ια' ἀναρχίας ἔτη β'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσιγ'. 20

Μακεδόνων ιβ' ἐβασίλευσεν Ἀντίγονος ὁ Γονατᾶς ἔτη μδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσιε'.

Μήλων παρέδωκε Ῥωμαίοις Τάραντον.

Κατὰ τούτους τοὺς χρόνους Πύρρος ὁ Ἠπειρώτης, ὁ καὶ Μακεδόνων
515 *βασιλεύσας, πολεμεῖ Ῥωμαίοις προτραπεὶς ὑπὸ Ταραντίνων, καὶ κρατεῖ* 25 *κατ' ἀρχὰς μὲν τοῦ πολέμου, πρὸς αὐτῇ σχεδὸν γεγονὼς τῇ Ῥώμῃ. τραπεὶς δὲ ὕστερον φεύγει στρατηγοῦντος Κορνηλίου Λεντέλου τοῦ καὶ τὴν ὑπάτων ἔχοντος ἀρχήν. τὸ δὲ πλεῖστον ἀποβαλὼν τῆς δυνάμεως, οὕς τε εἶχεν ἐλέφαντας, οὐκ ἄλλοτε Ῥωμαίοις ὀφθέντας πρὸ τούτου, διαδιδράσκει διὰ τῆς θαλάσσης εἰς Ἤπειρον ἐλθών.* 30

Πύρρος ὁ Ἠπειρώτης μετὰ τὴν πρὸς Ῥωμαίους μάχην καὶ τὴν ἐκεῖθεν

3–16 cf. Porphyr. FGrHist 260 F 3 = Euseb. 1, 111, 16–112, 11 || **17–21** cf. Euseb. 1, 114, 7–10 || **23** Euseb. 2, 130[b] || **24–30** cf. Pomp. Trog. prolog. ad lib. 18 et 23 || **27** cf. Eutrop. 2, 14, 3, qui solus in historia belli Pyrrhici nominat consulem Cornelium Lentulum tamquam uictoriam Curio Dentato attribuens || **31**–p. 327, **3** cf. Pomp. Trog. fr. 129[b] = Iustin. 25, 5, 1–2

[**AB** (326, 17–416, 19)] **17** *Μακεδόνων*] incipit **B** f. 104[r] || **20** *ια'* **B** *ια' ἐβασίλευσεν* **A** || **23** *μήλων* **AB** *Μίλων* Di. | *παρέδωκε ῥωμαίοις* **A** tr. **B** | *τάραντον* **A** *τάρατα* **B** | hanc sententiam supra (21) post *μδ'* **AB** tr. Go. || **27** *Λεντέλου*] *τεντάλου* **B** *τερτέλλου* **A**

φυγὴν κατὰ Πελοποννησίων ἐπιστρατεύσας ἀναιρεῖται κεράμῳ πληγεὶς τὴν κεφαλὴν ὑπὸ γυναικὸς Ἀργολίδος ἀπὸ στέγους διὰ πυλίδος, εἰσβαλὼν τῇ πόλει καὶ βίᾳ τὸ Ἄργος ἑλεῖν.

Μακεδόνων ιγʹ ἐβασίλευσε Δημήτριος υἱὸς Ἀντιγόνου· οὗτος Λιβύης 5 *πάσης καὶ Κυρήνης ἐκράτησε ἔτη ιʹ, τὴν πατρῴαν τε ἀρχὴν ἀνεκτήσατο. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσνθʹ.*

ΑΛΕΞΑΝΔΡΕΩΝ ΒΑΣΙΛΕΙΣ

Ἀλεξανδρείας καὶ Αἰγύπτου αʹ μετὰ τὸν Ἀλέξανδρον ἐβασίλευσε Πτολεμαῖος ὁ Λάγου ἔτη μʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εροαʹ.

10 *Πτολεμαῖος ὁ Λάγου δόλῳ παραλαβὼν τὴν Ἱερουσαλὴμ καὶ ἀπάτῃ πολλοὺς ἐκ τῆς Ἰουδαίας μετῴκισεν εἰς Αἴγυπτον, οὓς μετ' αὐτὸν ὁ Φιλάδελφος Πτολεμαῖος ἠλευθέρωσεν.*

Ἀλεξανδρείας καὶ Αἰγύπτου βʹ ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλάδελφος 516 *ἔτη ληʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσιαʹ.*

15 *Πτολεμαίου τοῦ Λάγου κεραυνῷ τεθνεῶτος, ὡς προλέλεκται, ἐν τῇ κατὰ τῶν Γαλατῶν μάχῃ, τὴν μὲν Αἰγύπτου ἀρχὴν κληροῦται μετ' αὐτὸν Πτολεμαῖος ὁ Φιλάδελφος παῖς αὐτοῦ, ἀνὴρ τὰ πάντα σοφὸς καὶ φιλοπονώτατος, ὃς πάντων Ἑλλήνων τε καὶ Χαλδαίων, Αἰγυπτίων τε καὶ Ῥωμαίων τὰς βίβλους συλλεξάμενος καὶ μεταφράσας τὰς ἀλλογλώσσους εἰς* 20 *τὴν Ἑλλάδα γλῶσσαν, μυριάδας βίβλων ιʹ ἀπέθετο κατὰ τὴν Ἀλεξάνδρειαν ἐν ταῖς ὑπ' αὐτοῦ συστάσαις βιβλιοθήκαις.*

Οὗτος τὴν Φάρον Ἀλεξανδρείας μεγαλοπρεπῶς ἀνέστησε διὰ Σωστράτου Δεξιφάνους Κνιδίου, οὗ καὶ τὸ ὄνομα ἐπιγέγραπται ἐν τῷ ὑψηλοτάτῳ πύργῳ τῆς Φάρου οὕτως· Σώστρατος Δεξιφάνους Κνίδιος σωτῆρσι θεοῖς 25 *ὑπὲρ τῶν πλωϊζομένων.*

Ὁ αὐτὸς τοὺς κατ' Αἴγυπτον αἰχμαλώτους Ἰουδαίους μυριάδας ιβʹ ἐξωνησάμενος ταλάντοις υξʹ ἐκ τοῦ στρατεύματος ἐλευθέρους ἀνῆκε πόθῳ τῆς μεταφράσεως τῶν παρ' αὐτοῖς θείων εἰς τὴν Ἑλλάδα γλῶσσαν, ὑπὲρ

15 *ὁ Φιλάδελφος ὁ καὶ τοὺς οʹ ἑρμηνευτὰς τῶν γραφῶν μετακαλεσάμενος* || 26 *πόσας μυριάδας Ἰουδαίων ἠλευθέρωσε Φιλάδελφος Πτολεμαῖος* 30

4 Porphyrius FGrHist 260 F 3 = Euseb. 1, 112, 12–14 || 8 Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 74, 30 || 10 Euseb. 2, 125[g]. 129[f] || 13–21 cf. ps. Sym. f. 56[v] = Cedr. 289, 17 || 13–17 cf. Porphyr. FGrHist 260 F 2. 3 = Euseb. 1, 75, 4; 111, 7 || 17–21 cf. Euseb. 2, 129[f], Pomp. Trog. fr. 111[a] || 22 cf. Euseb. 2, 129[c] || 26–p. 329, 8 cf. Ioseph. Ant. Iud. 12, 11–118, et Epist. Aristeae, praesertim 9–10; eadem fere narrat ps. Sym. f. 56[v]–57[r] = Cedr. 289, 19–290, 11

6 *τοῦ . . . ͵εσνθʹ* in margine (om. *ἦν ἔτος*) A || 7 titulus in margine A || 11 *μετῴκισεν* Di. *μετῴκησεν* AB || 14 *ἦν ἔτος* om. A || 24 *οὕτως* B *οὗτος* A | *Σώστρατος* Scal. *σωστρατοῦς* AB || 25 *πλωϊζομένων* A *πλοϊζομένων* B

ὧν ἀναθήματα πολυτελῆ χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις ἐμμελῶς κατ-
εσκευασμένα τῷ θεῷ ἐν Ἱεροσολύμοις ἐξέπεμψεν, Ἐλεαζάρῳ τε τῷ τη-
νικαῦτα ἀρχιερεῖ δῶρα πλεῖστα, καθὼς ἐν τοῖς Πτολεμαϊκοῖς γέγραπται,
πρεσβευσάμενος σταλῆναι τὰς ἱερὰς δέλτους εἰς Ἀλεξάνδρειαν καὶ ἄνδρας
517 ἱεροὺς ἀκριβῶς ἐπιστήμονάς τε αὐτῶν καὶ τῆς Ἑλλήνων ἐμπείρους παι- 5
δεύσεως, ὡς ἂν ἀσφαλῶς ἐκ τῆς Ἑβραίων φωνῆς ἑρμηνευθεῖεν αὐτῷ.
τοῦτο δ' ἦν, οἶμαι, θείας ἔργον ῥοπῆς πόρρωθεν φιλούσης τῶν μεγάλων
πραγμάτων τὰς ὑποθέσεις προκαταλαβέσθαι καὶ τοῖς ἔθνεσι πρὸ τῆς
θείας σαρκώσεως ὁδοποιούσης τὴν θεόφραστον παίδευσιν. οʹ γὰρ ἄνδρας
ἱεροὺς καὶ σοφοὺς κατ' ἄμφω τὰς γλώσσας ὁ αὐτὸς σοφώτατος βασιλεὺς 10
ἐξ Ἱερουσαλὴμ σὺν ταῖς ἱεραῖς βίβλοις ἐχρυσογραφημέναις ἀποδεξάμενος
καὶ τὴν αὐτῶν ἑτοιμότητα πρὸς πᾶσαν φυσικὴν καὶ μαθηματικὴν πεῦσιν
ἐκπλαγείς, δώροις πρέπουσι φιλοθέῳ βασιλεῖ καὶ λόγοις ἠπίοις ἐξελιπά-
ρησε πάσῃ σπουδῇ ταύτας ἀφθόνως ἑρμηνευθῆναι, χωρίον εὐκραέστατον
αὐτοῖς ἀφορίσας τὴν Φάρον. 15

Οἱ δὲ θεοφιλεῖς ὄντες καὶ ταῖς ψυχαῖς ἡνωμένοι κατὰ συζυγίας διαιρε-
θέντες ἐν οβʹ ταῖς ὅλαις ἡμέραις ὁμοφώνως ἐπιπνοίᾳ θεοῦ τὴν ὅλην Ἑβραί-
ων φωνὴν μετέφρασαν. ἧς ἐπαναγνωσθείσης Πτολεμαίῳ τῷ Φιλαδέλφῳ
καὶ τοῖς περὶ αὐτὸν σοφοῖς Δημητρίῳ τῷ Φαληρεῖ παρ' Ἕλλησιν ἀνδρὶ
σπουδαίῳ καὶ πολυμαθεῖ, Μενεδήμῳ τε φιλοσόφῳ καὶ ἑτέροις ἀνθοῦσι 20
τῷ τηνικαῦτα, ὡμολογήθη μόνη θεόπνευστος εἶναι παρὰ πᾶσαν γραφὴν
ἐγνωσμένην αὐτοῖς. ἐπὶ τούτοις ἑορτάσας ὁ βασιλεὺς πλείστοις τε δώροις
518 ἄλλοις φιλοτιμησάμενος αὐτοὺς καὶ τῷ ἀρχιερεῖ καὶ τῷ ἱερῷ ἐξέπεμψεν,
εὐχαριστῶν τῷ τῶν ὅλων θεῷ.

Τὰ κατὰ τὴν διάλιθον τράπεζαν τὴν σταλεῖσαν εἰς Ἱερουσαλὴμ καὶ τὸ 25
φιλότιμον ἅμα καὶ φιλόσοφον Πτολεμαίου Ἰώσηππος ἱστορεῖ καταπλήκτῳ
ἤχῳ, ὅπως τε Θεόπομπος φιλόσοφος παρεφρόνησε τολμήσας ἱστορῆσαι
περὶ αὐτῶν καὶ Θεόδεκτος στρατηγικὸς ἐτυφλώθη δρᾶμα ποιήσας, ἄμφω
τε μεταγνόντες ἰάθησαν. Ἀρισταίου ἑνὸς τῶν φίλων αἰτήσαντος Πτολε-
μαίου ιβʹ μυριάδες Ἰουδαίων ἐξωνήσεσι βασιλικοῖς χρήμασι παρὰ τοῦ 30
στρατεύματος εἰς τὴν Ἰουδαίαν ἐξαπεστάλησαν, ρκʹ δραχμῶν ὑπὲρ ἑκά-
στου δοθεισῶν, ὡς εἶναι τὰ ὑπὲρ αὐτῶν λύτρα τάλαντα υξʹ. Ἀρισταῖον καὶ
Ἀνδρέαν δύο πρωτίστους ἀρχόντων ὁ Φιλάδελφος ἐξέπεμψε Πτολεμαῖος
εἰς Ἱερουσαλὴμ πρὸς Ἐλεάζαρον μετὰ σκευῶν χρυσῶν καὶ διαλίθων πολ-
λῶν καὶ ἀργυρῶν ταλάντων ρʹ καὶ ἄλλων δώρων, αἰτῶν σταλῆναι αὐτῷ 35

5 ἀκριβῶς **B** ἀκριβεῖς **A** || 6 ἑρμηνευθεῖεν **A** ἑρμηνευθῇ ἐν **B** || 13 ἠπίοις **A** ἠπείοις **B** || 14 ταύτης **AB** || 15 ἀφορίσας **A** ἀφορήσας **B** || 23 αὐτοὺς **B** αὐτοῖς **A** || 28 αὐτῶν **A** αὐτὸν **B** | στρατηγικὸς **B** στρατηγὸς **A** || 31 ἰουδαίαν **B** ἰουδαίων **A** || 32 Ἀρισταῖον Di. ἀριστέον **AB**

τὰς θείας γραφὰς καὶ ἄνδρας σοφοὺς ἑρμηνεύσοντας αὐτήν, ὡς Ἰώσηπ-πος.

Πτολεμαῖος οὗτος ὁ Φιλάδελφος πᾶσαν πανταχόθεν, ὡς εἰπεῖν, συμ-φορήσας βίβλον τῆς οἰκουμένης σπουδῇ τοῦ Φαληρέως Δημητρίου τρίτου
5 *νομοθέτου Ἀθηναίων, ἀνδρὸς παρ' Ἕλλησι σπουδαίου, ἐν οἷς καὶ τὴν Ἑβραίων γραφήν, ὡς προτέτακται, τὴν ἐν Ἀλεξανδρείᾳ βιβλιοθήκην καθ-ίστησιν ρλβ' ὀλυμπιάδι, ἧς πληρουμένης τελευτᾷ. δέκα μυριάδες βίβλων ἦσαν, ὥς τινές φασιν.*

Ἀλεξανδρείας καὶ Αἰγύπτου γ' ἐβασίλευσε Πτολεμαῖος ὁ Εὐεργέτης 519
10 *ἔτη κδ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσμθ'.*

ΑΣΙΑΣ ΒΑΣΙΛΕΙΣ

Ἀσίας α' μετὰ Ἀλέξανδρον Ἀντίγονος ἐβασίλευσεν ἔτη ιη'. τοῦ δὲ κό-σμου ἦν ἔτος ͵ερογ'.

Ἡ τῶν Μακκαβαίων ἱστορικὴ γραφὴ τοὺς Ἑλλήνων βασιλεῖς ἀπὸ Ἀντι-
15 *γόνου ἀριθμεῖ, ἣν Ἰώσηππος ἔγραψεν, ἥτις τῶν μὲν θεοπνεύστων οὐκ ἔστι, χρησίμη δὲ πάνυ πέφυκεν.*

Ἀντίγονος Ἀντιγονίαν τὴν πρὸς τῷ Ὀρέντῃ ποταμῷ ἔκτισεν, ἣν Σέλευ-κος ἐπικτίσας Ἀντιόχειαν ὠνόμασεν.

Ἀσίας μόνης β' Δημήτριος ὁ Πολιορκητής, Ἀντιγόνου παῖς, ἔτη ι'. τοῦ
20 *δὲ κόσμου ἦν ἔτος ͵ερπθ'.*

Δημήτριον τὸν Πολιορκητὴν ὁ Σέλευκος λαβὼν ἐν Κιλικίᾳ βασιλικῶς τηρεῖσθαι προσέταξεν ἕως θανάτου, ὑπὸ χεῖρα τὴν τῆς Ἀσίας ἀρχὴν κτη-σάμενος. ἐκβαλὼν δὲ καὶ Λυσίμαχον τῆς Μακεδόνων ἀρχῆς, ἀναιρεῖται τάχιστα ὑπὸ τοῦ Λάγου Πτολεμαίου τοῦ καὶ Κεραυνοῦ. καὶ κρατεῖ Μα-
25 *κεδόνων ὁ αὐτὸς Πτολεμαῖος ἔτος α' μῆνας ε', καὶ ἀναιρεῖται κατὰ τὸν Γαλατικὸν πόλεμον.*

Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησεν.

Ἡ τῆς Ἀσίας βασιλεία κη' ἔτη διαρκέσασα ὑπὸ Σέλευκον γέγονε.

14 *τί ἐστιν ἡ γραφὴ Ἰωσήππου χρησίμη* || **17** *Ἀντιγονία ἡ νῦν Ἀντιόχεια ἡ μεγά-*
30 *λη* || **26** *τίς ἡττήθη ἐν τοῖς Γαλάταις*

3 cf. Epist. Aristeae 9–10 = Demetrium Phalereum FGrHist 228 T 6 || **7** cf. Euseb. 2, 132, 7 (Olymp. 133) || **9** Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 75, 7 (ann. 25); 79, 26 (ann. 24) || **12** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 117, 3 || **14–16** cf. Euseb. 2, 126[d], H. E. 3, 10 || **17** Euseb. 2, p. 198 Arm. (om. Hieron.), cf. ps. Sym. f. 57[r] = Cedr. 292, 8 || **19–24** cf. Porphyr. FGrHist 260 F 32 = Euseb. 1, 117, 14–34 || **24–26** Porphyrius FGrHist 260 F 3 = Euseb. 1, 111, 11–12 || **27** Euseb. 2, 127[f]

1 *ὡς* **B** *ὡσὰν* **A** || **5** *ἀθηναίων* **B** *ἀθηναίου* **A** || **7** *μυριάδες* Go.[m] *μυριάδας* **AB** || **8** *ἦσαν* **A** *εἶσαν* **B** || **10** et infra *ἦν ἔτος* om. **A** || **17** *ὀρέντῃ* **AB** *Ὀρόντῃ* Di. cf. *Orent* Euseb. Arm.

520 ## ΣΥΡΙΑΣ ΚΑΙ ΒΑΒΥΛΩΝΙΑΣ ΒΑΣΙΛΕΙΣ

Συρίας καὶ Βαβυλωνίας καὶ τῶν ἄνω τόπων πρῶτος Σέλευκος Νικάνωρ ἐβασίλευσεν ἔτη λγʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εροαʹ.

Ἐδεσσηνοὶ τοὺς χρόνους ἔνθεν ἀριθμοῦσι.

Σέλευκος Ἀντιόχειαν τὴν πρὶν Ἀντιγονίαν ἐπέκτισεν ιβʹ ἔτει τῆς βασιλείας αὐτοῦ. ὁ αὐτὸς Λαοδίκειαν, Σελεύκειαν, Ἀπάμειαν, Ἔδεσσαν, Βέροιαν, Πέλλαν. Σέλευκος Βαβυλῶνα παρεστήσατο. Σέλευκος ἐν ταῖς νέαις πόλεσιν Ἰουδαίους συνῴκισεν Ἕλλησι. 5

Ῥωξάνην σὺν Ἀλεξάνδρῳ παιδὶ πεμφθεῖσαν εἰς Ἀμφίπολιν Σέλευκος Νικάνωρ ἀφανίζει, Κασάνδρου κελεύσαντος, ὥς φασι. 10

Τότε Κάλλιππος Κυζικηνὸς ἀστρολόγος ἐγνωρίζετο καὶ Διονύσιος ὁ τὰς πόλεις γράψας.

Ἐρασίστρατος διαφανὴς ἰατρὸς ἐπὶ Σελεύκου ἐγνωρίζετο, ὃς διαγνοὺς Ἀντίοχον τὸν Σελεύκου παῖδα δεινῶς νοσοῦντα δι' ἔρωτα τὸν πρὸς τὴν Σελεύκου τοῦ πατρὸς γαμετὴν θυγατέρα Δημητρίου ἐθαυμαστώθη. ὅθεν καὶ Σέλευκος τῷ πάθει περιαλγήσας παραχωρεῖ τῷ παιδὶ Ἀντιόχῳ τῆς γαμετῆς. 15

521 *Ἀσίας, Συρίας, Βαβυλωνίας βʹ ἐβασίλευσεν Ἀντίοχος ὁ Σωτὴρ ἔτη ιθʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσδʹ.*

Οὗτος ὁ Ἀντίοχος ὁ Σωτὴρ λεγόμενος ἔσχεν ἐκ τῆς θυγατρὸς Δημητρίου, γαμετῆς δὲ Σελεύκου τοῦ πατρὸς αὐτοῦ Στρατονίκης, ἄρρενα υἱὸν Ἀντίοχον τὸν ἐπικληθέντα Θεόν, ὃς καὶ ἐβασίλευσε μετ' αὐτὸν Συρίας καὶ Ἀσίας ἔτη ιεʹ. καὶ ἐτελεύτησεν ἐν Ἐφέσῳ. 20

5 *πόσας πόλεις ἔκτισε Σέλευκος ὁ Νικάνωρ* ‖ 13 *πῶς διεγνώσθη ὁ Ἐρασίστρατος ἰατρὸς τὴν δι' ἔρωτα τῆς μητρυιᾶς νόσον* ‖ 20 *τὸν ἴδιον υἱὸν ὁ Σέλευκος παρεχώρησε εἰς τὴν ἰδίαν ἑαυτοῦ γυναῖκα· τίνα ἔσχεν ὁ Ἀντίοχος ἐκ τῆς τοῦ ἰδίου πατρὸς γαμετῆς υἱόν* 25

2 Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 117, 3 (ann. 32) ‖ 4 Euseb. 2, 126[h] ‖ 5–8 Euseb. 2, 127[c,d]. 128[e], cf. ps. Sym. f. 57[r] = Cedr. 292, 1 ‖ 9 cf. Porphyr. F 3 = Euseb. 1, 109, 25, Pomp. Trog. prolog. ad lib. 14, Iustin. 14, 6, 13; 15, 2, 5, Epit. Heidelberg. FGrHist 155 F 1 ‖ 11 cf. Simplic. ad Aristot. de caelo, p. 493, 5 Heib. | fortasse Dionysius Chalcidiensis (FHG 4, 393) qui *κτίσεις* scripsit ‖ 13–17 cf. Plutarch. Demetr. 38, ps. Sym. f. 57[r] = Cedr. 292, 15 ‖ 18–p. 331, 2 cf. Porphyr. FGrHist 260 F 32 = Euseb. 1, 117, 35 – 118, 12 ‖ 20–23 cf. ps. Sym. f. 57[v] = Cedr. 292, 19

1 titulum om. **A**, add. altera manu **A[m]** ‖ 2 *πρῶτος* hoc loco **A**, post *Βαβυλωνίας* **B** ‖ 3 *ἦν ἔτος* om. **A** ‖ 4–5 *Ἐδεσσηνοὶ ... πρὶν* om. **A**, add. eadem manu **A[m]** | *ἐδεσηνοὶ* **B[c]** *αἰδεσινοὶ* **A** et ante corr. **B** ‖ 6 *ἔδεσαν* **AB** ‖ 8 *συνῴκισεν* Scal. *συνῴκησεν* **AB** ‖ 10 *Νικάνωρ* Di. *νικάνορα* **A** *νικάνωρα* **B** ‖ 11 *κάλλιπος* **A** *κάλιππος* **B** *Κάλλιππος* Simplic. | *ἀστρολόγος* **A** *ἀστρολόγως* **B** ‖ 13 *σελεύκου* **B** *σέλευκον* **A** ‖ 19 *ἦν ἔτος* om. **A** ‖ 20 *ὁ Ἀντίοχος ὁ*] *ὁ ἀντίοχος* **B** *ἀντίοχος ὁ* **A** ‖ 21 *ἄρρενα* **B** *ἄρσενα* **A**

Συρίας καὶ Ἀσίας γ' ἐβασίλευσεν Ἀντίοχος ὁ ἐπικληθεὶς Θεὸς ἔτη ιε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσκγ'.

ΣΠΟΡΑΔΗΝ

Ἀστυάναξ Μιλήσιος παγκράτιον νικᾷ τὸ τρίτον. οὗτος δὲ καὶ ς' ἀνδρῶν
5 σιτία κατήσθιε.
Δημήτριος ὁ Φαληρεὺς ἐγνωρίζετο γ' νομοθέτης Ἀθήνησιν. οὗτος Ἀθηναίοις ἀποδοὺς τὴν δημοκρατίαν ἦλθεν εἰς Αἴγυπτον.
Μενέδημος καὶ Σπεύσιππος φιλόσοφοι ἐγνωρίζοντο.
Ῥωμαῖοι Κελτοὺς καὶ Τυρρηνοὺς ἐνίκησαν καὶ τὴν Σαβίνων γῆν ἐκληρώ-
10 σαντο.
Οἱ Μακεδόνων ἡγεμόνες ἐστασίασαν.
Περδίκκας εἰς Αἴγυπτον ἐστράτευσε.
Πολυπέρχης υἱὸς Ἀντιπάτρου ἀνεῖλε τὸν Ἀριδαῖον.
Λυσιμαχία ἐν Θράκῃ ἐκτίσθη. 522
15 Ἀγαθοκλῆς ἐν Συρακούσαις ἐτυράννησε.
Ῥωμαῖοι Μάρσους καὶ Ἴμβρους καὶ Παλλινοὺς παρεστήσαντο.
Ῥωμαῖοι ἀποικίας ἔπεμψαν.
Κύπρου Πτολεμαῖος ἐκράτησεν.
Ὁ Λαμιακὸς πόλεμος ἐκινήθη.
20 Ἀναξιμένης καὶ Ἐπίκουρος ἐγνωρίζετο.
Ἐν Ῥώμῃ παρθένος τις φθαρεῖσα ἀνῃρέθη.
Θεόδωρος ἄθεος ἐγνωρίζετο.
Ῥωμαῖοι Σαυνιτῶν Ἀράβων τελείως ἐκράτησαν.
Μένανδρος ὁ κωμικὸς ποιητὴς πρῶτον δρᾶμα διδάξας Ὀργὴν ἐνίκα.
25 Θεόφραστος φιλόσοφος ἐγνωρίζετο.
Δημήτριος ὁ Πολιορκητὴς τὴν πόλιν Σαμαρέων ἐπόρθησε.
Μένανδρος ὁ κωμικὸς ἐτελεύτησεν.
Ὁ Σάραπις ἢ ὁ Σόραπις ἢ ὁ Σείραπις κατά τινας ἐν Ἀλεξανδρείᾳ ἱδρύνθη.
Μία τῶν ἐν Ῥώμῃ παρθένων ἀνῃρέθη φθαρεῖσα.
30 Ῥωμαῖοι Κρότον ἔλαβον. 523

15 Ἀγαθοκλῆς ἐν Συρακούσαις ἐτυράννησε || 21 παρθένος ἐν Ῥώμῃ ἀνῃρέθη

4 cf. Athenaeum 10 p. 413a || 6–12 Euseb. 2, 125[f]. 126[a,c]. 127[b]. 128[d] || 13 Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 74, 21 || 14 – p. 332, 3 Euseb. 2, 124[b]. 125[d,e,i,k]. 126[b,e,f,g,i]. 127[a,f]. 128[c]. 129[a,e]. 130[a,c,d,e]

2 ἦν ἔτος om. A || 3 titulus in margine A || 4 ς' om. B || 5 σιτία A σιτεία B || 7 δημοκρατίαν A δημοκρατεῖαν B || 9 Τυρρηνοὺς Scal. ex Euseb. τυράννους AB || 15 συρακούσαις B συρρακούσαις A || 23 Ἀράβων] ita etiam Euseb. Arm. *proeliantes* Hieron. ἁρπάγων coniecit Helm || 28 σάραπις A σάραπης B | ὁ σείραπις A ὡσειραπὴς B

Ἐν Ῥώμῃ πρῶτον ἀργυροῦν ἐκόπη νόμισμα.
Ῥωμαῖοι Καλαβρίαν ἔλαβον καὶ ὑπέταξαν καὶ Μεσσήνην.
Ἄρατος ποιητὴς ἐγνωρίζετο, ὃς ἔγραψε τὰ Φαινόμενα.
Οἱ βασιλεῖς Ποντίων ι' κατὰ τούτους ἦρξαν τοὺς χρόνους διαρκέσαντες ἔτη σιη'. περὶ ὧν Ἀπολλόδωρος καὶ Διονύσιος ἱστοροῦσι. 5
Καππαδοκῶν βασιλεῖς ζ' χρόνους ρξ' διαρκέσαντες κατὰ τούτους ἤρξαντο τοὺς χρόνους, ὡς Διόδωρος γράφει.
Καρχηδόνιοι Ῥωμαίων ϛ' ναῦς ἔλαβον ἐν Σικελίᾳ, τρέψαντες καὶ τὸν ὕπατον Μέτελλον.
Ῥωμαῖοι ἀποικίας ἐστείλαντο. 10
Ἐν Ῥώμῃ παρθένος καταγνωσθεῖσα τοῦ ἱεροῦ τῆς Ἑστίας ἑαυτὴν ἀνεῖλε.
Νικομήδειαν ἐπ' ὀνόματι αὐτοῦ ἔκτισε Νικομήδης βασιλεὺς Βιθυνῶν.
Ῥωμαῖοι Καρχηδονίους ναυμαχίᾳ νικήσαντες ρ' πόλεις τῆς Λιβύης ἔλαβον.
Κατὰ τούτους τοὺς χρόνους Ἱέρων τύραννος Σικελίας κρατεῖ Συρακουσῶν καὶ κατὰ Ῥωμαίων Καρχηδονίοις συμμαχεῖ, ἡνίκα πρῶτος πόλε- 15
524 μος Ῥωμαίοις πρὸς Καρχηδονίους κινηθεὶς ἔτη κρατεῖ κγ'. δεύτερος μετὰ Ἀπίωνα Οὐαλέριος ὑπατεύων πάσης ἐξελάσας Σικελίας Καρχηδονίους, τάς τε ἐν αὐτῇ πόλεις ὑπὸ Ῥωμαίους ποιεῖται πλὴν Συρακουσῶν πόλεως, ἣν εἶχεν Ἱέρων σὺν τοῖς Ἄφροις β' ἡττηθείς. τότε καὶ Λιβύης ρ' πόλεις 20 εἷλον Ῥωμαῖοι.
Ῥωμαῖοι Καρχηδονίους ἐνίκησαν, ἡνίκα καὶ Τοῦλλος ὕπατος μετὰ πόλεμον κγ' ἐνιαυτῶν κρατεῖ Καρχηδονίων καὶ ὑπὸ Ῥωμαίους αὐτοὺς καὶ τὴν χώραν ποιεῖ, λαβὼν καὶ Συρακούσας καὶ Ἱέρωνα τύραννον ἐκδόντα ἑαυτὸν κατὰ τὴν ρκη' ὀλυμπιάδα ἐπὶ Φιλαδέλφου τοῦ Πτολεμαίου, ἐφ' ὃν 25 στρατηγὸς Ἄππιος Κλαύδιος ὑπατεύων πεμφθεὶς πολλὴν Σικελοῖς καὶ Καρχηδονίοις εἰργάσατο φθοράν.

1 ἐκόπη ἐν Ῥώμῃ ἀργυροῦν νόμισμα || 3 Ἄρατος ποιητής || 8 ὅτι Καρχηδόνιοι ἐν Σικελίᾳ ἔλαβον τῶν Ῥωμαίων ναῦς ϛ' || 17 ὅτι Οὐαλέριος μετὰ Ἀπίωνα ὕπατος ἐνίκησεν Καρχηδόνα πλὴν Σικελίας || 22 Τοῦλλος ὕπατος πεμφθεὶς ὑπὸ Ῥωμαίων ἐνί- 30 κησε Καρχηδονίους λαβόντες καὶ τὴν Συρακούσαν καὶ Ἱέρωνα τύραννον

4 Apollodorus FGrHist 244 F 82, Dionys. Hal. 251 F 5[a], cf. Pomp. Trog. prolog. ad lib. 37 || 6 = Diodor. (frag.) 31, 19, 9, cf. Pomp. Trog. prolog. ad lib. 34 || 8–14 Euseb. 2, 130[h]. 131[a,d,e,i] || 12 cf. ps. Sym. f. 57[v] = Cedr. 292, 22 (anno 5281) || 15–20 cf. Eutrop. 2, 18–19 || 20 Euseb. 2, 131[e] || 22–25 cf. Eutrop. 2, 27 || 25 cf. Euseb. 2, 131[c] (Olymp. 129) || 26–27 cf. Eutrop. 2, 18, 3

2 ἔλαβον καὶ om. B | μεσήνην A μεσσίνην B || 5 ἀπολλόδωρος A ἀπόλλωρος B || 9 μέτελλον A μέτελον B || 15 συρακουσῶν B συρρακουσῶν A || 17 κινηθεὶς B θεὶς A || 18 οὐαλέριος B οὐαλλέριος A || 19 συρακουσῶν πόλεως B συρρακουσῶν πόλεων A || 22 καὶ τοῦλλος AB recte Κάτυλος || 23 ἐνιαυτῶν Go. ἐνιαυτὸν AB | κρατεῖ om. B | καρχηδονίων B καρχηδονίους A || 24 συρακούσας B συρρακούσας A || 27 εἰργάσατο A ἠργάσατο B || 29 μετὰ ἀπίωνα B[m] ἀπιὼν ἀπιὼν A[m]

Ἀθηναίοις Ἀντίγονος τὴν ἐλευθερίαν ἀπέδωκεν.
Ἐν Ῥώμῃ ἱερὸν ἐνεπρήσθη τῆς Ἑστίας.
Ἐν Ῥώμῃ ὑπὸ δούλου διακορευθεῖσα παρθένος ἑαυτὴν διεχειρίσατο.
Ῥωμαῖοι Γάλλων μυριάδας δ' πρὸς τοῖς τ' ἀνεῖλον, τοὺς δὲ αἰχμαλώτους
5 *αὐτῶν κατεδουλώσαντο, Γαλιαρίους καλοῦντες αὐτούς.*
Ἐν Ῥώμῃ παρθένοι ἁλοῦσαι φθορᾷ ζῶσαι κατωρύγησαν.
Σκηπίων Ἀφρικανὸς Κελτιβηρίας πολέμῳ πόλεις πολλὰς Ῥωμαίοις ὑπηγάγετο.
⟨***⟩ *οὗτου υἱοὶ β' ὁ Φιλοπάτωρ καὶ ὁ Εὐεργέτης.*
10 *Ζήνωνα Στωϊκὸν θανόντα Κλεάνθης μαθητὴς διεδέξατο.* **525**
Ἐπίκουρος αὐτοματίτης θνήσκει.
Πολέμων θνήσκει ὁ φιλόσοφος, μεθ' ὃν Ἀλκέτας καὶ Κράτης γνωρίζονται.
Τιμήσεως ἐν Ῥώμῃ γενομένης εὑρέθησαν μυριάδες κϛ'.
15 *Καρία καὶ Ῥόδος ἐσείσθησαν, ὡς καὶ τὸν μέγαν κολοσσὸν καταπεσεῖν.*
Ῥωμαῖοι διαφόρους παροικίας ἐξέπεμψαν.
Οἱ Βιθυνῶν βασιλεῖς η' κατὰ Διονύσιον ἔνθεν ἤρξαντο, διαρκέσαντες ἔτη σιγ'.

ΚΟΣΜΟΥ ΕΤΗ

20 *Ἰουδαίων ιβ' ἀρχιεράτευσε Σίμων υἱὸς Ὀνείου ἔτη κ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσπβ'.*
Ἰουδαίων ιγ' ἀρχιεράτευσεν Ἰησοῦς ὁ τοῦ Σιράχ, ὁ τὴν σοφίαν γράψας τὴν καλουμένην Πανάρετον, ἐν ᾗ μέμνηται καὶ Ὀνείου τοῦ πρὸ αὐτοῦ, ἔτη ϛ'. ⟨τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετβ'.

25 **4** *πόσας μυριάδας ἀνεῖλον Ῥωμαῖοι Γάλλων* || **14** *Σημ. ὅτι μυριάδες κϛ' εὑρέθησαν ἐν Ῥώμῃ ἐπὶ Ἀδνουμίου*

1–3 Euseb. 2, 131^g. 132^d. 133^b || **4** cf. Euseb. 2, 133^d, Eutrop. 3, 5 || **6–8, 10–16** Euseb. 2, $130^{f,g}$. 131^b. 132^c. $134^{a,d}$. 135^c. 136^f || **9** nonnulla desunt, fortasse de Antiocho Magno a Scipione victo, cf. infra 343, 17–345, 3 || **17** Dionys. Hal. FGrHist 251 F 5^b, cf. Pomp. Trog. prolog. ad lib. 16 || **20**–p. 334, **2** cf. Euseb. 2, 133^c. 135^d, Chron. Pasch. 331, 7–9, Anon. Matr. 32, 6–7, Chron. Synt. 95, 27, uide Gelzer 2, 171 || **23** Sap. Sir. 50, 1; cf. ps. Sym. f. 56^v = Cedr. 290, 13

2 *Ἑστίας* Di. *α' ἱστίας* **A** *ἀειστίας* **B** || **3** *διεχειρίσατο* **A** *διεχειρήσατο* **B** || **10** *θανόντα* Scal. *θανέντα* **AB** || **11** *αὐτοματίτης* Scal. *αὐτοματὶ τίς* **A** *αὐτομάτης τίς* **B** || **16, 17** *παροικίας ἐξέπεμψαν. οἱ Βιθυνῶν βασιλεῖς η' κατὰ* Scal. *οἱ βιθυνῶν βασιλεῖς. η' παροικίας ἐξέπεμψαν* (*-ψεν* **A**) *κατὰ* **AB** || **17** *Διονύσιον* Go. *διόνυσον* **AB** || **20** et **23** *ὀνείου* **B** *ὀνίου* **A** || **24**–p. 334, **1** *τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετβ' ... ἔτη ζ'* addidi || **25–26** lemma (**14**) om. A^m || **26** *Ἀδνουμίου*] quis intellegatur nescio, fortasse *Φουνδανίου*?

Ἰουδαίων ιδʹ ἀρχιεράτευσεν Ὀνείας υἱὸς Σίμωνος ἔτη ζʹ.〉 τοῦ δὲ κόσμου ἦν ἔτος ,ετηʹ.

Κατὰ Ἀφρικανὸν ἀπὸ τῶν Ἀλεξάνδρου τοῦ κτιστοῦ χρόνων ὑποδύντες
526 *Ἰουδαῖοι τῇ Μακεδόνων ἀρχῇ ποτὲ μὲν Πτολεμαίοις, ποτὲ δὲ τοῖς Ἀντιόχοις ἐτέλουν ὑπόφοροι, ἕως Ὀνείου τοῦ ἀρχιερέως ἀντὶ βασιλέων ὑπὸ* 5
τῶν ἀρχιερέων διεπόμενοι τὰ πολλὰ μετ᾽ εἰρήνης. ἐπὶ δὲ τοῦ ιδʹ Ὀνείου τοῦδε Σίμων τις προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ προσφεύγει Ἀπολλωνίῳ στρατηγῷ Φοινίκης, τὴν ἀρχιερωσύνην ἑαυτῷ περιποιούμενος καὶ τὰ τοῦ ἱεροῦ χρήματα προδίδειν ὑπισχνούμενος· ἅτινα μαθὼν ὁ Σέλευκος διὰ τοῦ Ἀπολλωνίου πέμπει Ἡλιόδωρον τὸν ἐπὶ τῶν πραγμάτων, ὃς θείαις 10
μάστιξι παιδευθεὶς κενὸς ἐπανῆλθεν· Ὀνείας δὲ ὁ ἀρχιερεὺς διαπράττεται φυγαδευθῆναι τὸν Σίμωνα. καὶ ἐν τούτοις θνήσκει Σέλευκος ὁ καὶ Φιλοπάτωρ βασιλεύσας ἔτη ιβʹ, μεθ᾽ ὃν Ἀντίοχος ὁ Ἐπιφανὴς ἀδελφὸς τοῦ αὐτοῦ Σελεύκου, υἱὸς δὲ Ἀντιόχου τοῦ μεγάλου, ὃς καὶ ἦν ὁμηρεύων ἐν Ῥώμῃ. βασιλεύει δὲ Συρίας ἔτη ιαʹ. 15

Τούτῳ Ἰάσων ἀδελφὸς Ὀνείου τξʹ τάλαντα ὑπέσχετο εἰ τὴν ἀρχιερωσύνην λάβοι, καὶ ξʹ ἄλλα προσόδου, καὶ ἕτερα ρʹ, εἰ τοὺς Ἰουδαίους πρὸς ἑλληνισμὸν μεταγάγοι. ἐφ᾽ οἷς τὸν μὲν Ὀνείαν ἐξέωσε τῆς ἱερωσύνης ὁ Ἀντίοχος, Ἰάσωνι δὲ ταύτην παρέσχεν. ὡς γυμνάσιον ἐφήβων καταστήσας, ἀγῶνος ἐν Τύρῳ πενταετηρικοῦ ἀχθέντος θεωροὺς ἔπεμψεν Ἰάσων 20
καὶ δραχμὰς ,γ εἰς θυσίαν τοῦ Ἡρακλέους. καὶ τὸν βασιλέα Ἀντίοχον εἰς Ἱερουσαλὴμ ἐλθόντα μεγαλοπρεπῶς ὑπεδέξατο, χρήματά τε ἄλλα διὰ Με-
527 *νελάου τοῦ ἀδελφοῦ Σίμωνος ἔπεμψεν. ὁ δὲ Μενέλαος τʹ ταλάντοις ὑπερβαλλόμενος τὸν Ἰάσωνα τῆς ἱερωσύνης ἐπέβη. ἀλλ᾽ Ἰάσων μὲν διὰ ταῦτα εἰς τὴν Ἀμανῖτιν ἔφυγε, Μενέλαος δὲ μὴ ὑπαντῶν διὰ πλήθους τὰ ὑπο-* 25
σχεθέντα δοῦναι τῷ Ἀντιόχῳ ἐξώσθη τῆς ἀρχιερωσύνης, Λυσίμαχός τε καὶ ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται αὐτόν· Ὀνείας δὲ ὁ πρὸ τούτων ἀρχιερεὺς

7 *Σίμων προσφεύγει Ἀπολλωνίῳ στρατηγῷ Φοινίκης ὃς δηλώσας τῷ Σελεύκῳ Ἡλιόδωρος ἀποστέλλεται* || **16** *Ἰάσων τξʹ τάλαντα ἵνα ἱερατεύσῃ ὑπέσχετο καὶ ἄλλα ξʹ πρόσοδον καὶ ἕτερα ρʹ πρὸς τὸ ἑλληνίσαι Ἰουδαίους· καὶ ἐξεώθη Ὀνείας καὶ ἱεράτευσε Ἰάσων* || **23** *ὁ Μενέλαος ἱεράτευσε δοὺς ἄλλα τʹ τάλαντα· καὶ ὁ Ἰάσων ἔφυγε· ἐξεοῦται καὶ Μενέλαος διὰ ⟨τὸ⟩ μὴ ἔχειν τὸ ποσόν· Λυσίμαχος δὲ ἀδελφὸς αὐτοῦ ἱερατεύει· Ὀνείας πῶς ἀναιρεῖται* 30

3 hoc Africani fragmentum omisit Routh, non liquet autem quo usque pertineat eius nomen || **6–12** cf. Euseb. 2, 137[c], 2 Macc. 3, 4–7; 4, 4–6 || **12–p. 335, 4** cf. 1 Macc. 1, 10; 2 Macc. 4, 7–10; 18–19. 22–29. 33–38

3 *κατὰ ἀφρικανόν* in textu **B** in margine **A** || **5** et infra *ὀνείου* et *ὀνείας* **B** *ὀνίου* et *ὀνίας* **A** || **5–6** *τοῦ ἀρχιερέως . . . ιδʹ Ὀνείου* om. **B** || **8** *ἀρχιερωσύνην* **A** *ἀρχιεροσύνην* **B** || **16** *ἰάσων* **B** *τῷ ἰάσωνι* **A** || **21** *,γ* **AB** *τριακοσίους* 2 Macc. 4, 18 || **32** *δὲ* om. **B**[m]

ἔννομος καὶ ἄριστος ἐν ἀνθρώποις κατὰ τὴν Δάφνην ἀποχωρήσας κατηγορῶν Μενελάου ἀναιρεῖται ὑπὸ Ἀνδρονίκου δώροις πεισθέντος καὶ ἱεροσυλίαις τοῦ Μενελάου, ὃν Ἀντίοχος ἐπανελθὼν ἐκ Κιλικίας καὶ σφόδρα λυπηθεὶς ἐπὶ τῷ φόνῳ Ὀνείου καθεῖλε τῆς τιμῆς.

5 *Ἑβραίων ἀρχιεράτευσε ιε' Ἰάσων ἀδελφὸς Ὀνείου ἀρχιερέως. ἀνιέρως διὰ χρημάτων ἐκράτησε τῆς ἀρχιερωσύνης, ἐκβαλὼν τὸν ἴδιον ἀδελφὸν Ὀνείαν, καὶ αὐτὸς ἐκβληθεὶς ὑπὸ Μενελάου μετὰ γ' ἔτη διὰ χρημάτων ὁμοίως. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετιε'.*

Μετὰ τὴν ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν Περσῶν τῷ ζ' τῆς αὐτοῦ βασι- 10 *λείας ἤτοι πρώτῳ τῆς Ἑλλήνων βασιλείας ἔτει (Ἕλληνας γὰρ καὶ Μακεδόνας κατὰ τὴν τῶν Μακκαβαίων γραφὴν τοὺς αὐτοὺς μεμαθήκαμεν), ἐξ ὧν ἥ τε κατὰ τὴν Μακεδονίαν μετὰ θάνατον Ἀλεξάνδρου διαιρεθεῖσα ἀρχὴ εἰς ἀρχάς, τήν τε κατ' Αἴγυπτον τῶν Πτολεμαίων καὶ Ἀντιόχειαν τῶν Ἀντιόχων καὶ τὰς λοιπάς, ὡς ἐκεῖ δεδήλωται, καὶ αὐτὴν τὴν Μακεδο-* 15 *νίαν, ὑποχείριον ἔσχε τὸ τῶν Ἰουδαίων ἔθνος, ποτὲ μὲν ὑπὸ τοὺς Πτολεμαίους, ποτὲ δὲ ὑπὸ τοὺς Ἀντιόχους, μέσον ἐχόντων τῶν δύο τούτων ἀρχῶν* 528 *τὴν κατοίκησιν τῆς ὑπὸ θεοῦ κεκληροδοτημένης χώρας, εἰρήνης τε ἀπήλαυον ὡς τὰ πολλὰ ἐπὶ ἔτη ρλζ' ἕως Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ διεπομένων ὑπὸ τῶν ἀρχιερέων ἀντὶ βασιλέων.*

20 *Πρὸ βραχέως γοῦν τῆς τοῦ Ἐπιφανοῦς Ἀντιόχου βασιλείας, Σελεύκου τοῦ ἀδελφοῦ αὐτοῦ βασιλεύοντος, Ὀνείου δὲ ἀρχιερατεύοντος τῶν Ἰουδαίων ἀνδρὸς ἀρίστου καὶ θεοφιλοῦς, Σίμων τις Ἰουδαῖος προστάτης τοῦ ἐν Ἱεροσολύμοις ναοῦ παρανομώτατος, τὸν Ὀνείαν ἐκβάλλειν σπουδάσας πολλαχοῦ καὶ μὴ δυνηθείς, φυγὰς ἧκε πρὸς Ἀπολλώνιον Συρίας καὶ Φοινί-* 25 *κης καὶ Κιλικίας στρατηγόν, μηνύων θησαυροὺς πλείστων χρημάτων ἰδιωτικῶν εἶναι παρὰ τῷ ἀρχιερεῖ Ὀνείᾳ ἐν τῷ ἱερῷ τεθησαυρισμένους, προσήκοντας τῷ βασιλεῖ Σελεύκῳ. ὁ δ' Ἀπολλώνιος μηνύσας τῷ Σελεύκῳ ταῦτα καὶ τὸν τῆς πατρίδος προδότην ἀποδεξάμενος ἔρχεται σὺν αὐτῷ κελευσθεὶς ὑπὸ τοῦ Σελεύκου εἰς Ἱερουσαλὴμ μετὰ στρατευμάτων, τὰ* 30 *αὐτὰ ληψόμενος χρήματα. τῶν δὲ Ἰουδαίων ἀδύνατον εἶναι λεγόντων τὰς τῷ ἱερῷ θησαυρῷ πιστευθείσας παρακαταθήκας προδίδοσθαι καὶ τὸν θεὸν λιπαρούντων σὺν δάκρυσι προστῆναι τοῦ ἱεροῦ, τοῦ τε Ἀπολλωνίου μετὰ τῆς ἐνόπλου στρατείας ἐλθόντος εἰς τὸν ναὸν ἁρπάξαι τὰ χρήματα,*

5–8 cf. 2 Macc. 4, 7–10. 23–27 || **9–19** cf. 1 Macc. 1, 1–11 || **20**–p. 336, **5** cf. 4 Macc. 4, 1–15

1 *ἀποχωρήσας* **B** *ὑποχωρήσας* **A** || **5** et **7** *ὀνείου* et *ὀνείαν* **B** *ὀνίου* et *ὀνίαν* **A** || **9–10** *τῷ ζ' . . . πρώτῳ . . . ἔτει* Go.m *τοὺς ζ' . . . πρὸ τοῦ . . . ἔτους* **AB** || **21** *ὀνείου* **B** *ὀνίου* **A** et similiter per sequentes paginas || **23** *ἐκβάλλειν σπουδάσας* **B** tr. **A** || **25** *ἰδιωτικῶν* **B** *ἰδιωτικὸν μὲν* **A** || **26** *προσήκοντας* **A** *προσηκοῦντας* **B** || **30** *ληψόμενος* **A** *λειψόμενος* **B**

ἄγγελοι φοβεροὶ φανέντες ἔφιπποι πάντας ἐντρόμους κατέστησαν, ὅ τε
529 *Ἀπολλώνιος ἡμιθανὴς καταπεσὼν ἐπὶ τὸν πάμφυλον περίβολον τοῦ ἱεροῦ*
παρεκάλει δεηθῆναι τοὺς Ἑβραίους ὑπὲρ αὐτοῦ. θεραπευθεὶς δὲ ταῖς Ὀνείου
λιταῖς ἧκε πρὸς Σέλευκον κενός, ἀγγέλλων τὰ συμβάντα αὐτῷ· καὶ ἐν τού-
τοις ὁ Σέλευκος τελευτᾷ, ὡς ἐν τῇ δ' τῶν Μακκαβαϊκῶν βίβλῳ φέρεται. 5

Ἐν δὲ τῇ β' τῶν αὐτῶν Μακκαβαϊκῶν βίβλῳ ἄλλως πως ἱστορεῖται τὰ
κατὰ τὸν παρὰ Σελεύκου σταλέντα πρὸς ἁρπαγὴν τῶν χρημάτων Ἡλιόδω-
ρον τὸν ἐπὶ τῶν χρημάτων, ὡς καὶ αὐτὸς μὲν βιαίως ἁρπάζων ἀνῆλθε τὰς
χηρῶν τε καὶ ὀρφανῶν παρακαταθήκας ἐν τῷ ἱερῷ γαζοφυλακίῳ, ταλάν-
των οὔσας χρυσίου σ' καὶ ἀργυρίου υ' μόνων, ἐν οἷς καί τινα ἦν τῶν αὐτῶν 10
χρημάτων Ὑρκανοῦ τοῦ Τωβίου ἀνδρὸς ἐπισήμου, ὡς Ὀνείας ὁ ἱερὸς ἀρχιε-
ρεὺς ἀπέδειξε, καὶ οὐχ ὡς Σίμων ὁ κατάρατος διεψεύσατο.

Τοῦτον οὖν Ἡλιόδωρον, φησί, καὶ τοὺς σὺν αὐτῷ δορυφόρους ἵππος τις
φοβερὸς καλλίστῃ σάγῃ διακεκοσμημένος, φοβερώτερον ἔχων τὸν ἐπιβά-
την, καὶ ῥύδην φερόμενος ἐξεδειμάτωσε τὰς ἐμπροσθίους ἐνσείσας ὁπ- 15
λὰς αὐτῷ καὶ τῇ ἐνόπλῳ χρυσαυγείᾳ τοῦ ἐπιβάτου. οἵ τε ἄλλοι φανέντες
ἐκπρεπεῖς καὶ καταπληκτικοὶ β' νεανίαι μαστίζοντες αὐτὸν κατὰ νώτου
καὶ στέρνων ἀφῆκαν ἡμιθανῆ· ὑπὲρ οὗ τὸν θεὸν ἐξιλεουμένου τοῦ Ὀνείου
οἱ αὐτοὶ νεανίαι φανέντες τῷ Ἡλιοδώρῳ εἶπον ἔχειν Ὀνείᾳ τῷ ἀρχιερεῖ τὴν
530 *χάριν, δι' οὗ τὸ ζῆν ἔχει, καὶ πᾶσι διαγγέλλειν τὸ θεῖον κράτος· ὃς θύσας* 20
τῷ θεῷ καὶ ἀναζεύξας πρὸς Σέλευκον ἅπαντα τῷ βασιλεῖ τὰ παράδοξα
διηγεῖτο.

Ταῦτα δὴ κατὰ τὴν δευτέραν τῶν Μακκαβαϊκῶν ὁ συγγραφεύς, ἀφεὶς
τὰ κατὰ τὸν Σέλευκον, ἀπὸ τῶν κατὰ τὸν Ἀλέξανδρον τὸν Μακεδόνα καὶ
τοὺς μετ' αὐτὸν ἐπιτεταμένως ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἤρξατο, λέγων 25
ὅτι τῷ ρλζ' ἔτει βασιλείας Ἑλλήνων ἐβασίλευσε, καὶ ὅτι παρανόμως οἱ
υἱοὶ ἐξ Ἰσραὴλ πορευθέντες πρὸς αὐτὸν ἑλληνίζειν ᾐτήσαντο, αὐτός τε
Ἀντίοχος τούτοις προσετέθη καὶ τὸν κατὰ Πτολεμαίου καὶ τῆς Αἰγύπτου

1 *ἄγγελοι ἔφιπποι ἐπτόησαν τὸν Ἀπολλώνιον καὶ τὸν λαὸν αὐτοῦ· Ἀπολλώνιος πῶς καλεῖται* || **9** *πόσα τάλαντα χρυσίου καὶ ἀργυρίου ἦσαν ἐν τῷ γαζοφυλακίῳ παρακα-* 30 *ταθῆκαι καὶ Ὑρκανοῦ τοῦ Τοβίου καὶ χηρῶν καὶ ὀρφανῶν* || **13** *ἔφιππος σάγην καλλίστην φορῶν τὸν Ἡλιόδωρον ἔτυψε μετὰ β' ἑτέρων νεανίων* || **25** *Ἀντίοχος ὁ Ἐπιφανὴς ἃ διεπράξατο ἀσεβῆ ἐν Ἱερουσαλήμ*

6–12 cf. 2 Macc. 3, 10–11 || **13–22** cf. 2 Macc. 3, 24–36 || **23**–p. 337, **5** cf. 1 Macc. 1, 10–25

2 *πάμφυλον* 4 Macc. 4, 11 *πάμφιλον* **AB** || **4** *ἀγγέλλων* **B** *ἀναγγέλλων* **A** || **8** *τὸν* **A** *τῶν* **B** || **10** *τῶν αὐτῶν* **B** tr. **A** || **11** *τωβίου* **A** *τοβίου* **B** || **12** *οὐχ ὡς* **B** *οὐκ ὁ* **A** || **15** *ἐμπροσθίους* Di. *ἐμπροσθήρους* **A** *ἐμπροσθείους* **B** || **17** *νώτου* **B** *νώτων* **A** || **25** *λέγων* **B** *λέγειν* **A** || **29–30** *Ἀπολλώνιος πῶς καλεῖται* om. **B**[m] || **32** lemma (**25**) om. **A**[m]

πόλεμον ἐκίνησεν ἐν ἅρμασι καὶ ἐλέφασι καὶ ἱππεῦσι καὶ στόλῳ μεγάλῳ, σκευάσας τε τὴν Αἴγυπτον ἐπανῆλθεν εἰς Ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ τῷ ρμγ' ἔτει βασιλείας Ἑλλήνων· ὅπως τε εἰς τὸ ἁγίασμα μεθ' ὑπερηφανίας εἰσελθὼν ἔλαβε τὸ θυσιαστήριον καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ 5 *σκεύη οἴκου κυρίου καὶ τὸν κόσμον καὶ τοὺς θησαυρούς, ποιήσας φονοκτονίαν πολλήν· ἡνίκα καὶ τὰ κατὰ Ἐλεάζαρον καὶ τοὺς ζ' παῖδας καὶ τὴν μητέρα αὐτῶν μαρτυρικῶς πέπρακται, ὡς ἐν δ' βίβλῳ τῶν Μακκαβαϊκῶν.*

Καὶ μετὰ β' ἔτη ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὴν Ἰουδαίαν· οὗτος 10 *δὲ ἦν Ἀπολλώνιος μυσάρχης ὑπὸ Μενελάου τοῦ καταράτου αἰτηθεὶς σταλῆναι παρὰ Ἀντιόχου πρὸς τελείαν καταφθορὰν τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐν αὐτῇ. ἐλθὼν οὖν εἰρηνικῶς ἐφ' ἡμέρας γ' διῆγεν ὡς φίλος. τῇ δὲ ἡμέρᾳ τοῦ σαββάτου πάντων ἀργούντων κατέσφαξε τοὺς ἐν ἡλικίᾳ καὶ τὴν πόλιν* **531** *ἐνέπρησε, τὸ δεύτερον τὰ τείχη καθελὼν καὶ τοὺς οἴκους, αἰχμαλωτίσας* 15 *τε γυναῖκας καὶ τὰ τέκνα σὺν τοῖς ὑπάρχουσι· τὰ δὲ σκῦλα ἀπέθετο ἐν τῇ ἄκρᾳ τῇ λεγομένῃ πόλει Δαβίδ, ἥτις ἦν ὀχύρωμα τῇ Ἱερουσαλήμ, ἐποικοδομήσας αὐτὴν τείχει μεγάλῳ καὶ πύργοις ὀχυροῖς καὶ ἐγκατοικίσας στράτευμα καὶ ὅπλα καὶ τροφὰς ἀποθέμενος. καὶ μετὰ ταῦτα ἀπέστειλεν Ἀντίοχος γέροντα Ἀθηναῖον, καταναγκάζοντα τὸ ἔθνος ἑλληνίζειν καὶ* 20 *πᾶσαν τὴν κατὰ νόμον ἀποπαῦσαι λατρείαν· καὶ ἐν τῷ ναῷ Διὸς Ὀλυμπίου στησάμενος ἄγαλμα τῇ ιε' ἡμέρᾳ τοῦ μηνὸς Χασελεῦ, ἔτει κατὰ τὸν Ἰώσηππον ρμε', ἐν δὲ Σαμαρείᾳ Διὸς ξενίου, τά τε βιβλία τοῦ νόμου κατασχίζειν προσέταξε καὶ ἐμπιπρᾶν, τοὺς δὲ περιτεμνομένους θανατοῦν, καὶ τὰ νεκρὰ τῶν βρεφῶν κρεμᾶν ἐκ τῶν τραχήλων τῶν μητέρων, καὶ πολλοὶ* 25 *ἐξ Ἱερουσαλὴμ ἀπέθανον ὑπὲρ τῶν πατρίων νομίμων.*

6 *οὗτος ὁ Ἀντίοχος Ἐπιφανὴς κτείνει τοὺς ἁγίους ζ' Μακκαβαίων παῖδας καὶ ἀνεῖλε Ἀπολλώνιος ὁ μυσάρχης ὁ ἐρημώσας Ἱερουσαλὴμ ἀποσταλεὶς παρὰ Ἀντιόχου τοὺς ἐν ἡλικίᾳ καὶ τὴν πόλιν ἐνέπρησεν καὶ ᾐχμαλώτευσε* ‖ **15** *τίνα λέγει πόλιν Δαβὶδ ἣν καὶ ὠχύρωσε πύργοις καὶ τείχεσι καὶ στρατῷ* ‖ **18** *ὅτι ἀπεστάλη παρὰ Ἀντιόχου γέρων* 30 *Ἀθηναῖος εἰς Ἱερουσαλὴμ καὶ ἠνάγκαζε ἑλληνίζειν· ἔστησε δὲ ἐν τῷ ναῷ ἄγαλμα τοῦ Διός, ἤγουν τὸ βδέλυγμα τῆς ἐρημώσεως* ‖ **24** *περὶ τῶν βρεφῶν τί λέγει, ὅτι καὶ βρέφη ἐνέπρησε καὶ τοὺς περιτεμνομένους ἐθανάτουν*

6–8 2 Macc. 7, 1–42; 4 Macc. 9, 1–12, 20 ‖ **9** 1 Macc. 1, 29 ‖ **10–11** 2 Macc. 5, 24–26 ‖ **12–18** 1 Macc. 1, 31–35 ‖ **18–20** 2 Macc. 6, 1–2 ‖ **20–25** 1 Macc. 1, 54–64, Ioseph. Ant. Iud. 12, 248

6 *τὰ* om. **B** ‖ **12** *εἰρηνικῶς* **B** *εἰρηνικὸς* **A** ‖ **15** *σκῦλα* **B** *σκύλλα* **A** ‖ **16** *τῇ*[2] **B** *τι* **A** ‖ **17** *ἐγκατοικίσας* Di. *ἐγκατοικήσας* **AB** ‖ **18** *καὶ τροφὰς* **B** *καὶ τροφὰς καὶ* **A** ‖ **19** *καταναγκάζοντα* **A** *καταναγκάζων* **B** ‖ **21** *τὸν* om. **B** ‖ **24** *ἐκ τῶν τραχήλων* **A** *ἐκ τὸν τράχηλον* **B** ‖ **26** *Ἀντίοχος* om. **A**m | *παῖδας* om. **B**m ‖ **29** *τείχεσι* **A**m *τείχει* **B**m ‖ **30** *ἀθηναῖος* **A**m *ἀθηναῖον* **B**m ‖ **31–32** *περὶ . . . ἐθανάτουν* om. **A**m

Τότε Ματθίας τις ἱερεὺς τῶν υἱῶν Ἰωαρείμ, υἱὸς Ἰωάννου τοῦ Συμεών, ἐξελθὼν ἀπὸ Ἱερουσαλὴμ ἐκάθισεν ἐν Μωδεείν, καὶ αὐτῷ υἱοὶ ε', Ἰωάννης ὁ ἐπιλεγόμενος Γάδδης, Σίμων ὁ καλούμενος Θάσος, Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, Ἐλεάζαρος ὁ καλούμενος Ἀβαράν, Ἰωνάθας ὁ καὶ Σαπφοῦς. οὗτος ἐθρήνει τὴν πόλιν καὶ τὸ σύντριμμα τοῦ γένους σὺν τοῖς υἱοῖς, περι- 5
532 *θέμενος σάκκους, ἐλθόντα δὲ τὸν παρὰ τοῦ βασιλέως καταναγκάζοντα θύειν τοῖς εἰδώλοις, ὡς εἶδε τινὰ προσελθόντα Ἰουδαῖον ἐπὶ τὸν βωμὸν ἐν Μωδεεὶν τῇ πόλει, δραμὼν ἔσφαξεν αὐτὸν καὶ τὸν ἄνδρα τὸν παρὰ τοῦ Ἀντιόχου ἀναγκάζοντα θύειν, ὡς Φινεὲς τὸν Ζαμβρὶ υἱὸν Σαλὼμ καὶ τὴν Μαδιανῖτιν. καὶ ἐξῆλθε φεύγων σὺν τοῖς υἱοῖς καὶ ἄλλοις ὁμογνώμοσι* 10 *πλείστοις εἰς τὴν ἔρημον. οἷς ἐπιπέμψας ὁ βασιλεὺς στράτευμα ἐν ἡμέρᾳ σαββάτου ἀνεῖλεν αὐτῶν ἀμφὶ τοὺς ͵α. Ματθίας δὲ βουλευσάμενος σὺν τοῖς φίλοις ἔγνω καλὸν εἶναι πολεμεῖν ὑπὲρ τῶν νομίμων ἐν σάββασι. καὶ ἐκράτησε πολλῶν καὶ πόλεις ἠλευθέρωσε καὶ βωμοὺς κατεστρέψατο.*

Οὗτος ἀποθνήσκων περὶ εὐσεβείας τοῖς σὺν αὐτῷ διελέχθη, καὶ τοὺς 15 *υἱοὺς ἀντ' αὐτοῦ κατέστησεν ἄρχοντας τοῦ λαοῦ, ὧν Ἰούδας ἡγεῖτο ὁ Μακκαβαῖος. πρὸς τοῦτον Ἀπολλώνιος Ἀντιόχου στρατηγὸς παραταξάμενος μετὰ δυνάμεων Σύρων καὶ Σαμαρέων ἀναιρεῖται σὺν πολλοῖς.*

Ἔπειτα Σήρων ἄρχων δυνάμεως Συρίας ἐπελθὼν Ἰουδαίοις μετὰ δυνάμεως μεγάλης ἀναιρεῖται σὺν πολλοῖς. πρὸς ταῦτα ἀγανακτήσας Ἀντίοχος, 20 *μέλλων ἐπὶ τὴν Περσίδα πορεύεσθαι διὰ φόρων συναγωγήν, ἐκέλευσε Λυσίαν τὸν ἐπὶ τῶν πραγμάτων Ἰουδαίοις πολεμεῖν· ὃς Πτολεμαῖον καὶ Γοργίαν καὶ Νικάνορα στρατηγοὺς ἐκπέμπει, οἰόμενος τὸν Ῥωμαϊκὸν φόρον*
533 *τὰ ͵α τάλαντα ἐκ τῶν Ἰουδαϊκῶν λαφύρων παριστᾶν. συμβαλόντες δὲ περὶ Ἐμμαοῦντα τοῖς Ἰουδαίοις ἡττῶνται δεινῶς, καὶ τῷ ἐφεξῆς ἔτει ὁμοίως* 25 *πάσχουσιν Ἕλληνες. τότε Ἰούδας ἐλθὼν εἰς Ἱερουσαλὴμ τὸν ναὸν ἐκάθηρε τῶν βδελυγμάτων, πολιορκῶν τοὺς ἐν τῇ ἄκρᾳ φρουροῦντας καὶ*

1 *Ματθίας ἱερεὺς ἔχων ε' υἱούς· Ἰωνάθας εἷς τῶν ε' ὁ καὶ Σαπφοῦς ἐθρήνει τὴν πόλιν καὶ τὴν ἔρημον· ὅτι ὡς εἶδε τινὰ Ἰουδαῖον θῦσαι τῷ βωμῷ εἴδωλα προσελθόντα δραμὼν ἀνεῖλε αὐτὸν καὶ τὸν τοῦ βασιλέως ἄρχοντα καὶ ἔφυγεν· ἔνθα Ματθίας βου-* 30 *λευσάμενος σὺν τοῖς φίλοις ἔγνω πολεμεῖν ὑπὲρ τῶν νομίμων καὶ ἐν σαββάτῳ* || **17** *νίκη Ἰούδα Μακκαβαίου*

1–14 1 Macc. 2, 1–7. 14–15. 23–28. 32–45 || **9** cf. Numer. 25, 1–15 || **15** 1 Macc. 2, 49–3, 1 || **17–23** 1 Macc. 3, 10–38 || **23** 2 Macc. 8, 10 || **24**–p. 339, **4** 1 Macc. 4, 12–15. 28–34. 41–53; 5, 3–6. 15–17. 21

2 *ἐκάθισεν* **A** *ἐκάθησεν* **B** | *μωδεεὶν* **B** *μωδεείμ* **A** | *αὐτῷ* **B** *αὐτοὶ* **A** || **5** *ἐθρήνει* **A** *ἐθρήνη* **B** || **7. 8** *ἐν μωδεεὶν* **B** *ἐμμωδεείμ* **A** || **10** *μαδιανῖτιν* **A** *μαδιανίτην* **B** || **15** *διελέχθη* Di. *διηλέχθη* **AB** || **19–20** *ἔπειτα . . . πολλοῖς* om. **A** add. $\mathbf{A^m}$ | *Σήρων* 1 Macc. *σύρων* $\mathbf{A^m}$**B** || **22** *τὸν* **A** *τῶν* **B** || **24** τὰ om. **A** | ͵α **AB** ͵β 2 Macc. 8, 10 | *παριστᾶν* **B** *περιστᾶν* **A** || **31** *σαββάτῳ* $\mathbf{A^m}$ *σάββασι* $\mathbf{B^m}$

τειχίζων τὴν πόλιν, τοῖς τε ἐν τῇ Ἀκραβεττήνῃ Ἰουδαίοις ἐπολέμει καὶ Ἀμμανίταις καὶ Τιμοθέῳ ἐπικειμένῳ τῇ Γαλααδίτιδι. Τυρίοις δὲ καὶ Σιδωνίοις καὶ Πτολεμαΐδοις πορθοῦσι τὴν Γαλιλαίαν τὸν ἀδελφὸν ἔπεμψε Σίμωνα καὶ πάντας ἀπέστησεν. ἐν οἷς κατὰ Ἰώσηππον ἐπίτροπον τῆς πό-
5 λεως ὑπὸ Ἰούδα κατασταθέντα καὶ ἡ κατὰ Ἰαβανίαν πόλιν ἀποτυχία αὐτοῦ· εἶτα Ἰούδα τιμωρία εἰς Ἰόππην καὶ τοὺς ἐν αὐτῇ διὰ τοὺς ὑπ' αὐτῶν καταποντωθέντας Ἰουδαίους καὶ ἡ κατὰ Ἰαβινίας καὶ Τιμοθέου εὐδοκίμησις Ἰούδα.

Ἀντίοχος δὲ ὁ βασιλεὺς Ἐλυμαΐδι πόλει Περσικῇ διὰ πλοῦτον πολὺν
10 ἀποκείμενον ἐν αὐτῇ προσβαλὼν εἰς πόλεμον ἀποτυγχάνει. ἀπαγγελθέντων δὲ αὐτῷ καὶ τῶν Ἰούδα ἀριστευμάτων νόσῳ περιελθὼν ἀθυμίας καὶ ἀυπνίας δεινῶς θνήσκει. Λυσίας δὲ τὸν αὐτοῦ παῖδα Ἀντίοχον ἀνατρέφων Εὐπάτορα προσαγορεύσας ἐπὶ τῆς ἀρχῆς καθιστᾷ, μετὰ δυνάμεώς τε πολλῆς καὶ ἐλεφάντων κατὰ Ἰουδαίων ἐπιστρατεύει. κρατερᾶς δὲ μάχης συστά-
15 σης καὶ τοῦ βασιλικοῦ θηρίου ὑπὸ Ἐλεαζάρου τοῦ Σαυαρὰν ἀναιρεθέντος ὁ βασιλεὺς Ἰουδαίοις ἐσπείσατο. καὶ εἰσελθὼν εἰς τὴν πόλιν καθεῖλε 534 τὸ τεῖχος μετὰ τοὺς ὅρκους, Ἰούδαν καταλιπὼν ἄρχειν μέχρι Πτολεμαΐδος.

Καὶ ἀναζεύξας εἰς Ἀντιόχειαν ὀξέως κατὰ Φιλίππου ἐκ Περσίδος ἐπανελθόντος σὺν ταῖς δυνάμεσι καὶ τὴν βασιλείαν εἰς ἑαυτὸν περιστήσαντος,
20 ὃν πολιορκήσας κατελάβετο τὴν Ἀντιόχειαν. αὐτός τε παραυτὰ ἐκβληθεὶς ὑπὸ Δημητρίου υἱοῦ Σελεύκου ὁμηρεύοντος ἐν Ῥώμῃ καὶ κατελθόντος εἰς Τρίπολιν τῆς Φοινίκης πλῷ, ἐν ἡμέραις ἀναιρεῖται συλληφθεὶς ἅμα τῷ Λυσίᾳ παρὰ τοῦ πλήθους προστάξει Δημητρίου ἀδελφιδοῦ μὴ ἀνασχομένου θεάσασθαι αὐτόν, βασιλεύσας ἔτος α' ἥμισυ· μεθ' ὃν ὁ αὐτὸς Δη-
25 μήτριος βασιλεύει ἔτη ιβ'.

Τούτῳ προσφεύγουσιν ἀσεβεῖς τινες Ἰουδαῖοι, ὧν ἡγεῖτο Ἄλκιμός τις ἐκ τοῦ ἱερατικοῦ γένους. οὗτος τοῦ Ἰούδα κατηγορεῖ τὴν ἱερωσύνην τε πρὸς τοῦ Δημητρίου ἐγχειρίζεται. διὰ τοῦτο καὶ εἰς τὴν πατρίδα Βακχίδην στρατηγὸν ἔχων μετὰ δυνάμεως ἔρχεται κατὰ τοῦ Ἰούδα καὶ τῶν ὁμο-
30 φύλων. λόγοις δὲ πείθειν τὸν Ἰούδαν οὐ δυνηθεὶς ὁ Βακχίδης δολεροῖς

10 θάνατος Ἀντιόχου Ἐπιφανοῦς· ἀναγόρευσις ἄλλου Ἀντιόχου || **24** ἐβασίλευσε Ἀντίοχος ὁ μικρὸς χρόνον ἕνα ἥμισυ· Δημήτριος βασιλεὺς ἔτη ιβ'

4–8 1 Macc. 5, 56–60; 2 Macc. 12, 5–25 || **9–17** 1 Macc. 6, 1. 14–17. 28–31. 43–46. 60–62, cf. 2 Macc. 13, 24–26 || **18–24** 1 Macc. 6, 55–56. 63; 7, 1–4; 2 Macc. 14, 1 || **24** cf. Porphyr. FGrHist 260 F 32 = Euseb. 1, 124, 18 || **26**–p. 340, **3** 1 Macc. 7, 5–17

1 Ἀκραβεττήνῃ dedi ex 1 Macc. 5, 3 et Ioseph. 12, 328 ἄκρα βεττίνῃ **A** ἀκραβεντήνῃ **B** || **3** Πτολεμαΐδοις] πτολεμαίοις **AB** || **6** Ἰόππην Di. ἰώππην **B** ἰώσηππον **A** || **7** ἰαβινίας **B** ἰαβιννίας **A** || **17** καταλιπὼν **A** καταλειπὼν **B** || **18** ἐπανελθόντος Go.[m] ἐπανελθόντι **AB** || **23** παρὰ om. **A** | ἀδελφιδοῦς **AB** || **30** βακχίδης **A** βακχήδης **B** || **32** χρόνον om. **A**[m]

σὺν τῷ ἀνιέρῳ Ἀλκίμῳ τῶν Ἰουδαίων ἐπισήμους ἄνδρας ξʹ λόγοις εἰρήνης ἀπατήσαντες ἀνεῖλον ἐν ἡμέρᾳ μιᾷ· τήν τε ἱερωσύνην κατορθώσας τῷ Ἀλκίμῳ Βακχίδης ἀνέζευξε πρὸς Δημήτριον. μετὰ δὲ ταῦτα πολλοὺς τῶν ἀσεβῶν τιμωρουμένου τοῦ Ἰούδα Δημήτριος Νικάνορα μετὰ δυνάμεως πέμπει καταλῦσαι τὸν πόλεμον τῷ Ἰούδα, γῆμαί τε καὶ παιδοποιήσασθαι. 5
535 *τούτοις δ᾽ οὐκ ἀρεσθεὶς Ἄλκιμος διέβαλε τὸν Νικάνορα αἰτῶν ζῶντα συλλαβεῖν τὸν Ἰούδαν. πολέμου δὲ συστάντος νικῶσιν οἱ περὶ τὸν Ἰούδαν, πίπτει δὲ Νικάνωρ, ἀποτμηθείς τε τὴν κεφαλὴν σὺν τῇ δεξιᾷ εἰς Ἱερουσαλὴμ ἀνεσταυρώθη. Ἰούδας Ῥωμαίοις καὶ Λακεδαιμονίοις φιλοῦται. Δημήτριος μανεὶς πέμπει Βακχίδην σὺν Ἀλκίμῳ κατὰ τοῦ Ἰούδα. οἱ δὲ* 10 *ἐπελθόντες τῷ Ἰούδα περὶ τὴν Βασὰν οὐκ ἔχοντι πλὴν ωʹ ἀνδρῶν συμβάλλουσι. καὶ πεσόντων ἐξ ἀμφοτέρων πολλῶν Ἰούδας ἀριστεύων θνήσκει.*

Τούτοις ἀκόλουθα περιέχει ἡ αὐτὴ πρώτη τῶν Μακκαβαϊκῶν βίβλος τὰ κατὰ Ἰωνάθην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἡ δὲ τρίτη τὰ πρὸ τούτων πραχθέντα δεινὰ ὑπὸ Πτολεμαίου τοῦ Εὐπάτορος εἰς Ἰουδαίους. 15

Εἰσὶ δὲ τὰ τῶν ἀνιέρως διὰ χρημάτων κρατησάντων Σίμωνος, Ἰάσωνος, Μενελάου καὶ Λυσιμάχου ἐπὶ τῆς ἀπιστίας Σελεύκου καὶ Ἀντιόχου ἔτη ιθʹ, καθὼς τοὺς ὄπισθεν καὶ τοὺς μετέπειτα ἀρχιερεῖς ὁ τὴν βίβλον συνταξάμενος ἐστοιχείωσε.

ΜΑΚΕΔΟΝΩΝ ΒΑΣΙΛΕΙΣ 20

Μακεδόνων ιδʹ ἐβασίλευσεν Ἀντίγονος ὁ Φοῦσκος ἔτη ιβʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσξθʹ.

Μακεδόνων ιεʹ ἐβασίλευσε Φίλιππος υἱὸς Δημητρίου ἔτη καθ᾽ ἑαυτὸν μβʹ, ἐκ Χρυσηΐδος τῆς αἰχμαλώτου. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσπαʹ.

536 *Ἐπὶ τούτου τοῦ Φιλίππου Τίτος Ῥωμαίων στρατηγὸς εἰς Μακεδονίαν* 25 *ἐλθὼν κρατεῖ μὲν χειρὶ Μακεδόνων καὶ ὑπὸ Ῥωμαίους τίθησι, συμμαχεῖν Ἀννίβᾳ καὶ Καρχηδονίους κατὰ Ῥωμαίων συνθεμένους, ὅμηρον δὲ λαμβάνει Δημήτριον τὸν αὐτοῦ παῖδα, ὑπαγόμενος καὶ Λακεδαιμονίους καὶ τοὺς λοιποὺς Ἕλληνας φιλανθρωπίᾳ καὶ πραότητι καὶ συνέσει, τὴν ἐλευθερίαν παρέσχε.* 30

3–7 1 Macc. 7, 24–25; 2 Macc. 14, 24–27 || **7–9** 2 Macc. 15, 25–35 || **9** 1 Macc. 8, 17–32; 12, 2, cf. Euseb. 2, 144[a] || **10–12** 1 Macc. 9, 1–8 || **14** cf. Euseb. 2, 134[b], 3 Macc. 1, 1 (Philopator) || **21–24** Porphyrius FGrHist 260 F 3 = Euseb. 1, 112, 27–113, 2 || **25–30** cf. Eutrop. 4, 1–2, Pomp. Trog. fr. 136

1 *ἰουδαίων* **A** *ἀσιδαίων* **B** || **6** *διέβαλε* **B** *διέβαλλε* **A** || **8** *τε* **A** *δὲ* **B** || **11** *βασὰν* **AB** *Βερέαν* 1 Macc. || **17** *ἀπιστίας* **A** *ἀπιστείας* **B** || **20** titulum om. **A** || **22** et **24** *ἦν ἔτος* om. **A** || **24** *,εσπαʹ* **B** *,εσξπαʹ* **A** || **26–27** *συμμαχεῖν . . . συνθεμένους* sic **AB** *συμμαχῶν Ἀννίβᾳ καὶ Καρχηδονίοις κατὰ Ῥωμαίων συνθεμένοις* Scal. || **27** *δὲ*] *τε* **AB** | *λαμβάνει* Scal. *λαμβάνειν* **AB**

Τότε Ἐρατοσθένης ἐγνωρίζετο.

Μακεδόνων ιϛʹ ἐβασίλευσε Περσεὺς ἔτη ιʹ καὶ μῆνας θʹ. τοῦ δέ κόσμου ἦν ἔτος ,ετκγʹ.

Ἐπὶ τούτου τοῦ Περσέως τὰ Μακεδόνων καταλέλυται περὶ τὴν Πύδναν
5 κατὰ κράτος ὑπὸ Ῥωμαίων ἡττηθέντων. ἡγεῖτο δὲ τῶν στρατευμάτων Αἰμίλιος Μάρκος τῆς Ῥωμαίων βουλῆς εἷς ὤν, ἄριστος ὑπατικός. οὗτος Περσέα λαβὼν ζῶντα ἅμα δυσὶν υἱοῖς καὶ μιᾷ θυγατρὶ πᾶσάν τε τὴν Μακεδόνων βασιλείαν εἰς Ῥώμην ἀπήγαγε.

Μακεδόνων ιζʹ ἐβασίλευσε Ψευδοφίλιππος ἔτος αʹ. τοῦ δὲ κόσμου ἦν
10 ἔτος ,ετλδʹ.

ΑΙΓΥΠΤΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΒΑΣΙΛΕΙΣ

Αἰγύπτου καὶ Ἀλεξανδρείας δʹ ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλοπάτωρ ἔτη ιζʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσογʹ.

Ἀντίοχος ὁ μέγας Πτολεμαίου τὴν Ἰουδαίαν κρατοῦντος τοῦ Φιλοπά- 537
15 τορος πολέμῳ νικήσας αὐτὸν τὴν χώραν ἀφείλατο.

Ἡ τρίτη τῶν Μακκαβαίων βίβλος περὶ τοῦ Φιλοπάτορος τούτου Πτολεμαίου ἱστορεῖ οὐκ οἶδ' ὅπως ἀντιστρόφῳ τάξει.

Αἰγύπτου καὶ Ἀλεξανδρείας εʹ ἐβασίλευσε Πτολεμαῖος ὁ Ἐπιφανὴς ἔτη κδʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσϛʹ.

20 Ἀντίοχος ὁ μέγας Πτολεμαίῳ τῷ Ἐπιφανεῖ φιλωθεὶς Κλεοπάτραν ἔγημε θυγατέρα αὐτοῦ καὶ λόγῳ φερνῆς αὐτῆς Συρίαν, Φοινίκην Σαμάρειάν τε καὶ Ἰουδαίαν ἔλαβε παρ' αὐτοῦ, ἣν πρὸ μικροῦ λαβὼν ἦν διὰ Σκοπᾶ στρατηγοῦ ὁ Πτολεμαῖος.

Πτολεμαῖος ὁ Ἐπιφανὴς τὴν Ἰουδαίαν καὶ ἄλλας πόλεις τῆς Συρίας πέμ-
25 ψας ἐχειρώσατο διὰ Σκοπᾶ στρατηγοῦ. πρὸς ὃν Ἀντίοχος ὁ μέγας αὖθις πολεμήσας ταύτας ἐχειρώσατο, συμμαχούντων αὐτῷ καὶ Ἰουδαίων, οἷς δι' ἐπιστολῶν πολλὰ μαρτυρήσας δωρεαῖς μεγάλαις ἐτίμησεν.

Ὑρκανὸς Ἰωσήππου παῖς στρατηγοῦ τῶν Ἰουδαίων πρὸς Πτολεμαῖον

4 Ῥωμαῖοι καταλύουσι Μακεδόνας

1 Euseb. 2, 134[e] || 2 Porphyrius FGrHist 260 F 3 = Euseb. 1, 113. 5 (ann. 10, menses 8) || 4–8 cf. Pomp. Trog. fr. 143[a] = Ampel. 16, 4: *a Marco* (*Marcio* corr. Freinshem.) *consule aput Ascyridam paludem uictus . . . mox ab Aemilio Paulo . . .*) || 9 Porphyrius FGrHist 260 F 3 = Euseb. 1, 113, 17 || 12 Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 75, 8 || 14 Euseb. 2, 135[b] || 16 Euseb. 2, 134[b] || 18 Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 75, 10 (ann. 23, ann. 24 Euseb. 2, 135, 16 et astr. can.) || 20 Euseb. 2, 135[f]. 136[g] || 24 Euseb. 2, 136[b,d] || 28 Euseb. 2, 138[a]

2 ἔτη ιʹ dedi ex Euseb. et annis mundi ἔτη ηʹ **AB** || 6 εἷς ὤν Di. εἰς ὢν **B** εἰς ὃν **A** || 10 ,ετλδʹ] ,ετκδʹ **AB** || 11 titulus in margine **A**, in textu **B** | αἰγύπτου **A** αἰγυπτίων **B** || 22 et 25 σκοπᾶ **B** σκοποῦ **A**

ἐλθὼν καλῶς ὑπεδέχθη. οἱ δὲ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτὸν στασιάσαντες μεγάλης ταραχῆς αἴτιοι γεγόνασιν Ἰουδαίοις.

Πτολεμαίου τοῦ Ἐπιφανοῦς ἀποθανόντος κδʹ ἔτει τῆς βασιλείας αὐτοῦ δύο παῖδες αὐτοῦ Πτολεμαῖοι τὴν ἀρχὴν μετ᾽ αὐτὸν διεδέξαντο, ὧν ὁ πρεσβύτερος Φιλομήτωρ ἐπεκέκλητο, ὁ δὲ νεώτερος Εὐεργέτης. πρὸς ἀλ- 5
538 λήλους δὲ στασιάζοντες ἐναλλὰξ ἐβασίλευσαν. διὸ καὶ σύγχυσις γέγονε περὶ τοὺς χρόνους αὐτῶν. πρῶτος γὰρ ὁ Φιλομήτωρ μόνος ιαʹ ἔτη ἐβασίλευσεν, εἶτα ὑπὸ Ἀντιόχου ἐξεβλήθη ἐπιστρατεύσαντος κατ᾽ αὐτοῦ εἰς Αἴγυπτον καὶ ἀφελόντος αὐτοῦ τὸ διάδημα κρατεῖ τῶν πραγμάτων Πτολεμαῖος ὁ Εὐεργέτης ὁ νεώτερος ἀδελφὸς τοῦ Φιλομήτορος γνώμῃ τῶν 10 Ἀλεξανδρέων. διώκεται δὲ καὶ Ἀντίοχος, λυτρωθέντος καὶ τοῦ Φιλομήτορος, καὶ βασιλεύουσιν οἱ δύο ἀπὸ τοῦ ιβʹ ἔτους ἕως τοῦ ιζʹ. ἐχρημάτισεν οὖν παρὰ Ἀλεξανδρεῦσι τῷ ιβʹ τοῦ Φιλομήτορος ἔτει πρῶτον ἔτος τοῦ Εὐεργέτου, καὶ ἐβασίλευσαν οἱ δύο ἐν ὁμονοίᾳ ἀπὸ τούτου τοῦ ιβʹ ἔτους τοῦ Φιλομήτορος ἕως τοῦ ιζʹ ἔτους αὐτοῦ, ϛʹ δὲ τοῦ Εὐεργέτου. καὶ πάλιν 15 στασιάζουσι κατ᾽ ἀλλήλων, καὶ χρηματίζει ἀπὸ τοῦ ιηʹ ἔτους μόνου τοῦ Φιλομήτορος ἡ κατ᾽ Αἴγυπτον ἀρχή, παραχωρήσαντος τῷ ἀδελφῷ τὴν Λιβύης καὶ Κυρήνης ἀρχὴν μετὰ τὴν ἐν Κύπρῳ μάχην, καθ᾽ ἣν ἐλαττωθεὶς ὁ νεώτερος Πτολεμαῖος ἀβλαβὴς ἔμεινε, φιλανθρώπως αὐτῷ χρησαμένου τοῦ πρεσβυτέρου καὶ μὴ μόνον τὴν εἰρημένην ἐγχωρήσαντος αὐτῷ 20 χώραν, ἀλλὰ καὶ σίτου πλῆθος λαμβάνειν κατ᾽ ἐνιαυτόν, τοῦτο μὲν διὰ χρηστότητα καὶ συγγένειαν φυσικήν, τοῦτο δέ, ὥς φασι, καὶ διὰ τὸν ἀπὸ τῶν Ῥωμαίων φόβον ὑπερασπιζομένων αὐτοῦ. κρατεῖ γοῦν ὁ αὐτὸς Φιλομήτωρ μετὰ τὸ ιζʹ ἔτος ἄλλα ἔτη ιηʹ. οὗ κατὰ τὴν Συρίαν ἀποθανόντος
539 (ἐγκρατὴς γὰρ καὶ τῶν ἐκεῖσε γέγονε τόπων) μετακληθεὶς ἐκ Κυρήνης ὁ 25 Εὐεργέτης λεγόμενος βʹ κρατεῖ τῆς Αἰγύπτου λοιπὰ ἔτη κθʹ μόνος μετὰ θάνατον τοῦ πρεσβυτέρου ἀδελφοῦ, ὡς γίνεσθαι τὸν ἅπαντα χρόνον τῶν ἑκατέρων ἀδελφῶν λεʹ καὶ κθʹ, ἤτοι ἔτη ξδʹ. Διόδωρος δέ φησιν ὅτι ιεʹ ὁ νεώτερος Πτολεμαῖος ἐβασίλευσε μετὰ τὸν πρεσβύτερον ἀδελφόν, πολλάς τε παρανομίας διεπράξατο, τήν τε ἰδίαν ἀδελφὴν Κλεοπάτραν γήμας 30 καὶ πολλοὺς περιβαλὼν ψευδῶς ὡς ἐπιβουλεύοντας αὐτῷ, καὶ τοὺς μὲν ἀναιρῶν, τοὺς δὲ συκοφαντίαις φυγαδεύων καὶ τὰς οὐσίας αὐτῶν ἀφαιρούμενος.

14 τίνες ἀδελφοὶ ὁμοῦ βασιλεύουσι ἐν ὁμονοίᾳ || 15 καὶ πάλιν κατ᾽ ἀλλήλων στασιάζουσιν οἱ βʹ ἀδελφοί 35

3–28 cf. Porphyr. FGrHist 260 F 2 = Euseb. 1, 75, 12–76, 4 || 28–33 = Diodorus (frag.) 33, 6ᵃ (similiter Exc. Const. fr. 33, 6)

3 κδʹ ἔτει B τῷ κδʹ A || 18 Κυρήνης Di. κυρίνης AB || 20 ἐγχωρήσαντος αὐτῷ B tr. A || 25 Κυρήνης Di. κυρίνης AB || 31 περιβαλὼν B περιβάλλων A || 32 ἀναιρῶν B ἀναιροῦν A

ΣΥΡΙΑΣ ΚΑΙ ΑΣΙΑΣ ΒΑΣΙΛΕΙΣ

Συρίας καὶ Ἀσίας δʹ ἐβασίλευσεν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, ὁ ἐπικληθεὶς Καλλίνικος, ὁ αὐτὸς καὶ Σέλευκος, ἔτη καʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσληʹ.

Ἐπὶ τούτου τοῦ Ἀντιόχου Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς 5 ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτιστοῦ, διὰ τοιαύτην αἰτίαν.

Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοὶ τὸ γένος ἕλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φη- 10 σιν, ἑνὸς τῶν ἀδελφῶν, καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι, διαμαρτήσας ἀνῃρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ βασι- 540 λεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη βʹ, καὶ ἀναιρεῖται, καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφὸς ἔτη λζʹ.

Συρίας εʹ ἐβασίλευσε Σέλευκος ὁ καὶ Ἀλέξανδρος, υἱὸς Σελεύκου τοῦ 15 Καλλινίκου, ὁ Κεραυνὸς ἐπικληθείς, ἔτη γʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσνθʹ.

Συρίας ϛʹ ἐβασίλευσεν Ἀντίοχος ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἐπικληθεὶς μέγας, ἔτη λϛʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εσξβʹ.

Οὗτος ὁ κληθεὶς μέγας Ἀντίοχος κατὰ μὲν τινὰς ἀδελφός ἐστι Σελεύκου 20 τοῦ πρὸ αὐτοῦ βασιλεύσαντος Κεραυνοῦ, κατὰ δὲ ἑτέρους υἱὸς αὐτοῦ. ἀρχὴν δὲ ἔλαβεν ἡ αὐτοῦ βασιλεία κατὰ τὴν ρλζʹ ὀλυμπιάδα, καὶ οὐχ ὡς Εὐσεβίῳ δοκεῖ κατὰ τὴν ρλθʹ.

Κατὰ τοὺς αὐτοὺς χρόνους Ἀντίοχος Ῥωμαίοις πολεμεῖν ὁ μέγας ἤρξατο Ἀννίβα κατὰ τὰς Σπανίας καὶ τὴν Καρχηδόνα στρατηγοῦντος καὶ ὑπὸ 25 Ῥωμαίων καταπολεμουμένου καὶ πολεμοῦντος πρὸ τῆς εἰς Βιθυνίαν φυγῆς πρὸς Προυσίαν. καὶ πρῶτον μὲν ἐν Θερμοπύλαις τῆς Ἑλλάδος Ῥωμαίοις συμβαλὼν ὁ αὐτὸς μέγας Ἀντίοχος ἡττᾶται, ἔπειτα δὲ συλλέξας στρατόπεδα καὶ Ἀννίβαν τὸν Καρχηδόνιον ἐκ Βιθυνίας προσλαβόμενος, πρὸς Θυατείροις πόλει τῆς Λυδίας αὖθις Ῥωμαίοις πολεμεῖ, Σκηπίωνος 30 Ἀφρικανοῦ σὺν ἀδελφῷ Σκηπίωνι στρατηγοῦντος. καὶ οὗτος ἡττᾶται,

12 *Ἀρσακίδαι οἱ Πέρσαι*

2 Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 118, 17 ‖ **4–13** Arrian. FGrHist 156 F 31, cf. F 30 = Phot. bibl. 58; cf. Pomp. Trog. prolog. ad lib. 41, Euseb. 2, 132ᵃ ‖ **14–20** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 119, 12 ‖ **20** cf. Iustin. 29, 1, 3 ‖ **21** cf. Hippolyt. fr. 20 ‖ **23**–p. 344, **4** cf. Eutrop. 4, 3–5, Pomp. Trog. fr. 141

9 *ὃς* Scal. *ὡς* **AB** | *τηριδάτου* **B** *τηριδάτη* **A** | *ἀρριανὸς* **B** *ἀριανὸς* **A** ‖ **15** *ἐπικληθεὶς* **A** *ἐπικλήθη* **B** ‖ **24** *ἀννίβα* **A** *ἀννηβᾶ* **B** et similiter infra ‖ **29** *θυατείροις πόλει* **B** *θυατείρων πόλιν* **A**

541 ὥστε αὐτὸν ὑπόσπονδον γενέσθαι Ῥωμαίοις τελοῦντα ͵α τάλαντα καὶ
τριήρεις πολλὰς δόντα καὶ τὴν δαπάνην τοῦ πολέμου. Ἀννίβας δὲ πρὸς
Προυσίαν φυγὼν αὖθις ἀπὸ Θυατείρων φαρμάκῳ τελευτᾷ τὸν βίον τῷ
φόβῳ Ῥωμαίων.

Ἐπὶ τούτου ἐπράχθη τὰ κατὰ τὴν πρώτην τῶν Μακκαβαίων βίβλον παρὰ 5
Ἰουδαίοις ἱστορούμενα.

Ἔτι δὲ καὶ ὁ πρὸς Καρχηδονίους δεύτερος πόλεμος κινεῖται, κρατήσας
καὶ αὐτὸς ἔτη ιθʹ Ῥωμαίοις. Ἀννίβας γὰρ Καρχηδονίων στρατηγὸς νέος
τῷ φρονήματι καὶ τῇ ἡλικίᾳ Σπανίαν κατέσχεν οὖσαν ὑπὸ Ῥωμαίους, καὶ
τῇ Ἰταλίᾳ αὐτῇ ἐπῆλθε συμμαχούντων αὐτῷ Γάλλων καὶ ἄλλων πολλῶν 10
βαρβάρων. πρῶτοι οὖν αὐτῷ Κορνήλιος Σκηπίων καὶ Σεμπρώνιος Γράκ-
χος ὕπατοι πολεμοῦσιν, οἳ καὶ φυγόντες μόλις διασῴζονται τοῦ κινδύνου.
μεθ᾽ οὓς Λούκιος Φαλαμήνιος πολεμήσας αὐτῷ μετὰ τῆς δυνάμεως διε-
φθάρη. τρίτος πρὸς αὐτὸν ἀγωνίζεται Φάβιος Μάξιμος ἀνὴρ στρατηγικὸς
ὑπατεύων καὶ τρέπει τὸν Ἀννίβαν στρατηγίᾳ μᾶλλον, οὐ δυνάμει κρατήσας. 15

Τότε καὶ Ἀρχιμήδης γεωμέτρης τοῖς μηχανήμασι Ῥωμαίους ἀπώσατο
πολλάκις πολιορκοῦντας Συρακούσας, οἰκῶν ἐν αὐταῖς. ἔνθα καὶ ἀναιρεῖ-
ται ὑπό τινος στρατιώτου, τῆς πόλεως ἄφνω ληφθείσης ἑορταζόντων
542 Συρακουσίων, παρὰ γνώμην Μαρκέλλου στρατηγοῦ Ῥωμαίων, ὃς ὑπὸ
Ῥωμαίους αὖθις τὴν Σικελίαν θεὶς ἐπινίκιον πομπὴν ἐθριάμβευσε. 20

Πολλῶν δὲ ἄλλων Ῥωμαίων στρατηγῶν μετὰ ταῦτα πολεμησάντων
Ἀννίβᾳ κρατοῦντι Καρχηδόνος καὶ Ἱσπανίας καὶ μὴ κατισχυσάντων αὐτοῦ
τέλος Σκηπίων Ἀφρικανὸς τρέψας τὴν Ἀννίβα δύναμιν ἐν Ἱσπανίᾳ κατὰ
τὴν ρμεʹ ὀλυμπιάδα ὑπατεύσας τε καὶ κατ᾽ ἐξουσίαν λαβὼν καὶ διοικῶν
τὴν ὅλην Ἰταλίαν ἐπὶ Καρχηδόνα διέπλει στόλῳ μεγάλῳ καὶ τὴν ἅπασαν 25
πορθεῖ πρὸς τῇ Λιβύῃ χώραν Καρχηδονίων, ὥστε τοὺς ἐν τέλει Καρχηδο-
νίους μεταστείλασθαι τὸν Ἀννίβαν ἐξ Ἰταλίας· ᾧτινι Σκηπίων συγκρούσας
ἐπανιόντι πρὸς τῇ Καρχηδόνι κρατεῖ τῆς μάχης τοσοῦτον ὥστε φυγεῖν τὸν
Ἀννίβαν καὶ πρὸς τὸν Βιθυνίας ἐλθεῖν βασιλέα εἰς Προυσίαν αἰδούμενον
Καρχηδονίους. τότε καὶ Καρχηδόνα Ῥωμαίοις ὁ αὐτὸς Ἀφρικανὸς Σκη- 30

16 *Ἀρχιμήδης γεωμέτρης Συρακούσιος διὰ μηχανημάτων ἀπώσατο Ῥωμαίους* ‖
18 *Ση. ὅτι ἑορταζόντων Συρακουσίων ἐλήφθη ἡ πόλις ἀναιρεθέντος Ἀρχιμήδους καὶ
γέγονε ἡ Σικελία πᾶσα ὑπὸ Ῥωμαίους*

5 Euseb. 2, 137b ‖ 7–15 cf. Eutrop. 3, 7, 2; 8, 2–9, 3 ‖ 16 cf. Diodor. 26, 18,
Zonar. (Cass. Dion.) 9, 5, Euseb. 2, 134f ‖ 21–p. 345, 2 cf. Eutrop. 3, 20, 1; 20, 5;
23, 1–2; 4, 5, 2, Pomp. Trog. fr. 141

3 *θυατείρων* A *θυατήρων* B ‖ 13 *φαλαμήνιος* AB *Φλαμίνιος* Scal. | recte Gaius,
non Lucius | *δυνάμεως* A *δυνάμενος* B ‖ 16 *γεωμέτρης* B *γεωμέτροις* A | *ῥω-
μαίους* B *ῥωμαίοις* A ‖ 17 *συρακούσας* B *συρρακούσας* A ut solet, similiter infra ‖
22 *ἱσπανίας* B *σπανίας* A ‖ 24 *λαβὼν καὶ* A *λοιπὸν* B

πίων ἐπικληθεὶς ὑπὸ τῆς συγκλήτου βουλῆς διὰ τὸ τηλικοῦτον κατόρθωμα παρεστήσατο καὶ θρίαμβον ἐν Ῥώμῃ κατήγαγε.

Συρίας ζʹ ἐβασίλευσε Σέλευκος γʹ υἱὸς αὐτοῦ ἔτη ιβʹ. οὗτος καὶ Φιλοπάτωρ ἐλέγετο. τοῦ δὲ κόσμου ἦν ἔτος ,εσςηʹ.

5 *Συρίας ηʹ ἐβασίλευσεν Ἀντίοχος ὁ Ἐπιφανὴς ἔτη ιαʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετιʹ.*

Ἀντίοχος ὁ Ἐπιφανὴς Συρίας βασιλεύων πρῶτον μὲν Πτολεμαίῳ τῷ 543 *Φιλομήτορι ἐπιτίθεται κατὰ τὴν Αἴγυπτον καὶ τῆς Αἰγύπτου βασιλείας ἐκβάλλει πρὸς βραχύ. κωλυθεὶς δὲ ὑπὸ Ῥωμαίων καὶ ὑπὸ τῶν Ἀλεξαν-* 10 *δρέων διωχθεὶς τὴν Ἱερουσαλὴμ ἐκπορθεῖ καὶ τὸν ναὸν βεβηλοῖ, Διὸς Ὀλυμπίου βδέλυγμα ἀναστηλώσας ἐν αὐτῷ κατὰ τὴν προφητείαν Δανιὴλ τοῦ μεγάλου, τά τε ἱερὰ σκεύη ἀφαιρεῖται καὶ ἑλληνίζειν ἀναγκάζει τοὺς Ἰουδαίους. ἐφ' οἷς Ματθίας ὁ ἱερεὺς ζηλώσας σὺν τοῖς υἱοῖς Ἰούδᾳ καὶ Ἰωνάθῃ τοῖς Μακκαβαίοις Σίμωνί τε καὶ Ἰωάννῃ κατηγωνίσαντο τοῦ* 15 *τυράννου, τοῖς αὐτοῦ στρατηγοῖς ἐπιθέμενος καὶ καταπολεμήσας αὐτοὺς τῇ τῶν οἰκείων παίδων ἀντιμαχίᾳ τῶν καὶ διὰ τοῦτο Μακκαβαίων κληθέντων ἅμα τοῖς τότε ζήλῳ θείῳ τῶν πατρίων νόμων ὑπεραθλησάντων· ἐν οἷς καὶ οἱ ζʹ νέοι σφόδρα γενναίως σὺν τῇ μητρὶ καὶ τῷ διδασκάλῳ Ἐλεαζάρῳ πολλῶν καὶ πικρῶν βασάνων ὑπερφρονήσαντες νομίμως τὸν* 20 *βίον κατέλυσαν, θανάτῳ μαρτυρικῷ τελειωθέντες. Ἀσαμωναῖοι λέγονται οἱ ἐκ Ματαθίου, διότι ὁ πατὴρ αὐτῶν Ἀσαμωναῖος ἐλέγετο. ᾤκει δὲ ἐν κώμῃ Μωδεείμ.*

Ταρσεῖς καὶ Μαλῶται κατὰ Ἀντιόχου ἐστασίασαν ὡς δωρεᾷ διδόμενοι τῇ παλλακῇ αὐτοῦ Ἀντιοχίδι· πρὸς οὓς ἧκεν Ἀντίοχος, Ἀνδρόνικον κατα- 25 *λείψας ἐν Δάφνῃ ἐπὶ τῶν πραγμάτων, ὃς ἀνελὼν Ὀνείαν τὸν ἱερέα δόλῳ τοῦ Μενελάου, καὶ αὐτὸς ἀναιρεῖται ὑπὸ τοῦ Ἀντιόχου ὡς φονεύς.*

Συρίας θʹ ἐβασίλευσεν Ἀντίοχος Εὐπάτωρ υἱὸς αὐτοῦ ἔτος αʹ, μῆνας 544 *ςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετκαʹ.*

Ἀντίοχος οὗτος πατάξας Αἴγυπτον καὶ πρὸς τὸν Φιλομήτορα Πτολε-

30 7 *Ση. ὅτι οὗτος ἀνεστήλωσε τὸ τοῦ Διὸς ἄγαλμα ἐν τῇ Ἱερουσαλὴμ κατὰ τὴν τοῦ Δανιὴλ προφητείαν, ἤγουν τὸ βδέλυγμα τῆς ἐρημώσεως· ἐπὶ τούτου καὶ οἱ Μακκαβαῖοι ἐμαρτύρησαν* || 9 *περὶ τῶν ἁγίων Μακκαβαίων ὅτι ὑπὸ Ἀντιόχου ἐτιμωρήθησαν καὶ ἔθανον*

3–6 Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 119, 25–30 || **7–22** 1 Macc. 1, 16–21; 2, 1–3, 1; 2 Macc. 6, 1–7, 42, cf. Euseb. 2, 139[b,c] || **10–11** cf. ps. Sym. f. 57[r] = Cedr. 293, 1 || **23–26** 2 Macc. 4, 30–38 || **27** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 119, 33 || **29** cf. 2 Macc. 4, 7–29 (Antiochus Epiphanes)

4 et **5, 6** *ἦν ἔτος* om. **A** || **15** *αὐτοὺς* **B** *αὐτοῖς* **A** || **21** *Ματαθίου* Di. *ματαθείου* **B** *ματθίου* **A** || **24** *ἀντιοχίδι* **B** *ἀντιοχίδῃ* **A** || **25** *ὀνείαν* **B** *ὀνίαν* **A** || **28** *ἦν ἔτος* om. **A**

μαῖον πολεμήσας εἰς τὴν Ἰουδαίαν ἐπανῆλθε, τὴν ἀρχιερωσύνην τε Ἰησοῦ τῷ καὶ Ἰάσωνι ἐνεχείρισεν ἀδελφῷ Ὀνείου, καὶ πάλιν ἐκβαλὼν αὐτὸν ἀδελφῷ τε καὶ Μενελάῳ δέδωκεν. οἱ δὲ στασιάσαντες πρὸς ἀλλήλους κακῶν μεγάλων αἴτιοι γεγόνασιν Ἰουδαίοις.

ΚΟΣΜΟΥ ΕΤΗ 5

Ἰουδαίων ις' ἀρχιεράτευσεν Ἰούδας υἱὸς Ματαθίου α' ἀρχιερέως ἔτη γ', οἱ δὲ ϛ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετλδ'.

Τινὲς ἱστοροῦσι Ματαθίου ἔτη γ' τῆς ἀρχιερωσύνης καὶ Ἰούδα ἔτη ϛ'.

Ἰουδαίων ιζ' ἀρχιεράτευσεν Ἰωνάθης ἀδελφὸς Ἰούδα τοῦ Μακκαβαίου ἔτη ιθ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετμ'. 10

Οἱ φίλοι τοῦ Ἰούδα τὸν Ἰωνάθην ἀδελφὸν αὐτοῦ προεστήσαντο ἄρχειν αὐτῶν. οὗτος Βακχίδῃ συμβαλὼν εἰς πόλεμον διέφθειρε τρισχιλίους τῶν σὺν αὐτῷ. μετὰ δὲ ταῦτα προδιδόντας αὐτόν τινας τῶν Ἰουδαίων αἰσθόμενος τῷ Βακχίδῃ ἀνεῖλεν αὐτοὺς καὶ διῆγεν εἰς πόλιν ἐν τῇ ἐρήμῳ κειμένην 545 *Βηθφεσή. ταύτην ἐπολιόρκησε Βακχίδης. Ἰωνάθης δὲ ὑπεξελθὼν καὶ πολ-* 15 *λοὺς διαφθείρας ἀπελαύνει αὐτόν.*

Ἄλκιμος ὁ ἀνίερος καθελὼν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων δίκας ἔδωκε πικρῶς θανών.

Βακχίδης φοβηθεὶς Ἰωνάθην φιλοῦται αὐτῷ, κἀκ τούτου προΐσταται τοῦ λαοῦ Ἰωνάθης. 20

Ἀλέξανδρος ὁ τοῦ Βαλλᾶ υἱὸς Ἀντιόχου τοῦ Ἐπιφανοῦς Δημήτριον τὸν Σελεύκου καθελὼν ἐβασίλευσεν ἔτη ε', οἱ δὲ θ'. οὗτος ἐν Πτολεμαΐδι φιλωθεὶς Ἰωνάθῃ δώροις καὶ στεφάνοις ἐτίμησεν.

Ἰουδαίων ιη' ἱεράτευσε Σίμων ἔτη η'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετνθ'.

Σίμων καὶ Ἰουδαῖοι Δημητρίῳ προσφυγόντες εἰρήνευον. ἐξ οὗ δὴ Σίμων 25 *ἀρχιεράτευσε, Γάζαν τε πολέμῳ εἷλε τούς τε ἐν τῇ ἄκρᾳ τῆς Ἱερουσαλὴμ μετὰ Δημήτριον.*

Ἀντίοχος ὁ Σιδίτης Σίμωνι φιλοῦται.

Ἀντίοχος ὁ Σιδίτης Ἰώππην καὶ ἀργυρίου τάλαντα ,α ἀπήτει Ἰουδαίους.

6 cf. Euseb. 2, 142[b] (ann. 3), 1 Macc. 2, 70 (anno 146), 1 Macc. 9, 2 (anno 152) || **9** cf. Euseb. 2, 142, 18 (ann. 19), 1 Macc. 13, 41 (anno 170) || **11** 1 Macc. 9, 28. 49. 61–69 || **17** 1 Macc. 9, 54–55 || **19** 1 Macc. 9, 70–73 || **21** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 120, 8 (ann. 5); Euseb. 2, 143, 7 (ann. 9) || **22** 1 Macc. 10, 60 || **24** Euseb. 2, 144, 26 (ann. 8); cf. 1 Macc. 13, 41–42 (anno 170), 16, 14 (anno 177) || **25** 1 Macc. 13, 34–50 || **28** 1 Macc. 15, 1 || **29** 1 Macc. 15, 26–16, 10

6 et **8** *ματαθίου* **B** *ματθίου* **A** || **7** et **10** *ἦν ἔτος* om. **A** || **12** *Βακχίδῃ* Go. *βακχίδης* **AB** || **15** *βηθφεσή* **A** *βιθφεσασή* **B** || **16** *αὐτὸν* **B** *αὐτῶν* **A** || **17** *καθελὼν* **A**[c] *κεθερὼν* ante corr. **A** *καθαιρὼν* **B** || **21** *βαλλᾶ* **A** *βαλὰ* **B** || **28** *Ἀντίοχος* om. **B**

τῶν δὲ μὴ ὑπακουόντων Κενδέβαιον ἐπέταξε πολεμεῖν αὐτοῖς, ὃν Ἰωάννης υἱὸς Σίμωνος ἐτροπώσατο.

Σίμων Ἰουδαίων ἀρχιερεὺς ἀδελφὸς Ἰούδα καὶ Ἰωνάθου τῶν Μακκαβαίων ἀναιρεῖται ὑπὸ Πτολεμαίου τινὸς Ἰουδαίου στρατηγοῦ τῆς Ἱεριχὼ 546
5 *καὶ γαμβροῦ αὐτοῦ δόλῳ.*

Οὗτος ὁ Σίμων μετὰ ρο′ ἔτη τοὺς Ἰουδαίους ἠλευθέρωσε τῶν φόρων. ἐτέλουν γὰρ ἀπὸ τοῦ α′ Σελεύκου.

Ἡγήσατο τῶν Ἰουδαίων Ματθίας ὁ πατὴρ τῶν Μακκαβαίων ἔτη γ′. Ἰούδας υἱὸς αὐτοῦ ἔτη ς′. Ἰωνάθης ἔτη ιθ′. Σίμων ἔτη η′. ὁμοῦ ἔτη λδ′.
10 *Καὶ σπένδεται Ῥωμαίοις Ἰούδας.*

Περὶ τῶν Μακκαβαίων

Ὁ ἀπὸ Ματαθίου τοῦ πατρὸς τῶν Μακκαβαίων, Ἰούδα καὶ Ἰωνάθου καὶ Σίμωνος, χρόνος κατὰ μὲν τὸν ἀκριβῆ λόγον ἐτῶν ἐστι λδ′, ὡς ὑποτέτακται, κατὰ δὲ Εὐσέβιον ἐτῶν λ′. ἀφ' οὗ γὰρ χρόνου Πτολεμαῖος ὁ
15 *Φιλοπάτωρ ἤρξατο πολεμεῖν πρὸς Ἀντίοχον τὸν μέγαν ἡ τῶν Μακκαβαίων γραφὴ ἱστορεῖ· ὁ δὲ χρόνος αὐτῶν ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἀριθμεῖται ἕως τοῦ θανάτου Σίμωνος. ὁ γὰρ Φιλοπάτωρ πολεμήσας Ἀντιόχῳ τῷ μεγάλῳ τοὺς Ἰουδαίους ἀφῆκεν ἀπολύσας ἐλευθέρους, Ἰουδαῖοι δὲ τῷ Ἐπιφανεῖ Ἀντιόχῳ υἱῷ τοῦ μεγάλου Ἀντιόχου συνέθεντο. ὁ δ' αὐτὸς*
20 *Ἐπιφανὴς τὸν ναὸν ἐσύλησε καὶ Ἰουδαίους ἑλληνίζειν ἠνάγκασε.*

Τότε Ματαθίας ἀνέστη σὺν τοῖς παισὶ ζήλῳ θεοῦ πολεμῶν αὐτῷ. οὗ τελευτήσαντος Ἰούδας τοῦ ἔθνους ἡγήσατο. ἐπὶ τούτοις Ἀντίοχος μὲν 547 *οἰκτρῶς θνήσκει, ὁ δὲ υἱὸς αὐτοῦ Εὐπάτωρ Ἀντίοχος Λυσίᾳ γράφει περὶ εἰρήνης Ἰουδαίων. εἶτα Ἰούδας οἰκοδομεῖ καὶ ἐγκαινίζει τὸ θυσιαστήριον,*
25 *Ῥωμαίοις τε σπένδεται φιλωθεὶς καὶ πρὸς γεωργίαν Ἰουδαίους προτρέπει. ἐν τούτοις οὖν Δημήτριος ὁ Σελεύκου καταπλεύσας ἐκ Ῥώμης τόν τε Εὐπάτορα Ἀντίοχον ἀναιρεῖ καὶ Λυσίαν, πρὸς ὃν Ἰούδας εἰς τὴν Ἰουδαίαν*

6 *ὅτι ρο′ ἔτη ἀπὸ Σελεύκου ἐτελεσφόρουν Ἰουδαῖοι* || **12** *ὅτι οἱ **Μακκαβεῖς** οὗτοι ἀριστεῖς ἔτη λδ′* || **24** *ἐγκαίνια τοῦ ναοῦ ποιεῖ Ἰούδας*

3 1 Macc. 16, 16 || **6** 1 Macc. 13, 41–42, cf. ps. Sym. f. 57ᵛ = Cedr. 293, 5 || **8** cf. Euseb. 2, 141–144; 1 Macc. 1, 20 (anno 143); 2, 70 (anno 146); 9, 2 (anno 152); 13, 41 (anno 170); 16, 14 (anno 177) || **10** 1 Macc. 8, 20–22 || **14** apud Euseb. 2, 141 anni Mattathiae non numerantur et Iudas habet annos tres || **14–17** 3 Macc. 1, 1; 1 Macc. 1, 10; 16, 16 || **17–19** 3 Macc. 6, 27–29; 1 Macc. 1, 10–15 || **20** 1 Macc. 1, 21 || **21–p. 348, 2** 1 Macc. 10, 1–11; 11, 13–12, 1; 2 Macc. 13, 24–14, 4

1 *κενδέβαιον* B *κευδαῖον* A | *ἰωνάθης* AB || **3** *τῶν*] *τοῦ* AB || **4** *στρατηγοῦ τῆς* B *στρατηγοῦντος* A || **12** *Ματαθίου* Di. *ματταθίου* B *ματθαδίου* A || **21** *ματαθίας* B *ματθίας* A | *τοῖς* om. B || **29** lemma om. Aᵐ

ἐλθόντα παραγενηθεὶς ἀπεδείχθη. ἔπειτα δὲ Ἀλκίμου τοῦ ἱερέως παρενοχλήσεσιν ὑπ' αὐτοῦ Δημητρίου ἀνῃρέθη ἀνδρείως πολεμῶν.

Ἰωνάθης μετὰ Ἰούδαν ἡγεῖται Ἰουδαίων. Ἄλκιμος δὲ ὁ προρρηθεὶς καθεῖλε τὸ τεῖχος τῆς ἐνδοτέρας αὐλῆς τοῦ ἱεροῦ, ἡνίκα καὶ Ἀλέξανδρος υἱὸς Ἀντιόχου τοῦ Εὐπάτορος Δημήτριον τὸν λεγόμενον Σωτῆρα ἀνελών, Ἰωνάθην πορφύραν ἐνέδυσε, βασιλέα τοῦ ἔθνους Ἰουδαίων ἀνειπών. τότε Δημήτριος Δημητρίου ἀπὸ Κρήτης ἐπανῆλθε καὶ Ἀλεξάνδρῳ συμβαλὼν εἰς μάχην ἐλαύνει τῆς ἀρχῆς, Πτολεμαῖος δὲ ὁ Φιλομήτωρ πίπτει συμμαχῶν, καὶ Ἀλεξάνδρου τὴν κεφαλὴν προσφυγόντος αὐτῷ Ζάβηλος δυνάστης Ἀράβων Πτολεμαίῳ ψυχορραγοῦντι πέμψας παρεμυθήσατο. Ἰωνάθης δὲ κατὰ Δημητρίου ἐπὶ τὴν ἄκραν ἐστράτευσεν. ἀλλὰ Τρύφων ὁ καὶ Διόδοτος ἀναιρεῖ τὸν Ἰωνάθην ἐν Πτολεμαΐδι δόλῳ, ἑαυτῷ τὴν βασιλείαν Ἀντιόχου τοῦ υἱοῦ Ἀλεξάνδρου περιποιούμενος.

548 *Σίμων ἀδελφὸς Ἰωνάθου μετ' αὐτὸν ἡγήσατο κάλλιστα τοῦ ἔθνους, προστησάμενος ἡγούμενον τῶν δυνάμεων Ἰωάννην υἱὸν αὐτοῦ καὶ Ῥωμαίοις σπεισάμενος. τοῦτον ἀναιρεῖ Πτολεμαῖος ὁ Ἀβούβου γαμβρὸς οἰκεῖος καὶ στρατηγὸς Ἱεριχώ. ἕως τούτου τὰ Μακκαβαίων.*

Ἰουδαίων ἀρχιεράτευσε ιθ' Ἰωάννης ὁ καὶ Ὑρκανὸς ἔτη λ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετξζ'.

Ἰωάννης ὁ τῶν Ἰουδαίων στρατηγὸς Ὑρκανοὺς νικήσας Ὑρκανὸς ὠνομάσθη. ὁ αὐτὸς πρὸς Ῥωμαίους δόγματι συγκλήτου φιλίαν σπένδεται.

Ἰωάννης ὁ καὶ Ὑρκανὸς Ἰουδαίων ἀρχιερεὺς Σεβαστὴν πόλιν Σαμαρείας πολιορκήσας ἠδάφισε. ταύτην Ἡρώδης ἀνοικοδομήσας Σεβαστὴν εἰς ὄνομα τοῦ Καίσαρος ἐκάλεσεν.

Ἔπειτα Ἰωάννης Ὑρκανὸς διαπρεπῶς ἡγήσατο πάνυ τοῦ γένους Ἰουδαίων. ἡ δὲ πρώτη τῶν Μακκαβαϊκῶν βίβλος ἕως αὐτοῦ λήγει. τοῦτον Ἰώσηππος ἐπὶ θεοφιλίᾳ πολλὰ μαρτυρεῖ.

Ἰωάννης υἱὸς Σίμωνος σφόδρα διαπρέπων, ἡγησάμενος τοῦ ἔθνους Ἰουδαίων ἐν ἱερωσύνῃ, καὶ πολέμοις καὶ πλούτῳ, τρισμυρίων ταλάντων ἐκ τῶν πατρῴων Δαβὶδ καὶ Σολομῶνος τάφων ἀνελόμενος, ἄλλοις τε πολ-

3–13 1 Macc. 9, 31. 54; 10, 20. 67; 11, 17–18. 63–74; 12, 39–48 || 14–17 1 Macc. 13, 8. 53; 14, 18; 16, 16 || 18 cf. Euseb. 2, 145, 26 (ann. 26), Ioseph. Ant. Iud. 13, 299 (ann. 31) || 20 Euseb. 2, 146[f], Ioseph. Ant. Iud. 13, 228. 259 || 23 Euseb. 2, 146[h] || 26 Euseb. 2, 147[e], Ioseph. Ant. Iud. 12, 228–259 || 29 – p. 349, 4 Ioseph. Ant. Iud. 12, 249–299 (ann. 31), Chron. Pasch. 346, 9 (ann. 27), Africanus fr. 47

3 *προρρηθεὶς* A *προρηθεὶς* B || 6 *ἰωνάθης* AB || 7 *ἀλεξάνδρῳ* A *ἀλεξάνδρου* B || 9 *Ἀλεξάνδρου* Di. *ἀλεξάνδρῳ* AB || 10 *ψυχορραγοῦντι* A *ψυχοραγοῦντι* B || 19 *ἦν ἔτος* om. A || 20 *ὑρκανοὺς* B *ὑρκανὸς* A || 27 *λήγει* B *λέγει* A || 28 *θεοφιλίᾳ* Di. *θεοφιλείᾳ* AB || 31 *τάφων* B *τάφον* A

λοῖς κατορθώμασι καὶ τροπαίοις κατὰ τῶν πλησιοχώρων καὶ Σαμαρείας
εὐδοκιμήσας, ἐν τῷ θορύβῳ τῶν β' βασιλέων Ἀντιόχων πρὸς ἀλλήλους 549
τοῦ Γρυποῦ καὶ τοῦ Κυζικηνοῦ ἀναιρεθεὶς τελευτᾷ ἀρχιερατεύσας ἔτη λ',
κατὰ δὲ Ἀφρικανὸν κζ'. πολλὰς μυριάδας ταλάντων χρυσίου καὶ ἀργυρίου
5 συνέθαψε τῷ Δαβὶδ Σαλομών, ὥς φησιν Ἰώσηππος, ἐξ ὧν Ἰωάννης οὗτος
ὁ καὶ Ὑρκανὸς ἕνα τοῦ τάφου Δαβὶδ οἶκον ἀνοίξας ὑπὸ Ἀντιόχου πολιορ-
κούμενος ὡς τρισχίλια τάλαντα χρυσοῦ ἀνείλατο. ἔπειτα δὲ καὶ Ἡρώδης
ἄλλον οἶκον ἀνοίξας πολλὰ τάλαντα ἐξήγαγε. ταῖς δὲ θήκαις τῶν αὐτῶν
βασιλέων διὰ βάθους μεμηχανευμέναις οὐδεὶς προσεπέλασεν.

10 ## ΑΙΓΥΠΤΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΒΑΣΙΛΕΙΣ

Αἰγύπτου καὶ Ἀλεξανδρείας ς' ἐβασίλευσε Πτολεμαῖος ὁ Φιλομήτωρ
ἔτη λε'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετιδ'.

Ἀφρικανὸς ἔτη ια' μόνα λέγει τοῦ Φιλομήτορος.

Πτολεμαῖος ὁ Φιλομήτωρ πρῶτον Ἀλεξάνδρῳ τὴν θυγατέρα Κλεοπά-
15 τραν δοὺς πρὸς γάμον, ἔπειτα διὰ τὴν Ἀμμωνίου τοῦ στρατηγοῦ αὐτοῦ
ἐπιβουλὴν συμμαχεῖ Δημητρίῳ κατ' αὐτοῦ. καὶ ὁ μὲν κατὰ τὴν μάχην
ἐκπεσὼν τοῦ ἵππου τιτρώσκεται, Ἀλεξάνδρου δὲ τὴν κεφαλὴν ἐκκοπεῖσαν
ψυχορραγῶν δέχεται.

Αἰγύπτου καὶ Ἀλεξανδρείας ζ' ἐβασίλευσε Πτολεμαῖος ὁ Εὐεργέτης
20 δεύτερος ἔτη κη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετμθ'.

Αἰγύπτου καὶ Ἀλεξανδρείας η' ἐβασίλευσε Πτολεμαῖος ὁ Φούσκων ἔτη 550
ιη'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετοζ'.

Οὗτος καὶ Σωτὴρ ἐκαλεῖτο, υἱὸς δὲ ἦν τοῦ Εὐεργέτου Πτολεμαίου καὶ
Κλεοπάτρας πρεσβύτερος. τοῦτον ἡ μήτηρ τῷ ι' ἔτει τῆς βασιλείας ἀπ-
25 ήλασε, καὶ ἦν βασιλεύων ἐν Κύπρῳ· τὸν δὲ νεώτερον υἱὸν αὐτῆς καὶ ἀδελ-
φὸν τούτου Ἀλέξανδρον ἀνέδειξε βασιλέα σὺν αὐτῇ· ὃς καὶ ἐβασίλευσεν
Ἀλεξανδρείας ἔτη ιε', καὶ διωχθεὶς ὑπὸ τῶν στρατευμάτων εἰς Λυκίας

1 *Ἄραβες καὶ Ἰδουμαῖοι καὶ τῆς παράλου Φοίνικες* || 24 *τίς ἐδιώχθη ὑπὸ τῆς μη-
τρός*

4–9 Ioseph. Ant. Iud. 7, 392–394 || 11 Porphyrius FGrHist 260 F 2 = Euseb. 1,
76, 2 || 13 Africanus fr. 46, cf. Porphyr. F 2 = Euseb. 1, 75, 18 || 14 1 Macc. 10,
58; 11, 9–18, Ioseph. Ant. Iud. 13, 82. 106–108. 116–118 || 19 Porphyrius F 2 =
Euseb. 1, 76, 1 (ann. 29) || 21–p. 350, 6 Porphyrius F 2 = Euseb. 1, 76, 5–77, 5 ||
27 ann. 18 Porphyr.

6 *καὶ* om. **A** | *πολιορκούμενος* Di. *πολιορκούμενον* **AB** || 10 titulus in margi-
ne **A** | *αἰγύπτου* **A**^m *αἰγυπτίων* **B** || 12 et infra *ἦν ἔτος* om. **A** || 13 *λέγει τοῦ* **B**
tr. **A** || 14 *ἀλεξάνδρῳ* **B** *ἀλέξανδρον* **A** || 15 *ἀμμωνίου* **A** *ἀμωνίου* **B** || 24 *πρε-
σβύτερος* Di. *πρεσβύτης* **AB** || 28 lemma (1) in margine **A**, in textu **B** post *πλησιο-
χώρων*

πόλιν Μύρα φεύγει μετὰ γυναικὸς καὶ θυγατρὸς κἀκεῖθεν εἰς Κύπρον μετὰ παῖδα, καὶ ἀναιρεῖται ὑπὸ ναυάρχου Χαιρέου πολεμούμενος. μεθ' ὃν πάλιν τῷ ἀδελφῷ παραδόντες Πτολεμαίῳ Σωτῆρι καὶ Φούσκωνι δι' ὄγκον τοῦ σώματος κληθέντι τὴν βασιλείαν ἀνεδέξαντο β' βασιλέα οἱ Ἀλεξανδρεῖς ἐπὶ ἄλλα ἔτη η'. ὁμοῦ ἔτη λγ'. ἅτινα μετὰ τὴν ἀναίρεσιν ὄντα Ἀλε- 5 ξάνδρου τοῦ ἀδελφοῦ αὐτοῦ ὧδε συντάττονται.

ΣΥΡΙΑΣ ΒΑΣΙΛΕΙΣ

Συρίας ι' ἐβασίλευσε Δημήτριος υἱὸς Σελεύκου ἔτη ιβ' ὁ ἐπικληθεὶς Σωτήρ. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετκγ'.

551 Οὗτος ὁ Δημήτριος ὑπὸ Σελεύκου τοῦ πατρὸς δοθεὶς ὅμηρος εἰς Ῥώμην, 10 φυγὼν εἰς Τρίπολιν Φοινίκης ἐν ἡμέραις παρεγένετο, καὶ ἐπελθὼν Λυσίαν τε ἐπίτροπον Ἀντιόχου τοῦ παιδὸς ἀναιρεῖ καὶ αὐτὸν Ἀντίοχον, παραδόξως ἐν ταῖς ὅλαις ἡμέραις τοσαύτην κατακτησάμενος ἀρχήν. κατὰ τούτου Πτολεμαῖός τε συμμαχεῖ Ἀλεξάνδρῳ διὰ μισθοφόρων ξένων καὶ Ἄτταλος ὁ Περγάμου βασιλεὺς ὁ καὶ κατάγων αὐτόν· πρὸς ὃν ἀντιταττόμενος ὁ 15 Δημήτριος τελευτᾷ ιβ' ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ κρατεῖ τῆς Συρίας Ἀλέξανδρος ὁ ὑποτεταγμένος ἔτη ε', καὶ ἀναιρεῖται πολεμῶν τῷ Πτολεμαίῳ κατὰ τὴν Ἀντιόχειαν κατάγοντι Δημήτριον τὸν Δημητρίου ἐπὶ τὴν βασιλείαν Συρίας. συμπίπτει δὲ καὶ ὁ Πτολεμαῖος καὶ μετ' οὐ πολὺν χρόνον θνήσκει. 20

Συρίας καὶ Ἀσίας ια' ἐβασίλευσεν Ἀλέξανδρος ἔτη θ'. οὗτος υἱὸς ἦν Ἀντιόχου τοῦ Ἐπιφανοῦς. τινὲς δὲ ἔτη ι' φασὶν αὐτὸν βασιλεῦσαι, ἐν οἷς καὶ Εὐσέβιος. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετλε'.

Οὗτος Πτολεμαίῳ φιλωθεὶς Κλεοπάτραν ἔγημε θυγατέρα αὐτοῦ, καὶ ἐν Πτολεμαΐδι ὑπάρχουσιν αὐτοῖς Ἰωνάθης ἐλθὼν ἐφιλώθη. 25

Τρύφων ὁ καὶ Διόδοτος παρὰ Ἀλεξάνδρου τοῦ Βαλλᾶ τὴν τῶν πραγμάτων ἐγχειρισθεὶς διοίκησιν Ἀντίοχον τὸν Ἀλεξάνδρου παρὰ Ἰμαλκούη 552 τὸν Ἄραβα τρεφόμενον ἀπολαβὼν ἐπολέμει τῷ Δημητρίῳ, φιλωθεὶς Ἰωνά-

5 summa ann. 36 Porphyr. || 8—20 Porphyrius F 32 = Euseb. 1, 119, 34—120, 12 || 21—23 cf. Euseb. 2, 143, 7 (ann. 9, menses 10, ann. 10 in filo). inter hos decem annos numerantur anni Antiochi filii Alexandri et Tryphonis (cf. 1 Macc. 11, 54; 13, 31—32, Ioseph. Ant. Iud. 13, 208); apud Porphyrium (Euseb. 1, 120, 7—17) numerantur anni quinque Alexandri post quem anni quinque anarchiae || 24 1 Macc. 10, 57—60 || 26 1 Macc. 11, 39. 57; 12, 1, cf. Ioseph. Ant. Iud. 13, 131

2 χαιρέου A χερέου B | ὃν A ὧν B || 4 ἀνεδέξαντο B ἀνέδειξαν τὸν A | βασιλέα B βασιλειῶν A || 6 συντάττονται A συντάττωνται B || 7 titulum om. A || 8 δημήτριος υἱὸς σελεύκου B υἱὸς σελεύκου δημήτριος A || 9 ἦν ἔτος om. A || 16 ἔτει Di. ἔτη AB || 18 τὸν B τοῦ A || 23 ἦν ἔτος om. A || 27 Ἰμαλκούη 1 Macc.^ ἐγχαλκοῦν A εἰνγαλχοῦν B Μάλχον Ioseph.

θη, ἡνίκα πολλῶν Ἰωνάθης κρατήσας τὴν πρὸς Ῥωμαίους φιλίαν τοῦ ἀδελφοῦ ἀνεκτήσατο. ὁ δὲ Τρύφων Ἰωνάθην δεδοικὼς ἀποκτεῖναι τὸν παῖδα Ἀντίοχον καὶ ἑαυτὸν ἀνειπεῖν βασιλέα, μετὰ δυνάμεως πρὸς αὐτὸν ἐλθόντα πείθει πάντας ἀπολῦσαι πλὴν χιλίων καὶ συμπορευθῆναι ἕως
5 *Πτολεμαΐδος τὰς ἐκεῖ παραληψόμενον δυνάμεις. Ἰωνάθης δὲ συναπῆλθεν ἅμα χιλίοις μόνοις ἀπατηθεὶς ἐν Πτολεμαΐδι. δήσας δὲ τοῦτον ὁ Τρύφων ἐπιστρατεύει Ἰουδαίοις, ὧν ἡγεῖτο Σίμων ἀδελφὸς Ἰωνάθου, τάλαντά τε ρʹ ἐπεζήτει καὶ δύο τῶν παίδων Ἰωνάθου αὐτοῦ ἀντʼ αὐτοῦ. ὁ δὲ Σίμων εἰδὼς ὅτι πάντα ψεύδεται, πλὴν δέδωκε πάντα καὶ οὐδʼ οὕτως τοῦ φόνου*
10 *τὸν ἀδελφὸν ἐξείλατο.*

Συρίας καὶ Ἀσίας ιβʹ ἐβασίλευσε Δημήτριος Δημητρίου τὸ αʹ ἔτη γʹ ὁ καὶ Σιριππίδης. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετμδʹ.

Συρίας καὶ Ἀσίας ιγʹ ἐβασίλευσεν Ἀντίοχος ὁ Σιδίτης ἔτη θʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετμζʹ.

15 *Οὗτος ἀδελφὸς ἦν τοῦδε τοῦ Δημητρίου.*

Οὗτος Τρύφωνα τὸν ἀνελόντα Ἰωνάθην καὶ Ἀντίοχον τὸν υἱὸν Ἀλεξάνδρου καὶ ἑαυτὸν βασιλέα Συρίας ἀνειπόντα ἐκ Σίδης ἐλθὼν πολιορκεῖ εἰς 553 *Δαρὰ καταφυγόντα κἀκεῖθεν εἰς Ὀρθωσίαν. ἐξ ἧς διωχθεὶς εἰς πῦρ ἐναλλόμενος θνήσκει.*

20 *Συρίας καὶ Ἀσίας ιδʹ ἐβασίλευσε Δημήτριος τὸ βʹ ἔτη δʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετνςʹ.*

Συρίας καὶ Ἀσίας ιεʹ ἐβασίλευσεν Ἀντίοχος ὁ Γρυπὸς ἔτη κςʹ. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετξʹ.

Χρὴ γινώσκειν ὅτι τὰ κςʹ ἔτη οὐκ εἰσὶ μόνου τοῦ Γρυποῦ Ἀντιόχου, ἀλλὰ
25 *καὶ τοῦ Κυζικίου. πρῶτον γὰρ ὁ Γρυπὸς βασιλεύσας ἔτη δʹ ἐξεβλήθη ὑπὸ τοῦ Κυζικίου, καὶ ἐβασίλευσεν ὁ Κυζίκιος ἔτη ιηʹ. καὶ πάλιν ὁ Γρυπὸς ἐκβαλὼν τὸν Κυζίκιον ἐβασίλευσε τὰ λοιπὰ ἔτη δʹ, καὶ οὕτως ἐκ διαδοχῆς ἐπολέμουν ἀλλήλους.*

Ἀντίοχος ἅμα Ὑρκανῷ ὁ Γρυπὸς Σίνδαν τινὰ στρατηγὸν τῶν Πάρθων
30 *νικήσας τρόπαιον ἔστησε παρὰ τῷ Λύκῳ ποταμῷ.*

26 *ποίοις χρόνοις ἦν ὁ Κυζίκιος*

2 1 Macc. 12, 39–48; 13, 16–19. 24 || **11–15** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 120, 16–29 || **16** 1 Macc. 15, 10–14. 37 || **20–28** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 122, 7–33 || **29** cf. Ioseph. Ant. Iud. 13, 251 = Nicolaum Damasc. FGrHist 90 F 92

3 *ἑαυτὸν* B *αὐτὸν* A || **8** *αὐτοῦ ἀντʼ αὐτοῦ* B *ἀντʼ αὐτοῦ* A || **9** *δέδωκε πάντα* B *δέδωκε ταῦτα* A || **11** *τὸ* A *τῷ* B | *ἔτη* A *ἔτει* B || **12** *σιριππίδης* B *σιρισπίδης* A *Siripides* Euseb. Arm. *Σιδηρίτης* Di. | *ἦν ἔτος* om. A, sed habet **14** || **20** *τὸ* Go.ᵐ *τῷ* AB | *ἔτη* A *ἔτει* B || **21** et **23** *ἦν ἔτος* om. A || **21** *͵ετνςʹ* Go.ᵐ *͵ετνʹ* AB || **29** *σίνδαν τινὰ* AB *Σινδάτην* Ioseph.

*Κατὰ Σικελίαν ὁ δουλικὸς πόλεμος. οἱ ἐν Σικελίᾳ δοῦλοι πολιορκούμε-
νοι εἰς ἀλληλοφαγίαν ἐτράπησαν. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ετξʹ.*
*Σέλευκος υἱὸς Ἀντιόχου τοῦ Γρυποῦ τὸν Κυζίκιον ἐκβαλὼν ἐκράτησε
βραχύ.*
Σέλευκον ζῶντα κατέκαυσεν ὁ Κυζίκιος Ἀντίοχος. 5
Ἀντίοχος ὁ Κυζίκιος φυγὼν εἰς Πάρθους Πομπηίῳ προὔδωκεν ἑαυτόν.
554 *Ἰστέον ὅτι καὶ οὗτος ὁ ἐξωσθεὶς λέγεται ὑπὸ τῆς μητρὸς καὶ ὁ μετ' αὐ-
τὸν ὑπὸ τῶν στρατευμάτων διωχθεὶς Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ ὁ ἐξ-
ωσθεὶς ὀνομάζεται.*
Τοῦ Ἀλεξάνδρου τούτου τοῦ προρρηθέντος υἱοῦ Ἀντιόχου τοῦ Ἐπιφα- 10
*νοῦς πεσόντος ἐν τῇ πρὸς Πτολεμαῖον μάχῃ μερίζεται ἡ τῆς Συρίας ἀρχὴ
εἴς τε Δημήτριον τὸν τοῦ Δημητρίου υἱὸν ὁρμώμενον ἐκ τῆς Σελευκίας καὶ
εἰς τὸν υἱὸν Ἀλεξάνδρου ὁρμώμενον ἐκ Συρίας καὶ Ἀντιοχείας Ἀντίοχον.
ἀλλὰ τοῦτον ὁ Δημητρίου Δημήτριος τάχιστα νικήσας χειροῦται τὴν
ἀρχὴν ἔτη γʹ. ὅθεν καὶ Νικάνωρ ἐκλήθη. στρατεύσας δὲ ἐπ' Ἀρσάκην εἰς* 15
*Βαβυλῶνα αἰχμάλωτος γίνεται ὑπὸ Ἀρσάκου καὶ εἰς τὴν Παρθικὴν ἀν-
αχθεὶς ἐφρουρεῖτο σιδηρωθείς. ὅθεν καὶ Σιδηρίτης ἐλέγετο ὕστερον.*
*Οὗτος πρὸ τῆς εἰς Παρθικὴν φρουρᾶς ἐκ Κρήτης ἐπανελθὼν καὶ Συρίας
κρατήσας Ἀπολλώνιον ἔταξεν Ἰουδαίοις πολεμεῖν· Ἰωνάθης δὲ ἅμα μυ-
ρίοις ἐπιλέκτοις Ἰώππην κατέσχε κτείνας ͵η τῶν σὺν τῷ Ἀπολλωνίῳ. ὁ* 20
αὐτὸς Ἄζωτον ἐμπρήσας τὸ παρ' αὐτοῖς εἴδωλον τοῦ Δαγὼν ἀφαιρεῖται.
*Τῷ αὐτῷ Δημητρίῳ Δημητρίου Σωτῆρι ἐπιλεγομένῳ καὶ Νικάνορι
Πτολεμαῖος δίδωσιν ἀφελόμενος Ἀλεξάνδρου τὴν θυγατέρα Κλεοπάτραν
ὁμοῦ καὶ τῆς Συρίας ἀρχήν. ἀπέστησαν δὲ αἱ δυνάμεις τοῦ Δημητρίου καὶ*
555 *ἐδεήθη Ἰωνάθου πέμψαι στράτευμα πρὸς συμμαχίαν αὐτῷ εἰς Ἀντιόχειαν,* 25
*ὑποσχόμενος καθαρίσαι τὰς πόλεις Ἰούδα τῶν ἐθνικῶν στρατευμάτων,
εἰ νικήσει. Ἰωνάθης δὲ ἀπέστειλεν αὐτῷ τρισχιλίους, οἳ καὶ διέφθειραν
εἰς Ἀντιόχειαν Ἑλλήνων μυριάδας ιʹ τῶν ἐπαναστάντων κατὰ Δημητρίου
πολιτῶν καὶ τὴν πόλιν ἐνέπρησαν. Δημήτριος δὲ νικήσας πάντα διεψεύσατο
τὰ πρὸς Ἰωνάθην.* 30
*Ἐν τούτοις οὖν ἀναιρεῖται Ἰωνάθης ὑπὸ Τρύφωνος δόλῳ καὶ κρατεῖ
μετ' αὐτὸν Σίμων υἱὸς αὐτοῦ ἔτη ηʹ.*

1 cf. Euseb. 2, 146[c] || 3 Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 122, 34 || 5 Euseb. 2, 149[f], aliter Porphyr. = Euseb. 1, 123, 11 || 6 Porphyr. F 32 = Euseb. 1, 123, 25 || 7 cf. Athenaeum Naucr. FGrHist 166 F 1 (de Antiocho Eupatore) || 10–17 Porphyrius F 32 = Euseb. 1, 120, 12–24 || 18 1 Macc. 10, 67–69. 77–85 || 22 1 Macc. 11, 13. 41–53 || 31 1 Macc. 13, 23, cf. Euseb. 2, 144[e]

2 *ἀλληλοσφαγίαν* AB || 12 *τοῦ* om. A | *σελευκίας* B *σελευκείας* A || 17 *Σιδηρίτης*] *Σιριπίδης* supra et Euseb. Arm. || 25 *συμμαχίαν* A *συμμαχείαν* B || 32 *υἱός*] *ἀδελφός* 1 Macc., Euseb.

ΣΠΟΡΑΔΗΝ

Ὄππιος Κελτοὺς ἐχειρώσατο. κατὰ τούτους τοὺς χρόνους ἑάλω Καρχηδὼν τὸ ἔσχατον ὑπὸ Σκηπίωνος Ἀφρικανοῦ τοῦ νέου, ἔχουσα ἔτη χμʹ ἀπὸ κτίσεως, κατὰ δὲ ἄλλους ψμηʹ.

5 *Ἀντίοχον τὸν Σιδίτην Ἀρσάκης Πάρθος ἀνεῖλε.*

Πτολεμαῖος ὁ Ἀβούβου μετὰ τὸ ἀνελεῖν Σίμωνα τὸν οἰκεῖον πενθερὸν δόλῳ παρὰ πότον τῷ Ἀντιόχῳ ἐδήλωσεν ἀποστεῖλαι δύναμιν αὐτῷ πρὸς τὸ παραδοῦναι αὐτῷ τὴν Ἰουδαίαν.

Ἰωάννης δὲ ὁ Σίμωνος υἱὸς μαθὼν τὰ συμβάντα τῷ πατρὶ καὶ τοῖς 10 *ἀδελφοῖς ὑπὸ Πτολεμαίου τοὺς μὲν ἐλθόντας πρὸς αὐτὸν ἐν Γαζαρηνοῖς ἀναιρεῖ, τῷ δὲ Ἀντιόχῳ φιλωθεὶς καὶ παρὰ τοῦ πλήθους τὴν ἀρχὴν λαβὼν τὸν αὐτὸν ἀναιρεῖ Πτολεμαῖον, καὶ Ἀντιόχῳ συμμαχεῖ κατὰ Ὑρκανῶν·* 556 *ἔνθα μεγάλως εὐδοκήσας Ἰωάννης Ὑρκανὸς ἐπωνομάσθη, ἀριστεύσας πλεῖστα.*

15 *Καὶ ἀναιρεῖται ὑπὸ Πτολεμαίου τοῦ Ἀβούβου Σίμων παρὰ πότον τοῦ ἰδίου γαμβροῦ δόλῳ σὺν τοῖς υἱοῖς πλὴν Ἰωάννου, ὃς Ἰωάννης ὁ Ὑρκανὸς μετονομασθεὶς ἐκράτησεν Ἰουδαίων ἔτη κςʹ στρατηγῶν καὶ ἀρχιερατεύων.*

Ἕως τούτου περιέχει ἡ πρώτη τῶν Μακκαβαίων, ἡ δὲ δευτέρα τὰ κατὰ Σέλευκον καὶ Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ Ἀντίοχον τὸν Εὐπάτορα καὶ 20 *Δημήτριον τὸν Σωτῆρα καὶ Ἰούδαν τὸν Μακκαβαῖον. ἡ δὲ τρίτη τὰ κατὰ τὸν Φιλοπάτορα Πτολεμαῖον ἱστορεῖ, ὅπως τὸ ἔθνος τῶν Ἰουδαίων ἐβουλεύσατο ἀφανίσαι πρὸ τῆς Ἀντιόχου τοῦ Ἐπιφανοῦς βασιλείας ἔτεσι λʹ· ταύτῃ δὲ καὶ πρώτη τῷ χρόνῳ ἐστίν. ἡ δὲ δʹ ἐξαίρετος περὶ τοῦ αὐτοδέσποτον εἶναι τῶν παθῶν τὸν εὐσεβῆ λογισμὸν καὶ περὶ τῆς τῶν ζʹ σὺν* 25 *τῇ μητρὶ ἀθλήσεως κατὰ τοὺς Ἰωνάθου τοῦ Μακκαβαίου χρόνους καὶ Σίμωνος τοῦ ἀδελφοῦ αὐτοῦ.*

Αἰγύπτου μὲν Πτολεμαῖος ὁ Εὐεργέτης, Συρίας δὲ καὶ τῆς μικρᾶς Ἀσίας Ἀλέξανδρος ὁ τοῦ Βαλλᾶ λεγόμενος, υἱὸς Ἀντιόχου τοῦ Ἐπιφανοῦς, Ῥωμαίων δὲ ἄριστοι ἐκράτουν· καὶ ἄλλοι μὲν στρατηγοί, πάντων δὲ μᾶλ- 30 *λον Σκηπίων ὁ νέος ἔκγονος τοῦ Ἀφρικανοῦ Σκηπίωνος, ὃς καὶ Καρχηδονίοις τοῖς κατὰ Λιβύην τὸν τρίτον ἐπιστήσας καὶ τελευταῖον πόλεμον γεν-*

30 *Σκηπίων ὁ νέος Ῥωμαίων ἄριστος στρατηγὸς ἔκγονος Σκηπίωνος*

2–4 Euseb. 2, 143^{g}; cf. Vell. Paterc. 1, 12, 5, Eutrop. 4, 12, 3 || **5** Euseb. 2, 146^{b}, cf. Porphyr. = Euseb. 1, 120, 32 || **6–10** 1 Macc. 16, 11–22 || **11–14** Ioseph. Ant. Iud. 13. 228–229. 250–253, cf. Euseb. 2. 146^{f} || **15** Euseb. 2, 145^{e} || **18** cf. Euseb. 2. 145^{f}. 137^{b}. 134^{b}. 126^{d} || **30** cf. Euseb. 2, 143^{g}

5 *Ἀρσάκης* Di. *ἀρσάκιος* **AB** || **6** *πενθερὸν* **AB** *γαμβρὸν* 1 Macc. || **9** et **13** *Ἰωάννης* Go.^{m} *ἰωνάθης* **AB** || **10** *γαζαρήνοις* **A** *γαζήροις* **B** || **12** *Ὑρκανῶν* Di. *ὑρκανῷ* **A** *ὑρκανὸν* **B** || **15** *Ἀβόυβου Σίμων* Di. *ἀβούβουση* **A** *ἀβούβουσι* **B** || **31** *καὶ* om. **A**

557 *ναίως τοῖς ὅπλοις ἐκράτησε, μετὰ χμ' ἔτη, καθ' ἑτέρους δὲ ψμη' τῆς οἰκοδομῆς τὴν Καρχηδόνα καταστρεψάμενος. τότε δύο στρατηγοὶ Ῥωμαίων ἡττηθέντες εἷς μὲν ἀνῃρέθη, θάτερος δὲ ζωγρηθεὶς εἰς Ῥώμην ἐστάλη σὺν αἰχμαλώτοις πολλοῖς, αὐτός τε ἀναζεύξας Σκηπίων ⟨***⟩ τῶν ἐξ αὐτῶν καταγόντων τὸ γένος ἔτι κρατούντων ἀπὸ τῶν Ἀλεξάνδρου χρόνων* 5 *Αἰγύπτου καὶ Συρίας καὶ Ἀσίας, ἐν μέρει δὲ ἔστιν ὅτε καὶ Βαβυλωνίας, τῆς Μακεδόνων δυναστείας ὑποφόρου Ῥωμαίοις ταχθείσης, ὡς πρὸ βραχέος δεδήλωται.*

Μικίψας Νουμηδείας βασιλεὺς καὶ Ῥωμαίων σύμμαχος τέθνηκεν, οὗ νόθος παῖς Ἰουγόρθας λεγόμενος δόλῳ τοὺς ἐκείνου γνησίους ἀνελὼν 10 *παῖδας χειροῦται τὴν ἀρχήν. ἐφ' ᾧ Ῥωμαῖοι δεινοπαθήσαντες διὰ Μαρίου πρῶτον ὑπάτου στρατεύουσιν ἰσχυρῶς τῇ μάχῃ κρατήσαντος, τοῦ Ἰουγόρθα φεύγοντος, ἔπειτα διὰ Μετέλλου, καὶ τούτου ὑπατικοῦ γενναίως εὐδοκιμήσαντος, τελευταῖον δὲ διὰ Σύλλα, τοῦ καὶ αὐτὸν Ἰουγόρθαν ζῶντα χειρωσαμένου καὶ θριαμβεύσαντος ἐπ' αὐτῷ πρὸ τοῦ ἅρματος ἐν Ῥώμῃ* 15 *κατὰ τὴν αὐτοῦ ὑπατείαν ἀγομένῳ δεσμίῳ, ἥτις ἦν ὀλυμπιάδι ρξε'.*

Συρίας καὶ Ἀσίας ις' ἐβασίλευσεν Ἀντίοχος ὁ Κυζίκιος ἔτη ια'. τοῦ δὲ κόσμου ἦν ἔτος ,ετπς'.

558 ## ΚΟΣΜΟΥ ΕΤΗ

Ἰουδαίων κ' ἀρχιεράτευσεν Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος ἔτη λ'. τοῦ δὲ 20 *κόσμου ἦν ἔτος ,ετςζ'.*

Ἰανναῖος τοὺς λοιποὺς ἀδελφοὺς καὶ συγγενεῖς ἀνεῖλε, μηδένα τοῦ γένους ὑπολειψάμενος. διὰ τοῦτο καὶ πᾶσαι αἱ πόλεις Ἰουδαίων ἀπέστησαν ἀπ' αὐτοῦ, ἃς διὰ Κλεοπάτρας μητρὸς Ἀλεξάνδρου ἐπέστρεψε, συμμαχούντων Αἰγυπτίων αὐτῷ. 25

Ἰανναῖος ὀξὺς καὶ ὑβριστὴς καὶ ἀγριώτατος ἦν σφόδρα. τοῦτον οἱ κολακεύοντες Ἀλέξανδρον ἔλεγον διὰ τὸ τῆς γνώμης ὀξὺ καὶ ἀνεμπόδιστον, οἱ δὲ μισοῦντες Θρακιδᾶν ὡς ἀδικώτατον.

2–4 nonnulla desunt; dicit fortasse de bello Numantino, cf. Euseb. 2, 144[c], Eutrop. 4, 17, 2 || **4–7** dicit fortasse de quarto bello Macedonico, cf. Euseb. 2, 143[c], Pomp. Trog. prolog. ad libr. 33 || **9–16** cf. Eutrop. 4, 26–27 || **17** Porphyrius FGrHist 260 F 32 = Euseb. 1, 122, 32 || **20** cf. Euseb. 2, 148, 12 (ann. 27), Chron. Pasch.. 349, 9 (ann. 30) || **22** Ioseph. Ant. Iud. 13, 323–347 || **26** Ioseph. Ant. Iud. 13, 383

4 lacunam indicat Di. || **11** *μαρίνου* **AB** || **13** *ἰούγορθα* **B** *δὲ οὔγαρθα* **A** || **15** *πρὸ τοῦ* Scal. *πρώτου* **B** *πρῶτον* **A** | *ἅρματος* Scal. *ἄρμαιγος* **AB** || **18** *ἦν ἔτος* om. **A** | *,ετπς'* Go.[m] *,ετπε'* **AB** || **21** *ἦν ἔτος* om. **A** | *,ετςζ'* Go.[m] *,ετςς'* **AB** || **24** *ἀπ'* om. **B** || **26** *Ἰανναῖος* Go.[m] *ἰωανναῖος* **A** *ἰωαναῖος* **B** | *καὶ ὑβριστὴς* om. **B**

Κατὰ τούτους τοὺς χρόνους Κλεοπάτρα Σαλήνη τοὺς παῖδας ἀποβαλοῦσα καθ' ἑαυτὴν ἔδοξε βασιλεύειν, ἐπιτρόπους ἔχουσα δύο τῶν Ἰουδαίων Ἀνανίαν καὶ Χελκίαν, πάντα τὰ κατ' αὐτὴν διοικοῦντας, δι' ὧν Ἰανναῖος φιλωθεὶς αὐτῇ συμμάχους Αἰγυπτίους ἔσχε κατὰ Παλαιστίνης, καὶ τῶν 5 *ἀποστατησάντων Ἰουδαίων τὰς πόλεις ἀφανίζων καὶ τοὺς ὁμογενεῖς ἀφειδῶς ἀποσφάττων μέχρι γυναικῶν καὶ παίδων, ἀρξάμενος ἀπὸ τῶν πέραν Ἰορδάνου πόλεων καὶ Ἐσεβοῦντα καταλαβόμενος, Ἀμμανῖτιν τε καὶ Μωαβῖτιν ἐπελθών, Δῶραν, τὴν πρὸς τοῖς Ἄραψι Πέλλαν, Γάδαρα τὴν* 559 *πρὸς θερμοῖς ὕδασιν, Ἄβιλαν, Ἵππον, Δίαν, Φιλοτερίαν, Μακεδόνων* 10 *ἀποικίας, καὶ Βασὰν τὴν νῦν Σκυθόπολιν, Μαλλέαν Σαμαρείας, Θαβὼρ ὄρος, Γαβαάν.*

Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος πόλεμον ἐξάγων πρὸς Ἀντίοχον τὸν παῖδα τοῦ Γρυποῦ τὸν καὶ Διόνυσον ἐνίκησεν.

Οὗτος τὴν Τυρίων γῆν ἐπελθὼν ἐπολιόρκει τὴν νῆσον. ἐπαναστάσεως 15 *δὲ πειραθεὶς Ναβαταίων καὶ Ἰτουραίων Δίγαιον στρατηγὸν ἔπεμψε Γαλιλαῖον κατὰ Ναβαταίων. αὐτὸς δὲ κατὰ τῶν Ἰτουραίων εἰς πόλεμον ἑτοιμαζόμενος θνήσκει βασιλεύσας ἔτη λ', Σαλίνῃ γαμετῇ τὴν ἀρχὴν ἐγχειρίσας, ὄντων αὐτῇ δύο παίδων ἐξ αὐτοῦ Ὑρκανοῦ καὶ Ἀριστοβούλου. ἐντεῦθεν δὲ τὰ Ἰουδαίων συγκέχυνται.*

20 *Ἰουδαίων κα' ἐβασίλευσε Σαλίνα ἡ καὶ Ἀλεξάνδρα ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵εωκζ'.*

Ἀλεξάνδρα ἡ καὶ Σαλίνα πάντῃ τῆς ὠμότητος ἀποδέουσα τοῦ ἀνδρὸς Ἰανναίου τοῦ καὶ Ἀλεξάνδρου, τὸ Ἰουδαίων ἔθνος ταῖς χρησταῖς εὐνοίαις κερδήσασα διὰ δόξαν εὐσεβείας καὶ τὴν πρὸς τὸ θεῖον ὀρθὴν πίστιν καὶ 25 *περὶ τοὺς πατρίους νόμους ἀκρίβειαν, εὐσταθῶς βασιλεύσασα ἔτη θ'. ταύ-* 560 *την τὸ Φαρισαϊκὸν ἠγάπα σύστημα, ὡς τῶν ἄλλων δύο, Σαδδουκαίων καὶ Ἐσσηνῶν, εὐσεβέστερον εἶναι δοκοῦν, καὶ τούτοις τὴν τῶν πραγμάτων ἐγχειρεῖ διοίκησιν ὡς θεοφιλής. καὶ ἦν ἡ μὲν ἀπόλαυσις τῆς ἀρχῆς τῶν Φαρισαίων δεσμούντων καὶ λυόντων ὡς ἤθελον, αἱ δὲ δυσχέρειαι τῆς* 30 *γυναικός, καίπερ οὔσης δεινοτέρας καὶ φοβερᾶς τοῖς ἔξω. πλὴν ἦρχε τῶν*

1–11 Ioseph. Ant. Iud. 13, 346–347. 355–364. 393–397 || **12** Ioseph. Ant. Iud. 13, 387–391 || **14** non ex Iosepho, uide Gelzer 1, 258 || **17** Euseb. 2, 152[f], Ioseph. Ant. Iud. 13, 407 || **20** Euseb. 2, 152, 10, Ioseph. Ant. Iud. 13, 430 || **22**–p. 356, **6** Ioseph. Bell. Iud. 1, 107–112

1 *ἀποβαλοῦσα* **B** *ἀποβάλλουσα* **A** || **3** *χελκίαν* **B** *χαλκίαν* **A** || **8** *δῶραν* **B** *δῶρραν* **A** || **9** *ἄβιλαν* **B** *ἄβιλλαν* **A** || **12** *ἰανναῖος* **B** *ἰωανναῖος* **A** || **16** *κατὰ Ναβαταίων* Scal. *κατ' ἀναβαταίων* **AB** || **17** *σαλήνῃ* **AB** | *ἐγχειρίσας* Scal. *ἐγχειρήσας* **AB** || **20** *σαλίνα* **B** *σαλῆνα* **A** | *ἀλεξάνδρα* **A** *ἀλεξάνδρεια* **B** || **21** *ἦν ἔτος* om. **A** || **27** *ἐσσηνῶν* **B** *ἐσινῶν* **A** | *δοκοῦν* Scal. *ἐδόκουν* **AB** || **29** *δυσχέρειαι* **A** *δυσχέρεια* **B** || **30** *οὔσης* **B** *οὔσαις* **A**

πολλῶν καὶ ἤρχετο ὑπ' αὐτῶν. δύο δὲ παίδων Ἀριστοβούλου καὶ Ὑρκανοῦ ταύτῃ προσόντων αὐτὴ τὴν βασιλείαν Ὑρκανῷ τῷ πρεσβυτέρῳ ἐπέτρεπε περὶ τὸν θάνατον, Ἀριστοβούλῳ δὲ τῷ νεωτέρῳ τὴν ἀρχιερωσύνην. ἀλλ' οὗτος ἀσθενούσης τῆς μητρὸς ἁρπάσας τὸν καιρὸν μετὰ πολλῶν οἰκετῶν κρατεῖ τῶν ἐρυμάτων καὶ μισθοφόρους ἐκ τούτων ἀθροίσας τοῖς χρήμασιν 5 *ἀνεῖπεν ἑαυτὸν βασιλέα.*

Τὸν δὲ Ὑρκανὸν οἰκτείρουσα Σαλίνα πονούμενον τὴν Ἀριστοβούλου γαμετὴν σὺν τέκνοις καθεῖρξε πρὸς τῷ βορείῳ κλίματι τοῦ ναοῦ εἰς Βαρεῖς τὸ φρούριον· καὶ ἐν τούτοις τελευτᾷ πρὶν Ἀριστόβουλον τιμωρήσασθαι περὶ τῆς καθ' Ὑρκανοῦ ἐπαναστάσεως, διοικήσασα, ὡς προείρηται, τὴν 10 *ἀρχὴν ἔτεσιν θ' καὶ τὸν Ὑρκανὸν ταύτης κληρονόμον καταλιποῦσα. πρὸς ὃν Ἀριστόβουλος παραταξάμενος πολέμῳ νικᾷ πρὸς Ἱεριχοῦντα συμβαλών, καὶ μεταβαίνουσι πρὸς αὐτὸν οἱ πλείους τῆς Ὑρκανοῦ μοίρας. ὁ δὲ* 561 *μετ' ὀλίγων φίλων τὸ λεχθὲν ἐν Ἱερουσαλὴμ πρὸς τῷ ναῷ τῆς Βάρεως φρούριον φυγὰς προκαταλαβών, κρατεῖ τὰ προσόντα τῷ Ἀριστοβούλῳ σὺν* 15 *τέκνοις καὶ γυναικί· Ἀριστόβουλός τε σπεύσας φθάνει καὶ διαλύεται πρὸς Ὑρκανὸν ἐν τῷ ἱερῷ πρὸς τὸ βασιλεύειν μὲν αὐτόν, ἐπεὶ καὶ κρείττων ἐδόκει τῇ ἐντρεχείᾳ, τὸν δ' Ὑρκανόν, ὡς βασιλέως πρῶτον ἀδελφόν, τἄλλα νωθέστερον ὄντα, τῆς βασιλείας ἐκστῆναι, πάσης τιμῆς ἀπολαύοντα. κἀπὶ τούτοις περιεστῶτος τοῦ πλήθους ἀλλήλους περιπτυξάμενοι διήμειψαν τὰς* 20 *οἰκίας, ὡς ὁ παρ' Ὁμήρῳ ποτὲ Γλαῦκος καὶ Διομήδης, καὶ Ἀριστόβουλος μὲν εἰς τὰ βασίλεια, Ὑρκανὸς δὲ εἰς τὴν Ἀριστοβούλου ἀνεχώρησεν οἴκησιν.*

Ἐντεῦθεν δέος καὶ λύπη τοῖς Ὑρκανοῦ φίλοις ἐπιπίπτει παρ' ἐλπίδα κρατήσαντος Ἀριστοβούλου, καὶ μάλιστα Ἀντιπάτρῳ τινί, Ἡρώδου πατρὶ τοῦ βασιλεύσαντος ἔπειτα Ἰουδαίων, ὃς ἦν ἀλλόφυλος Ἰδουμαῖος κατὰ 25 *Ἰώσηππον, κατὰ δὲ Ἀφρικανὸν Ἀσκαλωνίτης, υἱός τινος ἱεροδούλου καλουμένου Ἡρώδου τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος τεταγμένων ἐν Ἀσκάλωνι. τοῦτον Ἰδουμαῖοι λησταὶ τὸν Ἀντίπατρον εἶχον αἰχμαλωτίσαντες ἐν αὐτοῖς ληστεύοντα, λαβεῖν ἐλπίζοντες ἐκ τοῦ πατρὸς αὐτοῦ Ἡρώδου λύτρα. διὰ δὲ τὸ πτωχὸν εἶναι τὸν αὐτοῦ πατέρα καὶ λύτρα δοῦναι ἀπορεῖν* 30 *ἐχρόνισε συλληστεύων καὶ τοῖς αὐτῶν ἐντρεφόμενος ἤθεσιν.*

23 *ὅτι φίλος ἦν Ἀντίπατρος ὁ τοῦ Ἡρώδου πατὴρ τοῦ Ὑρκανοῦ ἀδελφοῦ Ἀριστοβούλου*

7–22 Ioseph. Bell. Iud. 1, 117–122 ‖ 21 Ilias 6, 235 ‖ 23–26 Ioseph. Bell. Iud. 1, 123 ‖ 26–31 Africanus fr. 48, cf. Euseb. H. E. 1, 6, 2–3; 7, 1, Iustin. Mart. dialog. 52; uide A. Schalit, Ann. Swedish Theolog. Inst. 1, 1962, 109–160

7 *σαλίνα* A *σαλήνα* B ‖ 11 *καταλιποῦσα* A *καταλειποῦσα* B ‖ 17 *κρείττων* A *κρεῖττον* B ‖ 21 *οἰκίας* B *οἰκείας* A ‖ 27 *τῶν . . . τεταγμένων* Go.[m] *τῷ . . . τεταγμένῳ* AB | *νεὼν* A *νεῷ* B ‖ 28 *αἰχμαλωτίσαντες* A *αἰχμαλωτήσαντες* B ‖ 31 *ἐχρόνισε* A *ἐχρόνησε* B

Οὗτος ὕστερον Ὑρκανῷ φιλωθεὶς πλούτῳ καὶ δόξῃ τῶν πολλῶν προεῖχεν 562
ἐντρεχείας χάριν καὶ τῆς περὶ τὰ κοινὰ πράγματα δεινότητος· ὃς ἀναπείθει
τὸν Ὑρκανὸν Ἀρέτᾳ τῷ τῶν Ἀράβων προσφυγόντα βασιλεῖ τὴν Ἰουδαίων
ἀρχὴν ἀνακτήσασθαι. καὶ δὴ σὺν αὐτῷ νυκτὸς ἀναλαβὼν τῆς πόλεως τὸν
5 *Ὑρκανὸν ἀποδιδράσκει πρὸς Ἀρέταν ὄντα κατὰ τὴν Πέτραν πόλιν Ἀράβων*
βασίλειον, καὶ πολλοῖς πείθει δώροις συμμαχήσοντα καταγαγεῖν ἐπὶ τὴν
ἀδίκως ἀφαιρεθεῖσαν ἀρχήν.

Τοῦ δὲ Ἀρέτα δύναμιν ἱππικὴν καὶ πεζικὴν πεντακισμυρίων ἀνδρῶν σὺν
αὐτοῖς πέμψαντος, οὐκ ἐνεγκὼν Ἀριστόβουλος ἐκ πρώτης συμβολῆς εἰς
10 *Ἱεροσόλυμα φεύγει· καὶ ἦν πολιορκούμενος ὑπ' αὐτῶν. κατὰ κράτος τε*
ἂν ἐλήφθη λειφθείς, εἰ μὴ Σκαῦρος ἐνδημήσας τηνικαῦτα τῇ Δαμασκῷ
προσφάτως ὑπὸ Γεμέλλου καὶ Δολλίου Ῥωμαίων καὶ αὐτῶν ληφθείσῃ
στρατηγῶν ἐπεκηρυκεύσατο πρὸς Ὑρκανὸν καὶ τοὺς Ἄραβας, ὀργὴν ἀπει-
λῶν αὐτοῖς Πομπηίου καὶ τῆς ὅλης συγκλήτου μὴ λύουσι τὴν κατὰ Ἀριστο-
15 *βούλου πολιορκίαν, τριακοσίοις ταλάντοις ὁ Σκαῦρος τοῖς παρὰ Ἀριστο-*
βούλου δοθεῖσι παραβλεψάμενος τὸ δίκαιον.

Ἀρέτας καταπλαγεὶς ἐπὶ τὴν Ἀραβίαν ἀναχωρεῖ λύσας τὴν πολιορκίαν.
Ἀριστόβουλος δὲ τοῖς περὶ τὸν Ὑρκανὸν καὶ Ἀντίπατρον συμβαλὼν περὶ
τὸν Παπυρῶνα κτείνει Φαλλίωνα τὸν ἀδελφὸν Ἀντιπάτρου καὶ πλείους
20 *ἢ ἑξακισχιλίους.*

Ἐντεῦθεν λοιπὸν τῆς Ἰουδαίων συμμαχίας Ὑρκανὸς ἀφαιρεθεὶς ἅμα 563
τῷ Ἀντιπάτρῳ τὴν Δαμασκὸν καταλαμβάνει πρὸς Μάγνον Πομπήιον τὸν
τηνικαῦτα καταλαβόντα ἐξ Ἀρμενίας τὴν Συρίαν μετὰ τῆς πολυθρυλήτου
ἀριστείας κατὰ Μηθριδάτου καὶ Τιγράνου Ἀλβανίας τε καὶ Ἰβηρίας καὶ
25 *Κολχίδος καὶ αὐτῶν Ἀσσυρίων, καὶ δώρων χωρὶς μόναις εὐλόγοις δικαιο-*
λογίαις πείθουσι τὸν Μάγνον ἀληθῶς καὶ φιλαλήθη Πομπήιον ἐπινεῦσαι
τῇ Ὑρκανοῦ βοηθείᾳ. Ἀριστόβουλος δὲ καὶ αὐτὸς ἐλθὼν ταῖς εἰς Σκαῦρον
ἐλπίσι διαμαρτάνει μὲν τῆς εὐμενείας Πομπηίου ἐρχομένου πρὸς τὰ Ἱερο-
σόλυμα καὶ τὴν Παλαιστίνην, ἐκ Διοσπόλεως δὲ λάθρα χωρισθεὶς ἐπ-
30 *αχθέστερον ἑαυτῷ καθίστησιν ἐξ ἀνοίας τὸν Πομπήιον. ἀγανακτήσας γὰρ*

1–22 Ioseph. Bell. Iud. 1, 124–131 ‖ **22–25** cf. Eutrop. 6, 12–14, Cass. Dion. 37, 15, 2 ‖ **25**–p. 358, **14** Ioseph. Bell. Iud. 1, 131–139

2 *τῆς . . . δεινότητος* **B** *τὴν . . . δεινότητα* **A** ‖ **3** *προσφυγόντα* **A** *προσφυγόντι* **B** ‖ **6** *βασίλειον* Ioseph. *βασιλείων* **AB** | *συμμαχήσοντα* **A** *συμμαχήσωντα* **B** ‖ **9** *συμβολῆς* **B** *συμβουλῆς* **A** ‖ **12** *γεμέλλου* **A** *γεμέλου* **B** *Μετέλλου* Ioseph. | *δολλίου* **AB** *Λολλίου* Ioseph. | *αὐτῶν* **B** *αὐτὸν* **A** | *ληφθείσῃ* Di. *ληφθεῖσι* **AB** ‖ **13** *στρατηγῶν* **B** *στρατηγὸν* **A** ‖ **21** *ἰουδαίων* **AB** *Ἀράβων* Ioseph. ‖ **23** *πολυθρυλήτου* Di. *πολυθρυλλήτου* **AB** ‖ **27** *εἰς Σκαῦρον* Di. *εἰσκαῦρον* **A** *εἰς σκοῦρον* **B** ‖ **28** *διαμαρτάνει* **B** *διαμαρτάνῃ* **A**

τὴν Ῥωμαϊκὴν καὶ Συριακὴν ἐπαναλαμβάνει δύναμιν, ἀκούσας αὐτὸν καὶ τὴν Ἀλεξάνδρειαν προκατειληφότα τὸ ὀχύρωμα τὸ ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον φρούριον, ἐλθεῖν τε κελεύει καίπερ μὴ βουλόμενον. τὸ δ' ἀνύποιστον τοῦ κράτους φοβούμενον καὶ τὸ πλῆθος ὀρρωδοῦν ὁρῶντα τῇ συμβουλῇ τε τῶν φίλων εἴκοντα κατελθεῖν καὶ περὶ τῆς ἀρχῆς δικαιολογηθέν- 5 τα πάλιν ἐπανελθεῖν εἰς τὸ ἔρυμα κατηνάγκασε. καὶ δὴ τούτου πραχθέντος οὐχ ἅπαξ ἢ δὶς καὶ Ὑρκανοῦ διενεχθέντος πρὸς αὐτὸν ἐπὶ τοῦ Πομπηίου ὡς ἠδικηκότος αὐτὸν καὶ τὴν ἀρχὴν πλεονεκτήσαντος προστάττεται τῶν 564 φρουρίων Ἀριστόβουλος ἐξίστασθαι. τῶν φρουράρχων δ' αὐτὸν μὴ δεχομένων καταλαμβάνει τε τὰ Ἱεροσόλυμα καὶ πόλεμον ἐξάγειν πειρᾶται κατὰ 10 Ῥωμαίων στρατοπεδευόντων εἰς Ἱεριχοῦντα, τὸ πιότατον Ἰουδαίας φοινικοφόρον καὶ βαλσαμοφόρον χωρίον· ὧν Ἀριστόβουλος ἐκπλαγεὶς τὴν ἔφοδον χρήμασιν ἱκετεύει ἐξιλεώσασθαι τὸν Πομπήιον ἐπειγόμενον εἰς Ἱεροσόλυμα.

Γαβινίου δὲ πρὸς τοῦ Ἀριστοβούλου πεμφθέντος εἰς κομιδὴν τῶν χρη- 15 μάτων καὶ μηδὲ τῆς εἰσόδου τυχόντος τῆς πόλεως φρουρεῖ μὲν τὸν Ἀριστόβουλον, πολιορκεῖ δὲ τὴν Ἱερουσαλὴμ ταῖς Ὑρκανοῦ καὶ Ἀντιπάτρου καὶ τῶν περὶ αὐτοὺς ἔνδον καὶ ἔξω τῆς πόλεως ὑπηρεσίαις καὶ ἐπινοίαις οὐ μικρὰ πρὸς τὸ δυσάλωτον αὐτοῖς βοηθούμενος ὁ Πομπηίου στρατηγὸς Πείσων τὴν ἅλωσιν ἐγχειρισθείς. μηνὶ δὲ τρίτῳ μόλις ἕνα τῶν πύργων 20 καθελόντες Ῥωμαῖοι διὰ τοῦ τείχους εἰς τὸ ἱερὸν εἰσεπήδησαν, Φαύστου Κορνηλίου παιδὸς Σύλλα πρώτου τολμήσαντος, ἐπακολουθησάντων δὲ Φρουρίου καὶ Φαβίου τῶν ἑκατοντάρχων σὺν τοῖς οἰκείοις στίφεσιν, οἳ τοὺς Ἰουδαίους περιεῖχον κτείνοντες καθ' ὅλης τῆς πόλεως, τὸ πλεῖστον δὲ ἐν τῷ ἱερῷ φεύγοντας· ἀλλὰ καὶ ὑπὸ τῶν ὁμοφύλων ἀντιστασια- 25 στῶν ἀπεσφάττοντο πολλοί. τότε μυρίους πρὸς δισχιλίοις Ἰουδαίους λέγεται πεφονεῦσθαι Ῥωμαίοις, ὀλίγων πάνυ κτανθέντων αὐτοῖς ἐξ εὐτάκτου καὶ ἀλληλοσυμμάχου ἀνδρείας· τὸ γὰρ ἄτακτον ἐν μάχαις 565 θράσους, οὐκ ἀνδρείας ἔργον, ὡς ἥττης πρόξενον τοῖς ἀσυμφράκτως προπετοῦσι. 30

Πομπήιος οὖν ἁλούσης τῆς πόλεως εἰς τὸ ἱερὸν ἅμα τοῖς φίλοις εἰσελθὼν μέχρι τοῦ ἁγιάσματος οὐδενὸς τῶν ἱερῶν ἥψατο σκευῶν ἢ χρημάτων ὄντων προδήλων ταλάντων ͵β ἐκτὸς ἀρωμάτων λυχνίας τε καὶ λύχνου καὶ

15–27 Ioseph. Bell. Iud. 1, 139–144, 149–151 || 31–p. 359, 17 Ioseph. Bell. Iud. 1, 152–158

3 φρούριον A φρούρειον B, similiter infra (9) || 9 δ' A δι' B || 11 πιότατον Di. πιώτατον AB || 23 Φρουρίου] ita etiam Ioseph. Φούριος Hegesipp. 1, 16 || 26 δισχιλίους AB || 33 λύχνου A λύχνους B

σπονδίων καὶ θυμιατηρίων ἁπάντων ὁλοχρύσων, ἀλλὰ καὶ καθαρθῆναι τῶν αἱμάτων τὸ ἱερὸν ἐπέταξε τοῖς νεωκόροις. τῇ ἐπαύριον ἀναδείξας Ὑρκανὸν ἀρχιερέα, τὸν δ' Ἀριστόβουλον δεσμήσας εἶχε σὺν τῷ πενθερῷ, πάντας ἀνελὼν σιδήρῳ τοὺς τῆς μάχης αἰτίους καὶ λαμπροῖς ἀμειψάμενος 5 τοῖς συμμαχήσασι δώροις; Φαύστῳ μάλιστα Σύλλου παιδὶ γενναίῳ καὶ τοῖς ἀμφ' αὐτόν.

Οὗτος Ἰουδαίους ὑποφόρους Ῥωμαίοις κατέστησεν, ἀφελόμενος αὐτῶν πάσας πόλεις Ἑλληνίδας Συρίας κοίλης, ἃς εἷλον ἐπὶ τῶν Μακκαβαίων, καὶ μόνοις περικλείσας τοῖς ἰδίοις ὅροις. πρὸς ταύταις καὶ τὰς ἐν τῷ μεσο- 10 γείῳ πόλεις ἠλευθέρωσε τῆς Ἰουδαίων ἀρχῆς, ὧν ἦσαν ἐπισημότεραι αὗται· Σκυθόπολις ἤτοι Βασάν, Ἵππος, Πέλλα, Σαμάρεια, Μάρισα, Ἄζωτος, Ἰάμνεια, Ἀρέθουσα, τάς τε παραλίους Γάζαν, Ἰώππην, Δῶρα, Στράτωνος πύργον ἤτοι Καισάρειαν. ταύτας ἀποδοὺς τοῖς γνησίοις πολίταις ὑπὸ τὴν Συριακὴν ἐπαρχίαν ἔταξε σὺν τῇ Ἰουδαίᾳ ἀπὸ τῶν ὁρίων Αἰγύ- 15 πτου μέχρις Εὐφράτου ποταμοῦ.

Ὁ Πομπήιος παραδοὺς Σκαύρῳ διέπειν καὶ δύο Ῥωμαϊκὰ τάγματα πρὸς 566 *συμμαχίαν εἰς Ῥώμην ἠπείγετο διὰ Κιλικίας, αὐτὸς τὸν μέγιστον κατατάξων θρίαμβον, ἐπαγόμενος τοὺς ἡττηθέντας αὐτῷ βασιλεῖς Φαρνάκην Μηθριδάτου υἱόν, τὸν καὶ καρτερήσαντα τὸν ἴδιον ἀνελεῖν πατέρα Μηθρι- 20 δάτην τῇ πρὸς Πομπήιον χάριτι καὶ αὖθις κατὰ Ῥωμαίων στασιάσαντα, Κόλχων ἤτοι Λαζῶν βασιλέα, ἄρχοντας Ἰβήρων κʹ, Ἀριστόβουλον Ἰουδαίων βασιλέα σὺν θυγατράσι δυσὶ καὶ υἱοῖς, Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ, ὧν ὁ νεώτερος ἐκ τῆς ὁδοῦ διαδρὰς Ἀλέξανδρος εἰς τὴν Ἰουδαίαν ἐπάνεισι στασιάσων, ὡς δηλωθήσεται.*

25 11 *ἡ Πέλλα λεγομένη Σαμάρεια ἐστί· Καισάρεια ἡ Παλαιστίνης Στράτωνος πύργος*

11 (Scythopolis) cf. Ant. Iud. 5, 83; 6, 374 || 17–21 cf. Eutrop. 6, 16; Appian. Mithr. 117 || 21–24 Ioseph. Bell. Iud. 1, 158

1 *σπονδίων* A *σπονδίον* B *σπονδίᾳ* Ioseph.[LVR] *σπονδείᾳ* Ioseph.[PAM] unde *σπονδείων* scripsit Di. | *θυμιατηρίων* A *θυμιατήρων* B || 5 *συμμαχήσασι* B *συμμαχήσασα* A || 7 *ἰουδαίους* B *ἰουδαίοις* A | *ἀφελόμενος* Di. *ἀφελομένου* AB || 10 *αὗται* Di. *ταύταις* AB || 12 *ἰάμνεια* B *ἰάμνια* A | *ἀρέθουσα* B *ἀρέθου* A || 14 *ἐπαρχίαν* A *ἐπαρχείαν* B || 16 *σκαύρῳ* B *σκάρῳ* A | 17 *συμμαχίαν* A *συμμαχείαν* B || 18 *ἐπαγόμενος* B *ἐπαγομένους* A || 19 *μηθρι-* B *μιθρι-* A || 21 *ἰβήρων* A *ἰβηρίων* B || 23 *νεώτερος* AB *ἕτερος* Ioseph. *πρεσβύτερος* recte | *ἰουδαίαν* A *ἰδαίον* B

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΕΥΛΑΒΕΣΤΑΤΟΥ ΜΟΝΑΧΟΥ ΚΑΙ
ΣΥΓΚΕΛΛΟΥ ΓΕΓΟΝΟΤΟΣ ΤΑΡΑΣΙΟΥ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΣΥΝΤΑΞΙΣ ΗΤΟΙ ΧΡΟΝΟΓΡΑΦΙΑ ΕΝ ΕΠΙΤΟΜΩΙ
ΑΠΟ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΙΟΥΛΙΟΥ ΚΑΙΣΑΡΟΣ ΡΩΜΑΙΩΝ 5
ΕΤΟΥΣ ΑΠΟ ΚΤΙΣΕΩΣ ΚΟΣΜΟΥ ΕΥΛΔ
ΜΕΧΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΤΟΥ ΠΡΩΤΟΥ ΕΤΟΥΣ
ΔΙΟΚΛΗΤΙΑΝΟΥ ΚΟΣΜΟΥ ΕΤΟΥΣ ΕΨΟΖ
ΟΜΟΥ ΕΤΗ ΤΜΓ

Πομπήιος οὖν πολιορκίᾳ λαβὼν τὰ Ἱεροσόλυμα Ἀριστόβουλον μὲν δέ- σμιον σὺν τοῖς παισὶν Ἀλεξάνδρῳ καὶ Ἀντιγόνῳ κατεῖχεν εἰς Ῥώμην ἀπιών, θριαμβεύσων καὶ ἄλλων ἐθνῶν βασιλεῖς καὶ ἡγεμόνας· Ὑρκανῷ δὲ τῷ τούτου ἀδελφῷ τὴν ἀρχιερωσύνην ἐγχειρίσας ὑποφόρους ἔταξε Ῥωμαίοις Ἰουδαίους. 10

Καὶ Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς παρὰ Ῥωμαίοις ἤκμαζεν. οὗτος καθεῖλε Κάτελλον καὶ Κέθηγον καὶ Λέντουλλον συνομοσαμένους κατὰ τῆς συγκλήτου. 15

567 *Πομπήιος ἐλθὼν εἰς Ῥώμην καὶ θριαμβεύσας ἐπὶ νίκαις πολλαῖς αὐτο- κράτωρ ἀνηγορεύθη καὶ ἑνοῦται φιλίᾳ Γαΐῳ Ἰουλίῳ Καίσαρι καὶ γαμβρὸς ἐπὶ θυγατρὶ Ἰουλίᾳ γίνεται. ὁ δὲ Γάιος χειροτονηθεὶς κατὰ Γάλλων καὶ Βρεττανῶν στρατηγὸς ἐκπέμπεται, μεγάλαις μάχαις ἐν ἔτεσι δέκα Γάλ- λους καὶ Βρεττανοὺς Ῥωμαίοις ὑποτελεῖς καταστήσας, φ' πόλεις κατέχον- τας, ὡς ἱστορεῖ Πλούταρχος ὁ Χερρωνεὺς φιλόσοφος.* 20

Ἀλέξανδρος υἱὸς Ἀριστοβούλου πρεσβύτερος διαδρὰς τὸν Πομπήιον εἰς τὴν Ἰουδαίαν ἔρχεται καὶ πρὸς βραχὺ κρατήσας πολλῶν Ἰουδαίων καὶ 25

10 **ABOPQMR** *Πομπήιος αὐτοκράτωρ ἀνηγορεύθη* || 15 **AB** *Κικέρων ῥήτωρ· Κάτελλον*

10–14 cf. Euseb. 2, 153[f], H. E. 1, 6, 6, Ioseph. Bell. Iud. 1, 153–158 || 15–17 cf. Euseb. 2, 154[c], Oros. 6, 6, 5 || 18–23 cf. Euseb. 2, 154[e], Vell. Paterc. 2, 44, 3 || 20–23 cf. Eutrop. 6, 17, 3, Plutarch. Caes. 15; ps. Sym. f. 74[r] = Cedr. 300, 6 || 24–p. 361, 17 Ioseph. Bell. Iud. 1, 160–177

[**AB C** (360, 1–478, 8) **O** (360, 1–471, 18) **z** = **PQMRS** (360, 1–373, 12)]
1 sub hoc titulo, quem exhibent **COz**, incipit archetypus (**t**) eorum codicum (**x** = **COTV**, **z** = **PQMRS**) qui postremam partem Syncelli una cum chronographia Theophanis tradunt. habent **A** et **B** signum calligraphicum fortasse diuisionem indicans || 10 *οὖν* om. **COz** || 14 *ἰουδαίους* **BCOz** *ἰουδαίοις* **A** || 15 *κικέρων* **AO** *κικαίρων* **BCz** || 16 *κάτελλον* **B** *κάστελον* **A** *καθ' ἕλληνα* **COz** | *κέθηγον* **A** *κέθιγον* **BCOz** | *λέντουλλον* **ABz** *λέντουλλαν* **CO** || 18–19 *αὐτοκράτωρ ἀνηγορεύθη καὶ* om. **COz**, cf. notam marginalem supra || 20 *ἰουλίᾳ* **ABCO** *ἰουλίῳ* **z** | *γάιος* **AB** **M**[m]**RS** *γάϊλος* **PM** *γάλλος* **COQ** || 23 *χερρονεὺς* **BCOPQMS** *χερονεὺς* **AR** || 24 *υἱὸς ἀριστοβούλου* **AB** *ῡς ἀριστοβούλου* **CO** ex qua lectione *ὑσαριστοβούλου* **z** quam corr. **M**[m]**RS** | *τὸν* om. **A** || 26 *κικέρων* **A**[m] *κικαίρων* **B**[m] | *κάτελλον* **B**[m] *κάστελλον* **A**[m]

αὐτῆς τῆς ἀρχῆς ὑπὸ Γαβινίου καὶ Ἀντωνίου πολεμηθεὶς ἐκβάλλεται. παραλαμβάνει τε Ὑρκανὸς αὖθις τὴν κηδεμονίαν τοῦ ἱεροῦ, τὴν δὲ ἄλλην πολιτείαν ταῖς Ἀντιπάτρου συμβουλίαις διαιροῦσιν εἰς πέντε, τὸ πρῶτον μέρος Ἱεροσολύμοις ἀπονείμαντες, τὸ β' Δώροις, τὸ γ' Ἀμαθοῦντι, τὸ δ'
5 *Ἱεριχοῦντι, τὸ ε' Σεπφωρίδι πόλει Γαλιλαίας. κἀκ τούτου τὸ λοιπὸν ἐδόκουν ἀριστοκρατικῶς ζῆν, εἰ μὴ φυγὼν ἐκ Ῥώμης ἦλθεν Ἀριστόβουλος σὺν Ἀντιγόνῳ νεωτέρῳ παιδί· καὶ πάλιν ἀρχὴ γέγονεν αὐτῷ θορύβων καὶ Ἰουδαίους πολλοὺς προσλαβόμενος καὶ τὸ φρούριον ἀνατειχίζειν τὴν Ἀλεξάνδρειαν ἐπειγόμενος. τάχιστα δὲ συλληφθεὶς ἐπὶ μάχῃ φεύγων σὺν*
10 *τῷ υἱῷ, Γαβινίου στείλαντος ἐπ' αὐτὸν Σισένναν καὶ Ἀντώνιον καὶ Σερουιανὸν ἐν δυνάμει Ῥωμαϊκῇ, δεσμώτης αὖθις εἰς Ῥώμην ἀναπέμπεται. καὶ* 568 *ἦν μόνος Ἀλέξανδρος ἐπὶ τῆς Ἰουδαίας, ποτὲ μὲν φεύγων Ῥωμαίους, ποτὲ δὲ παρενοχλῶν Ὑρκανῷ καὶ Ἀντιπάτρῳ τὴν ἐπιμέλειαν τῆς χώρας ὑπὸ Πομπηίου καὶ τῷ μετὰ ταῦτα πεπιστευμένῳ· ὃς ὑπὸ Γαβινίου πεμφθεὶς*
15 *πολέμῳ τὸν Ἀλέξανδρον τρέπεται, μυρίους ἀνελὼν τῶν σὺν αὐτῷ καὶ τοὺς ἄλλους δισμυρίους φυγῇ σκεδάσας συμμαχούντων Ἰουδαίων περὶ τὸ Ἰταβύριον ὄρος.*

Τότε Κράσος διαδεξάμενος Γαβίνιον καὶ τὴν Συριακὴν παραλαβὼν ἀρχὴν ἐπὶ Πάρθους ἤτοι Πέρσας στρατευσάμενος αὐθαιρέτως τὸν ἄλλον
20 *τοῦ ναοῦ τῶν Ἰουδαίων ἅπαντα κόσμον ἐσύλησε καὶ τὰ δισχίλια τάλαντα ὧν ὁ Πομπήιος ἐφείσατο. διαβὰς δὲ τὸν ποταμὸν Εὐφράτην ὄλλυται σὺν τῷ πλήθει, Κασσίου ταμία τοῦ αὐτοῦ Κράσου τοὺς περισωθέντας ἀνακτησαμένου καὶ τοὺς αὐτοὺς Πέρσας φόνῳ πολλῷ τῆς ὅλης Συρίας ἐλάσαντος· ὃς Κάσσιος εἰς τὴν Ἰουδαίαν ἐπειγόμενος τρισμυρίους Ἰουδαίους*
25 *αἰχμαλωτίζει Ταριχαίας ἑλὼν καὶ Πισίαλον κτείνει ὡς τοῖς Ἀριστοβου-*

18 **ABO** *Κράσος· Πάρθους καὶ Πέρσας τοὺς αὐτοὺς οἴονταί τινες, ὡς ἐκ τούτου τὸν Κράσον ὑπὸ Περσῶν ἐν πολλοῖς φέρεσθαι κτανθῆναι· καὶ Κάσσιος ταμία*

18–21 Ioseph. Bell. Iud. 1, 179 || 21–24 cf. Eutrop. 6, 18, 2, Pomp. Trog. fr. 160 || 24 – p. 362, 10 Ioseph. Bell. Iud. 1, 180

[**AB COV** (361, 20–465, 24) **z** = **PQMRS**] 4 *Δώροις*] *Γαδώροις* Ioseph. || 5 *ἱεριχοῦντι* **ABCO** *ἱενιχοῦντι* **z** | *πόλει* om. **O** || 7 *νεωτέρῳ* om. **C** || 8 *φρούριον* **ACOz** *φρούρειον* **B** || 10 *γαβινίου* **AB** *γαβινίῳ* **COz** | *σίσενναν* **B** *σίσαιναν* **A** *σίσεννα* **COz** || 14 *τῷ* **ABCOPQS** om. **MR** *τῶν* Di. ex libro Peyreziano Goari (hodie Paris. suppl. gr. 327) qui apographum est **Q** | *γαβινίου* **AB**P^{c} *γαδινίου* **CO** quam lectionem exhibebat ut uidetur ante rasuram **P** *γαδινίου* **Q** *γαβινίου* **S** *γα . . . νίου* **MR** || 16 *περὶ* **ABCO** *ὑπερὶ* **z** || 19 *τῶν ἄλλων* **ABCOz** || 20 *ἅπαντα* incipit **V** | *δισχίλια* **COVz** *,β* **AB** || 21 *ὧν* **ABCOz** *ὃν* **V** | *ἐφείσατο* **ABCOV** *ἐφύσατο* **z** | *ποταμὸν εὐφράτην* **ABCOV** tr. **z** || 22 *ταμία*] *ταμεία* **B** *ταμίου* **MR** || 24 *κάσσιος* **AB** *κάσσος* **COVz** || 25 *ταριχαίας* **COVz** *ταριχέας* **AB** | *πισίαλον* **ABCOz** *πιθίαλον* **V** *Πεισίλαον* Ioseph.^{VR} *Πειθόλαον* Ioseph.^{V} || 26 *Κράσος* om. $B^{m}O^{m}$ | *τούτου* $A^{m}B^{m}$ *τούτων* O^{m} || 27 *τὸν κράσον* A^{m} *κράσον* B^{m} *κράσσος* O^{m} | *φέρεσθαι* $A^{m}B^{m}$ *φαίρεσθαι* O^{m} | *καὶ Κάσσιος ταμία* om. $B^{m}O^{m}$

λου καὶ τῶν τέκνων στασιασταῖς κατὰ Ὑρκανοῦ καὶ Ἀντιπάτρου σύνδρομον.

Τοῦ δὲ φόνου σύνδρομος ἦν ὁ αὐτὸς Ἀντίπατρος, ἐξοικειούμενος τοὺς πανταχοῦ Ῥωμαίων δυνάστας δώροις καὶ ταῖς λοιπαῖς ἐπικουρίαις, ἐν οἷς καὶ τῷ τῶν Ἀράβων βασιλεῖ Ἀρέτᾳ σφόδρα φιλιωθεὶς δι' ἐπιγαμίαν 5 *ἐπισήμου γυναικὸς Ἀραβίσσης Κύπριδος, ἐξ ἧς υἱοὺς ἔσχε δ', Φασάιλον* 569 *καὶ τὸν κατόπιν Ἡρώδην βασιλεύσαντα Ἑβραίων μετὰ Ὑρκανὸν πρῶτον ἀλλογενῆ καὶ τρίτον Ἰώσηπον καὶ Φερωρὰν τέταρτον. ἐπειδὴ τὸν κατὰ Ἀριστοβούλου δῆθεν καὶ τῶν τέκνων ἀνείλετο πόλεμον, τῷ Ἀρέτᾳ τοὺς υἱεῖς σὺν θυγατρὶ Σαλώμῃ παρατίθεται.* 10

Ταῦτα δέ μοι προπαρεσκεύασται οὐχ ἁπλῶς, ἀλλὰ δεῖξαι βουλομένῳ πῶς ἐγγιζούσης τῆς τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείας σαρκώσεως ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ κατὰ τὴν πρόρρησιν τοῦ πατριάρχου Ἰακώβ.

Ἀλέξανδρος Ἀριστοβούλου υἱὸς πρεσβύτερος Πομπήιον ἀποδρὰς κρατεῖ 15 *πρὸς βραχὺ τῶν Ἰουδαίων καὶ αὐτοῦ μικρὸν δὴ καὶ Ὑρκανοῦ, εἰ μὴ Γαβίνιος εἰς Συρίαν πεμφθεὶς Σκαύρου διάδοχος Μάρκον Ἀντώνιον μετὰ δυνάμεώς τινος προπέμψας ἐπῆλθεν αὐτοῖς μετὰ πλείονος προσβολῆς. ἔνθα μὴ ἐνέγκας Ἀλέξανδρος τὴν Ἀντωνίου προσβολὴν Ἀντιπάτρου παρεπομένου καὶ τῶν λοιπῶν ὑπερμάχων Ὑρκανοῦ Ἰουδαίων φεύγει πρὸς τὰ Ἱερο-* 20 *σόλυμα ἑξακισχιλίους ἀποβαλὼν τῇ Ἀντωνίου γενναιότητι. πανταχοῦ μέν, μάλιστα δὲ ἐνταῦθα Πομπήιος Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἐκύρωσεν. ὁ αὐτὸς Ἰουδαίους Ῥωμαίοις ὑποφόρους ἔταξεν. ὁ αὐτὸς Ἀντίπατρον ἀλλόφυλον Ἡρώδου υἱὸν καὶ πατέρα τῆς Παλαιστίνης ἐπίτροπον κατέστησε.*

570 *Γάιος Ἰούλιος Καῖσαρ Λυσιτανίαν, Γάλλους, Βρεττανοὺς καί τινας* 25 *περὶ τὸν Ὠκεανὸν νήσους κατεστρέψατο.*

6 AB *δ' υἱοὶ Ἀντιπάτρου Φασάιλος καὶ ὁ κατόπιν Ἡρώδης· Ἰώσηππον καὶ Φερορὰν ἐκ τῆς Ἀραβίσσης* || **11 ABCOV** *Σημειωτέον πῶς ἐξ Ἀράβων ἤτοι Σαρακήνων καὶ τὰ Ἰουδαίων νόμιμα πέφυρται ὡς καὶ νῦν· τὰ Χριστιανῶν ἐπὶ συντελείᾳ* || **23 AB** *ἐπίτροπος ὁ Ἀντίπατρος Παλαιστίνης* 30

15–21 Ioseph. Bell. Iud. 1, 160–163 || **22** cf. Euseb. 2, 153^{f} || **23** cf. Euseb. 2, 154^{b} || **23–24** cf. Euseb. 2, 153^{f}, Ioseph. Bell. Iud. 1, 178 || **25**–p. 363, **3** cf. Euseb. 2, 154^{f}. $155^{a,f,g,h}$

3 *φόνου* **ABCOVPQS** *δρόμου* **MR** | *ἐξοικειούμενος* **AB** *ἐξοικειώμενος* **COVz** || **5** *τῷ* **ABC** *τὸ* **OVz** || **7** *κατόπιν* **ABCV** *κατώπιν* **Oz** || **8** *ἰώσηπον* **COVz** Ioseph. *ἰώσηππον* **AB** | *φερωρὰν* **COVz** *φερῶραν* **A** *φερορᾶν* **B** *Φερώραν* Ioseph. || **9** *τῷ* Go.^{m} *τοῦ* **ABCOVz** || **10** *υἱεῖς* **BOPS** *υἱοὺς* **ACVQMR** || **13** *ἐξέλιπεν* **ACOVz** *ἐξέλειπεν* **B** || **15** *υἱὸς* om. **COVz** || **16** *δὴ* **ABC** *δεῖ* **OVz** | *καὶ*^{2} om. **COVz** || **18** *ἐπῆλθεν αὐτοῖς μετὰ πλείονος προσβολῆς* **AB** *αὐτοῖς ἠβουλήθη μετὰ πλείονος* **COVz** || **23** *ἀντίπατρον* **AB** *ἀντιπάτρῳ* **COVz** || **25** post *Γάλλους* add. *καὶ* **OS** || **28** *σημειωτέον πῶς* **B**^{m} *σημειωτέον πῶς ὁ* **A**^{m} *ση. πῶς ὁ* **C**^{m}**O**^{m} *πῶς ὅτι* **V**^{m} || **29** *καὶ νῦν* **A**^{m}**B**^{m}**V**^{m} *καὶ τὰ νῦν* **C**^{m}**O**^{m}

Ὁ αὐτὸς τὸν Ῥῆνον ποταμὸν διαβὰς Γερμανοὺς καὶ Γάλλους ἐχειρώσατο.
Τὸ ἐν Ὀλυμπίᾳ ἄγαλμα ἐκεραυνώθη.
Γάιος Καῖσαρ πρὸς Πομπήιον ἐπολέμησε.
Γάιος Ἰούλιος μεγίστοις ἀγῶσι Γάλλους καὶ Βρεττανοὺς καὶ Γερμανοὺς
5 καταστρεψάμενος ὑποτελεῖς τε Ῥωμαίοις φ′ πόλεις οἰκοῦντας καταστησάμενος πολλοῖς ἱδρῶσιν, ἐπὶ ι′ ἔτη τοῖς ἀπροσμάχοις βαρβάροις καταπολεμῶν πρὸς αὐτοῖς Ὠκεανοῦ ῥεύμασιν, ἐπὶ θριάμβῳ μείζονι ἐπανῆλθεν ἐν Ῥώμῃ καὶ τούτου ⟨ἀπο⟩τυχὼν ὀργίζεται Ῥωμαίοις ἀνταίροντος Πομπηίου καὶ ταῖς νίκαις ζηλοτυποῦντος μετὰ πολλῶν τῆς συγκλήτου. ἔνθεν
10 τὸ δεύτερον ἐμφύλιος Ῥωμαίοις συνέστη πόλεμος ἐν Φαρσάλῳ τῆς Θετταλίας μετὰ τὴν ἐν Ῥώμῃ Γαΐου ἐπάνοδον, ὡς εἴρηται, τῆς Πομπηίου γαμετῆς, θυγατρὸς δὲ τοῦ Καίσαρος Ἰουλίας μετηλλαχυίας περὶ τὸν τοκετόν.
Οὗτος καὶ τὸν Ἀριστόβουλον λύσας τῶν δεσμῶν μετὰ δύο ταγμάτων εἰς Συρίαν ἐκπέμπει, δι' αὐτοῦ ταύτην ἔχειν θαρρῶν μετὰ τῆς Ἰουδαίας· ὃς
15 ἐλθὼν ἀναιρεῖται φαρμάκῳ παρὰ τῶν Πομπηίου φίλων, ταφῆς οὐκ ἀξιούμενος ἐν τῇ πατρῴᾳ γῇ, μέλιτι δὲ συντηρούμενος, ἕως Ἀντώνιος αὐτὸν τοῖς βασιλικοῖς μνήμασι προσέταξε ταφῆναι. ἐν ταὐτῷ δὲ κατὰ τὴν Ἀντιόχειαν ὑπὸ Σκηπίωνος ἀναιρεῖται καὶ Ἀλέξανδρος ὁ υἱὸς αὐτοῦ, Πομπηίου γράψαντος. 571
20 Ὁ δ' αὐτὸς Πομπήιος ἔρχεται φυγὰς ὁλκάδι μιᾷ πρὸς Πτολεμαῖον καὶ Κλεοπάτραν εἰς Αἴγυπτον, καταλείψας τὴν Ῥώμην, καὶ ἀναιρεῖται λοιπὸν ὁ τηλικοῦτος ἀριστεὺς ὑπὸ τοῦ Πτολεμαίου τῇ πρὸς Γάιον Ἰούλιον Καίσαρα χάριτι. ὅπερ ἀκούσας Γάιος ἐλθὼν ἐν Αἰγύπτῳ κατὰ τοῦ Πομπηίου σὺν τοῖς στρατεύμασιν ἀναιρεῖ μὲν τὸν Πτολεμαῖον διὰ τὸν Πομπηίου φόνον,

25 **6 AB** *ὅτι ε′ ἔτη ἐπολέμησεν ὁ Γάιος τὰ ἔθνη* || **9 AB** *ἐμφύλιος πόλεμος ἐν Φαρσάλῳ τῆς Ἑλλάδος*

4–6 cf. ps. Sym. f. 74r = Cedr. 300, 6, Paris. 1336 f. 156r || **7–12** cf. Eutrop. 6, 17–19, Vell. Paterc. 2, 47, 1–2; 52, 3, [Aurel. Vict.] de uiris illustr. 78, 4–5 || **13–19** Ioseph. Bell. Iud. 183–185 || **20**–p. 364, **3** cf. Euseb. 2, 156c,f, Eutrop. 6, 21–22, Ioseph. Bell. Iud. 1, 194–200 (iter per Syriam, non Iudaeam)

1 *ῥῆνον* **ACcR** *ῥῖνον* **BCOVz** || **5** *καταστρεψάμενος*] *χειρωσάμενος* ps. Sym. *ἐχειρώσατο* Paris. 1336 | *τε* om. **V** | *οἰκοῦντας*] *οἰκουμένης* ps. Sym. *οἰκουμένας* Paris. 1336 || **6** *ἀπροσμάχοις* **COVz** et Paris. 1336 *ἀπροσμαχήτοις* **AB** om. ps. Sym. | *βαρβάροις* **Bt** *βαρβαρίοις* **A** || **7** *αὐτοῖς* om. **C** | *ἐπὶ θριάμβῳ* **AB** *ἐπὶ θρίαμβον* **Cc** *ἔτι θριάμβων* **V** *ἔτι θρίαμβον* **COz** | *μείζονι* om. **COVz** || **8** *ἀποτυχὼν* restitui ex libro de uiris illustr. (*cum ei triumphus a Pompeio negaretur*) | *Πομπηίου*] *πρὸς πομπήιον* **C** || **9** *ταῖς νίκαις* **Bt** *τῆς νίκης* **A** || **11–12** *γαμετῆς, θυγατρὸς* Di. *θυγατρὸς· γαμετῆς* omnes || **12** *περὶ*] *πενι* **z** || **14** *ταύτην* **ABCOV** *ταῦτα* **z** || **15** post *ταφῆς* add. *μὲν* **C** | *οὐκ* om. **B** || **16** *μέλιτι* **ABCOV** *μελέτι* **PQS** *μελέτη* **MR** || **17** *μνήμασι* om. **z** || **18** *σκηπίωνος* **ABCc** *σκιπίωνος* **COVMR** *σκιπίονος* **PQS** | *ὁ υἱὸς*] *ὁ ῡς* **t** ex qua *οὑς* **PQMR**, sed recte *ὁ υἱὸς* **S** || **21** *καταλύψας* **z** || **22** *ἀριστεύσας* **PQMR** om. **S** | *τοῦ* om. **B** | *τῇ* **ABCOV** *τῆς* **z**

*βεβαιοῖ δὲ τῇ Κλεοπάτρᾳ μόνῃ τὴν ἀρχὴν Αἰγύπτου διὰ τὸν πρὸς αὐτήν,
ὥς φασιν, ἔρωτα, καὶ πάλιν εἰς Ῥώμην διὰ τῆς Ἰουδαίας ἐπάνεισιν, ἐπ-
αναστάντων αὐτῷ τῶν Πομπηίου παίδων.*

*Τότε καὶ Ἀντίγονος ἐπὶ Γαΐου Καίσαρος πρὸς Ὑρκανὸν καὶ Ἀντίπατρον
πολλὰ περὶ τοῦ φόνου τοῦ πατρὸς Ἀριστοβούλου καὶ Ἀλεξάνδρου τοῦ ἀδελ-* 5
*φοῦ δικαιολογηθεὶς κατηγορεῖ σὺν τοῖς περὶ Πομπήιον καὶ Σκηπίωνα
παρόντων καταβοῶν· οὐδὲν δὲ πλέον ἔδρασε τοῦ μείζονος γενέσθαι προ-
κοπῆς αἴτιος Ἀντιπάτρῳ παραδόξως διὰ τὴν ἐν Αἰγύπτῳ συμμαχίαν αὐτοῦ
πρὸ μικροῦ, ὡς καὶ Μιθριδάτης ὁ Περγαμηνὸς μάρτυς ἦν δι' αὐτοῦ περι-
σωθεὶς αὐτός τε Ἀντίπατρος τὸ σῶμα πᾶν ἐπιδεικνὺς κατατετρωμένον* 10
ὑπὲρ εὐνοίας τοῦ Καίσαρος.

Ἀλλὰ τούτων ὁ Καῖσαρ ἀκούσας Ὑρκανῷ τὴν ἀρχὴν ἐπιβεβαιοῖ τῆς
572 *ἱερωσύνης καὶ Ἀντιπάτρῳ δυναστείας αἵρεσιν δίδωσιν· ἧς ἐπιδραξάμενος
στρατηγὸν εὐθὺς ἀναδείκνυσιν Ἱεροσολύμων καὶ πέριξ αὐτῆς τὸν πρῶτον
παῖδα Φασάιλον, Ἡρώδην δὲ νέον κομιδῇ τῆς Γαλιλαίας καὶ τῶν περὶ ταύ-* 15
*την πόλεων οὐκ ἀποδέουσαν τῆς Φασαΐλου ἀρχῆς. αὐτίκα δ' οὗτος εὐδο-
κιμεῖ τῷ δεινῷ τοῦ φρονήματος εὑρηκὼς ὕλην ἁρμόζουσαν Ἡρώδης, ὡς
γενέσθαι Σέξτῳ Καίσαρι γνώριμος διὰ τὰς κατὰ λῃστῶν ἀριστείας.*

*Ἐζεκίαν γὰρ ἀρχιλῃστὴν μετὰ πολλῶν τοῦ στίφους συλλαβόμενος κατα-
τρέχοντα Συρίας ἀνεῖλε, φήμη τε περὶ αὐτοῦ μεγάλη κατὰ χώρας καὶ πό-* 20
*λεις ἐγένετο, ὡς εἴη καὶ πρὸς τὸ βασιλεύειν ἐπιτήδειος. ἐκ τούτου κινεῖται
καὶ Ὑρκανὸς κατ' αὐτοῦ ζηλοτυπίᾳ, καταδίκῃ φονικῇ συνεχεῖ πειραθείς.
Ἡρώδης δὲ πρὸς Σέξτον εἰς Δαμασκὸν ἀνεχώρησε Καίσαρα καὶ τὴν
ἀρχὴν παρ' αὐτοῦ κοίλης Συρίας καὶ Σαμαρείας λαβὼν στρατηγὸς ἀνα-
δείκνυται, μετὰ στρατεύματός τε παρεγένετο καταλύσων τὸν Ὑρκανὸν ἐπὶ* 25
*τὰ Ἱεροσόλυμα, εἰ μὴ ταῖς πατρικαῖς ἐκωλύθη παραινέσεσι. καὶ τὰ μὲν
περὶ τὴν Ἰουδαίαν ἐν τούτοις ἦν, Ὑρκανοῦ μὲν ζηλοτυποῦντος Ἀντιπάτρῳ
τῆς δυναστείας καὶ τοῖς παισὶ τῆς εὐπραγίας, Ἡρώδῃ μάλιστα, Ἀντιπά-
τρου δὲ πρὸς Ὑρκανὸν τὰ τῆς εὐνοίας φυλάττοντος διὰ τὸ καὶ αὐτὸν ἡσυ-
χάζειν θορύβων.* 30

12 **AB** *Ἀντίπατρος δυνάστης Φασάιλον στρατηγὸν ἐποίησεν Ἱεροσολύμων· Ἡρώ-
δης τῆς Γαλιλαίας*

4–30 Ioseph. Bell. Iud. 1, 192–205. 210–215

6 *σκηπίωνα* **AB** *σκιπίωνα* **COVz** || 8 *συμμαχίαν* **At** *συμμαχείαν* **B** || 9 *ὡς*] *ὃς* **MR** | *καὶ* om. **S** | *περγαμηνὸς* **ABC^c** *περγαμινὸς* **COVz** || 12 *τούτων* **Bt** *τοῦτον* **A** || 13 *ἱερωσύνης* **BCOz** *ἀρχιερωσύνης* **AV** || 17 *τῷ δεινῷ* **AB** *τῷ δεινὸν* **V** *τὸ δεινὸν* **COz** | *τοῦ φρον.* ante *τῷ δ.* **A** || 18 *σέξτῳ* **ABOV** *σέκτῳ* **C** *ἐξ τῷ* **PQMR** *δὲ τῷ* **S** | *τὰς* **Bt** *τῆς* **A** || 19 *ἀρχιλῃστὴν* **ABV** *ἀρχηλῃστὴν* **COz** || 22 *πειραθείς*] *πειρασθεὶς* **S** || 27 *τούτοις*] *τοῖς* **Q** et ante corr. **P** | *ἀντιπάτρῳ* **ABC^c** *ἀντιπάτρου* **COVz** || 28 *ἡρώδῃ* **ABC** *ἡρώδου* **OVz**

Ὁ δὲ Γάιος Ἰούλιος Καῖσαρ εἰς τὴν Ῥώμην ἐπανελθὼν πάσης ἐφείσατο **573**
τῆς μοίρας Πομπηίου, ἧς ἐτύγχανε καὶ Κικέρων καὶ Βροῦττος καὶ Κάσ-
σιος. Κάτων γὰρ τῷ Γαΐου φόβῳ προδιέφθειρεν ἑαυτὸν φαρμάκῳ. τέλος
δ' οὖν μετὰ τὴν Πομπηίου τελευτὴν ἔτει δ' κατὰ Κελτιβηρίαν πολλοῖς
5 *τοῖς ἀγῶσι τῶν Πομπηίου περιγίνεται παίδων, μόλις κρατήσας αὐτῶν,*
πολλὴν ἐχόντων δύναμιν, ὧν τὸν πρεσβύτερον ἀνελὼν τοὺς ἄλλους ζῶντας
ἔλαβε. καὶ ἐλθὼν εἰς Ῥώμην τὴν τῶν ὑπάτων ἀρχὴν καταλύει σύνεγγυς
ἔτι κατασχοῦσαν μετὰ Ταρκύινον Σούπερβον, πρῶτος μοναρχήσας Ῥω-
μαίων, ἔτι φιλανθρωπότατος γενόμενος τῶν πώποτε βεβασιλευκότων.
10 *Ἀλεξανδρείας καὶ Αἰγύπτου Κλεοπάτρα θυγάτηρ Πτολεμαίου τοῦ καὶ*
Διονύσου ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ͵ευμς'.
Ἀντώνιος Ἀραβίαν Κλεοπάτρᾳ προὔδωκε.
Κλεοπάτρα ἡ τελευταία τῶν Λαγιδῶν ἀπόγονος ἐπὶ τῷ φόνῳ τοῦ ἀδελ-
φοῦ, Ἀντωνίου μοιχευθεῖσα, τούτῳ καὶ αὐτὴ γέγονεν ἀπωλείας αἴτιος,
15 *ἀσπίδι καθ' ἑαυτῆς ὅπλῳ θανάτου χρησαμένη, ἀπὸ Ἀλεξάνδρου ἔτη σςη'.*
Ὑρκανὸς τὰ Ἱεροσολύμων ἀνέστησε τείχη ὑπὸ Πομπηίου καθαιρεθέντα.
Ἡρώδην Κάσσιος κοίλης Συρίας καὶ Ἰουδαίας στρατηγὸν ἐν Δαμασκῷ
προεχειρίσατο.
Ῥωμαίων μόναρχος Γάιος Ἰούλιος Καῖσαρ ἔτη ε'. τοῦ δὲ κόσμου ἦν **574**
20 *ἔτος ͵ευνδ'.*
Γάιος Ἰούλιος Καῖσαρ ἐλθὼν εἰς τὴν Ἰουδαίαν μετὰ τὸν Πομπηίου θά-
νατον ἀπ' Αἰγύπτου βεβαιοῖ τὴν ἀρχὴν ἱερωσύνης Ὑρκανῷ καὶ Ἀντιπά-
τρῳ δυναστείας αἵρεσιν δίδωσιν.
Ὀλυμπιὰς ρπγ'.
25 *Ἀπὸ κτίσεως Ῥώμης ἔτη ⟨***⟩.*

4 AB *ὅτι δ' ἔτη ἐπολέμησεν ὁ Καῖσαρ τοὺς παῖδας Πομπηίου*

1 cf. Vell. Paterc. 2, 56, 1, Oros. 6, 17, 1 || **3** dicit ut uidetur de Catone Uticensi, cf. Oros. 6, 16, 4 || **3–7** cf. Eutrop. 6, 24, Oros. 6, 16, 7–9 || **7–9** cf. supra 284, 24 || **10** Porphyrius FGrHist 260 F 2 = Euseb. 1, 78, 1 || **12** Euseb. 2, 162[c] || **13–15** cf. Euseb. 2, 163[a] (ann. 295), 1, 79, 18 (Porphyr. F 2, ann. 293) || **16** Ioseph. Bell. Iud. 1, 160. 201 || **17** Ioseph. Bell. Iud. 1, 225 || **19** Euseb. 2, 156, 5 || **21** Ioseph. Bell. Iud. 1, 199 || **24** cf. Euseb. 2, 156, 5 || **25** cf. supra 284, 19–24

3 *Κάτων* scripsi *κατὰ* **ABt** *καὶ* Di. lacunam ind. Go. || **4** *ἔτει*] *ἔτη* **ACS** | *κελτιβήριαν* **A**[c] *κελτιβέρειαν* **ABt** || **6** *ἐχόντων* **C** *ἔχουσι* **A** *ἐχούσῃ* **BOVPQMR** *ἐχοῦ* **S** || **9** *φιλανθρωπότερος* **O** || **11** *κβ'* **AB** *κε'* **COVz** | *τοῦ δὲ κόσμου ἦν ἔτος* **B** *τοῦ δὲ κόσμου ἔτος* **A** *κόσμου ἔτη* **COVz** || **12** *κλεοπάτρᾳ* **Bt** *κλεοπάτραν* **A** || **15** *ἑαυτῆς* **ABC**[c] *ἑαυτῇ* **COVz** | *ἀπὸ . . . σςη'* in textu **BVPQMR**, ut titulus **COS**, in margine **A**, recte fortasse || **18** *προεχειρίσατο* **At** *προεχειρήσατο* **B** || **19–20** *ἔτη ε'· τοῦ δὲ κόσμου ἦν* (om. **A**) *ἔτος* **AB** *ἔτη τοῦ κόσμου* **t** || **22** *ἱερωσύνης* **Az** *ἱερωσύνην* **Bx** || **25** *κτίσεως ῥώμης* **t** *κατὰ ῥώμην* **AB**

Ἀντώνιος τὸν ζ′ παρὰ Ῥωμαίοις μῆνα Κυντίλλιον καλούμενον Ἰούλιον μετονομασθῆναι ἐψηφίσατο διὰ τὸ γεννηθῆναι ἐν αὐτῷ.

Γάιος Ἰούλιος ἔτη ε′ μοναρχήσας Ῥωμαίων, προκαθήμενος τῇ συγκλήτῳ βουλῇ ἀθρόως ὑπὸ Βρούττου καὶ Κασσίου δολοφονεῖται, συλλαβομένων περὶ τοὺς ξ′ συγκλητικοὺς τῶν τηλικαύτης παρ' αὐτοῦ φιλανθρωπίας 5 *ἀξιωθέντων, ὥς καὶ ὑπατεῦσαι· πλήν, ὥς φασιν, οὐ φέροντες τὴν Πομπηίου ἀναίρεσιν μηδὲ τὴν τῶν ὑπάτων καθαίρεσιν, ἀναιροῦσι μὲν αὐτόν, πολεμοῦνται δὲ φυγάδες αὐτίκα γενόμενοι παρὰ Ἀντωνίου σφόδρα τῷ Καίσαρι κατῳκειωμένου καὶ τηνικαῦτα ὑπατεύοντος. οὗτος οἴκτῳ τοῦ φόνου τὸν δῆμον προσλαβόμενος τοὺς μὲν φυγαδεύει, τὸ δὲ Καίσαρος* 10 *μεγαλοπρεπῶς σὺν τῷ δήμῳ κηδεύει σῶμα.*

Τούτου κληρονόμος υἱοθετηθεὶς ἦν αὐτῷ ζῶντι Ὀκταβιανὸς Καῖσαρ ὁ 575 *καὶ Αὔγουστος κληθείς, υἱὸς Ἀττίας τῆς ἀδελφῆς αὐτοῦ καὶ Ὀκταβίου στρατηγικοῦ ἀνδρός, ὃς ἐν Ἀπολλωνίᾳ τῆς Ἠπείρου λόγων ἕνεκα παιδεύσεως Ἑλληνικῆς διάγων, εἰς Ῥώμην σπουδαίως διὰ τὴν τοῦ θείου σφαγὴν* 15 *ἀναχθεὶς φιλοτιμίαις τὸν δῆμον προσάγεται καὶ τοῖς ὑπάτων προὔχουσιν Ἀντωνίῳ καὶ Ἐλπιδίῳ συμπλακεὶς μικρὰ καὶ κρατήσας αὐτῶν πανταχοῦ, τέλος δὲ καὶ συνελθὼν αὐτοῖς εἰς φιλίαν, πολεμῆσαι Ῥωμαίων τούτους καὶ τὴν σύγκλητον πείθει καταψηφίσασθαι Βροῦττον καὶ Κάσσιον ἅμα τοῖς σὺν αὐτοῖς, στρατηγοὺς δὲ κατὰ ταὐτὸ Ἀντώνιον καὶ Ἐλπίδιον καὶ αὐ-* 20 *τὸν Αὔγουστον τρίτον προχειρισθῆναι. καὶ ὁ μὲν Ἐλπίδιος πρὸς φυλακὴν ἔμεινε τῆς Ῥώμης, Αὔγουστος δὲ καὶ Ἀντώνιος τοῖς περὶ Βροῦττον καὶ Κάσσιον ἐν Ἑλλάδι πολεμήσαντες οὕτω κρατοῦσιν αὐτῶν, ὡς φυγάδας γενομένους φόβῳ τῶν ἐπικειμένων τέλος καὶ αὐτοὺς ἑκάτεροι διαχειρίσα-*

1 AB *ὅτι ὁ Ἰούλιος μὴν Κυντίλιος ἐλέγετο* || **1 V** *Γάιος τὸ ἱερὸν ἐσύλησε* || **12 AB** 25 *ὅτι ὁ Ὀκταούιος Καῖσαρ ἀνεψιὸς ἦν τοῦ Γαΐου τῆς ἀδελφῆς αὐτοῦ Ἀτθίας καὶ υἱοθετηθεὶς αὐτοῦ ἔτι ζῶντος· ὃς καὶ αὐτοκράτωρ γεγονὼς Αὔγουστος ἀνηγορεύθη*

1 Euseb. 2,157[a]; cf. ps. Sym. f. 57[v] = Cedr. 294, 8 || 3–9 cf. Eutrop. 6, 25 || 9–11 cf. Cass. Dion. 44, 35, 4 || 12 cf. ps. Sym. f. 74[r] = Cedr. 300, 20 || 12–15 cf. Cass. Dion. 45, 1–4, Appian. Bell. Civ. 3, 9 et infra 371, 3 (ex Africano) || 16 – p. 367, 5 cf. Eutrop. 7, 1–3

[AB t = xz x = COT (366, 3 – 478, 8) **V z = PQMRS]**

2 *μετονομασθῆναι* **AB** *μετονομάσθη* **V** *μετονόμασθαι* **COz** || 3 *Γάιος*] incipit **T** || 4 *ὑπὸ βρούττου* **ABCOVS** *ὑπὸ βρούου* **T** *ἐποβρότου* **z** | *συλλαβομένων* **Bt** *συλλαβόμενον* **A** || 5 *ξ′* **AB** *ἑξ* **t** om. **C** | *τῶν* **AB** *τοῦ* **T** *τὸν* **COVz** || 9 *κατῳκειωμένου* Go.[m] *καθοικειωμένου* **B** *καθοικειομένῳ* **A** *κατῳκειωμένῳ* **COT** *κατοικειωμένῳ* **Vz** || 10 *τὸ* **Bt** *τοῦ* **A** | *δὲ Καίσαρος* Di. *καίσαρος δὲ* **ABt** || 12 *Ὀκταβιανὸς*] *ὀκταβινιανὸς* **O** *ὀκαταβιανὸς* **V** *ὀκαταβινιανὸς* ante rasuram **P** *ὁ καταβιανὸς* **Q** || 14 *ὃς ἐν*] *μὲν* **T** | *λόγων* **AB** *λόγου* **V** *λόγον* **COTz** corr. **M** || 16 *ἀναχθεὶς* **AB** *ἀναδειχθεὶς* **t** | *τοῖς* **Bt** *τῶν* **A** || 17 *αὐτῶν*] *αὐτὸν* **TVz** || 18 *δὲ* om. **O** || 19 *καταψηφίσασθαι* **AB** *ψηφίσασθαι* **t** || 20 *ταὐτὸ* **BCOT** *αὐτὸ* **AV** *ταυτὸν* **z** || 21 *πρὸς* **AB** *εἰς* **t** || 24 *τέλος*] *ὃς* **T** | *διαχειρίσασθαι* **Bt** *εὐχειρίσασθαι* **A**

σθαι. εἶτα μετὰ τὴν νίκην ἐλθόντες εἰς Ῥώμην Αὔγουστος καὶ Ἀντώνιος
διαιροῦνται μετὰ Ἐλπιδίου τριχῇ τὴν ὅλην Ῥωμαίων ἀρχήν, σχεδὸν δὲ εἰ-
πεῖν τῆς οἰκουμένης. καὶ ὁ μὲν Αὔγουστος τὴν πρὸς ἑσπέραν ἄχρις Ὠκεα-
νοῦ κληροῦται Εὐρώπην, Ἐλπίδιος δὲ τὴν πρὸς Λιβύην πᾶσαν, Ἀντώνιος
5 δὲ τὴν ὅλην Ἀσίαν. ὃς ἀκούσας Λαβίινόν τινα τῶν ἐν τέλει Ῥωμαίων,
ἕνα τῶν ἐπὶ Βροῦττον καὶ Κάσσιον, πρὸς Ἡρώδην Περσῶν βασιλέα φυ-
γόντα καὶ Ῥωμαίοις πολεμεῖν πείσαντα, στρατηγοὺς δὲ καὶ Πάκουρον 576
τὸν υἱὸν ἐν πολλῇ δυνάμει πρὸς τοῦτο πέμψαντα, στέλλει πρότερον στρα-
τηγοὺς τοὺς αὐτοῖς ἀντιταξομένους, ὧν εἷς ἦν καὶ Βένδιδος, ὁ καὶ τὴν νίκην
10 Ῥωμαίοις διαπραξάμενος περί τε Λυδίαν καὶ ἐν τῇ Συριστὶ καλουμένῃ
χώρᾳ τῆς Εὐφρατησίας. ἰσχυρῶς οὖν ἡττηθέντων Περσῶν ὑπὸ τῶν Ἀν-
τωνίου καὶ τῆς Ῥωμαίων βουλῆς στρατηγῶν Ἡρώδης ἔτι πρὸς δεύτερον
ἑτοιμάζεται πόλεμον, τοῦτο πράττοντος καὶ Ἀντωνίου.

Τότε δὴ καὶ Ἀντίγονος προπέμψας Ἰουδαίων τοὺς εὔνους κατηγορεῖ
15 Ἡρώδου καὶ τῶν ἀδελφῶν σὺν τῷ Ὑρκανῷ. ὁ γὰρ Ἡρώδου πατὴρ Ἀντί-
πατρος ὑπὸ Μαλίχου φαρμάκῳ προδιεφθάρη· τοὺς κατηγοροῦντας Ἡρώ-
δου τιμωρησάμενος Ἀντώνιος τὴν ἀρχὴν Ὑρκανῷ καὶ Ἡρώδῃ τέως ἐβε-
βαίωσεν, εἰς Ἀντιόχειαν ὤν. ἔπειτα πλειόνων κατ' αὐτῶν Ἰουδαίων ἐπι-
βοώντων ἀνεῖλεν αὐτῶν τοὺς προύχοντας.

20 Τότε καὶ Κασσίῳ μετὰ τὴν Καίσαρος ἀναίρεσιν ὀκτακόσια τῆς Ἰουδαίας
ἀφελομένῳ τάλαντα σπουδαῖος ὤφθη θεραπευτής, ἡνίκα καὶ Μάλιχον τῷ
Κασσίου βουλήματι φονεύσας τὸν Ἀντιπάτρου θάνατον Ἡρώδης ἐξεδίκησε
τοῦ πατρὸς αὐτοῦ. διωχθεὶς δὲ πάλιν τῆς ἀρχῆς σὺν τῷ Ὑρκανῷ προσφεύ-
γει Ἀντωνίῳ, καὶ μὴ δεχθεὶς παρὰ τῶν Ἰουδαίων καρτερῶς μάχεται,
25 αὐτὸν δὲ ἐκδιώκει Ἀντίγονον. ὁ δὲ Ἀντίγονος ἀπογνοὺς τῆς Ῥωμαίων βοη- 577
θείας Ἡρώδῃ προσφεύγει Περσῶν βασιλεῖ μαχομένῳ Ῥωμαίοις, καὶ κατ-

5–13 cf. Eutrop. 7, 5, Pomp. Trog. fr. 160 = Iustin. 42, 4, 7–11 || **14** Ioseph. Bell. Iud. 1, 226. 242–247 || **20–23** Ioseph. Bell. Iud. 1, 220. 234 || **23–25** cf. African. fr. 49 (infra 371, 10) || **25**–p. 368, **2** Ioseph. Bell. Iud. 1, 242–250

5 *Λαβίινον*] *λαβήινον* **C**[c] *Λαβιῆνον* Di. || **7** *ῥωμαίοις* **Bt** *ῥωμαίων* **A** | *πείσαντα* **Cz** *σπείσαντα* **AOTV** *σπήσαντα* **B** *σπεύσαντα* Di. | *πάκουρον* **Bt** *πάκτουρον* **A** || **8** *τοῦτον* **z** || **9** *τοὺς αὐτοῖς* om. **MR** | *ἀντιταξομένους* **Bt** *ἀντιταξωμένους* **A** | *εἷς ἦν* **AB** *ἦν εἷς* **t** | *καὶ βένδιδος* **S** *καβένδιδος* **C** *κασβένδιδος* cett. *Ventidius* Eutrop. || **10** *λυδίᾳ* **A** *λυπίδιαν* **T** || **12–13** *ἔτι πρὸς δεύτερον* (*δύο* **C**) *ἑτοιμάζεται* **ABx** *ἑτοιμάζεται ἔτοι* (*ἔτι* **S**) *πρὸς β'* **z** || **13** *τοῦτο* **AB** *τούτῳ* **t** || **14** *καὶ* om. **T** || **16** *προδιεφθάρη* **Bt** *διεφθάρη* **B** || **18** *αὐτῷ* **COz** || **20** *ὀκτακόσια* **ABT** *ω'* **COVz** || **21** post *τάλαντα* add. *ὀκτακόσια* **z** quam lectionem in *ἑπτακόσια* corr. **M** ita cum Iosepho concordans | *σπουδαίως* **OTV** | *ὤφθη* **Bt** *ὤθη* **A** || **22** *κασσίου* **Bt** *κασσίῳ* **A** || **24** *καρτερῶς* **t** *κρατερῶς* **AB** || **25** *δὲ ἐκδιώκει*] *δὲ ἐκδικεῖν* **t** *διεκδικεῖν* **AB** | *Ἀντίγονον* infra 371, 10 *ἀντώνιον* **AB** *Ἀντώνιος* Go.[m] || **26** *ῥωμαίοις* **Bt** *ῥωμαίων* **A**

άγεται διὰ Πακόρου παιδὸς Ἡρώδου εἰς τὴν Ἰουδαίαν, ὑποσχόμενος χρυσοῦ χίλια τάλαντα Πέρσαις· Ὑρκανόν τε ζῶντα παραλαμβάνει, τοῖς ὀδοῦσιν ἐκκόψας αὐτοῦ τὰ ὦτα, ὡς μηκέτι ἱερατεύειν, καὶ τοῦτον προὔδωκεν αὖθις Πέρσαις ἄγειν μεθ' ἑαυτῶν. Ἡρώδης δὲ φυγὰς ἧκε πρὸς Μάλιχον Ἀράβων βασιλέα. τότε καὶ Φασάιλος ἀδελφὸς αὐτοῦ ἀναιρεῖται. 5

Χρονογραφία ἀπὸ κτίσεως κόσμου ,ευνη'

Δεύτερος Ῥωμαίων μόναρχος Καῖσαρ Σεβαστὸς Ὀκταούιος, ὁ καὶ Αὔγουστος ἐπικληθείς, ἐβασίλευσεν ἔτη νς'.

Τῷ ,ευξ' ἔτει τοῦ κόσμου δεύτερον ἐχρημάτισεν Αὐγούστου Καίσαρος πλῆρες καὶ ἀρχὴ τοῦ τρίτου, ἐν ᾧ καὶ ἡ ἴνδικτος ὑπ' αὐτοῦ ἤτοι ἐπινέμησις 10 *ἐθεσπίσθη, ὡς μαρτυρεῖ ὁ μακάριος Μάξιμος ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ.*

Ἰουδαίοις πρεσβευσαμένοις ἤγουν Ὑρκανῷ καὶ Ἡρώδῃ δόγμα συγκλήτου καὶ Ἀθηναίων ψήφισμα περὶ φιλίας ἐξεπέμφθη.

Κικέρων ὁ ῥήτωρ καὶ συγκλητικὸς ἐν Γαΐταις ἀνῃρέθη τῆς Ἰταλίας, ὡς δὲ ἄλλοι φασίν, ὅτι φαρμάκῳ διέφθειρεν ἑαυτόν. 15

578 *Ἡ τῶν ἐν Περγάμῳ βασιλευσάντων ἐπαύσατο ζ' βασιλέων ἀρχή, διαρκέσασα ἔτη ρνδ' ἀπὸ τοῦ ,ετιγ' κοσμικοῦ ἔτους ἕως τοῦ ,ευξζ', ὡς ἑξῆς δηλωθήσεται.*

Ἀπὸ Γαΐου Ἰουλίου Καίσαρος οἱ μετέπειτα Ῥωμαίων βασιλεῖς Καίσαρες ὠνομάσθησαν, ἀπὸ δὲ Αὐγούστου Αὔγουστοι. ἐπὶ τούτου τὰ Ῥωμαϊκὰ 20 *ἤκμασεν.*

Ἐλπίδιον Ἀντωνίῳ συμμαχοῦντα λαβὼν Αὔγουστος ζῶντα ἀνεῖλεν ἐν Ῥώμῃ.

8 **AB** *Ὀκταούιος Αὔγουστος* || 11 **AB** *ὅτι ἴνδικτος ἤτοι ἐπινέμησις ἐθεσπίσθη* || 14 **AB** *Κικέρων ὁ ῥήτωρ* || 16 **AB** *Περγάμων βασιλεία ἔτη ρνδ' διήρκεσεν* || 19 **AB** 25 *διὰ τί Αὔγουστος καὶ διὰ τί Καῖσαρ*

2–5 Ioseph. Bell. Iud. 1, 269–276 || 7 Euseb. 2, 157, 18 || 9 cf. Hesych. Miles. apud de thematibus 2, 8 || 11 Migne PG 19, 1249 D || 12 Euseb. 2, 156[h], cf. Ioseph. Ant. Iud. 14, 143–155 || 14 Euseb. 2, 158[c] || 15 cf. Plutarch. Cic. 47, 5–7 || 16–18 et p. 369, 11 non alibi redeunt; haec imperia nonne multis annis ante Augustum desierant? || 19–21 cf. Euseb. 2, 156[a]. 157, 20, Eutrop. 7, 9, 1; eadem fere apud ps. Sym. f. 57[v] post Cedr. 294, 10 et Paris. 1336 f. 156[r] || 22 redit haec fabula mendosa infra 376, 8

1 *πακόρου παιδὸς ἡρώδου* **At** *πάκρου παιδὸς ἡ ῥωδὸς* **B** || 2 *πέρσαις* **ABCV** *πέρσου* **T** *πέρσας* **Oz** || 4 *φυγὰς* om. **z** || 6 post *κόσμου* add. *ἔτους* **T** *ἔτη* **S** | *,ευνη'*] *,ευνβ'* **C** || 7 *δεύτερος* **AB** *β'* **t** om. **S** || 8 *νς'*] *νβ'* **C** || 12 *πρεσβευσαμένοις* **Bt** *πρεσβευσάμενος* **A** | *ἤγουν* scripsi *ἤτουν* **ABt** *εἴτουν* Di. | *συγκλήτου* **AB** *συγκλητικοῦ* **t** || 14 *κικέρων* **At** *κικαίρων* **B** ut solet || 15 *αὐτὸν* **Oz** || 22 *ἀντωνίῳ* **Bt** *ἀντωνίου* **A**

Οἱ Ἀντιοχεῖς ἔνθεν ἀριθμοῦσι τοὺς ἑαυτῶν χρόνους.
Ἀντώνιον καὶ Ἐλπίδιον νικήσας Αὔγουστος εἰς φιλίαν προσδέχεται πρεσβευσαμένης τῆς συγκλήτου.
Αὔγουστος τὴν Εὐρώπην ἐκληρώσατο, Ἐλπίδιος τὴν Λιβύην καὶ Ἀντώ-
5 *νιος τὴν μεγάλην Ἀσίαν.*
Οὗτος ἐλθὼν ἐν Κιλικίᾳ καὶ Κλεοπάτραν μεταστειλάμενος ἁλίσκεται τῷ ταύτης ἔρωτι. κατὰ Περσῶν δὲ στρατεύσας καὶ ἡττηθεὶς ἐπανέρχεται πολεμήσων Αὐγούστῳ, πρὸς ὃν ναυμαχήσας καὶ ἡττηθεὶς ἑαυτὸν διεχειρίσατο.
10 *Αὔγουστος πεζὸν ἐθριάμβευσε θρίαμβον.*
Ἡ τῶν Ἠπειρωτῶν ἐξ βασιλέων ἀρχὴ ἐπαύσωτο, διαρκέσασα ἔτη ϛ'.
Ἔτη λδ' τὸν Ὑρκανὸν στοιχειοῦντες κρατήσαντα Ἰουδαίων ἐπισημαινόμεθα τοῖς ἀγνοοῦσι τὰ τρία τούτων Ἀντιγόνου λογίζεσθαι. 579
Τῷ γὰρ λα' ἔτει Ὑρκανοῦ καταχθεὶς ὑπὸ Πάρθων εἰς τὴν ἀρχὴν τῶν
15 *Ἰουδαίων, κρατεῖ μὲν αὐτῆς ζῶντα τὸν Ὑρκανὸν χειρωσάμενος καὶ τοῖς ὀδοῦσιν ἀποτεμὼν αὐτοῦ τὰ ὦτα, ὡς ἂν μὴ τὸ λοιπὸν ἱερατεύοι, καὶ Πάρθοις ἐκδίδωσιν ἄγειν εἰς τὴν Περσικήν. ἀναιρεῖ δὲ Φασάιλον ἀδελφὸν Ἡρώδου καὶ φυγαδεύει τοῦτο, πολλὰ καταδραμόντων αὐτοῦ Πάρθων ἐπὶ τὴν Ἰουδαίαν μετὰ μητρὸς καὶ τῆς συγγενείας. φεύγοντος Ἡρώδου καὶ*
20 *τούτους πολλάκις πολέμῳ τρεπομένου, καὶ κατασφαττόμενος, ὃς πολλάκις πρὸς Μάλιχον Ἀράβων βασιλέα θαρρῶν καταφεύγει, ἤδη προευεργετημένον, οὐ προσδεχθεὶς δὲ φόβῳ τῶν Πάρθων εἰς Ἀλεξάνδρειαν ἔρχεται πρὸς Κλεοπάτραν. δεξιωθεὶς οὖν παρ' αὐτῆς καὶ τὴν ἐπιμέλειαν τῆς ὑπ' αὐτὴν ἔχειν ἀρχῆς ἀνεβάλλετο διὰ τὴν πρὸς Ἀντώνιον ἐπὶ Ῥώμην καὶ*
25 *Αὔγουστον πορείαν, ὡς Ἰώσηππος, ὡς δὲ Ἀφρικανός, σὺν αὐτῇ πρὸς Ἀντώνιον ἦλθε, κἀκεῖνος παρὰ τὸν Σεβαστὸν Ὀκταούιον εἰς Ῥώμην αὐτὸν ἔστειλεν. ὁ δὲ διὰ τὸ τὸν Ἀντίγονον ὑπὸ Πάρθων ἐχθρῶν ὄντων*

11 AB *Ἠπειρωτῶν βασιλεία ἐπαύσατο*

1 cf. Euseb. 2, 156[b] || **2** cf. Euseb. 2, 158[i], Eutrop. 7, 1–2, Oros. 8, 18, 8 || **4** cf. Eutrop. 7, 3, 3, Appian. Bell. Civ. 5, 65 || **6** cf. Eutrop. 7, 6–7 || **10** Euseb. 2, 162[d] || **14–19** Ioseph. Bell. Iud. 1, 248. 263–272, cf. Ant. Iud. 14, 365–369 || **19–25** Bell. 1. 276–279, Ant. 14, 370–376 || **25** Africanus fr. 49. cf. infra 371. 21 || **27**–p. 370, **3** Ioseph. Bell. Iud. 1, 282–285, cf. Ant. Iud. 14, 370–389

1 *ἑαυτῶν* **Bt** *αὐτῶν* **A** || **6** *ἐλθὼν* om. **C** || **7–8** *ἐπανέρχεται . . . ἡττηθεὶς* om. **CP**, add. eadem manu **P**[m] || **11–12** *ἔτη ϛ'. ἔτη λδ'* **ABO** *ἔτη ϛ' ἔτη λδ'.* **CTVz** || **13** *τούτων Ἀντιγόνου* Di. *τοῦτον ἀντίγονον* **ABt** || **16** *ἱερατεύοι* **ABCOV** *ἱερατεύει* **T** *ἱερατεύοιν* **z** || **20** *τούτους* **ABTV** *τούτου* **Cz** | *πολέμῳ . . . πολλάκις* om. **B** || **23** *καὶ* om. **z** || **26** *τὸν σεβαστὸν* **AB** *τῶν σεβαστὸν* **CO** *τῶν σεβαστῶν* **TVz** || **27** *τὸ* om. **COTz**

Ῥωμαίοις κρατῆσαι τῆς ἀρχῆς, διά τε τὸν αὐτοῦ πατέρα Ἀντίπατρον συμμαχήσαντα Ῥωμαίοις καὶ αὐτὸν Ἡρώδην, γράφει τοῖς κατὰ Συρίαν στρατηγοῖς κατάγειν Ἡρώδην ἐπὶ τὴν βασιλείαν Ἰουδαίων, Σωσίου τὸν πρὸς Ἀντίγονον πόλεμον ἐπιτραπέντος ὑπὸ τοῦ Καίσαρος, ὃς ἔτεσι τρισὶν ἐπεκράτησεν. 5

580 Ἰωσήππου ἐκ τοῦ ιδ′ λόγου τῆς ἀρχαιολογίας περὶ τῆς Ἡρώδου ἀσημότητος

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΥΞΘ}}$

Τοῦτο τὸ πάθος συνέβη τῇ Ἱεροσολυμιτῶν πόλει ὑπατεύοντος ἐν Ῥώμῃ Μάρκου Ἀγρίππα καὶ Κανδίδου Γάλλου ἐπὶ τῆς ρπε′ ὀλυμπιάδος τῷ τρίτῳ 10 *μηνὶ τῇ ἑορτῇ τῆς νηστείας, ὡς ἐκ περιτροπῆς τῆς γενομένης ἐπὶ Πομπηίου τοῖς Ἰουδαίοις συμφορᾶς. καὶ γὰρ ὑπ' ἐκείνου τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ μετὰ ἔτη κζ′.*

Σώσιος δὲ χρυσοῦν ἀναθέμενος τῷ θεῷ στέφανον ἀνέζευξεν ἀπὸ Ἱεροσολύμων Ἀντίγονον ἄγων δεσμώτην Ἀντωνίῳ. δείσας δ' Ἡρώδης μὴ φυ- 15 *λαχθεὶς Ἀντίγονος ὑπὸ Ἀντωνίου {τοῦ υἱοῦ} καὶ κομισθεὶς εἰς Ῥώμην ὑπ' αὐτοῦ δικαιολογήσηται, καὶ πρὸς τὴν σύγκλητον ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, Ἡρώδην δὲ ἰδιώτην, ἢ ὅτι προσῆκεν αὐτοῦ βασιλεύειν τοὺς παῖδας, ἢ καὶ αὐτὸς εἰς Ῥωμαίους ἐξήμαρτε, ταῦτα φοβούμενος πολλοῖς χρήμασι πείθει τὸν Ἀντώνιον ἀνελεῖν τὸν Ἀντίγονον. οὗ γενομένου τοῦ* 20 *δέους μὲν Ἡρώδης ἀπαλλάσσεται, παύεται δὲ οὕτως ἡ τοῦ Ἀσαμοναίου ἀρχὴ μετὰ ἔτη ρκϛ′.*

Οἶκος λαμπρὸς οὗτος ἦν καὶ διάσημος γένους τε ἕνεκα καὶ τῆς ἱερατικῆς τιμῆς, ὧν ὑπὲρ τοῦ ἔθνους οἱ γονεῖς αὐτοῦ διεπράξαντο. ἀλλ' οὗτοι μὲν διὰ τὴν πρὸς ἀλλήλους στάσιν τὴν ἀρχὴν ἀπέβαλον, μετέβη δὲ εἰς 25 581 *Ἡρώδην τὸν Ἀντιπάτρου οἰκίας ὄντα δημοτικῆς καὶ γένους ἰδιωτικοῦ καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. καὶ τοῦτο μὲν τὸ τέλος τῆς Ἀσαμοναίων γενεᾶς παρειλήφαμεν.*

3 Ioseph. Bell. 1, 327. 343, Ant. 14, 447. 465 || 6–28 Ioseph. Ant. Iud. 14, 487–491

4 *ὃς* om. **t** || 9 *τὸ πάθος συνέβη* **AB** Ioseph. *συνέβη τὸ πάθος* **t** || 9–10 *μάρκου ἐν ῥώμῃ* **Oz** || 14 *δὲ*] *οὖν* **Oz** | *ἀνέζευξεν* **Bt** *ἀναζεύξας* **A** | *ἱεροσόλυμα* **ACOz** || 16 *τοῦ υἱοῦ* non habet Ioseph. || 21 *ἀπαλλάσσεται* **BOTz** Ioseph. *ἀπαλλάττεται* **ACV** | *Ἀσαμοναίου*] *ἀσσαμοναίου* **B** *σαμωναίου* **C** || 25 *ἀπέβαλον* **Bx** Ioseph. *ἀπέλαβον* **Az** || 27 *ἀσαμοναίων* **OTVz** *ἀσαμωναίων* **C** *ἀσσαμοναίων* **AB**

Ἀφρικανοῦ περὶ τῶν Ὑρκανῷ καὶ Ἀντιγόνῳ συμβάντων καὶ περὶ Ἡρώδου τοῦ τε Σεβαστοῦ καὶ Ἀντωνίου καὶ Κλεοπάτρας ἐν ἐπιτόμῳ

Ὀκταούιος ὁ Σεβαστός, ὃν Αὔγουστον καλοῦσι Ῥωμαῖοι, θετὸς ὢν υἱὸς αὐτοῦ, ἀπὸ Ἀπολλωνιάδος τῆς Ἠπείρου, ἔνθα ἐπαιδεύετο, εἰς Ῥώμην
5 *ἐπανελθὼν τῶν ἐν τέλει τῆς ἡγεμονίας εἴχετο. Ἀντώνιος δὲ ὕστερον τὴν τῆς Ἀσίας καὶ ἐπέκεινα ἀρχὴν ἔλαχεν. ἐπὶ τούτου Ἡρώδου κατηγόρουν Ἰουδαῖοι. ὁ δὲ τοὺς πρέσβεις ἀποκτείνας Ἡρώδην ἐπὶ τὴν αὐτοῦ κατῆξεν ἀρχήν. ὕστερον δὲ ἅμα Ὑρκανῷ καὶ Φασαΐλῳ τῷ ἀδελφῷ ἐξεώθη καὶ προσφυγὼν Ἀντωνίῳ κατῆλθε. μὴ δεχομένων δὲ αὐτὸν Ἰουδαίων μάχη*
10 *γίνεται καρτερά. μετ' οὐ πολὺ δὲ καὶ Ἀντίγονον κατιόντα ἐκδιώκει μάχῃ, Ἀντίγονος δὲ προσφυγὼν Ἡρώδῃ τῷ τῶν Πάρθων βασιλεῖ διὰ Πακόρου τοῦ υἱοῦ κατῆλθεν ἐπὶ χρυσοῦ ταλάντοις χιλίοις. καὶ ὁ μὲν Ἡρώδης φεύγει, Φασάιλος δὲ ἐν τῇ μάχῃ ἀναιρεῖται, Ὑρκανὸς δὲ Ἀντιγόνῳ παρεδόθη ζῶν· ὁ δὲ Πάρθοις αὐτὸν ἔδωκεν ἄγειν, ἀποτεμὼν αὐτοῦ τὰ ὦτα, ὡς μηκ-*
15 *έτι ἱερῷτο· ᾐδέσθη γὰρ αὐτὸν ὡς οἰκεῖον ἀποκτεῖναι. Ἡρώδης δὲ ἐκ-* 582 *πεσὼν τὸ μὲν πρῶτον Μαλίχῳ τῷ τῶν Ἀράβων βασιλεῖ προσφεύγει· ὡς δ' οὐ προσήκατο αὐτὸν φόβῳ τῶν Πάρθων, εἰς Ἀλεξάνδρειαν παρὰ Κλεοπάτραν ἀπῆλθεν. ἦν ὀλυμπιὰς ρπε'. Κλεοπάτρα τὸν συμβασιλεύσαντα αὐτῇ ἀδελφὸν ἀποκτείνασα πρὸς ἀπολογίαν ὑπ' Ἀντωνίου εἰς Κιλικίαν*
20 *μεταπεμφθεῖσα τὴν τῆς ἀρχῆς ἐπιμέλειαν ἐπέτρεψεν Ἡρώδῃ, καὶ ὡς οὐδὲν ἠξίου πιστεύεσθαι ἔστ' ἂν καταχθῇ εἰς τὴν ἑαυτοῦ ἀρχήν, ἔχουσα αὐτὸν ᾔει παρὰ Ἀντώνιον. ὡς δὲ ἁλώκει τῆς γυναικὸς ἔρωτι, τὸν Ἡρώδην ἀπέστειλεν εἰς Ῥώμην κατὰ τὸν Σεβαστὸν Ὀκταούιον, ὃς διά τε Ἀντίπατρον τὸν Ἡρώδου πατέρα καὶ δι' αὐτὸν Ἡρώδην διά τε τὸ ὑπὸ Πάρθων καθεστάσθαι*
25 *τὸν Ἀντίγονον βασιλέα ἐπέστειλε τοῖς ἐν Παλαιστίνῃ καὶ Συρίᾳ στρατηγοῖς κατάγειν αὐτὸν ἐπὶ τὴν ἀρχήν. καὶ ἅμα Σωσίῳ διεπολέμει πρὸς τὸν Ἀντίγονον χρόνῳ πολλῷ καὶ παντοίαις μάχαις. τότε καὶ Ἰώσηππος ἀδελφὸς Ἡρώδου ἀποθνήσκει στρατηγῶν. Ἡρώδου δὲ πρὸς Ἀντώνιον ἐλθόντος τρία ἔτη τὸν Ἀντίγονον ἐξεπολιόρκησαν καὶ ζῶντα ἀπεκόμισαν Ἀντωνίῳ.*

1–p. 373, 10 Africanus fr. 49; uide Gelzer 1. 262–265 qui ea arbitratur quae non apud Iosephum inueniuntur Africanum ex Iusto de Tiberiade (FGrHist 734) hausisse || **3–5** cf. Eutrop. 7, 1, Oros. 6, 18. 1, Appian. Bell. Civ. 3, 9 || **6–8** Ioseph. Bell. Iud. 1, 242. 247 || **8–10** non ex Iosepho || **11–18** Ioseph. Bell. Iud. 1, 248. 270–278 || **18–23** non ex Iosepho || **23–29** Ioseph. Bell. Iud. 1, 282–285. 323–324. 343. 353

2 *τε* om. **B** | *ἀντωνίου* **ABVP^{c}QMRS** *ἀντωνίῳ* **COT** et ante corr. **P** || **5** *τῶν ἐν* **ABV** *τῷ* **COTz** | *τὴν* om. **OTz** || **8** *ἐξεώθη* **Bt** *ἐξεώθει* **A** || **9** *αὐτὸν* **At** *αὐτῶν* **B** || **11** *πακόρου* **CV** *πακώρου* **ABOT** *πακούρου* **z** || **14** *αὐτὸν* om. **A** || **15** *ἱερῷτο* **ABx** *ἱερατεύει* **PRMS** *ἱερατεύοι* **Q** || **19** *αὐτῇ* **ABC** *αὐτὴν* **OTVz** || **20** *τῆς ἀρχῆς* **Bt** *ταύτης ἀρχὴν* **A** || **22** *ᾔει* **AOTZ** *ἴῃ* **BCV** || **23** *τὸν*^{2} om. **t** || **25** *Συρίᾳ*] *συρίας* **Oz**

Ἀντώνιος δὲ Ἡρώδην μὲν καὶ αὐτὸς ἀνηγόρευσε βασιλέα, προσέθηκε δὲ αὐτῷ πόλεις Ἵππον, Γάδαρα, Γάζαν, Ἰόππην, Ἀνθηδόνα καὶ τῆς Ἀραβίας τόν τε Τράχωνα καὶ τὴν Αὐρανῖτιν καὶ Σακίαν καὶ Γαυλάνην, πρὸς δὲ καὶ τῆς Συρίας ἐπιτροπήν.

Ἡρώδης ὑπὸ τῆς συγκλήτου καὶ Ὀκταουίου τοῦ Σεβαστοῦ βασιλεὺς Ἰουδαίων ἀνηγορεύθη καὶ ἐβασίλευσεν ἔτη λδʹ. 5

583 *Ἀντώνιος ἐπὶ Πάρθους στρατεύειν μέλλων Ἀντίγονον τὸν Ἰουδαίων ἀπέκτεινε βασιλέα καὶ Ἀραβίαν Κλεοπάτρᾳ παρέδωκε, διαβάς τε ἐπὶ Πάρθους ἔπταισε μεγάλως τὸ πλεῖστον ἀποβαλὼν τοῦ στρατοῦ. ἦν ὀλυμπιὰς ρπςʹ.*

Ὁ Σεβαστὸς Ὀκταούιος τὴν ἐξ Ἰταλίας καὶ πάσης ἑσπέρας δύναμιν 10 *ἐπ᾽ Ἀντώνιον ἦγεν, οὐ βουλόμενον εἰς Ῥώμην ἐπανελθεῖν δέει τῶν ἐν Πάρθοις ἐπταισμένων καὶ Κλεοπάτρας ἔρωτι. Ἀντώνιος δὲ αὖ τὴν ἐκ τῆς Ἀσίας ἔχων δύναμιν ὑπηντίαζεν. ὁ δὲ Ἡρώδης οἷα δεινὸς καὶ τῶν ἰσχυόντων θεραπευτὴς διπλᾶς ἐξέπεμψεν ἐπιστολὰς καὶ νηὶ τὸν στρατόν, ἐντειλάμενος τοῖς ἡγουμένοις καραδοκεῖν τὸ ἀποβησόμενον. ὡς δ᾽ ἐκρίθη τε* 15 *ἡ νίκη καὶ δυσὶ ναυμαχίαις ἡττηθεὶς ὁ Ἀντώνιος ἔφυγεν εἰς Αἴγυπτον ἅμα τῇ Κλεοπάτρᾳ, οἱ κομίζοντες ἀπέδοσαν τὰς πρὸς τὸν Σεβαστὸν ἐπιστολάς, ἃς πρὸς Ἀντώνιον εἶχον ἀποκρύψαντες. ἐπιπίπτει δὲ Ἡρώδης Κλεοπάτρᾳ· ἐν τῷ μεσαιολίῳ ἑαυτὴν διεχρήσατο ἀσπίδι τῷ θηρίῳ καθ᾽ ἑαυτῆς ὅπλῳ χρησαμένη. τότε Κλεοπάτρας υἱοὺς Ἥλιον καὶ Σελήνην ἐπὶ Θηβαΐδα* 20 *φυγόντας συνέλαβεν ὁ Σεβαστός. Νικόπολις ἡ κατὰ Ἀκτίαν ἐκτίσθη καὶ Ἄκτια ὁ ἀγὼν ἐτέθη. Ἀλεξανδρείας εἰλημμένης πρῶτος ἡγεμὼν Αἰγύπτου* 584 *πέμπεται Γάλλος Κορνήλιος, ὃς τῶν ἀποστάντων Αἰγυπτίων καθεῖλε τὰς πόλεις. μέχρι τοῦδε οἱ Λαγίδαι, καὶ σύμπας τῆς Μακεδονικῆς ἡγεμονίας μετὰ ἔτη τʹ τῆς Περσῶν καθαιρέσεως δυοῖν δέοντα.* 25

Συνάγονται τοίνυν οἱ χρόνοι ἀπὸ μὲν τῆς Μακεδόνων ἀρχῆς καὶ καταλύσεως κατὰ Πτολεμαίους καὶ τὴν τελευταίαν Κλεοπάτραν, ὃ γίνεται τῆς Ῥωμαίων μοναρχίας ἡγεμονίας ἔτος ιαʹ, ὀλυμπιάδος δὲ ρπζʹ ἔτος δʹ, τὰ σύμπαντα ἔτη ἀπὸ Ἀδὰμ ͵ευοβʹ.

1–3 non ex Iosepho || **5–6** Ioseph. Bell. Iud. 1. 284–285, cf. Anon. Matr. 34, 3 (ann. 34), Euseb. 2, 160 (ann. 37) || **7–9** Ioseph. Bell. Iud. 1, 357. 361–363 || **10–13** cf. Eutrop. 7, 7. [Aurel. Vict.] de vir. illustr. 85, 4 || **13–18** aliter Ioseph. Bell. Iud. 1, 386–397 || **19** cf. [Aurel. Vict.] de vir. illustr. 86, 3 (*postea Antonio iuncta . . . in Mausoleo . . . periit*) || **20–25** cf. Euseb. 2, 162[h]. 163[a,c,f] || **27**–p. 373, 1 cf. Euseb. 2, 163, 17 (Olymp. 187, 4, anno 15 Augusti)

2 *ἀνθηδόνα* **ABC**[c] *ἀνθιδόνα* **CV** *ἀνθιδῶνα* **OTz** || 3 *αὐρανίτιν* **A** *αὐρανίτην* **Bt** || 7 *ἀντίγονον* **Bt** *ἀντώνιον* **A** || 8 *τε* **AB** *δὲ* **t** || 12 *αὖ τὴν* Di. *αὐτὴν* **ABt** || 15 *τὸ ἀποβησόμενον* **Bt** *τὰ ἀποβησόμενα* **A** || 16 *ὁ* om. **t** || 18 *ἡρώδη κλεοπάτρα* **ABt** || 19 *διεχρήσατο* Scal. *δὲ ἐχρήσατο* **ABt** || 20 *υἱοὺς* **Bt** *υἱὸς* **A** | *θηβαΐδα* **B** *θηβαΐδι* **A** *θηβαΐδος* **t** || 25 *δυοῖν δέοντα* secl. Routh, sed cf. supra 365, 15 | *δέοντα* **TVz** *δὲ ὄντα* **ABCO**

Μετὰ Ἀλεξανδρείας ἅλωσιν ὀλυμπιὰς ἤχθη ρπη'.

Ἡρώδης ἐπικτίσας τῶν Γαβινίων πόλιν τήν ποτε Σαμάρειαν, Σεβαστὴν αὐτὴν προσηγόρευσε· τὸ δὲ ἐπίνειον αὐτῆς τὸν Στράτωνος πύργον πολίσας ἀπὸ τοῦ αὐτοῦ Καισάρειαν ἐκάλεσεν, ἐφ' ἑκάτερα ναὸν ἐγείρας Ὀκταουίῳ.
5 *ὕστερον δὲ καὶ Ἀντιπατρίδα κτίζει ἐν τῷ Λυδῷ πεδίῳ ἀπὸ τοῦ ἑαυτοῦ πατρός, καὶ τοὺς περὶ τὴν Σεβαστὴν οἰκοῦντας, ὧν ἀφείλατο τὴν γῆν, ἐγκατῴκισεν ἐν αὐτῇ. ἔκτισε δὲ καὶ ἑτέρας πόλεις, καὶ τοῖς μὲν Ἰουδαίοις βαρὺς ἦν, τοῖς δὲ ἄλλοις ἔθνεσι δεξιώτατος.*

Ἦν ὀλυμπιὰς ρπθ', ἥτις πρὸ ἓξ καλανδῶν Μαρτίων, κατὰ Ἀντιοχεῖς κδ',
10 *ἤχθη, δι' ἧς ἐπὶ τῶν ἰδίων ὅρων ἔστη ὁ ἐνιαυτός.*

Ἀφρικανὸς ἐάσας εἰπεῖν πόσα ἔτη Ὑρκανὸς ἡγήσατο Ἰουδαίων διὰ τὸ 585 *ἀντιπίπτειν τῇ ἐκδόσει αὐτοῦ τὰ λδ' ἔτη Ὑρκανοῦ, πρὸς τούτοις ἔτη γ' τῆς Ἡρώδου βασιλείας ἐκολόβωσεν, ἀντὶ λζ' ἐτῶν μόνα λδ' στοιχειώσας· ὅπερ εἰ δῶμεν ἀληθεύειν, εὑρεθήσεται θνήσκων Ἡρώδης κατὰ τὸ πρῶτον*
15 *ἔτος τῆς ἐνανθρωπήσεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἄτοπον κατὰ τὰς εὐαγγελικὰς παραδόσεις.*

Εὐσεβίου τοῦ Παμφίλου περὶ Ἀντιγόνου καὶ τέλους τῆς Ἰουδαίων βασιλείας, προρρήσεώς τε τοῦ προφήτου Δανιὴλ περὶ τῶν ο' ἑβδομάδων καὶ Ἡρώδου ἀλλοφύλου

20 *Ἀντίγονος τῇ Ἰουδαίων βασιλείᾳ ἐπαναστὰς καὶ πολλὰ διαμαχησάμενος ἀναιρεῖται, καὶ ἐνταῦθα καταλήγει τὸ τῶν Ἰουδαίων βασίλειον. Ἡρώδης δὲ αὐτῶν μετὰ ταῦτα ἡγεῖται, οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασιλείαν παρὰ Ῥωμαίων ὑποδεξάμενος.*

Ἐνταῦθα δὲ καὶ ὁ προφητευόμενος παρὰ τῷ Δανιὴλ Χριστὸς ἡγούμενος
25 *τέλος λαμβάνει. μέχρι γὰρ Ἡρώδου Χριστοὶ ἡγούμενοι· οὗτοι δὲ ἦσαν οἱ*

2 **AB** *ὅτι ἡ Σαμάρεια Σεβαστὴ ἐκαλεῖτο* ‖ 9 **AB** *ὅτι κδ' τοῦ Μαρτίου ἐπὶ τοῦ ἰδίου ὅρου ἔστη* ‖ 24 **ABCT** *περὶ τῶν ἱερέων ἤτοι ἡγουμένων τῶν Ἰουδαίων*

2–7 cf. Euseb. 2, 166ᵃ. 167ᵈ·ᵉ ‖ 20 – p. 374, 28 has notitias ex spatio historico Eusebii canonum eodem in ordine atque uersio Armenia (p. 209) exhibet Syncellus; aliter aliquantulum Hieronymus 159 – 161

[**AB** **x** = **COTV** **z** = **PQMRS** (360, 1 – 373. 12)] 3 *ἐπίνειον* **A** *πίνιον* **C** *ἐπίνηον* **BOTVz** | *τὸν*] *τοῦ* **A** *τῶν* **C** | *πολίσας* **A** *πολήσας* **Bt** ‖ 6 *ὧν* **Bt** *ὃν* **A** ‖ 7 *ἐγκατῴκισεν* Di. *ἐγκατῴκησεν* **AB** *ἐγκατῴκησας* **t** ‖ 12 *ἐκδόσει*] explicit folium exemplaris **z** post quod exciderant folia octo usque ad 393, 6 pertinentia ‖ 17 *τέλους* **Bx** *τέλος* **A** ‖ 19 *ἀλλοφύλου* **ABT** *ἀλλοφύλων* **COV** ‖ 20 *τῇ ... βασιλείᾳ* **ABV** *τῆς ... βασιλείας* **COT** ‖ 25 *χριστοὶ* **Ax** *χρηστοὶ* **B** | *οἱ* om. **T** ‖ 27 *ὅρους* **AᵐBᵐ** | *περὶ τῶν ἱερέων ἤτοι ἡγουμένων τῶν ἰουδαίων* **AᵐBᵐ** *τῶν ἰουδαίων ἡγουμένων περὶ ἱερέων* **CᵐTᵐ**

ἀρχιερεῖς, οἵτινες προεστήκεσαν τοῦ Ἰουδαίων ἔθνους, ἀρξάμενοι μὲν ἀπὸ τῆς κατὰ Δαρεῖον ἀνανεώσεως τοῦ ἱεροῦ κατὰ τὴν ἑξηκοστὴν καὶ πέμπτην ὀλυμπιάδα, λήξαντες δὲ ἐπὶ Ὑρκανὸν ἐπὶ τῆς ρπς' ὀλυμπιάδος.

Τὰ δὲ μεταξὺ τούτων ἔτη γενέσθαι υπγ', ὁπόσα καὶ ἡ τοῦ Δανιὴλ προ- 586 *φητεία θεσπίζει λέγουσα· καὶ γνώσῃ καὶ συνήσεις· ἀπὸ ἐξόδου λόγου τοῦ* 5 *ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ'. αὗται δὲ αἱ θ' καὶ ξ' ἑβδομάδες συμπληροῦσι χρόνον ἐτῶν υπγ', ὁπόσα ἔτη τυγχάνει τὰ τῆς ἀρχῆς τῶν Χριστῶν ἡγουμένων. ὧν τελευταίου Ὑρκανοῦ ὑπὸ Πάρθων αἰχμαλώτου ληφθέντος Ἡρώδης ὁ Ἀντιπάτρου μηδὲν προσήκουσαν αὐτῷ τὴν τῶν Ἰουδαίων* 10 *βασιλείαν ὑπὸ Αὐγούστου καὶ τῆς συγκλήτου Ῥωμαίων παραλαμβάνει, κἄπειτα οἱ τούτου παῖδες μέχρι τῆς ὑστάτης Ἱεροσολύμων πολιορκίας· οὐκέτι οἱ ἐκ διαδοχῆς τοῦ ἱερατικοῦ γένους ἱερῶντο τῷ θεῷ οὐδὲ διὰ βίου κατὰ τὸν Μωυσέως νόμον, ἄσημοι δέ τινες ἄλλοτε ἄλλοι, καὶ οἱ μὲν ἐνιαύσιοι, οἱ δὲ ἔτι ὀλίγῳ πλέον παρὰ τῶν Ῥωμαϊκῶν ἡγεμόνων τὴν* 15 *ἀρχιερωσύνην ἐξωνοῦντο.*

Ἡρώδης Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου παῖς καὶ μητρὸς Κύπριδος Ἀραβίσσης οὐδὲν αὐτῷ προσήκουσαν τὴν Ἰουδαίων βασιλείαν ὑπὸ Ῥωμαίων ἐγχειρίζεται, καθ' ὃν τῆς τοῦ Χριστοῦ γενέσεως πλησιαζούσης ἡ ἐκ προγόνων διαδοχὴ ἀρχιερωσύνη τε καὶ ἀρχὴ τῶν Ἰουδαίων κατελύθη, συμ- 20 *πληρουμένης τῆς παρὰ Μωυσῇ λεγούσης προφητείας· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, καὶ* 587 *αὐτὸς προσδοκία ἐθνῶν. ἑξῆς δὲ ὁ Δανιὴλ προφητεύει λέγων· καὶ μετὰ τὰς ζ' καὶ ξβ' ἑβδομάδας ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῷ, καὶ τὸ ἱερὸν καὶ τὸ ἅγιον διαφθερεῖ λαὸς ἡγουμένου ἐρχομένου,* 25 *καὶ κοπήσονται ἐν κατακλυσμῷ πολέμου. καὶ ἑξῆς φησί· καὶ ἐπὶ τῶν ἱερῶν βδέλυγμα τῶν ἐρημώσεων καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.*

2 **AB** *πότε ἤρξαντο, δηλονότι ἀπὸ ἀνακαινήσεως τοῦ ναοῦ ἐπὶ Δαρείου Ὑστάσπου ξε' ὀλυμπιάδι, καὶ ἔληξαν ἐπὶ τῆς ρπς' ὀλυμπιάδος ἐπὶ Ὑρκανοῦ* || 4 **AB** *πόσα ἔτη* 30 *εἰσὶν αἱ θ' καὶ ξ' ἑβδομάδες τῶν ἀρχιερέων υπγ'* || 9 **AB** *Ὑρκανοῦ ληφθέντος αἰχμαλώτου ὑπὸ Πάρθων Ἡρώδης παραλαμβάνει τὴν βασιλείαν ὁ ἀλλόφυλος ὑπὸ Αὐγούστου Καίσαρος Ἀντιπάτρου ἱεροδούλου υἱός*

5–7 Dan. 9, 25 || 21–23 Gen. 49, 10 || 23–28 Dan. 9, 26–27

1 post *μὲν* add. *οἱ μὲν* **CTV** || 4 *ἔτη γενέσθαι* **Bt** tr. **A** || 5 *γνώσῃ* **ACTV** *γνώσει* **BO** | *συνήσεις* **TV** *συνήσει* **ABO** *συνήδησεις* **C** || 6 *ἡγουμένου* **ABCV** *ἡγούμενοι* **OT** || 9 *ὑπὸ* **Bx** *ἀπὸ* **A** || 15 *ἡγεμόνων* **Bx** *ἡγουμένων* **A** || 19 *γενέσεως* **Bx** *γεννήσεως* **A** || 21 *μωυσῇ* **ACV** *μωυσεῖ* **BOT** || 23 *προφητεύει λέγων* **Ax** *προφητεύων λέγει* **B** || 25 *τὸ*[2] om. **C** || 26 *κοπήσονται* **ABCOV** *κατακοπήσονται* **T** | *κατακλυσμῷ* **Bx** *κατακλοισμῷ* **A**

Ὡς ἔν τισι Ῥωμαϊκαῖς ἐκδόσεσιν ἐμφέρεται ἐν ἐπιτόμῳ περὶ τῶν ἀπὸ Ἀλεξάνδρου ἕως Αὐγούστου χρόνων, καὶ ἔτι τῶν ἀπὸ κτίσεως Ῥώμης καὶ ἀπὸ Τροίας ἁλώσεως καὶ ἕως τοῦ αὐτοῦ Αὐγούστου Καίσαρος

Διαγεγόνασι δὲ ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου τελευτῆς, ἥτις γέ-
5 *γονε κατὰ τὸ ροζʹ ἔτος τῆς τῶν ὑπάτων ἀρχῆς, μέχρι τῆς Αὐγούστου καὶ Ἀντωνίου βασιλείας ὀλυμπιάδες οεʹ, ἔτη δὲ σύνεγγυς τʹ, ἀπὸ δὲ κτίσεως Ῥώμης εἰς τὴν Αὐγούστου βασιλείαν ἔτη ψκʹ διὰ τὸ γʹ καὶ μʹ καὶ σʹ ἐνιαυτοὺς ἀπὸ Ῥωμύλου μέχρι τῆς τῶν ὑπάτων ἀρχῆς διαγεγονέναι, κατασπώσης ἔτη υοζʹ, ἀπὸ δὲ ἁλώσεως Τροίας εἰς τὴν αὐτοῦ Αὐγούστου*
10 *Καίσαρος ἀρχὴν ἔτη ͵αρνγʹ διὰ τὸ υλγʹ ἐνιαυτοὺς ἀπὸ ἁλώσεως Τροίας μέχρι τῆς Ῥωμύλου βασιλείας εἶναι.*

Τῆς οὖν ρπεʹ ὀλυμπιάδος περιελθούσης Ἀντώνιος ἐκστρατεύει μὲν ἐπὶ 588 *Πέρσας, Ἡρώδου τοῦ Περσῶν βασιλέως φονευθέντος ὑπὸ Φραάρτου τοῦ μετ' αὐτὸν βασιλεύσαντος, συναντήσας δὲ τῇ Κλεοπάτρᾳ πρὸς τῇ Κιλίκων*
15 *Ταρσῷ καὶ τῷ κάλλει ταύτης ἁλοὺς οὐδὲν ἀξιόλογον πράττει κατὰ Περσῶν. ὑπὸ γὰρ τοῦ πρὸς αὐτὴν πόθου πρῶτον εἰς Ἀρμενίαν, ἔπειτα δὲ καὶ εἰς Ἀλεξάνδρειαν ὀξέως δι' αὐτὴν ἐπανέρχεται, κατολιγωρήσας Ὀκταβίας τῆς γνησίας αὐτοῦ γαμετῆς, ἀδελφῆς Αὐγούστου Καίσαρος.*

Τῇ δὲ ρπηʹ ὀλυμπιάδι ὁ Ἀντώνιος τὴν μὲν γαμετὴν ἀπολύει δι' αἰσίων
20 *μετὰ τῶν τέκνων ἐξαγαγὼν καὶ Κλεοπάτραν εἰσοικίζεται. κἀκ τούτου πρὸς αὐτὸν ἀνίσταται πόλεμος Αὐγούστου, καθ' ὃν μετὰ πολλὰς ναυμαχίας καὶ ἄλλους πλείστους πολέμους φεύγει Ἀντώνιος μετὰ Κλεοπάτρας εἰς Αἴγυπτον, παραχρῶνται δὲ ἑαυτούς, μαθόντες κἀκεῖ τὸν Αὔγουστον παραγίνεσθαι ὅσον οὔπω· οὓς εὗρεν ἐλθὼν βιαιοθανατήσαντας. τοὺς δὲ Κλεοπά-*
25 *τρας παῖδας φεύγοντας λαβὼν Ἥλιον καὶ Σελήνην κατῆξεν εἰς Ῥώμην, θρίαμβον ἐπ' αὐτοῖς ἥδιστον Ῥωμαίοις ἐνδειξάμενος.*

Τότε καὶ Πέρσαι Ῥωμαίοις σπείσασθαι παρεκάλεσαν ὁμήρους Αὐγού-

4 **AB** *πόσα ἔτη ἀπὸ Ἀλεξάνδρου ἕως τοῦ Αὐγούστου* ‖ 9 **A²B** *πόσα ἔτη ἀπὸ ἁλώ-*
30 *σεως Τροίας ἕως Αὐγούστου*

4–11 cf. supra 230, 12; 284, 19 ‖ 12 cf. Eutrop. 7, 6, Iustin. 42, 5, 1–3 ‖ 19 cf. Euseb. 2, 162[f.h]. 163[e], Eutrop. 7, 7 ‖ 27 eundem errorem invenies apud breuiarium Festi 19 (*Claudius Caesar nepos Augusti*) et Iordan. Rom. 240; cf. Vell. Paterc. 2, 102, 2, Flor. 2, 32 (Gaius Caesar)

2 *ἔτι* **ABTOV** *ἔτη* **C** ‖ 3 *τροίας* **ABC** *τρύας* **OTV** ‖ 5 *ὑπάτων* **x** *ὑπ' αὐτῶν* **A** *ὑπ' αὐτὸν* **B** ‖ 9 *κατασπώσης* **ABT** *κατασπούσης* **COV** ‖ 9–10 *τροίας* **ABT** *τρύας* **OV** | *εἰς . . . Τροίας* om. **C** ‖ 14 *τῇ*[1] **B** om. **Ax** ‖ 16 *καὶ* **Bx** om. **A** ‖ 19 *δι' αἰσίων* **V** *δι' αἰσίω* **ACOT** *διεσίῳ* **B** *Λαισίῳ* Go.[m] Di. ‖ 24 *βιαιοθανατήσαντας* **T** *βιοθανατήσαντας* **ABCOV**

στῳ πέμψαντες. τὸν γὰρ Αὐγούστου Καίσαρος ἔκγονον Κλαύδιον τοὔνομα μαθόντες εἰς Ἀσίαν ὑπ᾽ αὐτοῦ σταλέντα δόλῳ σφαγῆναι παρεσκεύασαν ὑπὸ στρατιώτου τινὸς Πέρσου δείξειν ἐπαγγειλαμένου χρημάτων θησαυρούς. διὸ μάλιστα περὶ τῆς εἰρήνης πρεσβεύουσι τὴν εἰρημένην ἐπιβουλὴν ἀπομνύμενοι. 5

589 *Τότε καὶ Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς ἐπεκηρυκεύσατο φίλος Αὐγούστου γενέσθαι καὶ σύμμαχος.*

Κατὰ τοίνυν τὴν ρπε´ ὀλυμπιάδα Ἐλπιδίου κατασχεθέντος ὑπὸ Αὐγούστου ἐν τῇ πρὸς Ἀντώνιον μάχῃ καὶ ἀναιρεθέντος, ἐν Ῥώμῃ μόνος Αὔγουστος Ῥωμαίων μοναρχεῖ, διάδημα πρῶτος καὶ κόσμον τά τε λοιπὰ περι- 10 *θέμενος βασιλικὰ σύμβολα καὶ πρὸς τὸ τῆς διαίτης ἁβρότερον προαχθείς. Γάιος γὰρ πρὸ αὐτοῦ μοναρχήσας οὐδενὶ τούτων ἐκέχρητο.*

Οἱ ἐν Ἀλεξανδρείᾳ ἀπὸ τοῦ ιδ´ ἔτους ἀριθμοῦσι τοὺς Αὐγούστου χρόνους.

Πανδίων ὁ τῶν Ἰνδῶν βασιλεὺς φίλος Αὐγούστου καὶ σύμμαχος εἶναι 15 *πρεσβεύεται.*

Ὀκταούιος Αὔγουστος προσηγορεύθη, καὶ ὁ Σεξτίλιος μὴν η´ παρὰ Ῥωμαίοις ὁμοίως ὁ αὐτὸς Σεβαστὸς ἀνηγορεύθη.

Ἰουδαίων α´ ἀλλόφυλος βασιλεὺς Ἡρώδης ἔτη λζ´. τοῦ δὲ κόσμον ἦν ἔτος ͵ευξθ´. 20

Ἀνάνηλόν τινα τῶν ἐν Βαβυλῶνι Ἰουδαίων ἀρχιερέα μεταστειλάμενος Ἡρώδης εἰς Ἱερουσαλὴμ ἀρχιερέα κατέστησε, καὶ τοῦτον ἐκβαλὼν μετὰ βραχὺ καθίστησιν Ἀριστόβουλον ἀρχιερέα τὸν ἀδελφὸν τῆς αὐτοῦ γυναικός, υἱὸν ὄντα Ὑρκανοῦ τοῦ ἐν Παρθικῇ. καὶ τοῦτον ἀνελὼν πάλιν Ἀνάνηλον προσῆξε μετὰ ἐνιαυτόν. 25

590 *Εἴρηται μὲν ἡμῖν καὶ πρόσθεν ἀρχομένοις τοῦδε τοῦ πόνου ὡς ἀναγκαιότατον πάντων ἡμῖν ἐν αὐτῷ δεῖξαι πρόκειται τὸν χρόνον τῆς θείας σαρκώσεως τοῦ μονογενοῦς υἱοῦ καὶ λόγου τοῦ θεοῦ, κυρίου δὲ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ ͵εφ´ ἔτει τοῦ κόσμου προτρέχοντα πληρου-*

6 cf. Euseb. 2, 164[e], Fest. 19, 4, Flor. 2, 34, 62; de Pandione cf. Strabon. 15 p. 686 || 8–12 haec mendacia ex quo fonte defluxerint nescio, nisi fortasse tempus secundum Olympiadas Africanum implicet. de Lepido similiter supra 368, 22 || 13 cf. Euseb. 2, 163[c] || 15 cf. Euseb. 2, 164[e] (sine nomine Pandionis) || 17 Euseb. 2, 163[d] || 19 Euseb. 2, 160, 9 || 21 Euseb. 2, 161[a] || 26–p. 380, 6 cf. Paris. 1336 f. 156[r]

2 *δόλῳ σφαγῆναι* **ABCOV** *δολοσφαγῆναι* **T** || 7 *σύμμαχος* **Ax** *συμμάχους* **B** || 9 *καὶ ἀναιρεθέντος* hoc loco **Bx** post *αὐγούστου* **A** || 13 *ιδ´*] *δ´* **T** || 17 *Σεξτίλιος* Di. *σέξτιος* **ABx** || 18 *ὁ* om. **A** | *Σεβαστὸς* om. **V** || 19 *βασιλεὺς* om. **x** | *ἔτη* om. **T** || 19–20 *τοῦ δὲ κόσμου ἦν ἔτος* **ABC** *τοῦ δὲ κόσμου ἔτη* **TV** *τοῦ κόσμου ἔτη* **O** || 21 *ἀνάνιλον* **A** *ἀνάληλον* **C** || 23 *αὐτοῦ*] *αὐγούστου* **C** || 27 *τὸν χρόνον* om. **T**

μένῳ καὶ ἀρχομένῳ τῷ ͵εφα' μηνὶ κατὰ Ῥωμαίους Μαρτίῳ κε', κατὰ τὴν θείαν διὰ Μωυσέως ἔκδοσιν πρώτῃ τοῦ παρ' Ἑβραίοις πρωτοκτίστου μηνὸς Νισάν, καθ' ἣν ὁ ἀρχάγγελος Γαβριὴλ τῇ κυρίως καὶ ἀληθῶς θεοτόκῳ τῆς παγκοσμίου χαρᾶς προσενήνοχεν εὐαγγέλια. οὕτω γὰρ καὶ ἡ 5 *τῆς ζωοποιοῦ ἀναστάσεως αὐτοῦ ἡμέρα κατὰ τὴν αὐτὴν πρωτόκτιστον ἡμέραν συναντήσει κατὰ τὰς ἀποστολικὰς παραδόσεις, ὡς δειχθήσεται.*

Ἐπειδὴ δὲ κατὰ τὸ ͵ευοβ' ἔτος τοῦ κόσμου, ὅπερ κατὰ τόνδε τὸν ἀκριβῶς ἡμῖν κατὰ δύναμιν ἐφοδευθέντα κανόνα τῷ ιε' τῆς Αὐγούστου βασιλείας ἔτει συντρέχει, ἀπὸ δὲ Ἀλεξανδρείας ἁλώσεως ς', τὸ λεγόμενον 10 *Βίσεξτον προσετέθη ὑπὸ Αὐγούστου Καίσαρος καὶ τῶν τηνικαῦτα σοφῶν, ἀναγκαῖον ἡγοῦμαι δηλῶσαι περὶ αὐτοῦ τοῦ ἡλιακοῦ ἐνιαυτοῦ τξε' α' ἡμερῶν ὄντος παρὰ δ' μιᾶς ἡμέρας. τοῦτο τὸ δ' κατὰ ἔτη κη' συναγόμενον ζ' ἡμέρας ἀνακυκλουμένας ἀπὸ α' ἡμέρας τῆς ἑβδομάδος ἕως ζ' ἐπάγει,* **591** *αἵτινες λέγονται ἐπακταὶ ἡλίου ζ' διὰ τῶν κη' ἐτῶν συμπληρούμεναι, καὶ* 15 *πάλιν ἀπὸ τοῦ κθ' ἀρχόμεναι. τετράκις γὰρ ζ' κη' γίνονται. αἱ δ' αὐταὶ καὶ τετραετηρίδες παρὰ τοῖς μαθηματικοῖς ἀστρονόμοις κέκληνται διὰ τὸ κατὰ τετραετίαν ἡμέραν μίαν τῷ ἐνιαυτῷ ἐπεισάγειν.*

Περὶ ἧς οἱ μὲν Ἰουδαῖοι σεληνιακοὺς παραλαμβάνοντες τοὺς χρόνους διὰ τὸ νομικὸν πάσχα καὶ τὴν ἐν τῷ α' μηνὶ Νισὰν πανσέληνον οὐδένα λό- 20 *γον εὑρίσκονται συγγραψάμενοι. Ἕλληνες δὲ παρὰ Χαλδαίων εἰς Αἰγυπτίους διὰ τοῦ πατριάρχου Ἀβραάμ, ὡς ὁ λόγος, τὴν αὐτὴν ἐλθοῦσαν γνῶσιν παραλαβόντες κατ' Αἰγυπτίους τξε' ἡμερῶν τὸν ἐνιαυτὸν ἐλογίσαντο, ἀρχόμενοι μὲν ἀπὸ τοῦ παρ' αὐτοῖς Θὼθ μηνὸς τῆς α' ἡμέρας, ἥτις κατὰ τὴν κθ' τοῦ Αὐγούστου μηνὸς συμπίπτει, καὶ κατὰ χρόνους δ' ἀμείβοντες* 25 *μίαν ἡμέραν ἕως ἀποκαταστάσεως ἡμερῶν Αἰγυπτιακοῦ ἔτους τξε' διὰ ͵αυξ' ἐτῶν συμπληρουμένου, καὶ ὡς ἀπὸ σημείου τινὸς εἰς τὸ αὐτὸ σημεῖον, ἀπὸ τῆς κθ' τοῦ Αὐγούστου μηνὸς ἀποκαθισταμένου, ὃς ἔτυχεν ἀποκατασταῆναι κατὰ τόδε τὸ ͵ευοα' ἔτος τοῦ κόσμου, Αὐγούστου δὲ ἔτει ιε' κατὰ τόδε τὸ κανόνιον. κατὰ δὲ Πανόδωρον κβ' ἔτος ἦν Αὐγούστου διὰ* 30 *τὸ τοὺς πολλοὺς κατὰ τὸ ις' ἔτος τῆς Αὐγούστου βασιλείας τὴν Ἀλεξαν-*

9 **OT** *περὶ βισέκτου* ‖ 14 **AB** *Ση. περὶ ἐπακτῶν τοῦ ἡλίου πῶς ψηφίζονται* | **OT** *περὶ ἐπακτῶν καὶ τετραετηρίδων*

7 – p. 378, 19 cf. Theon. Alex. Chron. Min. 3, 372 ‖ 20 – 22 cf. Ioseph. Ant. Iud. 1, 168

2 – 3 *μηνὸς νισὰν* Paris. 1336 *μηνὸς νισσᾶν* **A** *μηνὸς νησσὰν* **B** *νησὰν μηνὸς* **x** ‖ 7 *τὸν* om. **A** ‖ 8 *ἐφοδευθέντα* **Bx** *ἀφοδευθέντα* **A** ‖ 10 *βίσεκτον* **OV** | *προσετέθη* **x** *προετέθη* **AB** ‖ 12 *ὄντος* **BCV** *ὄντως* **OT** *οὗτος* **A** | *παρὰ δ' μιᾶς* Di. *παρὰ λ' μιᾶς* **AB** *παρὰ λα'* **x** *παρὰ μιᾶς* Paris. 1336 ‖ 16 *μαθητικοῖς* **CT** ‖ 19 *Νισὰν* Di. *νισσᾶν* **A** *νησσὰν* **B** *νησὰν* **x** ‖ 24 *τὴν* om. **x** ‖ 28 *ἔτει* **AB** *ἔτη* **x** ‖ 29, 30 *διὰ τὸ* **Ax** *διὰ τοῦτο* **B**

δρείας ἅλωσιν ἱστορεῖν καὶ τοὺς τούτου χρόνους τῆς βασιλείας ἐντεῦθεν λογίζεσθαι, μεθ' ἣν ἀρξαμένην ἔτει ε' Αὐγούστου τεθῆναι τὴν τετραετη- 592 *ρικὴν ἡμέραν, καὶ μέχρι τοῦ νῦν οὕτω καθ' Ἕλληνας ἤτοι Ἀλεξανδρεῖς ψηφίζεσθαι τοὺς ἀστρονομικοὺς κανόνας ἐν ταῖς ἐκλείψεσι τῶν δύο φωστήρων καὶ ταῖς καθ' ἕκαστον μῆνα συνόδῳ πανσελήνοις τῶν τε πλανω-* 5 *μένων ε' ἀστέρων καὶ τῶν λοιπῶν ἀπλανῶν τὰς ἐποχὰς οὕτω λαμβάνεσθαι. καὶ οὕτω μὲν ὁ Πανόδωρος συμφωνῆσαι σπουδάζων τοῖς ἔξω σοφοῖς περὶ τὴν σφαιρικὴν κίνησιν ἔτεσιν ζ' διήμαρτε τοῦ ,εφ' ἔτους, ,ευςγ' ἀντὶ ,εφ' στοιχειώσας, καίπερ ἐν ἄλλοις εὐδοκιμήσας παρὰ πολλούς. ἡμεῖς δὲ τῷ ποιητῇ τῶν χρόνων ἀχρόνῳ θεῷ τῇ παντουργῷ καὶ* 10 *ὁμοουσίῳ τριάδι πειθόμενοι, ταῖς παρ' αὐτῆς δοθείσαις ἡμῖν θεοπνεύστοις γραφαῖς διά τε παλαιᾶς καὶ νέας διαθήκης ἐξηκολουθήσαμεν, ἔν τισι συμφωνήσαντες καὶ τοῖς παρ' ἐκείνων κανόσιν, ὡς ἐν τοῖς Ἀλεξάνδρου τοῦ Μακεδόνων ἔτεσι κατὰ τὸ ,ερο' ἔτος τοῦ κόσμου, ἐνταῦθα δὲ ἀντιπίπτουσαν εὑρόντες ταῖς ἀποστολικαῖς παραδόσεσι τὴν ἐκείνοις ἄλλο-* 15 *θεν εἰλημμένην ἀρχὴν καὶ οὐκ ἐκ τῆς κοινῆς τοῦ κόσμου γενέσεως, ἀναγκαίως τῆς θείας καὶ ἀρρήτου σαρκώσεως τὸν ἀκριβῆ χρόνον προετιμήσαμεν.*

Αὔγουστος Ῥωμαίοις ἐνομοθέτησε.
Λόλλιος Μάρκος Ῥωμαίοις Γαλατίαν ἐπεκτήσατο. 20
Αὔγουστος μοναρχίαν ἐγχειριζομένην ἀπώσατο.
Αὔγουστος Γαλάταις φόρους ἔθετο.
Τιβέριος Ἀρμενίαν Αὐγούστῳ παρεστήσατο.
593 *Αὔγουστος Κυζικηνῶν ἐλευθερίαν ἀφείλατο.*
Αὔγουστος Σαμίοις ἐλευθερίαν παρέσχε. 25
Κάνταβροι στασιάσαντες διεφθάρησαν.
Σεισμὸς Κύπρου πολλὰ μέρη κατέπτωσε.
Τιμήσεως γενομένης ἐν Ῥώμῃ ἀπεγράφησαν Ῥωμαίων μυριάδες υις' καὶ ,δ.
Τῷ ,ευπ' ἔτει τοῦ κόσμου ἡ τῶν Βιθυνῶν η' βασιλέων ἀρχὴ ἐπαύσατο 30

21 AB *τὴν Γαλατίαν ὁ Λόλλιος Μάρκος ἐπεκτήσατο καὶ φόρους αὐτοῖς ἔθετο ὁ Αὔγουστος* || **25 AB** *πῶς ἐδουλώθησαν Κυζικηνοί* || **29 AB** *ἐν Ῥώμῃ μυριάδες υις' καὶ ,δ*

20–30 Euseb. 2, 163[g,h]. 164[g,i,k]. 165[b,d,f]. 166[b,c] || **31** cf. supra 332, 4; 333, 17 = Dionys. Hal. FGrHist 251 F 5

3 *καθ' ἕλληνας* **x** *κατέλληνας* **AB** || **5** *τε πλανωμένων*] *πεπλανωμένων* **C** || **8** *τὴν* om. **x** || **10** *ἀχρόνῳ* **Bx** *ἀχρόνως* **A** || **14** *μακεδόνος* **C** || **21** *ἐγχειριζομένην* **AB** *ἐγχειριζόμενος* **x** || **25** *σαμίοις* **ABC**[c] *σάμοις* **x** || **26** *Κάνταβροι* Di. *κάνταυροι* **ABOTV** *κάνταροι* **C**

ὑπὸ Αὔγουστον χρηματίσασα, ἀπὸ τοῦ ͵εσξη´ κοσμικοῦ ἔτους ἀρξαμένη, ὧν τὰ ὀνόματα δηλωθήσεται· ὁμοίως δὲ καὶ ἡ τῶν Ποντικῶν ι´ βασιλέων.

Τιβέριος Καῖσαρ ἀνηγορεύθη.

Αὔγουστος Γάιον Ἀγρίππαν υἱοθετήσατο.

5 *Αὔγουστος μοιχεύσασαν Ἰουλίαν θυγατέρα αὐτοῦ ἠφάντωσε.*

Τιβέριος Καῖσαρ Οὐινδικοὺς καὶ τοὺς λοιποὺς παρακειμένους τῇ Θράκῃ ὑπέταξεν· ἀποικίας εἰς Πάτρας καὶ Βήρυτον Ῥωμαίοις ἐξέπεμψεν.

Τιβέριος Καῖσαρ καταπολεμήσας Γερμανοὺς αὐτοκράτωρ ἀνηγορεύθη.

Τιβέριος ἐπὶ νίκῃ Παννονίων ἐθριάμβευσεν.

10 *Ὁ αὐτὸς ἐπὶ νίκῃ Ῥαιτῶν καὶ Ἀρμενίων καὶ Οὐινδικίων καὶ Παννονίων ἐθριάμβευσεν.*

Αὔγουστος παρέσχε ναυμαχίαν καὶ μονομαχίαν. 594

Γερμανοὺς κατεστρέψατο Λόλλιος Μάρκος νεωτερίσαντας.

Ἀγρίππας Βόσπορον ἐχειρώσατο.

15 *Αὔγουστος μέγας ἀρχιερεὺς ἐψηφίσθη.*

Τὰ ὑπόλοιπα τοῦ Ἡρώδου

Ὑρκανὸν ἐκ Παρθικῆς ἐπανελθόντα γηραιὸν φόβῳ τῆς εὐγενείας Ἡρώδης ἀνεῖλεν, ὁμοίως δὲ καὶ Ἀριστόβουλον υἱὸν αὐτοῦ ἀρχιερέα.

Ὁ αὐτὸς καὶ Μαριάμνην ἰδίαν γαμετὴν θυγατέρα Ὑρκανοῦ σὺν δυσὶν 20 *παισὶν αὐτοῦ ἐξ αὐτῆς ἀνδρωθεῖσιν ἤδη φονεύει καὶ τὴν Μαριάμνης μητέρα, οἰκείαν δὲ πενθερὰν ὁ μιαιφόνος.*

Κατὰ τὴν Ἰουδαίαν μέγας ἐγένετο σεισμός.

Ἡρώδης πολλὰ καὶ μεγάλα ἔκτισεν ἐν Ἱερουσαλήμ.

Ἡρώδης τὴν πάλαι Σαμάρειαν ἔρημον οὖσαν ἐκ θεμελίων ἤγειρε, 25 *Σεβαστὴν εἰς τιμὴν τοῦ Καίσαρος ὀνομάσας.*

Ὁ αὐτὸς τὸ Πάνιον εἰδωλεῖον κατεσκεύασεν ἐν Παναιάδι τῷ Πανί.

Λιμὸς μέγας κατὰ τὴν Ἰουδαίαν καὶ ὅλην Συρίαν ἐγένετο.

3 **AB** *Τιβέριος Καῖσαρ ἀνηγορεύθη* || 8 **ABC** *͵ευς´* || 16 **ABV** *͵ευςθ´* || 17 **B** *τίνας φονεύει Ἡρώδης* || 26 **AB** *διὰ τί ἐλέγετο Παναιὰς ἡ νῦν Καισάρεια τῆς Παλαιστίνης*

3 Euseb. 2, p. 211 (Olymp. 191) Arm., om. Hieron. || 4–15 Euseb. 2, 166[d,f,h,i], 167[a,c,f,k], 168[b,c,g] || 17–21 Euseb. 2, 168[a] || 22 Ioseph. Ant. Iud. 15, 121, Bell. Iud. 1, 370 || 23–26 Euseb. 2, 165[g], 166[a] || 24 – p. 380, 1 cf. ps. Sym. f. 61[r] = Cedr. 323, 10 || 27 – p. 380, 1 Ioseph. Ant. Iud. 15, 299. 380

1 *αὔγουστον* **Ax** *αὐγούστου* **B** | *τοῦ* om. **C** || 7 *βήρυτον* **AB** *βίρυτον* **x** | *ῥωμαίοις ἐξέπεμψεν* **ABx** *Ῥωμαῖοι ἐξέπεμψαν* Scal. || 9 *παννονίων* **B** *παννόνιον* **ACT** *παννόνιαν* **OV** || 10–11 *ὁ αὐτὸς . . . ἐθριάμβευσεν* om. **T** || 10 *παννονίων* **B** *παννίων* **A** *παννωνίων* **OV** *παννώνιον* **C** || 14 *βόσπορον* **x** *βόσφορον* **AB** *Bosporos* Euseb. Arm. *Bosforum* Hieron. || 17 *ὑρκανὸν* **Bx** *ὑρκανῶν* **A** || 19 *δυσὶν* **CTV** *δύο* **ABO** || 20 *μαριάμνης* **Ax** *μαριάμμης* **B** || 26 *παναιάδι* **Bx** *παναίδι* **A**

Ἡρώδης τὸν Ἱεροσολύμων ναὸν διπλοῦν ἀνῳκοδόμησεν.
595 *Ἡρώδης τὸν πάλαι Στράτωνος πύργον Καισάρειαν εἰς τιμὴν τοῦ Καί-
σαρος ἐπικτίσας ὠνόμασεν.*
*Ὁ αὐτὸς Ἀνθηδόνα ἐπέκτισεν Ἀγριππίναν μετονομάσας, ἔτι τε Παρσα-
νάβαν εἰς τιμὴν Ἀντιπάτρου τοῦ πατρὸς αὐτοῦ Ἀντιπατρίδα ὠνόμασε, καὶ* 5
ἄλλην εἰς οἰκεῖον ἐκάλεσεν ὄνομα πόλιν ἐγείρας Ἡρώδιον.
*Ὁ αὐτὸς τὴν ἐν τῇ Γαλιλαίᾳ Γαβὰλ καὶ κατὰ πάσας πόλεις Συρίας καὶ
Παλαιστίνης ἐπέκτισεν.*
*Ὁ αὐτὸς πρὸς ταῖς πολλαῖς μιαιφονίαις τὸν ἄνδρα Σαλώμης οἰκείας
ἀδελφῆς ἀνεῖλε καὶ πάλιν ἕτερον αὐτῇ ἄνδρα δεύτερον ἔδωκεν.* 10
*Ὁ αὐτὸς τοὺς Ἰουδαίων νομομαθεῖς καὶ τῶν πατρίων ζηλωτὰς ἀπέ-
κτεινεν.*
*Ὁ αὐτὸς τὰς ἀναγράπτους Ἰουδαίων γενεαλογίας ἐνέπρησεν, ἀμάρτυρον
ὡς ἑαυτῷ κἀκείνοις πραγματευόμενος τὴν εὐγένειαν.*
Δέον γινώσκειν ὅτι τὸ πρῶτον ἔτος Αὐγούστου Καίσαρος ͵ευνη΄ ἔτος 15
ἐστὶ τοῦ κόσμου, τὸ δὲ τέλος τοῦ ͵ευϛθ΄ ἔτους τοῦ κόσμου πλήρωμα τοῦ
μα΄ ἔτους τοῦ αὐτοῦ Αὐγούστου ἐστὶ καὶ ἀρχὴ τοῦ μβ΄ ἔτους, τοῦ δὲ
Ἡρώδου ἐστὶν ἔτος λβ΄.
Τῷ ͵εφ΄ ἔτει τοῦ κόσμου, τοῦ δὲ Αὐγούστου Καίσαρος μβ΄, Ἡρώδου
596 *δὲ λβ΄, μηνὶ καθ' Ἑβραίους ζ΄ ι΄, ἤτοι Σεπτεμβρίῳ κζ΄, Ζαχαρίας θυμιῶν* 20
*εἰς τὸ ἁγίασμα κατὰ τὴν τάξιν τῆς ἐφημερίας αὐτοῦ, ὥς φησιν ὁ θεῖος
εὐαγγελιστὴς Λουκᾶς, εἶδεν ἄγγελον τὴν τοῦ μεγάλου Ἰωάννου τοῦ προ-
δρόμου καὶ βαπτιστοῦ σύλληψιν εὐαγγελιζόμενον αὐτῷ, καὶ φοβηθεὶς
καὶ διστάσας ἔμεινεν ἄλαλος ἕως τοῦ τοκετοῦ αὐτοῦ κατὰ τὴν ἐπιτίμησιν.*

5 AB *διὰ τί Ἀντιπατρίδα* || **6 AB** *Ἡρώδιον πόλις* || **15 AB** *Ση. ὅτι τὸ α΄ ἔτος* 25
Αὐγούστου ͵ευνη΄ ἐστὶν τοῦ κόσμου· ͵ευϛθ΄ ἔτος κόσμου μα΄ τοῦ Καίσαρος || **19 ABCV**
*τοῦτο τὸ ἔτος τὸ πρὸ τῆς τοῦ σωτῆρος ὑπάρχον γεννήσεως τῆς μὲν ια΄ περιόδου
τῶν φλβ΄ ἐτῶν ρπ΄ ἔτος ὂν τῆς ζ΄ κη΄ ἐτηρίδος τοῦ ἡλίου ἔτος ιβ΄ σελήνης θ΄ μηνὶ
Σεπτεμβρίῳ ἡμέρᾳ τοῦ μηνὸς κζ΄ τῆς ἑβδομάδος*

2–12 cf. Euseb. 2, $167^{d,e}$. 169^{a} || **7** Gabalam om. Euseb., cf. Ioseph. Ant.
Iud. 15, 294 || **13** cf. Euseb. H. E. 1, 7, 13 (ex Africani epist. ad Aristid.) ||
17–18 cf. Euseb. 2, 169, 6 || **19–23** cf. ps. Sym. f. 58^{r} = Cedr. 325, 18 || **19** cf.
Euseb. 2, 169^{e}, Hippolyt. fr. 22 || **21** Luc. 1, 8–22

1 *ἡρώδης . . . ἀνῳκοδόμησεν* om. **B** || **4** *τε* om. **C** | *παρσανάβαν* **Bx** *παρασα-
νάβαν* **A** || **7** *Γαβὰλ] γαβαλλὸν* **TV** | *καὶ] καὶ πολλὰ* **T** | *κατὰ πάσας* **Bt** *κατα-
σπάσας* **A** || **10** *αὐτῇ* **COT** *αὐτῆς* **ABV** || **16** *τὸ δὲ . . . κόσμου* om. **T** | *τοῦ
κόσμου* **AO** *κόσμου* **BCV** || **20** *ζ΄ ι΄* **ABOTV** *ιζ΄* **C** *ι΄* del. Go.^{m} et Di., sed
cf. ps. Sym. *ἑβδόμου μηνὸς καθ' ἑβραίους δεκάτης* || **25** *α΄* A^{m} *δ΄* B^{m} || **27** *τὸ
πρὸ* V^{m} *τὸ πρῶτον* $A^{m}B^{m}C^{m}$ | *ὑπάρχοντος* $C^{m}V^{m}$ *ὑπάρχει* $A^{m}B^{m}$ || **28** *ρπ΄* $C^{m}V^{m}$
ρπε΄ $A^{m}B^{m}$ || **28, 29** *μηνὶ σεπτεμβρίῳ* $C^{m}V^{m}$ *μὴν σεπτέμβριος* $A^{m}B^{m}$

Σημειωτέον δὲ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ πῶς φησιν ὁ ἄγγελος περὶ τῆς τοῦ προδρόμου συλλήψεως πρὸς τὴν ἁγίαν παρθένον· καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, τῆς μὲν ἐκ τοῦ Δαβίδ, τῆς δὲ ἐκ τοῦ Λευὶ καταγομένης, περὶ οὗ ἑξῆς παρεθέμεθα.

5 *Τῷ αὐτῷ ‚εφ' ἔτει ἀπὸ κτίσεως κόσμου πληρουμένῳ, τῷ κη' τοῦ Φαμενώθ, μηνὸς Μαρτίου κδ', καὶ ἀρχομένῳ τῷ Φαμενὼθ κθ' ἤτοι Μαρτίου κε', ἕκτῳ μηνὶ ἀπὸ τοῦ εὐαγγελισμοῦ Ζαχαρίου καὶ τῆς τοῦ προδρόμου συλλήψεως, ἀπεστάλη ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν ἁγίαν καὶ ὑπερένδοξον παρθένον τὰ τῆς παγκοσμίου σωτηρίας καὶ αἰωνίου ζωῆς εὐαγ-*
10 *γέλια κομίζων. ἔτος τῆς μὲν ια' περιόδου τῶν φλβ' ἐτῶν ρπα' ἀρχόμενον, μὴν παρ' Ἑβραίοις Νισὰν πρωτόκτιστος α' ἄγων ἡμέραν, ἥτις κατὰ μὲν Ῥωμαίους τῇ κε' τοῦ Μαρτίου μηνὸς συμπίπτει ἀεί, κατὰ δὲ Αἰγυπτίους τῇ κθ' τοῦ Φαμενώθ, πρὸ η' καλανδῶν Ἀπριλλίων, τοῦ δὲ δ' κατ' Αἰγυπτίους Χυὰκ μηνὸς ἤτοι κδ' τοῦ Δεκεμβρίου μηνός, πρὸ θ' καλανδῶν* 597
15 *Ἰανουαρίων, εἰς συμπλήρωσιν τῆς λα' ἡμέρας τοῦ Χασελεῦ, θ' μηνὸς κατὰ τοὺς αὐτοὺς Ἑβραίους καὶ Χριστιανούς, ἡμέραι σοε', καθ' ἣν τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας καὶ φύσει καὶ ἀληθείᾳ κυρίως θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῇ ἐπιούσῃ κε' ἐγεννήθη ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστός, ὁ μονογενὴς τοῦ θεοῦ υἱός, ἐν Βηθλεὲμ πόλει τῆς Ἰουδαίας, κατὰ*
20 *τὸ μγ' ἔτος τῆς Αὐγούστου Ῥωμαίων Καίσαρος βασιλείας, ἐν ὑπατείᾳ Γουλπικίου καὶ Μαρίνου καὶ Γαΐου Πομπηίου, ὡς ἐν ἀκριβέσι καὶ παλαιοῖς ἀντιγράφοις φέρεται.*

Ταῦτα οὐκ ἀφ' ἑαυτῶν συντετάχαμεν, ἀλλ' ἐκ τῶν παραδόσεων τοῦ μακαρίου ἀποστόλου καὶ ἀρχιεπισκόπου Ῥώμης Ἱππολύτου καὶ ἱερο-

25 **5 ABCV** *ἔτος ἦν ἡλίου ιγ' σελήνης ε' ἡμέρᾳ τῆς ἑβδομάδος τοῦ ἁγίου εὐαγγελισμοῦ β' μηνὸς Μαρτίου κε'· τῆς δὲ σωτηρίου γεννήσεως μηνὶ Δεκεμβρίῳ κε' ἡμέρᾳ τῆς ἑβδομάδος ε'* || **18 AB** *ἡ γέννησις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μγ' ἔτος τῆς βασιλείας Αὐγούστου* || **23 AB** *Ἱππολύτου Ἀννιανοῦ καὶ Μαξίμου τοῦ ὁμολογητοῦ συγγραφέως*

1–4 cf. ps. Sym. f. 58r (om. Cedr.) || **2** Luc. 1, 36 || **5–22** cf. ps. Sym. f. 60r,v (om. Cedr.) || **21** Sulpicius Camerinus et Poppaeus Sabinus consules erant anno post Christum 9, quem annum arbitratur Gelzer (2, 249) Annianum cum anno mundi 5501 coaequauisse || **24** Hippolytus fr. 22

2 *συλλήψεως* om. **x** || **6** *μαρτίου* **AB** *μαρτίῳ* **x** | *ἀρχομένῳ* **Bx** *ἀρχομένου* **A** | *τῷ* **BCOT** *τοῦ* **AV** | *μαρτίου* **AB** *μαρτίῳ* **x** || **7** *ἕκτῳ μηνὶ* **x** *ἕκτος μὴν* **AB** || **9** *τὰ ... εὐαγγέλια* **ABCV** *τὸ ... εὐαγγέλιον* **OT** || **11** *μὴν* **ABTV** *μηνὶ* **CO** | *Νισὰν* Di. *νισσᾶν* **A** *νισσὰν* **B** *νησὰν* **x** || **12** *μηνὸς συμπίπτει ἀεί* **x** Ps. Sym. *μηνὸς συμπίπτει ἀεὶ μηνός* **AB** || **13** *δὲ* om. **x** || **15** *ἰανουαρίων* **COV** *ἰαννουαρίων* **ABT** | *χασελεῦ* **AB** *χασαλὲφ* **x** || **16** *αὐτοὺς* om. **AB** || **17** *ἀληθείᾳ* **AB** *ἀληθῶς* **x** || **18** *καὶ θεὸς ἰησοῦς ὁ χριστός* **AB** *ἰησοῦς χριστὸς καὶ θεός* **x** || **19** *πόλει* om. **C** || **20** *ὑπατείᾳ* **TV** *ὑπατίᾳ* **ABCO** || **21** *γουλπικίου καὶ μαρίνου καὶ γαίου πομπηίου* **ABx** ps. Sym. *Σουλπικίου Καμερίνου καὶ Γαίου Ποππαίου* corr. Go.m || **25** *τοῦ ἁγίου* om. **CmVm**

μάρτυρος, Ἀννιανοῦ τε τοῦ ὁσιωτάτου μοναχοῦ τοῦ συντάξαντος κύκλον ια' πασχοuάλια φλβ' ἐτῶν ἅμα σχολίοις ἀκριβέσι, καὶ Μαξίμου τοῦ ἁγιωτάτου μοναχοῦ καὶ φιλοσόφου μάρτυρος καὶ ὁμολογητοῦ καὶ μεγάλου διδασκάλου τῆς ἐκκλησίας.

Ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν 5 οἰκουμένην, ὡς ἡ τῶν θείων εὐαγγελίων ἱερὰ βίβλος φησίν, ἡνίκα καὶ Ἰωσὴφ σὺν τῇ παρθένῳ τὴν Βηθλεὲμ πόλιν Δαβὶδ καταλαβών, διὰ τὸ 598 εἶναι αὐτοὺς ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ, ἀπεγράφη. τότε τῶν ἡμερῶν τῆς ἀπορρήτου συλλήψεως πλησθεισῶν τῇ θεομήτορι, ἔτεκεν ὑπερφυῶς τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαργάνωσε καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ 10 παρατυχούσῃ κατὰ τὸ θεοδόχον σπήλαιον {τῇ} φάτνῃ διὰ τὸ μὴ ἔχειν τόπον ἐν τῷ καταλύματι.

Ταύτης τῆς κατὰ τὴν Ἰουδαίαν ἀπογραφῆς ὑπὸ τῆς συγκλήτου βουλῆς Κυρίνιος ἐπιμελητὴς ἐξεπέμφθη κατὰ τόδε τὸ κοσμικὸν ἔτος, οὐσιῶν καὶ οἰκητόρων ἀναγραφὰς ποιούμενος. αὕτη γάρ, φησὶν ὁ θεῖος Λουκᾶς, ἡ 15 ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος Συρίας Κυρινίου.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦ

Τῆς θείας σαρκώσεως ἔτος α'
πληρωθέντος τοῦ ͵εφ' καὶ ἀρξαμένου τοῦ ͵εφα'

Ὁ ποιμὴν ὁ καλὸς ποιμένας πρώτους δι' ἀγγέλων εἰς θέαν καὶ ἀκοὴν προσ- 20 εκαλέσατο τῶν ἀπορρήτων. ὁ αὐτὸς δι' ἀστέρος ὁδηγοῦ μάγους εἰς δορυφορίαν καὶ προσκύνησιν ἐπεσπάσατο. τῇ η' ἡμέρᾳ περιέτεμον τὸν κύριον καὶ τῇ μ' ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα κατὰ τὸν νόμον Μωυσέως, ἡνίκα καὶ Συμεὼν παραστὰς ἐνηγκαλίσατο τὸν πλαστουργόν. Ἄννα προφῆτις θυγάτηρ Φανουὴλ συμπαρῆν ἀνθομολογουμένη τῷ δι' ἡμᾶς νηπιά- 25 σαντι.

13 **AB** *Κυρίνιος ἀναγραφάς* ‖ 22 **AB** *περιτομὴ η' ἡμέρᾳ ἐν τῷ ναῷ*

2 cf. Migne PG 19, 1249 ‖ 5–12 Luc. 2, 1–7 ‖ 13–16 Luc. 2, 2, cf. Euseb. 2, 169[d], ps. Sym. f. 60[v] (om. Cedr.) ‖ 20–26 Luc. 2, 8–14. 21–38, Matth. 2, 1–2

1 ἀννιανοῦ **AB** ἀνιανοῦ **OTV** ἀνανίου **C** | ὁσιωτάτου **AB** ὁσίου **x** ‖ 2 πασχοuάλια **AB** πασχάλια **T** πάσχαλι **V** πάσχα **CO** ‖ 5 ἀπογράφεσθαι **AB** ἀπογράψασθαι **C** ἀπογράφων **TV** ἀπογράφον **O** | πᾶσαν om. **AB** ‖ 8 αὐτοὺς **ABO TV** αὐτὸν **C** | ἀπεγράφη **ABCV** ἀπογράψασθαι **T** ἀπεγράψετο **O** ‖ 11 τῇ del. Di. ‖ 13 ἀπογραφῆς **Bx** ἐπιγραφῆς **A** ‖ 14 κυρίνιος **ABO** κυρήνιος **T** κυρίνος **CV** ‖ 16 κυρινίου **AB** κυρίνου **COV** κυρήνου **T** ‖ 17 κόσμου ἔτη **ABOV** κόσμου ἔτος **CT** ‖ 18 σαρκώσεως **x** ἐνανθρωπήσεως **AB** ‖ 19 τοῦ ͵εφα' **AB** ͵εφα' **x** ‖ 21 δορυφορίαν **ACV** δωρυφορίαν **OT** δωροφορίαν **B** ‖ 23 εἰς] εἰς τὰ **C** ‖ 24 προφῆτις **AC** προφήτης **BOTV**

ΚΟΣΜΟΥ ΕΤΗ ,ΕΦΑ

Σέξτος Πυθαγορικὸς φιλόσοφος ἤκμαζεν. 599

Ἰούδας τις Γαλιλαῖος κατὰ Ῥωμαίων ἀποστατεῖν Ἰουδαίους προέτρεπε διὰ τὴν ἀπογραφήν, ὁ ἐκ Γαμαλᾶς, περὶ οὗ καὶ Γαμαλιὴλ ἐν ταῖς πράξεσι 5 *τῶν ἀποστόλων εἶπεν.*

Ἡρώδης τέθνηκεν ο' ζήσας ἔτη, ἐξ ὧν ἐβασίλευσεν Ἰουδαίων λζ' ἔτη παρανόμως. ἐπὶ αὐτοῦ γὰρ ἡ πρόρρησις τοῦ πατριάρχου Ἰακὼβ ἐπληρώθη λέγουσα· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται, ἤτοι ὁ Χριστός.

10 *Ἕως αὐτοῦ ἡ ἐξ Ἰούδα ἀρχὴ διά τε βασιλέων καὶ ἀρχιερέων παρεστάθη, ὧν οἱ μὲν βασιλεῖς ὁμολογουμένως ἐξ Ἰούδα κατήγοντο, οἱ δὲ ἀρχιερεῖς καὶ αὐτοὶ κατὰ τὸ μητρῷον ἐξ Ἰούδα, ἐπείπερ Ἀαρὼν τὴν θυγατέρα τοῦ Ἀμιναδὰβ ἄρχοντος υἱῶν Ἰούδα ἔγημεν ἐν Αἰγύπτῳ, καθ' ὃ καὶ συγγενεῖς ὑπῆρχον οἱ ἐξ Ἰούδα καὶ Λευί. διὸ καὶ ὁ ἄγγελος τῇ θεοτόκῳ ἔφη· καὶ* 15 *ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου.*

Οὗτος πρῶτος ἀλλόφυλος ἦρξεν Ἰουδαίων Ἄραψ Ἰδουμαῖος ὤν.

Ὁ αὐτὸς πρῶτον ἀλλόφυλον Ἰουδαίοις ἀρχιερέα κατέστησε τὸν Ἀνάνηλον, ὡς Ἰώσηππος.

Ὁ αὐτὸς πρῶτος τὴν ἱερατικὴν στολὴν ὑπὸ τὴν ἰδίαν σφραγῖδα 20 *ἔθετο.*

3 **ABC** *περὶ Ἰούδα τοῦ Γαλιλαίου ὃν εἶπε Γαμαλιὴλ ἐν ταῖς πράξεσι* || 6 **AB** *Ἡρώδης τέθνηκε τῷ ,εφα' ἔτει* || 8 **AB** *οἱ βασιλεῖς κατὰ πατέρα ἐξ Ἰούδα, οἱ ἀρχιερεῖς κατὰ μητέρα ἐξ Ἰούδα* || 12 **AB** *ὅτι Ἀαρὼν ὁ μέγας τὴν θυγατέρα τοῦ Ἀμιναδὰβ ἄρχοντος υἱῶν Ἰούδα ἔγημε ἐν Αἰγύπτῳ* || 16 **AB** *ὅτι Ἄραψ ἦν ὁ Ἡρώ-* 25 *δης* || 19 **AB** *τί ἐποίησεν ὁ Ἡρώδης τὴν ἱερατικὴν στολήν*

2 Euseb. 2, 169[g] || 3 Euseb. 2, 169[i], Acta apost. 5, 37, cf. ps. Sym. f. 60[v] (om. Cedr.) || 6–9 cf. Ioseph. Ant. Iud. 17, 191, Euseb. 2, 160, 4–14, ps. Sym. f. 60[v] = Cedr. 321, 22 || 10 cf. Euseb. 2, 160, 1–10, Ex. 5, 23, Luc. 3, 33 || 14–15 Luc. 1, 36 || 16–20 cf. ps. Sym. f. 60[v] = Cedr. 322, 2 || 16 Ioseph. Ant. Iud. 14, 8 et 121 || 17 Ioseph. Ant. Iud. 15, 22 || 19 Ioseph. Ant. Iud. 18, 92, Euseb. H. E. 1, 6, 10; hanc notitiam habet ps. Sym., om. Cedr.

1 *κόσμου ἔτη* (*ἔτος* **C**) *,εφα'* **COV** *τοῦ δὲ κόσμου ἦν ἔτος* (*ἔτος ἦν* **A**) *,εφα'* **AB** *περὶ ἰούδα τοῦ γαλιλαίου κοσ. ,εφα'* inseruit ex margine in textum **T** || 3 *προσέτρεπε* **T** || 4 *γαμαλιὴλ* **Ax** *γαμιὴλ* **B** || 9 *ὃ* **CTV** *ὁ* **B** *ᾧ* **O** *ὅς* **A** || 13 *ἀμιναδὰβ* **Bx** *ἀμιναδὰμ* **A** || 14 *ὁ* om. **B** || 17 *πρῶτον* **AB** *πρῶτος* **T** *α'* **COV** | *Ἰουδαίοις* om. **AB** | *ἀρχιερέα*] *ἄρχοντα* **V** || 19 *τὴν*[2] **Bx** *τῶν* **A** | *ἰδίαν* Ioseph. *ἰουδαίων* **ABx** || 21 *ὃν . . . πράξεσι* om. **C**[m] || 22 *ἡρώδης τέθνηκε* **B**[m] *ἡρώδου θάνατος* **A**[m]

600 Τὰ ὑπόλοιπα Ἡρῴδου τοῦ ἀλλοφύλου
τοῦ κόσμου ἔτη ,εφα'

Ἡρῴδης ὁ μιαιφονώτατος πρὸς ταῖς πολλαῖς τῶν συγγενῶν φονοκτονίαις κατὰ τὴν Βηθλεὲμ ἀναιρεῖ νήπια, τὴν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρὰ τῶν μάγων πυθόμενος γέννησιν. 5
Ἡρῴδης θεηλάτως πληγεὶς καὶ τρίτον υἱὸν ἐπιβουλεύοντα νομίσας γνήσιον ἀνεῖλεν. ὁ αὐτὸς ὕδρωπι συσχεθεὶς σκώληκας ἀπὸ τοῦ στόματος ἐξέβρασε καὶ οὕτως δεινῶς ὀδυρόμενος τέθνηκεν. ὁ αὐτὸς ο' ἔτη ἔζησε καὶ λζ' ἔτη ἐβασίλευσε τῶν Ἰουδαίων.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΕ 10

Τῆς θείας σαρκώσεως ἔτη ε'

Τελευτήσαντος Ἡρῴδου κατὰ Ματθαῖον τὸν θεσπέσιον, ἰδοὺ ἄγγελος κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ λέγων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ. ἦν δ' ἄρα ε' ἔτος τῆς τοῦ σωτῆρος ἡμῶν ἡλικίας κατὰ σάρκα. 15
Ἰουδαίων δεύτερος ἀλλόφυλος ἐβασίλευσεν Ἀρχέλαος υἱὸς Ἡρῴδου ἔτη θ'. τοῦ δὲ κόσμου ἦν ἔτος ,εφϛ'.

601 *Αὔγουστος Ἀρχέλαον μὲν υἱὸν Ἡρῴδου Ἰουδαίων ἐθνάρχην κατέστησε, τοὺς δὲ ἄλλους ἀδελφοὺς αὐτοῦ τέσσαρας ὄντας, Ἡρῴδην ὁμώνυμον τῷ πατρὶ καὶ Ἀντίπατρον τῷ πάππῳ Λυσανίαν τε καὶ Φίλιππον, τετράρχας ἀνέδειξεν.* 20
Ἰστέον ὅτι διάφορα εὐαγγέλια γέγραπται, ἐξ ὧν τέσσαρα μόνα κέκριται τοῖς μακαρίοις ἀποστόλοις ἐκκλησιάζεσθαι, καὶ ἄλλοις παιδικὰ τοῦ σωτῆρος ἡμῶν συγγέγραπται, ἐν οἷς αἱ μέχρι δωδεκαετοῦς χρόνου τῆς κατὰ σάρκα ἡλικίας αὐτοῦ τοῦ τῶν αἰώνων ποιητοῦ ἐμπεριφέρονται θαυματουρ- 25

7 **AB** *ὅτι ἐξέβρασε Ἡρῴδης σκώληκας διὰ τοῦ στόματος καὶ ὑδριάσας ἀπέθανε λζ' ἔτη βασιλεύσας Ἰουδαίων* ‖ 15 **AB** *ε' ἔτει ἐπανῆλθε ὁ Χριστὸς ἐξ Αἰγύπτου* ‖ 16 **AB** *Ἀρχέλαος υἱὸς Ἡρῴδου ἐθνάρχης* ‖ 19 **AB** *ἄλλοι δ' Ἡρῴδου υἱοί· Ἡρῴδης, Ἀντίπατρος, Λυσανίας καὶ Φίλιππος* ‖ 22 **AB** *ὅτι διάφορα εὐαγγέλια ἐγράφη, ἀλλὰ μόνα δ' προέκριναν οἱ ἀπόστολοι* 30

1–9, 14–15 et 18–21 cf. ps. Sym. f. 60v, breuius Cedr. 322, 5–19 ‖ 3–9 Euseb. 2, 169k. 170a, H. E. 1, 8, 1–8 ‖ 12–15 Euseb. H. E. 1, 8, 16, Matth. 2, 19–20 ‖ 16 Euseb. 2, 170, 8. Ioseph. Ant. Iud. 17, 317. 342 ‖ 18 Euseb. 2, 170c, H. E. 1, 9, 1, Ioseph. Ant. Iud. 17, 317–319 ‖ 22–p. 385, 16 eadem fere apud ps. Sym. f. 61r (om. Cedr.)

1 *ἀλλοφύλων* **OV** ‖ 2 *ἔτος* **T** ‖ 8 *οὔτω* **A** *οὗτος* **V** ‖ 16 *ἐβασίλευσεν* om. **C** ‖ 17 *τοῦ δὲ κόσμου ἦν ἔτος* **AB** *κόσμου ἔτη* (*ἔτος* **C**) **x**, ‖ 18 *μὲν* om. **C** ‖ 24 *δωδεκαετοῦς* **x** *δώδεκα ἔτους* **B** *τοῦ ιβ' ἔτους* **A** ‖ 25 *τοῦ τῶν* **CT** *τούτων* **ABOV**

*γίαι· τὰς γὰρ ὅλας ὑπ' αὐτοῦ τελεσθείσας δυνάμεις ἀδύνατον ἦν γραφῆ-
ναι διὰ τὸ μηδὲ τὸν κόσμον ὅλον δύνασθαι χωρεῖν καὶ αἰσθητῶς καὶ νοη-
τῶς τὰ γραφόμενα βιβλία κατὰ τὴν θεολόγον μαρτυρίαν.*

*Λουκᾶς δὲ ὁ σοφώτατος ἐν μέρει ταῦτα σημαίνων οὕτω φησί· τὸ δὲ
5 παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις
θεοῦ ἦν ἐπ' αὐτῷ. καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσα-
λὴμ τῇ ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένετο ἐτῶν ιβ', ἀναβαινόντων αὐτῶν εἰς
Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν
τῷ ὑποστρέφειν αὐτοὺς ἐπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ. καὶ οὐκ
10 ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι
ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς
γνωστοῖς, καὶ μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες
αὐτόν. καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον* 602
*ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς.
15 ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρί-
σεσιν αὐτοῦ.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΙΓ

Τῆς θείας σαρκώσεως ἔτη ιγ'

Τὰ ὑπόλοιπα τῶν Ῥωμαίων Καίσαρος Σεβαστοῦ
20 Ὀκταουίου τοῦ καὶ Αὐγούστου

*Ἐπὶ Καίσαρος Αὐγούστου φιλόσοφοι ἤκμαζον ἐπίσημοι οὗτοι· Βιργί-
λιος, Σαλούστιος, Λίβιος, Ὀρτένσιος, Τερέντιος, Ὁράτιος, Ἀθηνόδωρος
Ταρσεὺς καὶ Σιτίων Ἀλεξανδρεύς.*

Ἀθηναῖοι στασιάζειν ἀρξάμενοι κολασθέντες ἐπαύσαντο.

25 *Αὔγουστος κρατήσας μετὰ Γάιον Ἰούλιον Καίσαρα τῆς Ῥωμαίων ἀρ-
χῆς τὰ πάντα ἔτη νς', μονοκράτωρ δὲ ἔτη μγ', ὡς δὲ ἕτεροι μη', τελευτᾷ
τὸν βίον ἐν Ῥώμῃ, καθ' ὃν χρόνον ἔκλειψις ἡλιακὴ γέγονε, λιμός τε κατ-*

6 AB *Ση. ὅτι κατ' ἔτος ἀνήρχοντο οἱ γονεῖς αὐτοῦ εἰς Ἱερουσαλήμ* || **13 AB** *Ση. ὅτι μέσον τῶν διδασκάλων ἐκαθέζετο ὁ Ἰησοῦς* || **21 AB** *τίνες ἤκμαζον φιλόσοφοι·
30 Βιργίλιος Σαλούστιος Λίβιος Ὀρτένσιος Ὁράτιος Τερέντιος Ἀθηνόδωρος Ταρσεὺς καὶ Σιτίων Ἀλεξανδρεύς* || **27 AB** *ἔκλειψις ἡλίου· λιμὸς μέγας ἐν Ῥώμῃ*

2–3 Iohann. 21, 25 || **4–16** Luc. 2, 40–47 || **21** cf. Vell. Paterc. 2, 36; breuius Euseb. 2, 170[g]. 171[b] || **24** Euseb. 2, 170[h] || **25–27** cf. Euseb. 2, 157, 18 (ann. 56), astr. can. (ann. 43), Euseb. 2, 163[c] (anno 13 Augusti; *quidam ab hoc loco primum annum supputant*) || **27**–p. 386, **1** Euseb. 2. 170[d]. 171[d]; cf. ps. Sym. f. 61[r] = Cedr. 322, 19 et Paris. 1336 f. 136[v]

9 *ἀπόμεινεν* **C** || **11** *ἀνεζήτουν* **Bx** *ἀνεζήτων* **A** || **13** *εὗρον* **Bx** *ηὗρον* **A** || **20** *καὶ* om. **C** || **21** *βιργίλιος* **Ax** *βιργήλιος* **B** || **22** *ὁράτιος* **AB** *ὡράτιος* **x** || **23** *καὶ* om. **x** || **27** *ἡλιακὴ* **Bx** *ἡλίου* **A** || **29** *τίνες ἤκμαζον φιλόσοφοι*] haec verba sola **B**[m] nominibus omissis

ἔσχε τὴν Ῥωμαίων ἰσχυρά, ὡς πολλῶν δηναρίων τὸν μόδιον τοῦ σίτου πραθῆναι.

Ὁ αὐτὸς τοὺς οἰκήτορας Ῥώμης κατὰ πρόσωπον ἀριθμήσας εὗρεν οἰκοῦντας αὐτὴν ἀνδρῶν μυριάδας ιγ' καὶ χιλίους λζ'.

603 *Τιβέριον δὲ τὸν αὐτοῦ πρόγονον υἱοθετησάμενος, περιφανῆ τῆς ὅλης ἀρχῆς διάδοχον καὶ Ῥωμαίων τρίτον ἀνέδειξεν αὐτοκράτορα· ὃς καὶ ἐβασίλευσεν ἔτη κβ'.* 5

Τὰ ὑπόλοιπα τοῦ δευτέρου ἀλλοφύλου Ἀρχελάου υἱοῦ Ἡρώδου

Οὗτος μετὰ θ' τῆς ἀρχῆς ἔτη εἰς Βίενναν πόλιν Γαλλίας ὑπὸ Ῥωμαίων ἐξορίζεται. 10

Ἰουδαίων γ' ἀλλόφυλος Ἡρώδης, υἱὸς Ἡρώδου, ἀδελφὸς Ἀρχελάου, ἔτη κδ'.

Οὗτος Ἰωάννην τὸν βαπτιστὴν ἀνεῖλε τῷ ἔτει τῆς αὐτοῦ ἀρχῆς, ἐφ' οὗ καὶ ὁ κύριος ἡμῶν ἑκουσίως δι' ἡμᾶς τὸ σωτήριον πάθος ὑπέστη. 15

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΙΕ

Τῆς θείας σαρκώσεως ἔτη ιε'

Ῥωμαίων γ' μόναρχος Τιβέριος ἔτη κβ'. τοῦ δὲ κόσμου ἦν ἔτος ‚εφιε'.

Τῆς μικρᾶς Ἀσίας σεισμῷ ιγ' πόλεις κατεπτώθησαν, Ἔφεσος, Μαγνη-

3 AB *μυριάδες ιγ' καὶ ‚αλζ'* ‖ **5 AB** *θάνατος Αὐγούστου Καίσαρος τοῦ Ὀκταουίου καὶ Τιβέριος πρόγονος αὐτοῦ υἱοθετηθεὶς καὶ διάδοχος τῆς βασιλείας αὐτοῦ ἤγουν τῆς τῶν Ῥωμαίων ἀρχῆς* ‖ **12 AB** *Ση. ὅτι ὁ ἀδελφὸς Ἀρχελάου ὁ καὶ Ἰωάννην τὸν βαπτιστὴν θανατώσας οὗτος ἐβασίλευσε ἔτη κδ'* ‖ **19 AB** *Τιβέριος Καῖσαρ Γερμανικὸς ἐθριάμβευσεν· καὶ πόλεις ιγ' ὑπὸ σεισμοῦ ἐπτώθησαν* 20

3 cf. Euseb. 2, p. 212 Arm. (4001917), 171[a] (*nonagies tercentena et LXX milia*), res gest. div. Aug. 8 (4937000) ‖ **5–7** cf. Eutrop. 7, 10, 5; Paris. 1336 f. 156[v] ‖ **10–15** cf. Paris. 1336 f. 157[r], ps. Sym. f. 61[r] = Cedr. 322, 21 ‖ **10** Euseb. 2, 171[c] ‖ **12** Euseb. 2, 171, 11–16 ‖ **14** Euseb. H. E. 1, 11, 1, Ioseph. Ant. Iud. 18, 116–119 ‖ **18** cf. Euseb. 2, 171, 16 (ann. 23), H. E. 2, 4, 1 (ann. 22), Cass. Dion. 58, 28, 5 (ann. 22, menses 7) ‖ **19** Euseb. 2, 172[a], cf. Paris. 1336 f. 157[r]

3 *τοὺς* om. **B** ‖ **4** *καὶ* om. **OV** | *χιλίους λζ'* **T** *‚αλζ'* cett. ‖ **5** *τιβέριος* **CO** | *υἱοθετήσατο* **T** ‖ **10** *θ' τῆς ἀρχῆς ἔτη* **AB** *θ' ἔτη τῆς ἀρχῆς* **x** | *βίενναν* ps. Sym. *βίενναν* **ABOTV** *βίθυναν* **C** | *γαλλίας* **x** *γαλιλαίας* **AB** ‖ **14** *ἔτει* **ABx** *ιγ' ἔτει* ps. Sym. *πέμπτῳ ἔτει* Paris. 1336 | *ἐφ'*] *ἐξ* **C** ‖ **17** *ἔτη* **x** *ἔτος* **AB** ‖ **18** *τοῦ . . . ‚εφιε'* om. **x** ‖ **19** *ιγ'*] *ιδ'* **C** *δεκατέσσαρες* **T** ‖ **21** *τιβέριος πρόγονος* **A**[m] *τιβερίου προγόνου* **B**[m] | *ἤγουν* **A**[m] *ἤγει* **B**[m] ‖ **23** *γερμανικὸς* **A**[m] *γερμανικῶς* **B**[m] | cf. Euseb. 2, 171[h] *Germanicus Caesar de Parthis triumphauit.* haec notitia fortasse ex textu perperam in marginem detracta est

σία, Σάρδις, Μοστινή, Αἰγαί, Ἱεροκαισάρεια, Φιλαδέλφεια, Τμῶλος, Τίμος, Μύρινα, Κύμη, Ἀπολλωνία Δία, Ὑρκανία.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΚ

604

Τῆς θείας σαρκώσεως ἔτη κʹ

5 *Τὴν μὲν κατὰ σάρκα γέννησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύο μόνοι τῶν εὐαγγελιστῶν ἱστόρησαν, Ματθαῖος τὸ βασιλικὸν ἐκ τοῦ Δαβὶδ κατὰ Σολομῶνα καὶ Λουκᾶς τὸ ἱερατικὸν ἐκ τοῦ αὐτοῦ Δαβίδ, κατὰ Νάθαν υἱὸν αὐτοῦ. τὴν δὲ ἄχρονον γέννησιν ἐκ τοῦ πατρὸς Ἰωάννης μόνος ὁ υἱὸς τῆς βροντῆς ἐθεολόγησε. τὸν μέντοι περὶ 10 τοῦ βαπτίσματος λόγον οἱ τέσσαρες ὁμοφρόνως συνέγραψαν εἰκότως, ἀλλ' οἱ μὲν τρεῖς ἀπροσδιορίστως, Λουκᾶς δὲ ὁ θεσπέσιος καὶ τὸν χρόνον ἠκρίβωσεν εἰπὼν οὕτως·*

Ἐν ἔτει ιεʹ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου, Φιλίπ-15 που δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

20 *Ἄξιον μὲν οὖν θαυμάσαι τὴν θείαν τοῦ σοφωτάτου εὐαγγελιστοῦ συντομίαν, πῶς ἐν ὀλίγαις λέξεσι τὰ διὰ πολλῶν τοῖς πολλοῖς ἱστορούμενα διδάσκει, τὸν χρόνον τοῦ κρατοῦντος, ἐπεὶ καὶ πᾶσα χρονικὴ ψῆφος ἢ ἐκ τῶν πάλαι γενεαρχῶν ἢ ἐκ τῶν ἔπειτα βασιλέων ἐπισήμων λαμβάνεται, τὸν ἡγεμόνα τῆς Ἰουδαίας Πιλᾶτον, Ἡρώδην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ,* 605 *25 μετὰ τῆς ἑκάστου τοπικῆς ἀρχῆς, τοὺς ἀρχιερατεύοντας Ἄνναν καὶ Καϊάφαν.*

Ἐπειδὴ δὲ πάντων ἔσχατον ἦν καὶ πρῶτον εἰπεῖν κατὰ ποῖον ἔτος τῆς δεσποτικῆς ἡλικίας ἦν, τὸ ιεʹ ἔτος Τιβερίου φράσας, πρότερον τὸν βαπτιστὴν καὶ τὸ εἶδος τοῦ βαπτίσματος ὅσον ὑπόβαθρον τοῦ κατὰ Χριστὸν 30 βαπτίσματος ὥσπερ τινὰ στέφανον εἰσάγει, τὸν αὐτὸν χρόνον προσθεὶς καὶ τὴν κατὰ Νάθαν ἀπὸ Δαβὶδ γενεαλογίαν ἄλλῃ τάξει χρώμενος ἤ φησι.

6 Matth. 1, 1–17, Luc. 3, 23–38 ‖ 13–19 Luc. 3, 1–3

1 *σάρδις* **AB** *σάρδη* **x** | *φιλαδέλφεια* **ACT** *φιλαδέλφια* **BOV** ‖ 2 *κύμη* **A** *κυμή* **BCO** *κοίμη* **TV** ‖ 4 *ἔτη* **x** *ἔτος* **AB** ‖ 7–8 *κατὰ . . . Δαβίδ* om. **B** ‖ 11 *ἀλλ' . . . ἀπροσδιορίστως* om. **C** ‖ 16 *ἀβιληνῆς* **C^c** *ἀβιλινῆς* **ABCOV** *ἀβιλυνῆς* **T** ‖ 25 *ἀρχῆς* om. **C** ‖ 30 *αὐτοῦ* **V** ‖ 31 *ἢ* **Bx** *ἡ* **A**

Τὰ ὑπόλοιπα τοῦ μονάρχου Καίσαρος Τιβερίου,
τοῦ κόσμου ἔτη ͵εφκ´

Τιβέριος Δροῦσον τῆς ἀρχῆς κοινωνὸν προσλαβόμενος μετὰ μικρὸν ὡς φαρμακὸν ἀνεῖλε.

Τὸ Πομπηίου θέατρον ἐνεπρήσθη. 5

Τιβέριος Πόντιον Πιλᾶτον ἡγεμόνα τῆς Ἰουδαίας ἐξέπεμψε.

Φίλιππος τετράρχης Πανειάδα ἀνακτίσας Καισάρειαν Φιλίππου προσωνόμασεν.

Ὁ αὐτὸς πόλιν Ἰουλιάδα ἔκτισεν.

Ἡρώδης ἔκτισε Τιβεριάδα εἰς ὄνομα Τιβερίου Καίσαρος, ὁ αὐτὸς Λιβιάδα. 10

606 Τὰ ὑπόλοιπα Ἡρώδου υἱοῦ Ἡρώδου

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΒ

Τῆς θείας σαρκώσεως ἔτη λβ´

Ἰωάννην τὸν βαπτιστὴν καὶ πρόδρομον βαπτίζοντα ἐν ὕδατι εἰς μετάνοιαν καὶ τῷ ἐν πνεύματι βαπτίσματι προοδοποιοῦντα τὸ τοῦ κατὰ Χριστὸν εὐαγγελίου κήρυγμα παρὰ πάντων τε ὡς προφήτην τιμώμενον φοβούμενος Ἡρώδης ἀνεῖλεν οὕτως, ὡς Ἰώσηππός φησιν, ὡς δὲ ὁ θεῖος εὐαγγελιστὴς ἀκριβέστερόν φησι, καὶ ὡς ἐλέγχοντα αὐτὸν ἐπὶ μοιχείᾳ τῆς γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ Ἡρωδιάδος. 15

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΓ 20

Τῆς θείας σαρκώσεως ἔτη λγ´

Ἐν τούτῳ τῷ ͵εφλγ´ ἔτει ἀπὸ κτίσεως κόσμου, ὅπερ τῆς κατὰ σάρκα τοῦ σωτῆρος ἡμῶν ἡλικίας λγ´ ὑπῆρχε, τῆς δὲ ια´ περιόδου τῶν φλβ´ κυκλικῶν ἐτῶν σιγ´, κατὰ τὸ ιθ´ ἔτος Τιβερίου Καίσαρος, ὁ κύριος ἡμῶν καὶ

6 AB *ὅτι μετὰ τὴν θείαν σάρκωσιν τῷ κ´ ἔτει Πιλᾶτος ἡγεμὼν τῆς Ἰουδαίας προχειρίζεται* ‖ **10 AB** *ὅτι διὰ Τιβέριον Καίσαρα ἔκτισε πόλιν Τιβεριάδα Ἡρώδης* ‖ **14 AB** *ὅτι τῷ λβ´ ἔτει τῆς θείας σαρκώσεως Ἰωάννης ἀπετμήθη τὴν κεφαλήν* ‖ **24 AB** *ὅτι τῷ ιθ´ ἔτει Τιβερίου ἔπαθε ὁ σωτὴρ ἡμῶν* 25

3–10 Euseb. 2, 172[e,d,f,i], 173[c] ‖ **6** cf. Paris. 1336 f. 157[r] ‖ **7** et **10** cf. ps. Sym. f. 61[r] = Cedr. 323, 7 ‖ **14–19** cf. Ioseph. Ant. Iud. 18, 116–119; Matth. 14, 3–4, Marc. 6, 17–19, Luc. 3, 19; cf. ps. Sym. f. 61[r] (ante Cedr. 323, 17) ‖ **22–24** cf. Paris. 1336 f. 157[r], ps. Sym. f. 61[r] (om. Cedr.)

2 *τοῦ κόσμου* **ABCT** *κόσμου* **OV** ‖ **3** *μετὰ* **Bx** *κατὰ* **A** ‖ **5** *τὸ* om. **A** | *ἐνεπρήσθη* x *ἐπρήσθη* **AB** ‖ **9** *Ἰουλιάδα* Di. ex Euseb. *ἰούδα* **ABx** ‖ **10** *Λιβιάδα* Di. ex Euseb. *λιβάδα* **ABx** ‖ **15** *τοῦ* om. **A** ‖ **16** *παρὰ πάντων τε* om. **O** ‖ **17–18** *ὡς δὲ . . . φησι* om. **A** ‖ **18** *μοιχείᾳ* **Ax** *μοιχίᾳ* **B** ‖ **22** *κατὰ* **AB** *μετὰ* **x**

θεὸς Ἰησοῦς ὁ Χριστός, ὁ φύσει μονογενής, ὁ ὁμοούσιος τοῦ ἀγεννήτου
πατρὸς υἱὸς προαιώνιος καὶ συναΐδιος τῷ ὁμοουσίῳ πνεύματι, ὁ εἷς τῆς
ἀκτίστου καὶ παντουργοῦ τριάδος, μετὰ τὴν ἐκ παρθένου θεοπρεπῆ καὶ
ἀπόρρητον γέννησιν καὶ τὸ ὑπὸ Ἰωάννου ἐν Ἰορδάνῃ βάπτισμα καὶ τὰς 607
5 *ἀπείρους θεοσημείας καὶ διδασκαλίας καὶ ἀποκαλύψεις τῶν μυστηρίων*
τῆς οὐρανίου βασιλείας αὐτοῦ πᾶσαν πληρώσας οἰκονομίαν ἐπὶ τὸ σω-
τήριον πάθος προήει ἑκουσίως κατὰ τὰς περὶ αὐτοῦ θείας προρρήσεις
καὶ πάσχει δι᾿ ἡμᾶς ὅσα περὶ αὐτοῦ φρικτὰ καὶ ἀπορρήτου συγκαταβάσεως
γέμοντα τοῖς ἱεροῖς εὐαγγελισταῖς ἐπιτόμως ἱστόρηται, καὶ σταυροῦται ὁ
10 *ἀναμάρτητος τῇ κζʹ τοῦ Φαμενὼθ μηνὸς ἡμέρᾳ παρασκευῇ ἤτοι ςʹ σαβ-*
βάτου, Μαρτίου κγʹ, ὥρᾳ ἡμερινῇ ςʹ, ἐν ὑπατείᾳ Νέρωνος τὸ τρίτον καὶ
Βαλερίου Μενσάλα. καὶ ταφεὶς ἀνίσταται τῇ γʹ ἡμέρᾳ, Φαμενὼθ κθʹ ἤτοι
Μαρτίου κεʹ, ἐπιφωσκούσης κυριακῆς μιᾶς σαββάτων, πρωὶ καλανδῶν
Ἀπριλλίων, αʹ τοῦ πρωτοκτίστου μηνὸς Νισὰν παρ᾿ Ἑβραίοις καὶ Χρι-
15 *στιανοῖς, περὶ ἧς εἴρηται· 'ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν*
γῆν', καὶ πάλιν· 'αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ᾗ ἡμέρᾳ ἐποίη-
σεν ὁ θεός', περὶ ἧς καὶ ὁ θεοπάτωρ Δαβὶδ τὴν κοσμικὴν προανακρουό-
μενος σωτηρίαν μεμελῴδηκεν· 'αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος,
ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.'
20 *Περὶ ταύτης καὶ ἡμῖν ὁ πᾶς τοῦδε τοῦ γράμματος πόνος καταβέβληται,*
δεῖξαι τὴν αὐτὴν καὶ μίαν πρωτόκτιστον ἡμέραν σύστοιχον τῇ τοῦ θείου
εὐαγγελισμοῦ καὶ τῆς ὑπερφυοῦς ἐξ ἁγίας παρθένου συλλήψεως τοῦ μονο-
γενοῦς υἱοῦ τοῦ θεοῦ ἡμέρᾳ καὶ τῇ τῆς ζωοποιοῦ ἐκ νεκρῶν ἀναστάσεως
θεοειδεστέρᾳ καὶ ὁλοφώτῳ τοῖς ἀξίοις ἑορτάζειν αὐτὴν ἐν πνεύματι καὶ 608
25 *ἀληθείᾳ.*
Αὕτη Χριστιανοῖς ὀρθοδόξοις πρῶτον πάσχα καλῶς ἐχρημάτισεν, οὐκ ἐν
ζύμῃ παλαιᾷ καὶ φυγῇ τοῦ κατ᾿ Αἴγυπτον αἰσθητοῦ Φαραὼ καὶ τῶν αὐτοῦ

20 AB *ἐνθάδε ὁ συγγραφεὺς ἔδειξε ὅτι ὁ πᾶς πόνος αὐτοῦ τοῦδε τοῦ συγγράμμα-*
τος διὰ τὴν σωτήριον ἀνάστασιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-
30 *στοῦ ἐγένετο ὅτε καὶ ὁ κόσμος ἐκτίσθη καὶ ὁ εὐαγγελισμὸς ἐγένετο* ‖ **26 AB** *αʹ*
πάσχα ὅτε ἔπαθε καὶ ἀνέστη ὁ κύριος καὶ θεὸς ἡμῶν

10–14 cf. ps. Sym. f. 62[v] (om. Cedr.) ‖ **11** sub his consulibus passi sunt Petrus et Paulus (cf. Chron. Min. 3, 283) ‖ **15** Gen. 1, 1 ‖ **16** Gen. 2, 4 ‖ **18** Ps. 118, 24 ‖ **26** cf. ps. Sym. f. 61[v] (om. Cedr.)

3 post *μετὰ* add. *καὶ* **C** ‖ **7** *προήει* **AT** *προίη* **BCV** *προείη* **O** ‖ **7–8** *θείας . . . αὐτοῦ* om. **C** ‖ **10** *ἀναμάρτητος* **Ax** *ἀνμάρτητος* **B** ‖ **12** *Βαλερίου Μενσάλα* Di. *βαλερουμενσαλὰ* **ABx** ‖ **14** *ἀπριλλίων* **Ax** *ἀπρηλίου* **B** | *Νισὰν* Di. *νισσὰν* **A** *νησσὰν* **B** *νησὰν* **x** ‖ **18** *ἡ* om. **O** ‖ **22** *εὐαγγελιστοῦ* **T** ‖ **23** *ἡμέρᾳ* **AB** *ἡμέραν* **x** ‖ **28** *ἔδειξε* **A**[m] *ἔδεξε* **B**[m] ‖ **31** *ὁ* om. **B**[m]

πικρῶν ἐργοδιωκτῶν, ἀλλ᾽ ἐν καταλήψει τῆς νοητῆς Αἰγύπτου, τῆς κακίας καὶ ἀγνοίας καὶ τοῦ ταύτης ἀρχηγοῦ διαβόλου, ὑπὲρ τοὺς τύπους καὶ τὴν νομικὴν σκιὰν αὐτῷ τῷ ἀληθινῷ ἀμνῷ τοῦ θεοῦ τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου κατατρυφῶσιν ἔργῳ καὶ λόγῳ (τὸ γὰρ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός) καὶ τῇ αὐτοῦ χάριτι καὶ ἀπολυτρώσει πρὸς τὴν ἄνω 5 *Ἱερουσαλὴμ ἐπειγομένοις διὰ σταυροῦ τῶν τῇδε παθῶν ἑκουσίου καὶ ταφῆς καὶ ἀναστάσεως, ἤτοι ταπεινώσεως μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, δι᾽ ἧς ὁ πάσης δυνάμεως καὶ ἀρχῆς καὶ ἐξουσίας δημιουργός, εὐδοκίᾳ τοῦ ἀγεννήτου πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου καὶ ὁμοουσίου πνεύματος, πατήσας τὸν ἀδρανῆ καὶ ὑπερήφανον τύραννον ἐν τῇ τυραννουμένῃ* 10 *ταπεινῇ φύσει τῶν ἀνθρώπων διὰ βασκανίαν τὴν παρ᾽ αὐτοῦ ἐξανέστησεν, οὐ μόνον τοῖς ἐξ Ἀδὰμ ἐν Ἅιδῃ φρουρουμένοις πνεύμασι χαρισάμενος ἄφεσιν, ἀλλὰ καὶ τοῖς ἐν σαρκὶ ζῶσι καὶ πιστεύσασιν αὐτῷ, ὡς ἐκ τῶν ἱερῶν εὐαγγελίων ἐστὶ καταμαθεῖν.*

'Χαίρετε' γὰρ ταῖς γυναιξὶ πρώτῃ φωνῇ, δι᾽ ὧν ἅπασα λύπη τῷ γένει 15 *εἰσέφρησεν, προσεφθέγξατο καὶ τοῖς ἱεροῖς μαθηταῖς 'εἰρήνη ὑμῖν' ὁ πάσης εἰρήνης καὶ φιλοθέου στοργῆς αἴτιος, οὐ μόνον ταῖς λογικαῖς φύσεσιν,* 609 *ἀλλὰ καὶ οὐρανῷ καὶ γῇ καὶ στοιχείοις καὶ πάσῃ κτίσει συντάξας τὸ εἶναι τῇ σχετικῇ ἀλληλουχίᾳ.*

Ὁ δὲ αὐτὸς θεὸς καὶ κύριος ἡμῶν ἐπὶ μʹ τὰς ὅλας ἡμέρας ὀπτανόμενος 20 *καὶ λέγων τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν οὐ διέλειψε τοῖς ἑαυτοῦ μαθηταῖς, ἡνίκα καὶ ἐπ᾽ ὄψεσιν αὐτῶν εἰς οὐρανοὺς ἀνελήφθη ἐν τῷ ἁγίῳ ὄρει τῶν ἐλαιῶν τῇ αὐτῇ τεσσαρακοστῇ μετὰ τὴν ἁγίαν ἀνάστασιν ἡμέρᾳ, εʹ μὲν οὔσῃ τῆς ἑβδομάδος, τρίτῃ δὲ τοῦ κατὰ Ῥωμαίους Μαΐου μηνός.*

Ἔστιν οὖν, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ͵εφλδʹ ἔτος τοῦ κόσμου, καὶ τοῦτο 25 *πρῶτον ἄγον ἡμέραν ἔτος κυριακήν, τὸ πρῶτον κυριακὸν πάσχα Μαρτίου μηνὸς κεʹ κατὰ Ῥωμαίους, κατὰ δὲ Αἰγυπτίους Φαμενὼθ κθʹ, κατὰ δὲ τὰς θεοπνεύστους παλαιὰς καὶ νέας γραφὰς Νισὰν αʹ πρωτόκτιστος ἡμέρα τοῦ πρωτοκτίστου μηνὸς ὑπάρχουσα, καθ᾽ ἣν ἡ ἐν Χριστῷ καινὴ κτίσις ἀρξαμένη πάντας εἰς ζωὴν ἐκ θανάτου μετήγαγε τοὺς ὀρθῶς εἰς αὐτὸν* 30 *πιστεύοντας.*

3 Ioh. 1, 29 || **4–5** 1 Cor. 5, 7 || **7** Phil. 2, 8 || **15** Matth. 28, 9, Luc. 24, 36 || **20–23** Acta apost. 1, 3–12 || **25–31** cf. ps. Sym. f. 61ᵛ (om. Cedr.)

4 *τὸ* **Ax** *τῷ* **B** || **6** *ἐπειγόμενος* **V** || **9** *συνεργείᾳ* **AB** *συνεργίᾳ* **x** | *καὶ*² om. **B** || **18** *ἀλλὰ καὶ* **Bx** *ἀλλὰ* **A** || **21** *διέλειψε* **AB** *διέλιπεν* **x** || **22** *ἐπόψεσιν* **ABOV** *ὑπόψεσιν* **CO** || **24** *τοῦ*] *τῇ* **ABx** om. **C** || **25** *ὡς* om. **C** | *ἔτος* **ABV** *ἔτει* **OT** *ἔτη* **C** || **26** *ἄγον* **ABCV** *ἄγων* **OT** || **27** *κεʹ κατὰ Ῥωμαίους κδʹ* sic **ABx** *κδʹ* del. Go.ᵐ Di. || **28** *Νισὰν* Di. *νισσὰν* **A** *νησσὰν* **B** *νησὰν* **x** | *αʹ* **COV** *πρῶτος* **AB** *πρώτη* **T**

Ἀφρικανοῦ περὶ τῶν κατὰ τὸ σωτήριον πάθος καὶ τὴν ζωοποιὸν ἀνάστασιν

Τὸ δὲ καθ' ἕκαστον τῶν πράξεων αὐτοῦ καὶ θεραπειῶν σωμάτων καὶ ψυχῶν καὶ τῶν τῆς γνώσεως ἀποκρύφων, ἀναστάσεώς τε τῆς ἐκ νεκρῶν 5 *αὐταρκέστατα τοῖς πρὸ ἡμῶν μαθηταῖς τε καὶ ἀποστόλοις αὐτοῦ δεδήλωται. καθ' ὅλον τοῦ κόσμου σκότος ἐπήγετο φοβερώτατον, σεισμῷ τε αἱ* 610 *πέτραι διερρήγνυντο καὶ τὰ πολλὰ Ἰουδαίας τε καὶ τῆς λοιπῆς γῆς κατερρίφη.*

Τοῦτο τὸ σκότος ἔκλειψιν τοῦ ἡλίου Θάλλος ἀποκαλεῖ ἐν τρίτῃ τῶν ἱστο- 10 *ριῶν, ὡς ἐμοὶ δοκεῖ, ἀλόγως. Ἑβραῖοι γὰρ ἄγουσι τὸ πάσχα κατὰ σελήνην ιδ', πρὸ δὲ μιᾶς τοῦ πάσχα τὰ περὶ τὸν σωτῆρα συμβαίνει. ἔκλειψις δὲ ἡλίου σελήνης ὑπελθούσης τὸν ἥλιον γίνεται· ἀδύνατον δὲ ἐν ἄλλῳ χρόνῳ πλὴν ἐν τῷ μεταξὺ μιᾶς καὶ τῆς πρὸ αὐτῆς κατὰ τὴν σύνοδον αὐτὴν ἀποβῆναι. πῶς οὖν ἔκλειψις νομισθείη κατὰ διάμετρον σχεδὸν ὑπαρχούσης* 15 *τῆς σελήνης ἡλίῳ; ἔστω δή, συναρπαζέτω τοὺς πολλοὺς τὸ γεγενημένον καὶ τὸ κοσμικὸν τέρας ἡλίου ἔκλειψις ὑπονοείσθω ἐν τῇ κατὰ τὴν ὄψιν ⟨πλάνῃ⟩.*

Φλέγων ἱστορεῖ ἐπὶ Τιβερίου Καίσαρος ἐν πανσελήνῳ ἔκλειψιν ἡλίου γεγονέναι τελείαν ἀπὸ ὥρας ϛ' μέχρις θ', δῆλον ὡς ταύτην. τίς δ' ἡ κοι- 20 *νωνία σεισμῷ καὶ ἐκλείψεσι, πέτραις τε ῥηγνυμέναις καὶ ἀναστάσει νεκρῶν, τοσαύτη τε κίνησις κοσμική;*

Ἐν γοῦν τῷ μακρῷ χρόνῳ τοιοῦτόν τι συμβὰν οὐ μνημονεύεται, ἀλλ' ἦν σκότος θεοποίητον, διότι τὸν κύριον συνέβη παθεῖν, καὶ λόγος αἱρεῖ ὅτι ο' ἑβδομάδες εἰς τοῦτον συναιροῦνται τὸν χρόνον ἐν τῷ Δανιήλ.

25 **14 AB** *Σημειωτέον πότε ἔκλειψις ἡλίου* || **17 AB** *τί ἱστορεῖ Φλέγων περὶ τῆς ἐν τῷ σωτηρίῳ ἐκλείψεως ἡλίου*

1 – p. 393, 30 Africanus fr. 50 || **6 – 22** cf. Paris. 1336 f. 157r, Cedr. 331, 16 – 332, 8 (om. ps. Sym.) || **6** cf. Matth. 24, 45. 51 || **9** Thallus FGrHist 256 F 1 || **10** Ex. 12, 6 || **11** Iohann. 19, 31 || **18** Phlegon FGrHist 257 F 16

3 *θεραπειῶν* **Ax** *θεραπιῶν* **B** || **4** *γνώσεως*] *γνώμης* **T** || **5** *αὐταρκέστατα τοῖς* **x** *αὐταρκεστάτοις* **AB** || **6** *ἐπήγετο* **C** *ἐπείγετο* **ABOTV** *ἐγένετο* Paris. 1336 *γενέσθαι* Cedr. | *τε* **Bx** *δὲ* **A** || **7** *τε* om. **AB** | *κατερρίφη* **Ax** Cedr. *κατερρίφθη* **B** *κατερρήφθει* Paris. 1336 || **9** *τοῦ* om. **x** || **10** *δοκεῖ* om. **C** || **11** post *πάσχα* add. *ἡμέρας* Paris. 1336 || **13** *μιᾶς* **ABx** Paris. 1336 *νουμηνίας* Cedr. | *πρὸ αὐτῆς κατὰ τὴν σύνοδον αὐτὴν* **ABx** Cedr. *πρώτης κατὰ τὴν σύνοδον αὐτῆς* Paris. 1336 || **14** *ὑπαρχούσης* **ABx** Cedr. *ὑποχωρούσης* Paris. 1336 || **15** *ἔστω δὴ συναρπαζέτω τοὺς πολλοὺς* **ABx** *ἔστω δὲ συναρμόζον πολλοῖς* Cedr. om. Paris. 1336 || **16 – 18** *ὑπονοείσθω . . . ἔκλειψιν* om. **A**, add. eadem manu **A**m || **16** *ἐν τῇ* **Bx** *ἔν τι* **A** || **17** *πλάνῃ*] cf. Cedr. 332, 4 || **18** *φλέγων* **Bx** *φλέγον* **A** || **19** *μέχρις* **AB** *ἄχρις* **x** || **20** *πέτραις τε* Cedr. *καὶ πέτραις* Paris. 1336 *πέτραις* **ABx** || **23** *σκότος θεοποίητον* **AB** Cedr. Paris. 1336 tr. **x** || **24** *ἑβδομάδες εἰς* om. **C** || **25** *τῆς* **A**m *τῶν* **B**m

Καὶ μεθ' ἕτερα· ἀπὸ δὲ Ἀρταξέρξου αἱ ο' ἑβδομάδες εἰς τὸν ἐπὶ Χρι-
611 στοῦ συντελοῦνται χρόνον κατὰ τοὺς Ἰουδαίων ἀριθμούς. ἀπὸ γὰρ Νεεμίου,
ὃς ὑπ' Ἀρταξέρξου τὴν Ἱερουσαλὴμ ἀνοικίσων ἐπέμφθη ἔτει τῷ ιε' καὶ
ρ' τῆς Περσῶν βασιλείας, αὐτοῦ δ' Ἀρταξέρξου κ' ἔτει, ὀλυμπιάδος πγ'
ἔτει δ', ἐπὶ τοῦτον τὸν χρόνον, ὃς ἦν ὀλυμπιάδος σβ' ἔτος δεύτερον, 5
Τιβερίου δὲ Καίσαρος ἡγεμονίας ἔτος ις', ἔτη συνάγεται υοε', ἅπερ Ἑβ-
ραϊκὰ υς' ἔτη γίνεται, κατὰ τὸν σεληνιαῖον μῆνα τοὺς ἐνιαυτοὺς ἐκείνων
ἐξαριθμουμένων, ὥς ἔστι πρόχειρον εἰπεῖν ἡμερῶν κθ' ∪, τοῦ κυκλικοῦ
ἐνιαυτοῦ τοῦ καθ' ἥλιον ὑπάρχοντος ἡμερῶν τξε' δ', τὴν κατὰ σελήνην
δωδεκάμηνον παραλλάσσειν ἡμέρας ια' καὶ δ'. διὰ τοῦτο καὶ Ἕλληνες καὶ 10
Ἰουδαῖοι τρεῖς μῆνας ἐμβολίμους ἔτεσιν η' παρεμβάλλουσιν. ὀκτάκις γὰρ
τὰ ια' δ' ποιεῖ τρίμηνον. τὰ τοίνυν υοε' ἔτη ὀκταετίαι μὲν γίνονται νθ' καὶ
μῆνες τρεῖς, ὡς τριμήνου ἐμβολίμου τῇ ὀκταετίᾳ γινομένης, ἔτη συνάγε-
ται ιε', ταῦτά τε πρὸς τοῖς υοε' ἔτεσιν ο' ἑβδομάδες. μὴ δή τις ἡμᾶς τῶν
κατ' ἀστρονομίαν ἀριθμῶν ἀπείρους εἶναι νομιζέτω, τξε' ἡμερῶν καὶ δ' 15
προτεταχέναι αὐτήν. οὐδὲ γὰρ ἀγνοίᾳ τἀληθοῦς, διὰ δὲ τὴν λεπτολογίαν
τὸ ψηφιζόμενον συνετέμομεν.

Τοῖς δὲ ἐπ' ἀκριβὲς πάντα πειρωμένοις ἐξετάζειν καὶ τοῦθ' ὡς ἐν βραχεῖ
612 παρακείσθω. τὸ μὲν ἔτος ἐπίπαν ἕκαστόν ἐστιν ἡμερῶν τξε', καὶ ἡμέρας
καὶ νυκτὸς εἰς ἐννεακαιδέκατον διαιρεθείσης μέρη τούτων τὰ ε'. μεταξὺ δὲ 20
τοῦ λήγειν τὸν ἐνιαυτὸν ἡμερῶν τξε' δ' καὶ τὸν ἀπὸ ιθ' τῆς νυχθημέρου
μερῶν ε' εἰς τὰ υοε' ἡμέραι τὸ παράλληλόν εἰσιν ς' καὶ δ'. ἔτι γε μὴν
τὸν τῆς σελήνης μῆνα κατὰ τὴν ἀκριβῆ λεπτολογίαν εὑρίσκομεν κθ' ∪,
ἡμέρας καὶ νυκτὸς διαιρεθείσης εἰς μέρη σε'. τούτων τὰ ο' ∪, ἃ γίνεται
ἐνενηκοστοτέταρτα τρία. καὶ ταῦτα περὶ ὀλίγων χρόνων καταγίνεται. 25

Συμβαίνει δὲ τοίνυν ἀπὸ Ἀρταξέρξου βασιλείας ἔτους κ', ὡς ἐν τῷ Ἔσδρᾳ
παρ' Ἑβραίοις, ὅπερ καθ' Ἕλληνας ἦν ὀλυμπιάδος ὀγδοηκοστῆς τέταρτον
ἔτος, μέχρις ς' καὶ ι' Τιβερίου Καίσαρος, ὅπερ ἦν ὀλυμπιάδος σβ' ἔτος β',

6 B *Ση. τί λέγει περὶ ἡλίου καὶ σελήνης* || **12 B** *τὰ υοε' ἔτη ὀκταετίαι γίνοντα νθ' καὶ μῆνες γ'* 30

8–11 cf. ps. Sym. f. 61^{v} = Cedr. 343, 18 || **26** 2 Esdr. 11, 1

1 *αἱ* om. **A** || **3** *ἀνοικίσων* Di. *ἀνοικήσων* **Bx** *ἐνοικήσων* **A** | *ἔτει τῷ*] *ἐπὶ τῷ* (*τὸ* **AB**) **ABx** || **4** *κ' ἔτει* **BOTV** *κ' ἔτη* **AC** || **5** *τούτων τῶν χρόνων* **ABx** | *σβ'* Scal. *οβ'* **ABx** || **5–6** *ἔτος . . . ἡγεμονίας* om. **T** | *ἔτος δεύτερον, Τιβερίου δὲ* Scal. *ἔτος δεύτερον* (*β'* **x**) *δὲ τιβερίου* **ABx** || **7** *γίγνονται* **C** | *σεληνιαῖον* **AB** *σεληναῖον* **x** || **9** *δ' τὴν κατὰ*] *διὰ τὸ τὴν* **T** || **11** *ἐμβολίμους ἔτεσιν*] *ἐμβόλιμός ἐστιν* **C** || **18** *ἐπ' ἀκριβὲς*] *ἀκριβῶς* **C** | *βραχεῖ* **BCOV** *βραχὺ* **T** *γραφῇ* **A** || **20** *εἰς* **Ax** *καὶ εἰς* **B** || **21** *λέγειν* **ABx** | *τὸν*[2] *τῶν* **ABx** || **24** *ἃ* om. **x** || **26** *τοίνυν*] *τῶν* **ABx** || **27** *ὀγδοηκοστῆς τέταρτον* Scal. *ὀγδοηκοστῷ τετάρτῳ* **AB** *ὀγδοηκοστοτέταρτον* **CT** *ὀγδοηκοστὸν τέταρτον* (*δ'* **V**) **OV** || **28** *σβ' ἔτος β'* **AB** *σβ' ἔτος* **x**

ἐπισυνάγεσθαι τὰ προειρημένα υοε′, ἃ γίνεται καθ' Ἑβραίους ἔτη υς′,
ὡς προείρηται, τοῦτ' ἔστιν ἑβδομάδες ο′, καθὰ προεφητεύθη τῷ Δανιὴλ
ὑπὸ τοῦ Γαβριὴλ ἡ Χριστοῦ παρουσία. εἰ δέ τῳ δοκεῖ τὰ ιε′ ἔτη τὰ
Ἑβραϊκὰ πλάνην ἐγγεννᾶν, μετ' ἐκεῖνα εἰς ἡμᾶς ἔτη σ′ ἐγγὺς καὶ οὐδὲν
5 *ἐν μέσῳ παράδοξον ἱστόρηται. δύναται δὲ καὶ ἡ μία καὶ ἡμίσεια ἑβδομάς,*
ἣν ἐπὶ συντελείᾳ παραλαμβάνεσθαι δεῖν ὑπονοοῦμεν, παρηγορεῖν τὸν ἐπι-
ζητούμενον τῶν ιε′ ἐτῶν καὶ κουφίζειν χρόνον, ὅτι τε συμβολικώτερον 613
αἱ προφητεῖαι ἐξενηνεγμέναι τυγχάνουσι δῆλον. ὁπόσον δὲ ἐφ' ἡμῖν, ὀρ-
θῶς οἶμαι τὴν γραφὴν ἐδεξάμεθα, ἐπεὶ καὶ συναιρεῖσθαί πως ⟨ἡ⟩ ἡγου-
10 *μένη τῆς ὀπτασίας περικοπὴ δοκεῖ, ἧς ἡ ἀρχή· 'ἐν ἔτει τρίτῳ τῆς βασιλείας*
Βαλτάσαρ', ἔνθα περὶ τῆς καθαιρέσεως τῆς Περσῶν ἀρχῆς ὑφ' Ἑλλήνων
προδηλοῖ, ἣν διὰ τοῦ κριοῦ καὶ τοῦ τράγου προδηλοῖ· ἡ θυσία, φησίν, ἡ
ἀρθεῖσα καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα, ἅπερ εἰς ͵βτ′ ἡμέ-
ρας περιγραφήσεται. εἰ γὰρ εἰς μῆνα τὴν ἡμέραν λογισαίμεθα, ὡς ἀλλα-
15 *χοῦ κατὰ προφητείαν εἰς ἐνιαυτοὺς αἱ ἡμέραι παραλαμβάνονται καὶ ἄλλως*
ἀλλαχόθι, ἀναλύσαντες ὁμοίως τοῖς πρὸ τούτου εἰς μῆνας τοὺς Ἑβραϊ-
κούς, εὕροιμεν ἂν κ′ τῆς Ἀρταξέρξου βασιλείας ἀπὸ τῆς ἁλώσεως Ἱερου-
σαλὴμ συντελούμενον τὸν χρόνον. ἔτη γὰρ συνάγονται ρπε′ καὶ ἐνιαυτὸς
εἷς, ἐν ᾧ τὴν πόλιν ἐτείχισεν ὁ Νεεμίας. τοὺς οὖν ρπς′ ἐνιαυτοὺς μῆνας
20 *εὑρίσκομεν ͵βτ′ Ἑβραϊκούς, τῆς ὀκταετίας ἀκολούθως τοὺς πρὸς τούτοις*
ἐμβολίμους τρεῖς μῆνας προσλαμβανούσης. ἀπὸ δὲ Ἀρταξέρξου, ὅθεν ὁ
λόγος ἐξῆλθεν οἰκοδομηθῆναι Ἱερουσαλήμ, ο′ ἑβδομάδες συντελοῦνται.
ἰδίᾳ δὲ περὶ τούτων καὶ ἀκριβέστερον ἐν τῷ περὶ ἑβδομάδων καὶ τῆσδε
τῆς προφητείας ἀπεδείξαμεν.

25 *Θαυμάζω δὲ Ἰουδαίων μὲν μήπω φασκόντων ἐληλυθέναι τὸν κύριον,*
τοὺς ἀπὸ Μαρκίωνος δὲ ἀπὸ τῶν προφητειῶν μὴ προηγορεῦσθαι, οὕτω 614
γυμνῶς ὑπ' ὄψιν τῶν γραφῶν δεικνυουσῶν.

Καὶ μετ' ὀλίγα· *συνάγονται δὲ τοίνυν οἱ χρόνοι ἐπὶ τὴν τοῦ κυρίου*
παρουσίαν ἀπὸ Ἀδὰμ καὶ τῆς ἀναστάσεως ἔτη ͵εφλα′. ἀφ' οὗ χρόνου
30 *ἐπὶ ὀλυμπιάδα σν′ ἔτη ρϙβ′, ὡς ἐν τοῖς πρόσθεν ἡμῖν ἀποδέδεικται.*

2 Dan. 9, 24–27 ‖ **10–14** Dan. 8, 1. 5–7. 11–14

[AB x = COTV z (393, 6–478, 8) = PQMRS t = xz] **2** *δανιὴλ* **ABTC**[c] *δᾶδ* **OV** et ante corr. **C** ‖ **4** *ἐγγεννᾶν* **Bx** *ἐνγεννᾶν* **A** | *σ′* **Bx** *ι′* **A** ‖ **5** *ἡ μία καὶ ἡμίσεια* **AB** *α′ καὶ◡* **OV** *α′ καὶ κ′* **T** *ια′ καὶ ἥμισυ* **C** ‖ **6** *ἐπὶ συντελείᾳ*] dehinc denuo coeperat antiquum exemplar **z** post folia amissa ‖ **7** *χρόνον* **ABC** *χρόνους* **OTVz** ‖ **11** *ὑφ'* **Bt** *ἐφ'* **A** ‖ **12** *κριοῦ* **CTV** *κυρίου* **AB** | *ἣν . . . προδηλοῖ* om. **Oz** ‖ **14** *περιγραφήσεται* **A** *περιγράφεται* **Bt** ‖ **15** *ἄλλως* **TVz** *ἄλλος* **AB CO** ‖ **17** *εὕροιμεν* Scal. *εὕρομεν* **At** *εὕρωμεν* **B** | *κ′* **ABC** *κατὰ* **OTVz** ‖ **19** *ἐν ᾧ* post rasuram **C** *ἐν ᾧ εἰς* **ABt** ‖ **20** *τοὺς* **BCV** *τοῖς* **AOTz** ‖ **26** *τῶν* om. **At** | *προηγορεῦσθαι* **Bt** *προηγορέσθαι* **A** ‖ **27** *γυμνῶς* **BTV** *γυμνὸς* **ACOz** ‖ **28** *δὲ* om. **t**

Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν αὐτῶν

Ἰησοῦς ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν κατὰ τὰς περὶ αὐτοῦ προφητείας ἐπὶ τὸ πάθος προήει ἔτους ιθʹ τῆς Τιβερίου βασιλείας. καθ' ὃν καιρὸν καὶ ἐν ἄλλοις μὲν Ἑλληνικοῖς ὑπομνήμασιν εὕρομεν ἱστορούμενα κατὰ λέξιν ταῦτα. ὁ ἥλιος ἐξέλιπε. Βιθυνία ἐσείσθη. Νικαίας τὰ πολλὰ 5 *ἔπεσεν. ἃ καὶ συνᾴδει τοῖς περὶ τὸ πάθος τοῦ σωτῆρος ἡμῶν συμβεβηκόσιν. γράφει δὲ καὶ Φλέγων ὁ τὰς ὀλυμπιάδας περὶ τῶν αὐτῶν ἐν τῷ ιγʹ ῥήμασιν αὐτοῖς τάδε· τῷ δὲ δʹ ἔτει τῆς σβʹ ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωσμένων πρότερον, καὶ νὺξ ὥρᾳ ἕκτη τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι. σεισμός τε μέγας κατὰ* 10 *Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο. καὶ ταῦτα μὲν ὁ δηλωθεὶς ἀνήρ. τεκμήριον δ' ἂν γένοιτο τοῦ κατὰ τόδε τὸ ἔτος πεπονθέναι τὸν σωτῆρα ἡ τοῦ {κυρίου} κατὰ Ἰωάννην εὐαγγελίου μαρτυρία, ἥτις* 615 *μετὰ τὸ ιεʹ ἔτος Τιβερίου τριετῆ χρόνον τῆς διδασκαλίας αὐτοῦ διαγενέσθαι μαρτυρεῖ. κατὰ τοὺς αὐτοὺς δὲ χρόνους καὶ Ἰώσηππος ἱστορεῖ ἐν* 15 *ἡμέρᾳ πεντηκοστῆς κινήσεως καὶ κτύπου ἱερέας ἀντιλαμβάνεσθαι πρῶτον, ἔπειτα φωνῆς ἀθρόας ἔνδοθεν ἀκοῦσαι ἀπὸ τοῦ ἐσωτάτου ἱεροῦ αὐτοῖς ῥήμασιν εἰπούσης· μεταβαίνωμεν ἐντεῦθεν. καὶ ἄλλο δέ τι ὁ αὐτὸς ἀναγράφει Ἰώσηππος, ὡς Πιλάτου τοῦ ἡγεμόνος κατὰ τὸν αὐτὸν χρόνον Καίσαρος τὰς εἰκόνας νύκτωρ εἰς τὸ ἱερόν, ἅσπερ οὐκ ἦν θέμις, ἀναθέντος, μεγίστου* 20 *τε θορύβου καὶ στάσεως ἀρχὴν ἐμβεβληκότος τοῖς Ἰουδαίοις· ἔνθεν ἐπιστήσεις πόσαι τὸ Ἰουδαίων ἔθνος διεδέξαντο συμφοραί.*

Φλάκκος Ἀσύλαιος τῆς Ἀλεξανδρείας καὶ Αἰγύπτου ἐπίτροπος ὑπὸ Τιβερίου ἐκπέμπεται. πολλὰ δὲ τοῦ Ἰουδαίων ἔθνους ἐπεβούλευσεν.

Ὅτι μὲν ͵εφλαʹ, οὐχὶ δὲ ͵εφλγʹ ὁ Ἀφρικανὸς λέγων δύο σφάλλεται ἔτη 25 *κατὰ τὴν ἀψευδῆ τῶν εὐαγγελίων ὑφήγησιν. πρόδηλον γὰρ ὅτι τῷ λʹ ἔτει ἀρχομένῳ που ἢ μικρῷ πρὸς ἢ ἔλαττον διὰ τὸ εἰρημένον, ' Ἰησοῦς δὲ ἦν*

1–22 Euseb. 2, 174ᵈ ‖ **2–5** cf. ps. Sym. f. 61ᵛ = Cedr. 331, 9 ‖ **7–11** Phlegon FGrHist 257 F 13 ‖ **7–10** cf. Paris. 1336 f. 157ᵛ ‖ **9–21** cf. ps. Sym. f. 61ᵛ = Cedr. 331, 12–16; 332, 12–15; 343, 1–4 ‖ **13** Iohann. 2, 13; 6, 4; 11, 55 ‖ **15** Ioseph. Bell. Iud. 6, 299 ‖ **19** Ioseph. Bell. Iud. 2, 169–170 ‖ **23** Euseb. 2, p. 213 Arm., om. Hieron. ‖ **25** Africanus fr. 50 (supra 393, 29)

2 *ὁ υἱὸς* om. **t** ‖ **3** *προήει* **ABT** *προίη* **CV** *προείη* **Oz** ‖ **5** *ἐξέλιπε* **At** *ἐξέλειπεν* **B** ‖ **6** *τὸ πάθος* om. **Q** et inseruit *πάθος* post *σωτῆρος* ita etiam cod. Scorialensis 233 qui et aliter ex **Q** descriptus esse uidetur ‖ **7** *φλέγων* **Bt** *λέγων* **A** ‖ **8** *σβʹ* **ABx** *βʹ* **z** ‖ **11–12** *ταῦτα ... κατὰ* om. **z** ‖ **12** *δηλωθεὶς* **Bx** *δολωθεὶς* **A** ‖ **13** *τοῦ κυρίου*] *ἐκ τοῦ* **C** ‖ **14** *ιεʹ* **AB** et Euseb. *δωδέκατον* **t** (corr. supra **Q**) ‖ **16** *κτύπου ἱερέας* Scal. ex Euseb. *κτύπους* (*ἐκ τύπους* **T** *τύπους* **Q**) *ἱερᾶς* **ABt** ‖ **18** *μεταβαίνωμεν* **Bz** *μεταβαίνομεν* **Ax** ‖ **20** *ἅσπερ* **AB** *ἅπερ* **t** | *ἀναθέντος* **ABT** *ἀνάθετος* **V** *ἀνάθετο* **Oz** *ἀνέθετο* **C** ‖ **24** *τοῦ ... ἔθνους* **AB** *τὸ ... ἔθνος* **t** ‖ **26–27** *πρόδηλον ... πρὸς* om. **V**, add. altera manu **V**ᵐ ‖ **26** *τῷ* **ABCT** *τὸ* **Oz** ‖ **27** *ἀρχομένῳ* **Bt** *ἀρχομένου* **A** | *εἰρημένῳ* **Oz** | *Ἰησοῦς* Go.ᵐ *ισ̄* **V** *σιʹ* **ABCOz** *διακοσιοστὸν δέκατον* **T**

ὡσεὶ ἐτῶν λ'' παρὰ τῷ μεγάλῳ εὐαγγελιστῇ Λουκᾷ ἐβαπτίσθη καὶ
ἐδίδαξε καὶ ἐθεράπευσε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐπὶ τρία ἔτη·
ὡς εἶναι τὸν ἀπὸ τῆς θείας αὐτοῦ συλλήψεως χρόνον ἀρξάμενον τῷ ͵εφα'
ἔτει τοῦ κόσμου, τῇ πρώτῃ τοῦ πρωτοκτίστου μηνὸς Νισάν, Μαρτίου κε',
5 μέχρι τῆς ζωοποιοῦ ἀναστάσεως κατὰ τὴν αὐτὴν συμπεσοῦσαν ἡμέραν 616
κε' Μαρτίου ἐτῶν λγ' καὶ ἡμέρας μιᾶς τῷ ͵εφλδ' ἔτει ἀρξαμένην, ἀφ' ἧς
ἐπὶ τὴν εἰς οὐρανοὺς μετὰ σώματος θεοπρεπῆ θείαν ἀνάληψιν ἡμέραι μ'.
ἀπὸ δὲ Ἀδὰμ ἐπὶ τὴν αὐτὴν ἔτη ͵εφλγ', ἡμέραι μ'. εἰ δέ τις ἀπιστεῖ τοῖς
λεγομένοις περὶ τῆς αὐτῆς πολλαχοῦ λεγομένης, ὅτι ἐν αὐτῇ τὸν θάνατον
10 πατήσας ὁ κύριος ἡμῶν πρωτοκτίστῳ ἡμέρᾳ ζωὴν ἡμῖν ἐκ νεκρῶν ἐπήγα-
σε, σκοπείτω εἰς τὴν ια' περίοδον τῶν φλβ' κυκλικῶν ἐτῶν κατὰ τὸ σιγ'
ἔτος τῆς αὐτῆς περιόδου τὴν ιδ' τοῦ παρ' Ἑβραίοις πάσχα, καὶ εὑρήσει
κατὰ τὴν κγ' τοῦ αὐτοῦ Μαρτίου μηνὸς ἐν ἡμέρᾳ παρασκευῇ καταντῶσαν
ἐπὶ τὸ σωτήριον πάθος, ὃ ὑπὲρ ἡμῶν ἑκουσίως ὑπέστη, καὶ ταφεὶς ὑπὸ
15 Ἰωσὴφ τοῦ ἐξ Ἀριμαθαίας καὶ Νικοδήμου ἀνέστη τῇ μετὰ τὴν αὐτὴν
παρασκευὴν ἐπιφωσκούσῃ τρίτῃ ἡμέρᾳ, μιᾷ σαββάτων, πρώτῃ δὲ τοῦ
παρ' Ἑβραίοις Νισὰν πρώτου μηνός, ἥτις ἀεὶ τῇ κε' Μαρτίου μηνὸς μία
καὶ ἡ αὐτή ἐστιν.

Ὁ μὲν οὖν Ἀφρικανὸς συμφώνως τῇ ἀποστολικῇ παραδόσει τῷ ͵εφ'
20 ἔτει τὴν θείαν χρονολογήσας σάρκωσιν, περὶ τὸ πάθος καὶ τὴν σωτήριον
ἀνάστασιν δυσὶν ἔτεσι διήμαρτε, κατὰ τὸ ͵εφλα' ἔτος τοῦ κόσμου ταύτην
συναγαγών.

Εὐσέβιος δὲ ὁ Παμφίλου τὰ ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ γενέσεως, ἣ κατὰ 617
τοὺς χρόνους Νίνου καὶ Σεμιράμεως τῶν Ἀσσυρίων βασιλέων ὡμολόγηται,
25 συντεμὼν ἔτη ͵γρπδ' ἐστοιχείωσε τῷ Ἑβραϊκῷ ἐξακολουθήσας καὶ τὸν
δεύτερον Καϊνᾶν ἔτη ρλ' ζήσαντα πρὸ τῆς τεκνώσεως μὴ στοιχειώσας, οὗ

6 O ὅτι ὁ κύριος καὶ θεὸς ἡμῶν λγ' ἔτη ἐποίησεν ἐπὶ τῆς γῆς καὶ μίαν ἡμέραν

1 Luc. 3, 23 || 12 ex Anniano iuxta Gelzer 2, 248 || 19 Africanus fr. 51, cf. Hippolyt. fr. 22 || 23 Euseb. 2, 173f

3 αὐτοῦ συλλήψεως AB tr. t | χρόνων Oz | ͵εφα' Bt ͵εφλα' A || 4 Νισάν Di. νισσὰν A νησσὰν B νησὰν t | μαρτίου AB μαρτίῳ t || 6 ͵εφλδ' C ͵εφδ' OTVz ͵εφα' AB | ἀρξαμένην AB ἀρξαμένης T ἀρξαμένη COVz | ἀφ' ἧς Bt ἀφεὶς A || 9 περὶ . . . λεγομένης om. Q et Scorialensis 233 | τῆς om. z || 10 ἡμῖν om. A || 11 φλβ' t ͵ελβ' AB || 12 ιδ'] ιγ' C | εὑρήσει post rasuram C εὑρήσεις ABCOVz εὑρήσης T || 15 ἀριμαθαίας AB ἀριμαθείας t || 16 ἐπιφωσκούσῃ τρίτῃ ἡμέρᾳ μιᾷ ABOVz ἐπιφωσκούσης τρίτης ἡμέρας μιᾶς CT | σαββάτων ABT σαββάτῳ COVz || 17 Νισὰν Di. νισσὰν A νησσὰν B νησὰν t || 21 τὸ Bt τῷ A | ͵εφλα'] ͵εφα' O | ἔτος Bt ἔτει A || 23 δὲ om. AB | ἣ Di. ἢ ABt || 24 βασιλέων AB βασιλέως t || 25 ͵γρπδ' ABx ͵γρπα' z || 26 ἔτη om. AB

ὁ θεῖος εὐαγγελιστὴς Λουκᾶς μέμνηται ἐν τῇ κατ᾽ αὐτὸν γενεαλογίᾳ, ὡς
καὶ ἀλλαχοῦ λέλεκται. τὸ δὲ καθ᾽ ἡμᾶς τοῦτο χρονογράφιον ἀπὸ Ἀδὰμ
ἕως γενέσεως Ἀβραὰμ ἔτη ,γλβ′ περιέχει συμφώνως τῇ θείᾳ Μωυσέως
γραφῇ καὶ ταῖς γενεαῖς τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. καὶ ἀπὸ τῆς γεν-
νήσεως Ἀβραὰμ ἕως τοῦ σωτηρίου σταυροῦ καὶ τῆς ζωοποιοῦ ἀναστάσεως 5
,βμη′ ἔτη συνῆξεν, ἅτινα κατὰ τὸν ἀληθῆ λόγον ἔτη ,βσκα′ ἡμῖν ἐπιλε-
λόγισται. ἔτη δὲ τὰ πάντα ἐξ Ἀδὰμ ,εφλγ′, κατὰ δὲ Εὐσέβιον ,εσλβ′,
ὅπερ ἀλλότριον πάντῃ τῆς ἀποστολικῆς παραδόσεως· ὃ καὶ ἐκ παραλογι-
σμοῦ τοιοῦδε πέπονθε πρὸς τοῖς ρλ′ τοῦ Καϊνᾶν ἔτεσι καὶ τῶν ἐν τοῖς κρι-
ταῖς ἀλλοφύλων ἔτη ρια′, παραλείψας τά τε τῆς ἀναρχίας καὶ εἰρήνης ἔτη 10
μ′ καὶ ἔτι τὰ Δαρείου τοῦ καὶ Ἀστυάγους ἔτη ια′.

Πανόδωρος δέ τις τῶν κατ᾽ Αἴγυπτον εἷς μοναχός, ἱστορικὸς οὐκ ἄπει-
ρος χρονικῆς ἀκριβείας, ἐν τοῖς χρόνοις ἀκμάσας Ἀρκαδίου βασιλέως καὶ
618 Θεοφίλου Ἀλεξανδρείας ἀρχιεπισκόπου, ἀλήθειαν ἀσπασάμενος ἐν πολ-
λοῖς, ζ′ διήμαρτεν ἔτεσιν, ἐλθὼν εἰς τὴν σωτήριον σάρκωσιν τῷ ,ευςγ′ 15
ἔτει ταύτην συλλογισάμενος. ἡ δὲ αἰτία τοῦ σφάλματος αὐτοῦ γέγονεν
οὕτως· ἐπεὶ γὰρ τὸ πρῶτον ἔτος Φιλίππου τοῦ Ἀριδαίου τοῦ μετὰ Ἀλέξαν-
δρον τὸν Μακεδόνα βασιλεύσαντος Μακεδόνων α′, καθ᾽ ὃ ἔτος καὶ ὁ
Κλαύδιος Πτολεμαῖος τὴν τῶν προχείρων κανόνων ψηφηφορίαν ἐπήξατο,
ἀρχὴν Αἰγυπτιακοῦ καὶ Ἑλληνικοῦ ἔτους κατὰ τὴν πρώτην τοῦ Θὼθ μη- 20
νὸς παρ᾽ Αἰγυπτίοις λεγομένου, κθ′ τοῦ Αὐγούστου μηνὸς οὖσαν ἀπο-
καταστατικήν, ὁμόχρονον ὁμολογουμένως ἐστὶ τῷ ,ερο′ ἔτει τοῦ κόσμου,
ἀπὸ δὲ τοῦ αὐτοῦ πρώτου ἔτους Φιλίππου μέχρι τῆς καθαιρέσεως Κλεο-
πάτρας ἔτη κατὰ τοὺς ἀστρονομικοὺς κανόνας ἐπισυνάγεται σϙδ′, ἀπὸ
τοῦ αὐτοῦ ,ερο′ κοσμικοῦ ἔτους ἔτη γίνονται ,ευξγ′ ἀπὸ Ἀδὰμ ἕως καθ- 25
αιρέσεως Κλεοπάτρας κατὰ τοῦτο, ὅπερ οὐ συνᾴδει τῇ ἐκκλησιαστικῇ
παραδόσει, ὡς πρὸς τὸ μγ′ ἔτος Αὐγούστου Καίσαρος, ἡνίκα ὁ κύριος
ἡμῶν ἐσαρκώθη. μόνα γὰρ ἀπὸ τῆς αὐτῆς καθαιρέσεως καὶ ὑποταγῆς
Αἰγύπτου μγ′ ἔτη λέγεται βεβασιλευκέναι παρὰ τοῖς μαθηματικοῖς ὁ
Αὔγουστος, ὅπερ εἰ δῶμεν ἀληθεύειν, εὑρεθήσεται κατὰ τὸ ,εφε′ ἔτος τοῦ 30

1 Luc. 3, 36, Gen. 11, 12–13 ‖ 6 Euseb. 2, 173[f] (ann. 2044) ‖ 9 cf. supra 193, 16; 270, 7 ‖ 12 uide Gelzer 2, 247 ‖ 17–30 cf. astr. can., Chron. Min. 3, 447–455

1 αὐτὸν Bt αὐτῶν A ‖ 3 ,γλβ′] ,γτιβ′ Go.[m] cf. supra 105, 6 ‖ 6 ,βμη′ ABx ,αμη′ z | ἐπιλελόγισται t ἐπιλόγισται AB ‖ 9–10 καὶ τῶν . . . ἀλλοφύλων Go.[m] κατὰ τὸν . . . ἀλλόφυλον ABt ‖ 11 ἔτι τὰ BV ἔτι τοῦ OS ἔτι C ἔτη τὰ AT ἔτη τοῦ PQMR ‖ 12 πανόδωρος ABx πανάδωρος z ‖ 15 ζ′ διήμαρτεν At tr. B ‖ 17 ἐπὶ ABt | ἀριδαίου A ἀριδέου Bt ‖ 19 ψηφηφορίαν AC[c] ψηφιφορίαν Bt ‖ 23 πρώτου AB δ′ t ‖ 24 τοὺς om. AB | ἐπισυνάγεται Bt συνάγεται A ‖ 25 ,ερο′ Bt φρο′ A | ,ευξγ′ Bt ,φυξγ′ A ‖ 30 εἰ δῶμεν COVz εἴδωμεν T ἴδωμεν εἰ AB | τὸ ,εφε′ ἔτος Bt τῷ ,εφε′ ἔτει A

κόσμου τελευτήσας ὁ Αὔγουστος. τὸ δ' αὐτὸ ε' ἔσται τῆς τοῦ σωτῆρος ἡλικίας. ἀλλ' ὅτι μὲν ἔστι πρόδηλον, ὅτι δὲ κατὰ τὸν Αὐγούστου Καίσαρος 619 *θάνατον ιε' ἐγγὺς ἦγεν ἔτος ὁ κύριος καὶ κατὰ τὸ ιε' ἔτος Τιβερίου Καίσαρος ὡσεὶ ἐτῶν ἦν λ', ὡς τὰ λόγια, καὶ τοῦτο προφανές. ἔσται ἄρα ὁ μὲν* 5 *Αὐγούστου Καίσαρος θάνατος μεταξύ που τοῦ ͵εφιδ' κοσμικοῦ ἔτους καὶ τοῦ ͵εφιε', ἡ δὲ ἀρχὴ τῆς ὅλης βασιλείας αὐτοῦ τῷ ͵ευνη'.*

Πανόδωρος δὲ τῇ μαθηματικῇ ἐξακολουθῶν ἐκδόσει τὴν μὲν ἀρχὴν τῆς Αὐγούστου βασιλείας τῷ ͵ευνα' ἔτει τοῦ κόσμου ἐστοιχείωσε, τὸ δὲ τέλος τῷ ͵εφϛ', τὴν δὲ σωτήριον γέννησιν τῷ ͵ευϛγ', οὐ καλῶς δια- 10 *νοησάμενος.*

ΚΟΣΜΟΥ ΕΤΗ ͞ΕΦΛΔ

Τῆς θείας σαρκώσεως ἔτη λδ'

Πρώτῃ ἡμέρᾳ τούτου τοῦ ἔτους, Μαρτίου κε', ἡμέρᾳ κυριακῇ, ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς ἐκ νεκρῶν ἀνέστη τριήμερος, καὶ ὤφθη 15 *πρῶτον ταῖς μυροφόροις, ἔπειτα τοῖς ἀποστόλοις, οὓς καὶ ἀπέστειλεν εἰς πάντα τὰ ἔθνη διδάσκειν τὰ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος δόγματα, ἀναληφθεὶς εἰς οὐρανοὺς τῇ μ' ἡμέρᾳ, Μαΐου γ', καὶ καταπέμψας αὐτοῖς τὸ παράκλητον πνεῦμα τῇ ἁγίᾳ ν' ἡμέρᾳ, διαμερίζων αὐτοῖς γλώσσας πυρίνας καὶ τὰ λοιπὰ θεῖα χαρίσματα.*

20 *Πέτρῳ καὶ Ἰακώβῳ τῷ ἀδελφοθέῳ καὶ Ἰωάννῃ μετὰ τὴν ἀνάληψιν τῶν λοιπῶν ἀποστόλων ἡγεῖσθαι προσέταξεν ὁ κύριος, ὡς ἂν μὴ ἐπιδικάζοιντο δόξης· οἳ καὶ πρῶτον Ἱεροσολύμων εἵλαντο τὸν αὐτὸν Ἰάκωβον, ὥς* 620 *φησι Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων· ὁ δ' αὐτὸς καὶ ἐν ζ' συνῳδά φησιν ὧδε·*

25 *Ἰακώβῳ τῷ δικαίῳ καὶ Ἰωάννῃ καὶ Πέτρῳ μετὰ τὴν ἀνάστασιν παρέδωκε τὴν γνῶσιν ὁ κύριος. οὗτοι τοῖς λοιποῖς παρέδωκαν, οἱ δὲ λοιποὶ ἀπόστολοι τοῖς ο', ὧν εἷς ἦν πρῶτος ἐπίσκοπος Ἰάκωβος ὁ ἀδελφόθεος τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας.*

13 cf. Matth. 28, 1–20, Acta apost. 1, 3; 2, 1–4 || **20–28** cf. Clem. apud Euseb. H. E. 2, 1, 3–4

1 *τὸ δ' αὐτὸ* **AB** *τῷ δ' αὐτῷ* **t** || **5** *που* om. **A** | *͵εφιδ'* **At** *͵εφια'* **B** || **7** *μαθηματικῇ* **At** *μαθητικῇ* **B** || **11** et **12** *ἔτη* **t** *ἔτος* **AB** || **13** *μαρτίου* **AB** *μαρτίῳ* **t** || **14** post *Ἰησοῦς* add. *ὁ* **COT** || **17** *καταπέμψας* **t** *πέμψας* **AB** || **22** *εἵλαντο* **AB** *εἵλοντο* **t** || **23** *συνῳδά* **ABT** *συνοδά* **COVz** || **28** *τῆς*] *τοῖς* **TQ** | *ἐν Ἱεροσολύμοις*] *ἱεροσολύμων* **C**

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΔ

Τῆς θείας σαρκώσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ ἔτη λδ´

Κατὰ τὰς αὐτὰς ἡμέρας οἱ μαθηταὶ ἐπηρώτων τὸν κύριον ἐν τῷ ὄρει τῶν ἐλαιῶν· εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; 5

Τῷ αὐτῷ ἔτει Ἰάκωβος ὁ ἀδελφόθεος πρῶτος ἐπίσκοπος Ἱεροσολύμων ὑπὸ τῶν ἀποστόλων καθίσταται.

Δύο ἦσαν Ἰάκωβοι, ὅ τε ἀδελφόθεος υἱὸς ὢν τοῦ Ἰωσὴφ ὁ λεγόμενος δίκαιος, περὶ οὗ καὶ Παῦλός φησιν· 'ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον 10 *εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου', ὃς κατὰ τοῦ πτερυγίου βληθεὶς ὑπὸ Ἰουδαίων ξύλῳ πληγεὶς γναφικῷ τελειοῦται, καὶ ἕτερος ὁ ἐκτμηθεὶς τὴν κεφαλὴν ἀδελφὸς Ἰωάννου τοῦ θεολόγου.*

621 *Πρῶτος εἰς ἀποστολὴν Ματθίας εἷς τῶν ο´ μαθητῶν τοῦ κυρίου κληροῦται δι' εὐχῆς καὶ ἐπιθέσεως χειρῶν τῶν μακαρίων ἀποστόλων ἀντὶ* 15 *Ἰούδα τοῦ προδότου.*

Ἑπτὰ τὸν ἀριθμόν, δοκεῖ μοι, πρὸς ὑπηρεσίαν τῶν ἀδελφῶν ὑπὸ τῶν ἀποστόλων κατεστάθησαν. ὧν πρῶτος ἦν Στέφανος ὁ πρωτομάρτυς ὁ μετὰ τὸν σωτῆρα παρὰ τῶν κυριοκτόνων λιθοβοληθεὶς καὶ τὸν φερώνυμον ἀξίως ὑπενεγκάμενος στέφανον ὑπὲρ αὐτοῦ. 20

Ἰουδαίων γ´ ἀλλόφυλος Ἡρώδης υἱὸς Ἡρώδου ἔτη κδ´.

Τῷ αὐτῷ ἔτει Πιλᾶτος μετὰ τὴν στάσιν Ἰουδαίων διὰ τὰς Καίσαρος εἰκόνας τὸν λεγόμενον κορβωνᾶν ἤτοι ἱερὸν θησαυρὸν εἰς ὑδάτων καταγωγὴν ἐδαπάνησε, καὶ αὖθις στασιάζειν ἠνάγκαζεν.

Ὁ δ' αὐτὸς Πιλᾶτος Τιβερίῳ τὰ κατὰ τὸν σωτῆρα ἀναγαγὼν καὶ τοῦ 25 *Χριστιανῶν δόγματος ἐκίνησεν εἰς ἔρωτα πίστεως, Τιβέριός τε πρὸς τὴν σύγκλητον ἐκοινολογήσατο περὶ τῆς εἰς Χριστὸν πίστεως. τῆς δὲ μὴ*

9 **CO** *περὶ Ἰακώβου ἀδελφοθέου* || 13 **C** *τοῦ θεολόγου Ἰωάννου* | **V** *περὶ Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ θεολόγου* || 14 **CV** *περὶ Ματθίου* || 17 **CV** *περὶ τῶν ζ´*

4 Acta apost. 1, 6 || 7 Euseb. 2, 175[a], H. E. 2, 1, 2–3 (ex Clemente) || 9–13 Clemens Hyp. 7 = Euseb. H. E. 2, 1, 5; cf. ps. Sym. f. 62[r] (om. Cedr.) || 10 Gal. 1, 19 || 14–20 Euseb. H. E. 2, 1, 1 || 21 Euseb. 2, 171, 15 || 22 Euseb. 2, 176[c] || 25 Tertull. apol. apud Euseb. 2, 176[g] et H. E. 2, 2, 1–6

2 *τῆς θείας σαρκώσεως* **t** *τῆς θείας καὶ ὑπερενδόξου σαρκώσεως τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ* **AB** || 5 *ἀποκαθιστάνεις* **BCT** *ἀποκαθιστάνης* **AOVz** || 18 *ὁ*[1] om. **A** || 18–19 *πρωτομάρτυς ὁ μετὰ* **T** *πρωτομάρτυς μετὰ* **OMRS** *α´ μάρτυς μετὰ* **PQ** *πρωτομάρτυς* **V** *πρῶτος μετὰ* **AB** *α´ μετὰ* **C** || 20 *ὑπενεγκάμενος* **AB** *ἀπενεγκάμενος* **t** *ὑπ-* corr. **R** *ἐπ-* corr. **S** || 23 *ἱερῶν θησαυρὸς* **OT** et ante corr. **C** || 27 – p. 399, 1 *τοῖς . . . πειθομένοις* **T**

πειθομένης, ἀλλὰ μωρίαν ἡγουμένης τὸ κήρυγμα τοῦ σταυροῦ, ὁ αὐτὸς θάνατον ἐψηφίσατο κατὰ τῶν διωκτῶν τῶν Χριστιανῶν, ὡς Τερτυλλιανὸς ἱστορεῖ.

Σηιανὸς ἔπαρχος Τιβερίου Καίσαρος περὶ τελείας ἀπωλείας τοῦ ἔθνους 5 *τῶν Ἰουδαίων πολλὰ συνεβούλευσε τῷ Καίσαρι, ὡς Φίλων Ἰουδαῖος ἐξ Ἀλεξανδρείας διάγων ἱστορεῖ ἐν τῇ δευτέρᾳ τῆς περὶ αὐτῶν πρεσβείας.*

Γάιος ἑαυτὸν ἀποθεοῖ. ὁ αὐτὸς τὴν γυναῖκα Μεμμίου Ῥηγούλου λαβὼν 622 *πατέρα ταύτης τὸν ἴδιον ἄνδρα Μέμμιον λέγειν εἶναι ἠνάγκασεν.*

10 *Ἐν Ἱερουσαλὴμ ἐπὶ Ἡρῴδου τοῦ τετράρχου κατὰ τῶν ἀποστόλων καὶ τῆς ὅλης ἐκκλησίας ἐπιβουλή.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΕ

Τῆς θείας σαρκώσεως ἔτη λε'

Πέτρος καὶ Ἰωάννης εἰς τὸ ἱερὸν ἀνιόντες τὸν ἐκ γενετῆς χωλὸν ἐθερά- 15 *πευσαν.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΣ

Τῆς θείας σαρκώσεως ἔτη λς'

Τὰ κατὰ τὸν Ἀνανίαν καὶ Σαπφείραν ἐν Ἱερουσαλὴμ πραχθέντα Πέτρῳ.

Θωμᾶς Θαδδαῖον εἰς Ἔδεσαν καὶ Ἰούδας κατὰ θεῖον χρησμὸν ἐξέπεμ- 20 *ψαν εὐαγγελίσασθαι. ὃς τόν τε Αὔγαρον ἰασάμενος ἐν λόγῳ κυρίου, καθὼς καὶ προέγραψεν αὐτῷ ὁ σωτὴρ πέμψας καὶ τὸν ἅγιον αὐτοῦ χαρακτῆρα, λέγων ὅτι 'μετὰ τὸ ἀναληφθῆναί με ἀποστέλλω σοί τινὰς τῶν μαθητῶν*

14 **ACTV** *περὶ τοῦ χωλοῦ* || 18 **ACT** *περὶ τοῦ Ἀνανίου καὶ Σαπφείρας* || 19 **CT** *περὶ Θαδδαίου ἀποστόλου· περὶ Αὐγάρου*

4 Philo apud Euseb. 2, 176[d] et H. E. 2, 5, 5 || 8 Euseb. 2, 177[d]. 178[b] || 10 Euseb. H. E. 2, 9, 1, Acta apost. 11, 28–29 || 14 Acta apost. 3, 1–10 || 18 Acta apost. 5, 1–11 || 19–p. 400, 1 Euseb. H. E. 1, 13, 10–17

1 *ὁ* om. **t** || 2 *ὡς Τερτυλλιανὸς* Scal. *ὅστις τυλλιανὸς* **AB** *ὡς στυλιανὸς* **T** *ὡς τουλλιανὸς* **C** *ὡς τυλλιανὸς* **OVz** || 4 *σηιανὸς* **Bt** *σιανὸς* **A** || 5 *τῶν* om. **t** | *συνεβούλευσε* **x** *συνεβούλευε* **ABz** || 6 *ἱστόρησεν* **T** | *αὐτῶν* **AC** *αὐτοῦ* **B** *αὐτὸν* **OTVz** || 8 *Μεμμίου Ῥηγούλου* Di. ex Euseb. *μεμμιοριγούλου* **AB** *μεμιοριγούλου* **t** || 9 *μέμμιον* **ABx** *μέμνιον* **PQS** *μεμνῖνον* **MR** || 12 *,εφλε'*] *,εφλς'* **Oz** || 13 *λε'*] *λς'* **S** || 14–17 *Πέτρος . . . ἔτη λς'* om. **B**, add. eadem manu **B**[m] || 14 *γενετῆς* Di. *γεννητῆς* **ABt** || 17 *τῆς θείας σαρκώσεως ἔτη λς'* **B** *τῆς θείας σαρκώσεως λς'* **AS** *τῆς θείας σαρκώσεως ἔτη* **O** om. **CTVPQMR** || 19 *θαδδαῖον* **ABx** *θαδδαῖος* **z** | *Ἔδεσαν*] *αἴδεσαν* **Oz** || 23 *τοῦ ἀνανίου* **C**[m] *ἀνανίου* **A**[m]**T**[m] | *σαπφείρας* **A**[m] *σαπφίρου* **C**[m] *σαπφείραν* **T**[m] || 24 *περὶ Αὐγάρου* om. **T**[m]

μου, ἵνα ἰάσωνταί σου τὸ πάθος καὶ ζωήν σοι καὶ τοῖς σοῖς παράσχωσι᾿, καὶ
623 *τοὺς αὐτόθι πάντας ἐφώτισε λόγοις καὶ ἔργοις· ὃν ἡ πόλις ἅπασα μέχρι*
νῦν εὐσεβεῖ τὸν αὐτὸν ἀχειροποίητον δεσποτικὸν σέβουσα χαρακτῆρα.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{ΕΦΛΖ}$

Τῆς θείας σαρκώσεως ἔτη λζ´ 5

Τούτῳ τῷ ἔτει διωγμοῦ κατὰ τῆς ἐκκλησίας γενομένου πολλοὶ μὲν τῶν
πιστῶν διεσπάρησαν, πρὸς οὓς πρώτην ἔγραψε καθολικὴν ἐπιστολὴν
Ἰάκωβος ὁ ἀδελφόθεος, τοῖς ἐν τῇ διασπορᾷ τοῦτο ἐπιγράψας.

Στέφανος δὲ ὁ μέγας πρωτομάρτυς ἀπόστολος καὶ πρωτοδιάκονος λίθοις
ἀνηρέθη Σαύλου τοῦ μετὰ ταῦτα διὰ θεοπτίας ἐπιστρέψαντος. 10

Κατὰ τὸν αὐτὸν χρόνον συνεργοῦντος τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-
στοῦ Παῦλος μεταβληθεὶς ὁ μέγας ἀπόστολος καὶ ἐν Δαμασκῷ φωτισθεὶς
ὑπὸ Ἀνανίου φυγὰς ἧκεν εἰς Ταρσὸν διδάσκων τὸν λόγον τοῦ θεοῦ, κἀ-
κεῖθεν πάλιν εἰς Ἀντιόχειαν.

Φίλιππος εἷς τῶν ζ´ σὺν τῷ πρωτομάρτυρι προχειρισθέντων εἰς δια- 15
κονίαν ὑπὸ τῶν ἀποστόλων ἓν τοῖς διασπαρεῖσι γενόμενος, ἀπὸ Ἱερουσαλὴμ
κατελθὼν εἰς Σαμάρειαν δυνάμεως θείας ἐπληρώθη, ὥστε καὶ Σίμωνα
τὸν μάγον καταπλαγέντα τοῖς θαύμασιν αὐτοῦ προσελθεῖν ἅμα τοῖς ἑταί-
624 *ροις καὶ τῷ Φιλίππῳ μαθητευθῆναί τε καὶ βαπτισθῆναι δολερῶς. ὅθεν*
καὶ οἱ ἀπ᾿ αὐτοῦ μέχρι νῦν ὑποκρινόμενοι βαπτίζεσθαι πάντῃ τῶν θείων 20
ἐντολῶν καὶ δογμάτων εἰσὶν ἀλλότριοι, μὴ δεχόμενοι τὸν περὶ ἀναστάσεως
λόγον μηδὲ τὸν ὁρώμενον κόσμον θεοῦ λέγοντες εἶναι, πᾶσαν θεοβδέ-
λυκτον αἰσχρουργίαν μετερχόμενοι. τούτοις ἑαυτὸν μὲν πατέρα καλεῖσθαι

6 **ABCOT** *περὶ τῆς ἐπιστολῆς Ἰακώβου τοῦ ἀδελφοθέου* || 9 **AB** *α´ μάρτυς* | **CO** *ὅτε ἐλιθοβολήθη ὁ πρωτομάρτυς Στέφανος* || 12 **ABC** *περὶ τοῦ ἁγίου ἀποστόλου* 25 *Παύλου* || 15 **AB** *περὶ Φιλίππου ἑνὸς τῶν ζ´* || 17 **ABCO** *περὶ Σίμωνος τοῦ μάγου* || 23 **ABCO** *ὅτι Σίμων ὁ μάγος εἰκόνα ἐδίδαξε τοὺς ὀπαδοὺς αὐτοῦ προσκυνεῖν τοῦ Διὸς καὶ τῆς πόρνης αὐτοῦ Ἑλένης ἀντ᾿ Ἀθηνᾶς*

2 Euseb. H. E. 2, 1, 7 || 8 Ep. Iac. 1, 1 || 9 Acta apost. 7, 55–8, 1 || 12 Acta apost. 9, 17; 11, 25–26 || 15–19 Euseb. H. E. 2, 1, 10–11 || 19–p. 401, 3 Euseb. H. E. 2, 13, 1–8 (ex Iustino et Irenaeo)

1 *ἰάσωνται* **At** *ἰάσονται* **B** | *σου τὸ πάθος* **Bt** *σοι τοῦ πάθους* **A** | *σοῖς* **At** *σοὶ* **B** || 2 *τοὺς* **ABC**^{c} *τῶν* **T** *τοῖς* **V** *τὸν* **COz** || 3 *σέβουσα* **x** *σέβουσι* **AB** *σέβου* **z** || 5 post *θείας* add. *καὶ ὑπερκοσμίου* **B** || 7 *ἔγραψε* **Bt** *ἔγραψαν* **A** || 8 *τοῖς* **Bt** *τοὺς* **A** || 9 *μέγας* om. **AB** || 10 ante *Σαύλου* aliquid excidisse uidetur, fortasse *συνευδοκοῦντος* (cf. Acta 8, 1) uel sim. || 11 *Ἰησοῦ* om. **t** || 18 *ἑταίροις* **ABT** *ἑτέροις* **COVz** || 20 *οἱ* om. **ABT** | *νῦν* **Bt** *τοῦ νῦν* **A** || 23 *μὲν πατέρα* **t** *πατέρα μὲν* **AB**' || 24 *περὶ τῆς* om. **C**^{m} || 25 *ὅτε* om. **C**^{m} | *ὁ πρωτομάρτυς* **O**^{m} *ὁ μάρτυς* **C**^{m} | *περὶ τοῦ ἁγίου* **A**^{m}**B**^{m} *τοῦ* **C**^{m} || 27 *εἰκόνα* **A**^{m}**B**^{m}**O**^{m} *εἰκὸς* **C**^{m} || 27–28 *προσκυνεῖν . . . Ἀθηνᾶς* om. **C**^{m}

τοῖς ἀθλίοις παραδέδωκεν, εἰκόνι τε Διὸς ὀνόματι προσκυνεῖσθαι, τὴν δὲ σὺν αὐτῷ πόρνην Ἑλένην ἀντὶ Ἀθηνᾶς προσκυνεῖσθαι ἐδίδαξεν ὁμοίως τῇ αὐτῇ εἰκόνι. Ἰουδαίοις δὲ Χριστὸν ἑαυτὸν ἔλεγεν εἶναι καὶ οὐχὶ πατέρα.

Τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας πρῶτος ἐπίσκοπος Ἰάκωβος ὁ ἀδελ-
5 φόθεος ἔτη κη'.

Ῥωμαίων βασιλεὺς δ' Γάιος Καλλιγούλας ἔτη γ'.

ΤΟΥ ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΖ

Τῆς θείας σαρκώσεως ἔτη λζ'

Πόντιος Πιλᾶτος ἐπὶ Γαΐου Καίσαρος ποικίλαις περιπεσὼν συμφοραῖς,
10 *ὥς φασιν οἱ τὰ Ῥωμαίων συγγραψάμενοι, αὐτοφονευτὴς ἑαυτοῦ ἐγένετο.*

Γάιος Καλλιγούλας ἔκγονος Τιβερίου πολλοὺς ἀναιτίως τῆς γερουσίας ἀνελών, ὁ αὐτὸς τὰς ἰδίας ἀδελφὰς κατὰ νήσους φυγαδεύσας, ὁ αὐτὸς τοὺς 625 *ἐν ἐξορίαις ἀνελὼν ὕστερον ὑπὸ τῶν ἐν στρατείαις ἐπισήμων ἀνῃρέθη.*

Οὗτος καὶ τὸν Ἰούλιον Κανὸν ἕνα τῶν Στωικῶν φιλοσόφων ἀνεῖλε, περὶ
15 *οὗ παράδοξον Ἕλλησιν, ὡς δοκῶ, πέπλασται. ἀπαγόμενος γὰρ πρὸς τὸ θανεῖν ἀταράχως λέγεταί τινι τῶν ἑταίρων Ἀντιόχῳ τοὔνομα Σελευκεῖ συνεπομένῳ προειπεῖν, ὡς ἐντεύξεται αὐτῷ κατὰ τὴν αὐτὴν νύκτα μετὰ τὴν ἔξοδον καὶ διαπορήσει τι τῶν σπουδῆς ἀξίων, καὶ ὅτι μετὰ τρεῖς ἡμέρας Ῥέκτος εἷς τῶν ἑταίρων ὑπὸ Γαΐου φονευθήσεται. ἃ καὶ γέγονε,*
20 *τοῦ μὲν ἀναιρεθέντος τριταίου, τοῦ δὲ Ἀντιόχου τὴν ἐποψίαν εἰπόντος τῆς νυκτός, ὅτι φανεὶς Ἰούλιος Κανὸς τὰ περὶ διαμονῆς τῆς ψυχῆς καὶ καθαρωτέρας φωτὸς μετὰ τὴν ἔξοδον διηγήσατο. ταῦτα Πλούταρχος ὁ Χαιρωνεὺς ἱστορεῖ.*

Ἰουδαίων ἀλλόφυλος δ' Ἡρώδου παῖς Ἀγρίππας ἔτη ζ'.

25 9 **ABCTV** *ὅπως Πιλᾶτος αὐτοφονευτὴς ἑαυτοῦ ἐγένετο* || 14 **COV** *περὶ Ἰουλίου στωικοῦ φιλοσόφου* || 22 **AB** *Πλούταρχος Χειρωνεὺς ὁ ἱστορικός*

4 cf. Euseb. 2, 175^{a}. 182^{k} (interuall. ann. 28) || 6 Euseb. 2, 177, 11 (ann. 3 menses 10) || 9 Euseb. 2, 178^{c}, H. E. 2, 7; cf. ps. Sym. f. 61^{v} = Cedr. 343, 5, Paris. 1336 f. 157^{v} || 11 Euseb. 2, $178^{f,g,h,i}$ || 14–23 non apud opera exstantia Plutarchi; de hoc Iulio Canio cf. Senec. de tranq. 14, 4–9, Boeth. cons. 9, 30; 14, 86 || 24 Euseb. 2, 177, 16

1 *παρέδωκεν* **MR** || 1–2 *τὴν . . . προσκυνεῖσθαι* om. **Q** || 5 *κη'*] *η'* **A** *κδ'* **T** || 7 *τοῦ κόσμου*] *κόσμου* **AS** || 8 *ἔτη* **t** *ἔτος* **B** om. **A** || 11 *ἀναντίως* **V** || 13 *ἐξορίοις* **T** | *στρατείαις* **Bt** *στρατίαις* **B** || 14 *κανὸν* **CTVz** *κανὼν* **ABO** | *στωικῶν* **At** *ἱστοικῶν* **B** || 16 *ἑταίρων* **AV** *ἑτέρων* **BCOTz** || 17 *προειπεῖν* **t** *προσειπεῖν* **AB** | *ὡς* om. **MRS** || 18 *τις* **VS** || 19 *ἑταίρων* **ABCV** *ἑτέρων* **OTz** || 20 *τριταίου* **Bt** *τριτίου* **A** | *ἐποψίαν* **AB** *ὑποψίαν* **t** || 22 *Χαιρωνεὺς* Di. *χειρωνεὺς* **A** *χειρονεὺς* **B** *χερρωνεὺς* **V** *χερρονεὺς* **OTPMS** *χερονεὺς* **Q** *χερωνεὺς* **R** || 25 *ἑαυτοῦ* om. C^{m} $T^{m}V^{m}$ | *ἰουλίου* $O^{m}V^{m}$ *ἰουλιανοῦ* C^{m} || 26 *ὁ ἱστορικός* om. B^{m}

ΤΟΥ ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΛΘ

Τῆς θείας σαρκώσεως ἔτη λθ′

Ἀγρίππας Ἡρώδου παῖς ἐπὶ Τιβερίου Καίσαρος φρουρηθεὶς διὰ τὰς κατὰ τοῦ ἰδίου πατρὸς κατηγορίας καὶ ἀνεθεὶς τῶν δεσμῶν ὑπὸ Γαΐου Καίσαρος βασιλεὺς Ἰουδαίων ἐκπέμπεται. 5

Ἡρώδης δὲ ὁ τούτου πατὴρ ἐν Λουγδόνῳ τῆς Γαλλίας ἐξορισθεὶς 626 *ἐν ἐσχάτῃ πενίᾳ σὺν Ἡρωδιάδι τῇ μοιχαλλίδι θνήσκει. τὴν γὰρ ὀρχησαμένην κόρην ἐπὶ τῆς ἀποτομῆς τοῦ μεγάλου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ζῶσαν κατέπιεν ἡ γῆ.*

Φλάγκος Ἀγκύλιος Αἰγύπτου ἔπαρχος παντοίαις συμφοραῖς τὸ Ἰουδαίων 10 *ἔθνος καθυπέβαλε.*

Γάιος ἀνδριάντα ἑαυτοῦ Διὸς ἐπιφανοῦς καλουμένου ἐν τοῖς Ἱεροσολύμοις ἀναθεῖναι Πετρωνίῳ τῷ Συρίας ἐπάρχῳ προσέταξε.

Φίλων ἱστορεῖ ἐν τῷ ἐπιγεγραμμένῳ λόγῳ Φλάγκῳ, ὅτι πρεσβείαν ὡς περὶ Ἰουδαίων πρὸς Γάιον ἐποιήσατο, ὑπὲρ ὧν Φλάγκος Ἰουδαίοις ἐπι- 15 *βουλεύων εἰκόνων καὶ ἀνδριάντων καὶ βωμῶν ἀναθέσεσι τὰς συναγωγὰς ἐμίανε. τότε καὶ ὁ τῶν Ἀλεξανδρέων δῆμος συνεπιθέμενος ποικίλως Ἰουδαίους ἐκόλασεν.*

Ἰώσηππος καὶ Φίλων ἱστοροῦσιν ἐν ταῖς ἁπανταχοῦ συναγωγαῖς Ἰουδαίων ἀνδριάντας καὶ εἰκόνας Γαΐῳ καὶ βωμοὺς ἀνατεθῆναι. 20

Τούτοις τοῖς χρόνοις Σίμων ὁ μάγος Σαμαρεὺς ἐκ κώμης Γιτθῶν τῆς Σαμαρείας ἀναφανεὶς πολλοὺς ἐξηπάτα σημείοις καὶ τέρασι ψεύδους, πρὸς ὃν Φίλιππος, εἷς τῶν ἅμα Στεφάνῳ τῷ πρωτομάρτυρι, πρῶτος ἐν-

7 **ABCO** *τί λέγει περὶ τῆς ὀρχησαμένης παιδὸς Ἡρωδιάδος* ‖ 12 **ABCOV** *Γάιος τὸν ἀνδριάντα ἑαυτοῦ ἔστησεν* 25

3 Euseb. 2, 176[r]. 177[c], Ioseph. Bell. Iud. 2, 178–181 ‖ 6–9 cf. Euseb. H. E. 2, 4, 1, Ioseph. Bell. Iud. 2, 183, ps. Sym. f. 61[r] = Cedr. 323, 16, Paris. 1336 f. 157[v] ‖ 9 cf. Barhebr. p. 49 Budge ‖ 10 Euseb. 2, 177[c] ‖ 12 Euseb. 2, 178[d], cf. Paris. 1336 f. 158[r] ‖ 14 Philo apud Euseb. 2, 177[c], H. E. 2, 5, 1–6, 2 ‖ 19 Iosephus (Bell. Iud. 2, 169) et Philo (leg. 346) apud Euseb. 2, 178[e], H. E. 2, 6, 2–4 ‖ 21 Euseb. H. E. 2, 13, Acta apost. 8, 9–40, cf. ps. Sym. f. 62[r] (om. Cedr.)

1 *τοῦ* om. S ‖ 2 *ἔτη* **t** *ἔτος* **AB** ‖ 3–6 aliter de Agrippa apud **T**: *Ἡρώδου παῖς*] *ἀριστοβούλου παῖς υἱοῦ ἡρώδου τοῦ μεγάλου* **T**, ita etiam Ioseph., sed non Euseb. ‖ 4 *Γαΐου*] *γαίου κλαυδίου* **T** ‖ 6 *πατὴρ*] *θεῖος* **T** | *λογδόνῳ* **A** *λουγδούνῳ* **V** | *γαλλίας* ps. Sym. *γαλιλαίας* **ABt** Paris. 1336 ‖ 7 *μοιχαλίδι* **AVS** ‖ 8 *τῆς ἀποτομῆς* **Bt** *τῇ ἀποτομῇ* **A** ‖ 10 *φλάγκος ἀγκύλιος* **ABt** *Φλάκκος Ἀβίλιος* Di. ex Euseb. ‖ 11 *καθυπέβαλε* **Bt** *καθυπέβαλλεν* **A** ‖ 12 *καλουμένου* **Bt** *καλουμένῳ* **A** ‖ 13 *ἀναθεῖναι* **t** *ἀθῆναι* **AB** ‖ 14. 15 *ὡς περὶ* **AB** *ὑπὲρ* **t** ‖ 16 *ἀναθέσεσι* **Bt** *ἀνεθέσεσι* **B** ‖ 17 *ἐμείανε* **OVz** | *ποικίλως* **Bt** *ποικίλλους* **A** ‖ 21 *Σαμαρεὺς*] *ἀνανεὺς* **z** | *γιτθῶ* **Bt** *γητθὼν* **A** ‖ 22 *ἐξηπάτα* **At** *ἐξηπάτησε* **B** ‖ 24 *τί λέγει* om. **C[m]O[m]** ‖ 25 *τὸν* om. **V[m]** | *ἑαυτοῦ* **C[m]V[m]** *αὐτοῦ* **A[m]B[m]O[m]**

στὰς κατήσχυνε, μετὰ τὴν Στεφάνου τελείωσιν περιάγων ἔξω τῆς Ἱερουσαλήμ, ἡνίκα λέγεται πρῶτος ἐξ ἐθνῶν ὑπ' αὐτοῦ βαπτισθῆναι ὁ εὐνοῦχος 627 *Αἰθίοψ αὐτός τε Σίμων, ὀνόματι μόνῳ τὸν Χριστιανισμὸν ὑποδύς, ἀνάστασιν δὲ μὴ ὁμολογῶν μηδὲ τὸν κόσμον εἶναι τοῦ θεοῦ, πᾶσάν τε αἰ-*
5 *σχρουργίαν εἰσηγούμενος τοῖς ἑαυτοῦ μαθηταῖς.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΜ

Τῆς θείας σαρκώσεως ἔτη μ'

Πέτρος ὁ κορυφαῖος τὴν ἐν Ἀντιοχείᾳ πρώτην θεμελιώσας ἐκκλησίαν εἰς Ῥώμην ἄπεισι κηρύττων τὸ εὐαγγέλιον. ὁ δ' αὐτὸς μετὰ τῆς ἐν Ἀν-
10 *τιοχείᾳ ἐκκλησίας καὶ τῆς ἐν Ῥώμῃ πρῶτος προέστη ἕως τελειώσεως αὐτοῦ.*

Πέτρος τὴν πρώτην καθολικὴν ἐπιστολὴν ἀπὸ Ῥώμης ἀπέστειλεν, ὡς Εὐσέβιος, ἑπόμενον ἔχων καὶ Μάρκον τὸν εὐαγγελιστήν, τότε Ῥωμαίοις αἰτήσασι συντάξαντα τὸ εὐαγγέλιον, ὡς Κλήμης ἐν ς' τῶν Ὑποτυπώσεων
15 *καὶ Παπίας ὁ Ἱεραπόλεως ἐπίσκοπος· οὗ καὶ μέμνηται ἐν αὐτῇ Μάρκου καὶ τῆς πόλεως Βαβυλῶνος· ἄλλοι δὲ ἀπὸ Ἰόππης φασὶ γεγράφθαι.*

Παύλου καὶ Σίλα ἐπάνοδος ἐν Δέρβῃ καὶ Λύστροις καὶ Φρυγίᾳ Ἰσαυρίᾳ τε καὶ Κιλικίᾳ καὶ Γαλατίᾳ καὶ Τρωάδι.

Παύλου καὶ Μάρκου αἱ ἐν Φιλίπποις καὶ Θεσσαλονίκῃ καὶ Βεροίῃ
20 *πράξεις.*

Παύλου ἐν Ἀθήναις καὶ Κορίνθῳ πράξεις. 628

Παύλου αἱ ἐν Ἐφέσῳ καὶ Κεγχρεαῖς Καισαρείᾳ τε καὶ Ἀντιοχείᾳ, Ἰταλίᾳ καὶ Φρυγίᾳ πράξεις.

Παύλου τὰ ἐν Ἐφέσῳ ἰδίως.

25 *Παῦλος τὰ ἐν Τρωάδι καὶ Μιλήτῳ παρέθετο Ἐφεσίοις.*

Τὰ ἐν Ἱερουσαλὴμ τῶν Ἰουδαίων κατὰ Παύλου.

Παύλου τὰ ἐν Καισαρείᾳ κατὰ Φίλικα καὶ Δρουσίλλαν.

Παύλου τὰ ἐν Καισαρείᾳ καὶ τὰ Ἰουδαίων κατ' αὐτοῦ.

8 Euseb. 2, 179[b] || 12 Euseb. H. E. 2, 15 (ex Clemente et Papia) || 16 cf. Acta apost. 9, 36–43 || 17 Acta apost. 16, 1–8 || 19 Acta apost. 16, 12; 17, 1; 17, 10 (Paulus et Silas) || 21–28 Acta apost. 17, 15; 18, 1. 18–23; 19, 1–41; 20, 6. 15; 21, 30; 24, 24; 25, 7

1 *κατήσχυνε* **Bt** *κατίσχυεν* **A** | *τὴν* **ABOVz** *τὴν τοῦ* **CT** || 6 *ἔτη* **At** *ἔτος* **B** || 7 *ἔτη* **t** *ἔτος* **AB** || 8 *πρώτην* **ABC[c]Tz** *πρώην* **COV** || 16 *ἰώππης* **AS** || 19 *αἱ* om. **B** | *βεροίῃ* **AB** *βεροίᾳ* **t** || 21 *Παύλου . . . πράξεις* om. **C** || 22 *αἱ* om. **A** | *Ἰταλίᾳ*] *Γαλατίᾳ* Acta || 25 *μιλήτῳ* **At** *μηλίτῳ* **B** || 27 *Παύλου . . . Δρουσίλλαν* om. **V** | *δρουσίλλαν* **ABC** *δρυσίλλαν* **OTz**

Μάρκος ὁ εὐαγγελιστὴς Αἰγύπτῳ καὶ Ἀλεξανδρείᾳ τὸν σωτήριον λόγον εὐηγγελίζετο.

Τῆς Ἀντιοχέων ἐκκλησίας πρῶτος ἐπίσκοπος Εὐόδιος ἐχρημάτισεν ἔτη κθ΄.

Ῥωμαίων ε΄ Κλαύδιος ἔτη ιγ΄. 5

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΦΜ

Τῆς θείας σαρκώσεως ἔτη μ΄

Ἡ ἐν ταῖς πράξεσιν Ἀγάβου προφητεία πεπέρασται, λιμοῦ μεγάλου κατασχόντος τὴν οἰκουμένην ἐπὶ Κλαυδίου.

Κλαύδιος κατὰ Βρεττανῶν ἐθριάμβευσε. 10

629 *Κλαύδιος τοὺς πολίτας Ῥώμης ἀπογραψάμενος μυριάδας εὗρεν χϙδ΄ καὶ ͵α.*

Κλαύδιος Φίλικα τῆς Ἰουδαίας ἡγεμόνα ἐξέπεμψε.

Τὰ ὑπόλοιπα Ἰουδαίων ἀλλοφύλου Ἀγρίππα τοῦ καὶ Ἡρώδου ἐστὶν οὕτως 15

Παῦλος καὶ Βαρναβᾶς ἐν τῇ συναγωγῇ τῆς κατὰ Πισιδίαν Ἀντιοχείας ἐπαρρησιάσαντο.

Παῦλος καὶ Βαρναβᾶς ἐδίδασκον ἐν Ἰκονίῳ, ἡνίκα τὰ ἐν Λύστροις καὶ Δέρβῃ καὶ Πέργῃ καὶ Ἀταλίᾳ καὶ Ἀντιοχείᾳ, αἵ τε ἐν Φοινίκῃ καὶ Σαμαρείᾳ καὶ Ἱερουσαλὴμ πράξεις τῶν δύο. 20

Ἀγρίππας θεμέλια πηξάμενος τρίτου τείχους τῆς Ἱερουσαλὴμ καὶ φοβηθεὶς Κλαύδιον Καίσαρα τοῦ ἔργου ἐπαύσατο.

Οὗτος ὁ Ἀγρίππας, ὁ καὶ Ἡρώδης ἐν ταῖς πράξεσι καλούμενος, ὁ τὴν ἀργυρῆν ἐσθῆτα περιθέμενος καὶ ἐν τῷ θεάτρῳ Καίσαρος καταδεξά-

3 **ABC** *τῆς Ἀντιοχέων Εὐόδιος ἔτη κθ΄* 25

1 Euseb. 2, 179c, H. E. 2, 16, 1 || 3 cf. Euseb. 2, 179d. 186f (interuall. ann. 26 fere), H. E. 3, 22 || 5 Euseb. 2, 179, 2 || 8 Euseb. 2, 179f, H. E. 2, 8, 1, Acta apost. 11, 28 || 10 Euseb. 2, 179g || 11 Euseb. 1, 180c, cf. Paris. 1336 f. 158r || 13 Euseb. 2, 181c, H. E. 2, 19, 2, Ioseph. Bell. Iud. 2, 247 || 16–20 Acta apost. 13, 14; 14, 1. 6. 25–26; 15, 3–4 || 21 Ioseph. Bell. Iud. 2, 218 || 23 Euseb. H. E. 2, 10, 1, Acta apost. 12, 21–23, cf. Paris. 1336 f. 158r

1 *ὁ* om. **OTVz** | ante *Αἰγύπτῳ* add. *ἐν* **MR** || 1.2 *λόγον εὐηγγελίζετο* **ABV** tr. **OTz** *λόγον* om. **C** || 4 *κθ΄*] *κη΄* **A** *θ΄* **MR** || 5 *ε΄* om. **COz** || 7 *τῆς θείας σαρκώσεως* **t** *τῆς θείας καὶ ὑπερενδόξου σαρκώσεως τοῦ σωτῆρος ἡμῶν* **AB** || 11–13 hoc ordine **AB** *Κλαύδιος . . . ἐξέπεμψε* ante *Κλαύδιος . . . ͵α* **T** om. **COVz** || 11 *ῥώμης* **AB** *ῥωμαίων* **t** || 15 *καὶ* om. **MR** | *οὕτως* **Bt** *οὗτος* **A** || 17 *ἐπαρρησιάσατο* **ABt** || 19 *Ἀταλίᾳ*] *ἰτταλίᾳ* **T** || 22 *Κλαύδιον* om. **t** || 23 *ὁ*[1] et *ὁ*[2] om. **t**

μενος ὡς θεὸς εὐφημεῖσθαι, ὑπ' ἀγγέλου πληγεὶς σκωληκόβρωτος ἀποθνήσκει.

Ἀγρίππα τοῦ βασιλέως Ἰουδαίων τελευτήσαντος Ἀγρίππας υἱὸς αὐτοῦ ὑπὸ Κλαυδίου τὴν ἀρχὴν ἐγχειρίζεται Ἰουδαίων.

5 *Ἰουδαίων ε' ἀλλόφυλος Ἀγρίππας β' ἔτη κγ'.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΜΣ — 630

Τῆς θείας σαρκώσεως ἔτη μς'

Θρᾴκη ἀπὸ τοῦδε τοῦ χρόνου ἐπαρχία ἐχρημάτισε, βασιλεύουσα πρίν.

Νῆσος μεταξὺ Θήρας καὶ Θηρασίας σταδίων λ' ἐφάνη.

10 *Ἐν ταῖς ἡμέραις τῶν ἀζύμων στάσεως γενομένης ἐν Ἱερουσαλὴμ συμπατηθέντες περὶ τὰς τῶν πυλῶν ἐξόδους Ἰουδαῖοι ὤλοντο περὶ τὰς τρεῖς μυριάδας, Κουμανοῦ Ῥωμαίων στρατηγοῦντος καὶ τῆς ὅλης Ἰουδαίας ἡγεμονεύοντος.*

Λιμοῦ κατὰ τὴν Ἑλλάδα γεγονότος μεγάλου ὁ τοῦ σίτου μόδιος ἐξ δι- 15 *δράχμων ἐπράθη.*

Τότε καὶ Ἀθηναίοις ἐπεγράφη βωμὸς ἀγνώστῳ θεῷ.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος ἐκ τοῦ α' λόγου πρὸς Ἀντώνιον βασιλέα ὑπὲρ Χριστιανῶν

Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου εἰς οὐρανοὺς προεβάλλοντο οἱ δαίμονες 20 *ἀνθρώπους τινὰς λέγοντας ἑαυτοὺς εἶναι θεούς, οἳ οὐ μόνον οὐκ ἐδιώχθησαν ὑφ' ὑμῶν, ἀλλὰ καὶ τιμῶν ἠξιώθησαν, Σίμωνα μέν τινα Σαμαρέα τὸν ἀπὸ κώμης λεγομένης Γιτθίων, ὃς ἐπὶ Κλαυδίου Καίσαρος διὰ τῆς τῶν*

19 ABOV *ἀνθρώπους λέγει τινὰς ὁ ἅγιος Ἰουστῖνος Ἰούδαν καὶ Θευδᾶν καὶ τὸν Αἰγύπτιον ψευδοπροφήτην περὶ ὧν ἐν ταῖς πράξεσι λέγεται, περὶ ὧν καὶ Γαμαλιὴλ* 25 *ἔφη Ἰώσηππός τε ἱστορεῖ*

3–5 Euseb. 2, 179[c] (ann. 26) || **8** Euseb. 2, 180[d] || **9** Euseb. 2, 180[b]; cf. ps. Sym. f. 76[v] = Cedr. 347, 7, Paris. 1336 f. 158[r] || **10** Euseb. 2, 180[e], H. E. 2, 19, 1 || **14** Euseb. 2, 181[a], cf. ps. Sym. f. 76[v] (om. Cedr.), Paris. 1336 f. 158[r] || **16** Acta apost. 17. 23, cf. ps. Sym. f. 62[r] (om. Cedr.), Paris. 1336 f. 158[r] || **19** Iustin. apol. 1, 26 = Euseb. H. E. 2, 13, 3–4

3–4 *Ἀγρίππα . . . Ἰουδαίων* om. **MR** || **3** *υἱός*] *ὁ υἱός* **C** || **5** *β'* om. **ABO** || **8** *ἀπὸ τοῦδε* **Bt** *ἀπῶδε* **A** | *ἐπαρχία* **At** *ἀπαρχεία* **B** || **12** *Ῥωμαίων*] *ῥώμης* **T** | *ὅλης* om. **OTVz** || **14** *διδράχμων* **A** *διδράγμων* **T** *διδραγμάτων* **BCOVz** *δραγμῶν* ps. Sym. et Paris. 1336 || **16** *ἀγνώστῳ θεῷ* **Bt** *ἀγνὸς τῷ θεῷ* **A** || **19** *προεβάλλοντο* **Bt** *προσεβάλλοντο* **A** || **20** *ἑαυτοὺς* **Bt** *καὶ ἑαυτοὺς* **A** || **21** *ὑμῶν* **B** *ἡμῶν* **At** | *τινα* om. **T** | *τὸν*] *τῶν* **C** || **23** *ἰούδαν καὶ θεύδαν* **O[m]V[m]** *ἰούδας καὶ θευδᾶς* **A[m]B[m]** || **24** *λέγεται* **O[m]** *λέγει* **A[m]B[m]V[m]** | *γαμαὴλ* **B[m]** || **25** *τε* om. **O[m]**

ἐνεργούντων δαιμόνων τέχνης δυνάμεις μαγικὰς ποιήσας ἐν τῇ πόλει
631 *ὑμῶν, τῇ βασιλίδι πόλει Ῥώμῃ, θεὸς ἐνομίσθη καὶ ἀνδριάντι παρ' ὑμῶν*
ὡς θεὸς τετίμηται ἐν τῷ Τίβερι ποταμῷ μεταξὺ τῶν δύο γεφυρῶν, ἔχων
ἐπιγραφὴν Ῥωμαϊκὴν ταύτην· Σίμωνι δέω σάγκτω, ὅπερ ἐστὶ Σίμωνι
θεῷ ἁγίῳ, καὶ σχεδὸν μὲν πάντες Σαμαρεῖς, ὀλίγοι δὲ καὶ ἐν ἄλλοις ἔθνε- 5
σιν ὡς τὸν πρῶτον θεὸν ἐκεῖνον ὁμολογοῦντες προσκυνοῦσι καὶ Ἑλένην
τινὰ συμπερινοστήσασαν αὐτῷ κατ' ἐκεῖνο τοῦ καιροῦ, πρότερον ἐπὶ τέγους
σταθεῖσαν ἐν Τύρῳ τῆς Φοινίκης, τὴν ἀπ' αὐτοῦ πρώτην ἔννοιαν λέγουσι.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΦΝ}}$

Τῆς θείας σαρκώσεως ἔτη ν' 10

Ἀντιοχείας ἐπίσκοπος Εὐόδιος ἔτη κθ'
Ἀλεξανδρείας ἐπίσκοπος ⟨Μάρκος ὁ εὐαγγελιστὴς⟩ ἔτη ⟨β'⟩

Τὰ ὑπόλοιπα Ῥωμαίων Κλαυδίου ἔτη

Κλαύδιος Ῥωμαίων ἔτη ιγ' μετὰ Γάιον ἐβασίλευσε, φονικὸς ἀνήρ, θεῖος
τοῦ αὐτοῦ Γαΐου, ὃς Κελτοὺς καὶ Βρεττανοὺς ὅπλοις ἀνδρείως ὑπηγάγετο, 15
ὁμοίως καὶ Θρᾷκας, ἀναιρεθέντος αὐτῶν τοῦ βασιλέως Ῥυμετάλκου ὑπὸ
τῆς ἰδίας γαμετῆς.

Οὗτος ἐρασθεὶς ἀδελφιδῆς οἰκείας ἐνομοθέτησε πρῶτος, ὥς φασι, θυ-
γατέρας ἀδελφῶν ἄγεσθαι.

632 *Ἐπὶ τούτου πολλοὶ τῶν ἐν παιδεύσει λόγων Ἑλληνικῶν ἤκμαζον, ὧν* 20
ἐπισημότερος ἐδόκει ὁ ἐκ Τυάνων τῆς Ἰταλίας Ἀπολλώνιος, Πυθαγορικῆς
εἰς ἄκρον ἠσκημένος φιλοσοφίας, ὡς καὶ αὐτοῦ Πυθαγόρου δαιμονιώτε-

4 ABP SIMONI DEO SANCTO

11 cf. Euseb. 2, 179ᵈ. 186ᶠ (interuall. ann. 26), H. E. 3, 22 || **12** cf. Euseb. 2, 179ᶜ. 183ᵇ (interuall. ann. 19), H. E. 2, 16, 1 || **14–16** cf. Eutrop. 7, 13 || **16–17** uide B. Lenk, RE 58, 1936, 452 || **18** cf. [Aur. Vict.] lib. de Caes. 4, 12, Suet. Claud. 26 || **20** Philostratus Vit. Ap. 1, 2, cf. ps. Sym. f. 76ᵛ = Cedr. 346, 18

2 *ὑμῶν*[1] **BOTVz** *ἡμῶν* **AC** | *βασιλευούσῃ* **O** | *πόλει* om. **T** | *ἀνδριάντι* **ABCV** *ἀνδριάντα* **OTz** | *ἡμῶν* **C** || 3 *θεὸς* **ABx** *θεὸν* **z** || 4 *δέω σάγκτω* **MR** Euseb. *δέως ἄγκτω* **A** *δέο σάγκτω* **BxS** *δέος ἄγκτω* **PQ** || 5 *θεῷ ἁγίῳ* **ABV** tr. **CO Tz** || 5–6 *Σαμαρεῖς . . . ὁμολογοῦντες* om. **A** add. eadem manu **A**ᵐ || 7 *ἐκεῖνο* **t** Euseb. *ἐκείνου* **ABC**ᶜ | *τοῦ* om. **t** | *τέγους* **t** *στέγους* **AB** || 12 *Μάρκος . . . β'* suppleui ex 409, 20 infra et Niceph. 126, 21 *ἔτη* habet **AB** om. **t** || 13 *κλαυδίου* **ABOV** *κλαυδίου ἔτη* **T** *κλαυδίου ἔτη ιγ'* **Cz** (*κλαύδιος* **QMR**) || 16 *ῥυμαιτάλκου* **A** *ῥυμετάκλου* **T** || 18 *ἀδελφιδῆς* **At** *ἀδελφῆς* **B** | *πρῶτος* **AB** *πρῶτον* **T** *α'* **OVz** om. **C** || 18.19 *θυγατέρας ἀδελφῶν* **ABC**ᶜ *θυγατέρας ἀδελφοῦ* **x** *θυγατέρα ἀδελφοῦ* **z** || 21 *τυάνων* **ABC**ᶜ *τοιάνων* **t** || 22 *ἠσκημένος* **Bt** *ἠσκημένης* **A** | *πυθαγορίου* **ABt**

ρον ἅψασθαι, καθὰ Φιλόστρατος καὶ ἄλλοι τῶν ἀκριβούντων ἱστοροῦσι τὰ κατ' αὐτόν.

Ἐν τούτοις τοῖς χρόνοις ἐφάνη τὸ ὄρνεον ὁ φοίνιξ, καθὼς ἱστοροῦσιν Αἰγύπτιοι, πρὸ χν' δὲ ἐτῶν φανείς, ὡς καὶ Δέξιππος συμφωνεῖ.

5 Τότε καὶ Λαοδίκεια καὶ Ἱεράπολις τῆς Ἀσίας καὶ ἄλλαι πόλεις, Ἀντιόχειά τε κατεσείσθησαν.

Ἐπὶ αὐτοῦ Φίλιξ Ἰουδαίας ἡγεμονεύειν σταλεὶς πολλῶν καὶ ἄλλων Ἰουδαίων ἀπατώντων, ἐν οἷς καὶ ὁ Αἰγύπτιος ψευδοπροφήτης, ἅμα τρισμυρίοις μείζοσιν ἐπιχειρῶν πράγμασι, τῇ Φίλικος κατελύθη στρατηγίᾳ. 10 συμφωνεῖ Ἰώσηππος ἐν τούτῳ ταῖς πράξεσι τῶν ἀποστόλων, ἔνθα τῷ θείῳ Παύλῳ ὑπὸ τοῦ χιλιάρχου λέλεκται· οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας; ἐπὶ αὐτοῦ Παῦλος ὑπὸ Ἰουδαίων κατηγορηθεὶς τὴν ἀπολογίαν πεποίηται.

15 Ἐπὶ αὐτοῦ Ἰουδαίων στάσις γέγονεν ἐν Καισαρείᾳ Στράτωνος καὶ πολλοὶ διεφθάρησαν.

Ἐπὶ αὐτοῦ ὁ κατὰ Ἄγαβον λιμὸς τῆς οἰκουμένης καὶ ὁ τὴν Ἰουδαίαν ἔπειτα ἰδίως καταλαβών, καθ' ὃν Ἑλένη τοῦ Ἀδιαβηνῶν ἔθνους βασίλισσα **633** σῖτον πολλῶν χρημάτων ἐξ Αἰγύπτου ὠνησαμένη τοῖς ἀποροῦσι διένειμεν· 20 ἧς αἱ στῆλαι διαφανεῖς κατὰ τόπους προαστείους φέρονται, ὡς Ἰώσηππος.

Συμφωνοῦσιν αἱ πράξεις τοὺς κατὰ Ἀντιόχειαν ἱστοροῦσαι πιστούς, καθ' ὅ τι ἄν τις εἶχεν, ἀποστεῖλαι τοῖς οἰκοῦσι τὴν Ἰουδαίαν πιστοῖς διὰ χειρὸς Βαρναβᾶ καὶ Σαύλου.

Ἐν τοῖς χρόνοις Κλαυδίου φησὶν Εὐσέβιος ἐν δευτέρῳ τῶν ἐκκλησιαστι-25 κῶν ἱστοριῶν, ἐπὶ τοῦ πρώτου Ἀγρίππα τοῦ καὶ Ἡρώδου, καθὼς αἱ πρά-

3 CO περὶ φοίνικος

3 Dexippus FGrHist 100 F 11, cf. Cass. Dion. 58, 27 || **5** cf. infra 410, 3 = Euseb. 2, 183[h] (in temporibus Neronis; similia sub Claudio narrata inuenire nequeo) || **7** Euseb. 2, 181[d], H. E. 2, 20–21, Acta apost. 21, 38, Ioseph. Bell. Iud. 2, 261–263 || **15** Euseb. 2, 182[a] (secundo anno Neronis) || **17** Euseb. 2, 179[f], H. E. 2, 8; 2, 12, 1–3 = Ioseph. Ant. Iud. 20, 101 || **21** Acta apost. 11, 28–30 || **24** Euseb. H. E. 2, 9, 1–4

1 καθὰ **ABC** καθὰ καὶ **OTVz** | ἀκριβούντων **Bt** ἀκριζοβοόντων **A** || **4** χν' δὲ ἐτῶν] χν' δὲ τὸν **C** χνδ' ἐτῶν maluit Di., cf. Herodot. 2, 73 (ann. 500) || **7** Φίλιξ] φήλιξ τῆς **C** || **8** ἰουδαίων **AB** ἰουδαίους **t** | ἀπατώντων **Bt** ἀπατούντων **A** || **9** φίλικος **ABt** φίληκος **C**[c] | στρατηγίᾳ **At** στρατηγείᾳ **B** || **10** τούτῳ **ABC**[c]**V** τοῦτο **COTPQS** τοῦται **MR** || **13** ἐπὶ **Bt** ὑπ' **A** || **15** ἰουδαίων στάσις **Bt** tr. **A** || **18** ἰδίως] ἰουδαῖος **C** | ἀδιαβηνῶν **ABx** διαβηνῶν **z** || **20** τόπους προαστείους **t** τόπους καὶ προαστείοις **AB** τόπους κἀν προαστείοις Di. || **21** ἱστοροῦσιν **C** || **22** ὅ τι] ὃν **C** || **24** εὐσέβιος **Bt** ὁ εὐσέβιος **A** || **25** καθὼς **AB** καθ' ἃ **t** | πράξεις **Bt** τάξεις **A**

ξεις φασίν, ὅτι ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας, ἀνεῖλε δὲ τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ, περὶ οὗ καὶ Κλήμης ἐν ζ′ τῶν Ὑποτυπώσεών φησιν, ὅτι ὁ εἰσαγαγὼν αὐτὸν εἰς τὸ δικαστήριον ἰδὼν αὐτὸν μαρτυρήσαντα συνωμολόγησεν αὐτῷ καὶ αὐτὸς εἶναι Χριστιανός. συναπήχθησαν οὖν ἄμφω, φησί, κατὰ τὴν ὁδὸν· καὶ 5 *ἠξίωσεν ἀφεθῆναι αὐτῷ ὑπὸ τοῦ Ἰακώβου. ὁ δὲ ὀλίγα σκεψάμενος ‘εἰρήνη σοι’ εἶπε καὶ κατεφίλησεν αὐτόν. καὶ οὕτως ἀμφότεροι ὁμοῦ ἐκαρατομήθησαν. καὶ τότε ἰδὼν Ἡρώδης ἐπὶ τῇ τοῦ Ἰακώβου ἀναιρέσει ἀρέσαντα Ἰουδαίοις ἐπιτίθεται καὶ Πέτρῳ, δεσμοῖς τε αὐτὸν παραδοὺς ἀνεῖλεν ἄν, εἰ μὴ παραδόξως ἀγγέλου ἐπιστασίᾳ τῶν δεσμῶν λυθεὶς καὶ τῆς φρουρᾶς* 10 *ἐξηνέχθη.*

634 *Ἀλλ᾽ εἰ μὲν περὶ τοῦ πρώτου ἐπισκόπου Ἱεροσολύμων ταῦτα νοεῖται Ἰακώβου τοῦ ἀδελφοθέου, ἀντιπίπτει τῷ ἱστοροῦντι λόγῳ κατὰ τὸ η′ ἔτος Νέρωνος, ὅπερ ἦν τῆς αὐτοῦ ἐπισκοπῆς ἔτος που λ′, λίθοις ὑπὸ Ἰουδαίων καὶ γναφικῷ ξύλῳ ἀναιρεθῆναι, ἀπὸ τοῦ πτερυγίου καταβληθέντα,* 15 *ὡς καὶ αὐτὸς Εὐσέβιος ἐν τῷ κανόνι παρέθετο· εἰ δὲ περὶ ἄλλου, ὑγιὴς ὁ λόγος.*

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΝΓ

Τῆς θείας σαρκώσεως ἔτη νγ′

Εὐσεβίου ἐκ τοῦ β′ λόγου τῆς ἐκκλησιαστικῆς ἱστορίας περὶ τῶν κατὰ 20 τὸν μακάριον Παῦλον καὶ Ἰάκωβον τὸν ἀδελφόθεον

Τούτου δὲ Φίστος διάδοχος ὑπὸ Νέρωνος πέμπεται, καθ᾽ ὃν δικαιολογησάμενος ὁ Παῦλος δέσμιος ἐπὶ Ῥώμην ἄγεται. Ἀρίσταρχος αὐτῷ συνῆν, ὃν καὶ εἰκότως συναιχμάλωτον πάντων ἐπιστολῶν γράφει παραδοὺς ἐν τούτοις καταλῦσαι τὴν ἱστορίαν, διετίαν ὅλην ἐπὶ τῆς Ῥώμης τὸν Παῦλον 25 *ἄνετον διατρῖψαι καὶ τὸν τοῦ θεοῦ λόγον ἀκωλύτως κηρῦξαι ἐπισημηνάμενος.* 635 *τότε μὲν οὖν ἀπολογησάμενον αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν λόγος ἔχει στείλασθαι τὸν ἀπόστολον, δεύτερον δὲ ἐπιβάντα τῇ αὐτῇ πόλει*

12 Euseb. 2, 182[k], H. E. 2, 23, 1 || 22—p. 409, 17 Euseb. H. E. 2, 22, 1—5

1 *φασίν* **C**[c] *φησίν* **ABt** | *ἐπέβαλεν* **Bt** *ἐπέβαλλεν* **A** || 2 *τὸν* **AB** Paris. 1336 *ἰάκωβον τὸν* **t** || 4 *τὸ* **BT** om. cett. || 5 *συναπήχθησαν* **Bt** *συναπηνέχθησαν* **A** | *φησί* om. **V** || 6 *ἠξίωσεν* **At** *ἀξίωσεν* **B** | *τοῦ* om. **C** || 7 *κατεφίλησεν αὐτὸν καὶ* om. **t** || 9 *Πέτρῳ . . . παρα-* om. **PQ** add. eadem manu **P**[m] | *δεσμοῖς τε*] *δεσμεῖσθαι* **S** || 12 *περὶ* **Bt** *περῶ* **A** || 14 *Νέρωνος . . . ἔτος* om. **C** | *που* om. **TS** || 15 *ἀπὸ* **At** *ὑπὸ* **B** || 20 *τῶν* **BV** *τὸν* **ACOTz** || 22 *φίστος* **ABt** *φῆστος* **C**[c] || 24 *συναιχμάλωτον πάντων ἐπιστολῶν* **ABt** *συναιχμάλωτόν που τῶν ἐπιστολῶν ἀποκαλεῖ· καὶ Λουκᾶς δὲ ὁ καὶ τὰς πράξεις τῶν ἀποστόλων* Euseb. | *γράφει* **ABt** *γραφῇ* Euseb. || 25 *καταλῦσαι* **ABt** *κατέλυσε* Euseb. || 27 *ἀπολογησάμενον* Di. ex Euseb. *ἀπολογησάμενος* **ABt** || 28 *λόγος ἔχει* om. **A**

τῷ κατ᾽ αὐτὸν τελειωθῆναι μαρτυρίῳ. ἐν ᾧ δεσμοῖς ἐχόμενος τὴν πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν συντάττει, ὁμοῦ σημαίνων τὴν προτέραν αὐτῷ γενομένην ἀπολογίαν καὶ τὴν παρὰ πόδας τελείωσιν. δέχου δὴ περὶ τούτων τὰς αὐτοῦ μαρτυρίας.

5 *Ἐν τῇ πρώτῃ μου, φησίν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη. ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέ με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος.*

Σαφῶς δὲ παρίστησι διὰ τούτων ὅτι δὴ τὸ πρότερον, ὡς ἂν τὸ κήρυγμα 10 *δι᾽ αὐτοῦ πληροφορηθῇ καὶ ἀκούσωσι πάντα τὰ ἔθνη, ἐρρύσθη ἐκ στόματος λέοντος, τὸν Νέρωνα ταύτῃ, ὡς ἔοικε, διὰ τὸ ὠμόθυμον προσειπών. οὐκοῦν ἑξῆς προστέθεικε παραπλήσιόν τι τό 'ῥύσεταί με ἐκ στόματος λέοντος'. ἑώρα γὰρ τὴν οὔπω μέλλουσαν αὐτοῦ τελευτήν· διὸ καί φησι 'καὶ ῥύσεταί με ἐκ στόματος λέοντος ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ* 15 *σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον', σημαίνων παραυτίκα μαρτύριον, ὃ καὶ σαφέστερον ἐν τῇ αὐτῇ προλέγει γραφῇ φάσκων· καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν.*

Ἱεροσολύμων β΄ ἐπίσκοπος Συμεών, ὁ καὶ Σίμων, υἱὸς τοῦ Κλεόπα ἔτη κγ΄. 636

20 Τῆς Ἀλεξανδρέων ἐκκλησίας μετὰ Μάρκον τὸν εὐαγγελιστὴν πρῶτος ἐπίσκοπος Ἀνιανὸς ἐχειροτονήθη, ὃς προέστη ἔτη κβ΄.

Ῥωμαίων ς΄ ἐβασίλευσε Νέρων ἔτη ιγ΄.

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΦΝΓ

Τῆς θείας σαρκώσεως ἔτη νγ΄

25 *Νέρων ἀνεῖλε τὴν ἑαυτοῦ μητέρα Ἀγριππῖναν καὶ τὴν τοῦ πατρὸς ἀδελφήν.*

Ἐν Ῥώμῃ σεισμὸς μέγας ἐγένετο.

18 cf. Euseb. 2, 182[k], H. E. 3, 11 (sine annis), Niceph. 123, 24 (ann. 23) || **20** Euseb. 2, 183[b] (ann. 22) || **22** Euseb. 2, 181, 24 || **25**–p. 410, 4 Euseb. 2, 182[e,f,h]. 183[a,g,h], cf. Paris. 1336 f. 158[r]

1 *τῷ* **ABC**[c]**V** *τὸ* **COTz** | *τελειωθέντι* **V** || **5** *τῇ* om. **B** || **6** *ἐγκατέλειπον* **BC** || **7–10** *-φορηθῇ . . . πληρο-* om. **CT** || **10** *πληρωθείη* Euseb. *πληροθῇ* **C** et per rasuram **T** | *καὶ . . . ἔθνη* om. Euseb. | *στόματος* **t** *τοῦ στόματος* **AB** || **11** *ταύτῃ* **Bt** *ταύτην* **A** || **12** *προστέθεικε* **Bt** *προστέθηκεν* **A** || **13–14** *ἑώρα . . . λέοντος* om. **V**, add. eadem manu **V**[m] || **13** *διὸ καὶ* **COTz** *διό* **ABV**[m] || **17** *ἀναλύσεώς μου*] *ἐμῆς ἀναλύσεως* **T** Euseb. || **18** *υἱὸς τοῦ Κλεόπα* om. **T** *υἱὸς τοῦ Κλεόπα ἔτη κγ΄* om. hoc loco **z**, sed inseruit infra post *εὐαγγελιστὴν* | *κλεόπα* **Bt** *κλεοπάτρα* **A** || **20–22** has notitias inuerso ordine **T** || **21** *ἀνιανὸς* **Bt** *αἰνιανὸς* **A** || **24** *τῆς . . . νγ΄* om. **COVz**

Νέρων ἐπὶ Ῥώμης κιθαρίζων ἐνίκησε.
Κατὰ τῆς Νέρωνος τραπέζης κεραυνὸς ἔπεσεν.
Ἐμπρησμοὶ γεγόνασι πολλοὶ ἐν Ῥώμῃ, πόλεις τε τῆς Ἀσίας κατέπεσον τρεῖς, Λαοδίκεια, Ἱεράπολις καὶ Κολοσσαί.

Τὰ ὑπόλοιπα Ἰουδαίων ε′ ἀλλοφύλου Ἀγρίππα β′ ἔτη 5

Φίστος διάδοχος Φίλικος ὑπὸ Νέρωνος ἐπέμφθη, ἐφ' οὗ ὁ θεῖος Παῦλος, παρόντος καὶ Ἀγρίππα τοῦ βασιλέως Ἰουδαίων, ἀπολογησάμενος δέσμιος εἰς Ῥώμην ἐκπέμπεται.
637 *Φίστον Ἀλβῖνος διεδέξατο.*
Ἀλβῖνον Γέστιος Φλῶρος διεδέξατο. 10
Ἰουδαῖοι Ῥωμαίων ἀπέστησαν ἐπὶ Γεστίου Φλώρου διὰ πλεονεξίαν αὐτοῦ ἄμετρον. ἐφ' οὓς ὁ Νέρων Οὐεσπασιανὸν ἐξέπεμψε στρατοπεδάρχην πολλὰ τῆς Ἰουδαίας ἀγανακτησάμενος.
Σημειωτέον ἐκ τῶν ἀποστολικῶν ῥητῶν ὅτι δεύτερον ὁ θεῖος Παῦλος παρέστη τῷ Καίσαρι ἐν Ῥώμῃ. καὶ τὸ μὲν πρῶτον ὁ Νέρων ἠπιώτερόν 15 *πως διακείμενος κατὰ τοῦ Χριστιανῶν δόγματος, ἀκούσας αὐτοῦ τὴν ἀπολογίαν ἀπέλυσεν, οἰκονομοῦντος τοῦ πνεύματος τελειωθῆναι τοῖς πᾶσι δι' αὐτοῦ τὸ κήρυγμα, ὡς αὐτός φησιν ἐν τῇ πρὸς Τιμόθεον β′ ἐπιστολῇ, ὅτε δὴ καὶ τὸν Λουκᾶν γράφει συνεῖναι, ὃς τὰς τῶν ἀποστόλων πράξεις εἰς ταύτην περιέγραψε τὴν πρώτην ἀπολογίαν τοῦ Παύλου ἐλθεῖν, καὶ* 20 *συνῆν αὐτῷ, ὡς ἔοικε, σιωπήσας τὸν περὶ τοῦ μαρτυρίου αὐτοῦ λόγον, καθ' ὃν οὐ παρῆν, δηλονότι τὸ δεύτερον τοῦ μακαρίου Παύλου ἐξ οἰκείας αἰτήσεως ἀναπεμφθέντος ἀπὸ Καισαρείας τῆς Παλαιστίνης ὑπὸ Φίστου πρὸς Νέρωνα καὶ τὸ δεύτερον παραστάντος αὐτῷ καὶ τελειωθέντος τῷ δι' αἵματος μαρτυρίῳ. ὅθεν Ἰουδαῖοι τῆς κατ' αὐτοῦ ἐπιβουλῆς τοῦ ἀνελεῖν* 25 *αὐτὸν ἀστοχήσαντες ἐπὶ τὴν ἀναίρεσιν Ἰακώβου τοῦ ἀδελφοθέου τρέπονται· περὶ ἧς Ἡγήσιππος ἀξιόλογος μαθητὴς τῶν ἀποστόλων τάδε φησὶν ἐν ε′ ὑπομνήματι·*

5 Euseb. 2, 179, 17, cf. supra 405, 5 || **6** Euseb. 2, 182[b], H. E. 2, 22, 2, Acta apost. 25, 13 || **9–13** Euseb. 2, 182[f]. 183[f]. 185[d,e] || **14–28** Euseb. H. E. 2, 22–23, 1, cf. 2 Tim. 4, 11. 16

3 *γεγόνασι πολλοὶ* **AB** tr. **t** || **4** *κολοσσαι* **At** *λοσσαὶ* **B** || **5** *ε′ ἀλλοφύλου ἀγρίππα β′ ἔτη (ἔτη β′* **O**) **t** *ε′ ἀλλόφυλος ἀγρίππας ἔτη β′* **AB**, cf. supra 404, 15; 405, 5 || **6** *φίστος* **t** *φῖστος* **A** *φῆστος* **C**[c] | *φίλικος* **ABt** *φίληκος* **C** | *ἐφ'*] *ὑφ'* **T** || **9** *φίστον* **Bt** *φῖστον* **A** *φῆστον* **C**[c] || **13** *ἀγανακτησάμενος* **At** *ἀγανακτησόμενος* **B** || **16** *ὁμολογίαν* **Q** et ante corr. **P** || **17** *πνεύματος* **x** *πνς* **z** *σωτῆρος* **AB** || **19** *δὴ* **At** *δὲ* **B** | *γράφη* **B** *γραφῆ* **C** | *ὃς*] *ὡς* **C** om. **A** || **20** *περιέγραψε* **Bt** *περιγράψας* **A** || **21** *συνῆν* **AB** *συνεῖναι* **t** || **23** *καισαρίας* **OPQ** | *τῆς* om. **x** | *φίστου* **ABt** *φήστου* **C**[c] || **24** *πρὸς τὸν* **S** | *αὐτῷ* **ABC**[c] *αὐτοῦ* **t** || **26** *ἰακώβου* **Bt** *τοῦ ἰακώβου* **A** || **27** *ἡγήσιππος* **ABx** *ἡγίσιππος* **z**

Ἡγησίππου μαθητοῦ τῶν ἀποστόλων ἐκ τοῦ ε′ ὑπομνήματος περὶ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου 638

Διαδέχεται τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων δίκαιος ἀπὸ τῶν τοῦ Χριστοῦ χρό-
5 *νων μέχρι καὶ ἡμῶν, ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν. οἶνον καὶ σίκερα οὐκ ἔπιε, καὶ ἔμψυχον οὐκ ἔφαγε, καὶ ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη, ἔλαιον οὐκ ἠλείψατο καὶ βαλανείῳ οὐκ ἐχρήσατο. τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι· οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας. καὶ μόνος εἰσήρχετο εἰς τὸν ναόν, ηὑρίσκετό*
10 *τε κείμενος ἐπὶ τοῖς γόνασι καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου διὰ τὸ ἀεὶ κάμπτειν ἐπὶ γόνυ προσκυνοῦντα τῷ θεῷ καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. διά γε τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ ἐκαλεῖτο δίκαιος καὶ ὀβλίας, ὅ ἐστι περιοχὴ τοῦ λαοῦ, δικαιοσύνη, ὡς οἱ προφῆται δηλοῦσι περὶ αὐτοῦ.*
15 *Τινὲς οὖν τῶν ἑπτὰ αἱρέσεων τῶν ἐν τῷ λόγῳ προγεγραμμένων μοι ἐν τοῖς ὑπομνήμασιν ἐπυνθάνοντο αὐτῷ, τίς ἡ θύρα τοῦ Ἰησοῦ, καὶ ἔλεγε τοῦτον εἶναι τὸν σωτῆρα· ἐξ ὧν τινες ἐπίστευον ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός· αἱ δὲ αἱρέσεις αἱ προειρημέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὅσοι δὲ καὶ ἐπίστευσαν,* 639
20 *διὰ Ἰάκωβον.*

Πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ Φαρισαίων καὶ γραμματέων λεγόντων ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν. ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ· παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαόν, ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ
25 *ὄντος τοῦ Χριστοῦ. παρακαλοῦμέν σε πεῖσαι τοὺς ἐλθόντας πάντας εἰς τὴν ἡμέραν τοῦ πάσχα περὶ Ἰησοῦ. σοὶ γὰρ πάντες πειθόμεθα· ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαὸς ὅτι δίκαιος εἶ καὶ ὅτι πρόσωπον οὐ λαμ-*

1 – p. 412, 29 Hegesippus apud Euseb. H. E. 2, 23, 3 – 18 ‖ **5 – p. 413, 8** eadem fere ps. Sym. f. 62v (breuius Cedr. 360, 22 – 362, 11) et Paris. 1336 f. 158v – 159r ‖ **5 – 8** cf. Numer. 6, 3 – 5 ‖ **15** cf. Euseb. H. E. 4, 22, 7

2 post *ἁγίου* add. *ἀποστόλου* **Q** ‖ **3** *μετὰ* **t** Euseb. *μετὰ τὴν* **AB** ‖ **7** *ἠλείψατο* **Bt** *ἀλείψας* **A** ‖ **9** *σινδόνας* ps. Sym. Euseb. *σινδόναις* **AB** *σινδόνι* **COTz** *σινδόσι* **V** *σινδόνα* Paris. 1336 | *μόνος* **COz** Euseb. *μόναις* **TV** *μόνον ὅτε* **AB** | *ηὑρίσκετο* **At** *ηὕρεσκετο* **B** ‖ **11** *ἀπεσκληκέναι* **AB** *ἀποσκλικέναι* **V** *ἀποκεσκληκέναι* **C** *ἀποκεκλικέναι* **OTz** | *ἐπικάμπτειν* **T** ‖ **12** *προσκυνοῦντα τῷ θεῷ* **AB** *τῷ θεῷ προσκυνοῦντα* **t** *τῷ* om. **O** ‖ **14** *δικαιοσύνης* **C** *καὶ δικαιοσύνη* Euseb. ‖ **15** *τῷ* **ABx** *τὸ* **z** | *λόγῳ*] *λαῷ* Euseb. | *προγεγραμμένων* **Bt** *γεγραμμένων* **A** ‖ **16** *αὐτῷ*] *αὐτὸν* **C** *αὐτοῦ* Euseb. | *καὶ* om. **z** | *ἔλεγε* **ABV** *ἔλεγον* **COTz** ‖ **21** *τῶν*[1] **t** *ἐκ τῶν* **B** om. **A** ‖ **26** *Ἰησοῦ*] *θεοῦ* **V** ‖ **27** *ὅτι*[2] om. **B**

βάνεις. πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι· καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες ἡμεῖς πειθόμεθά σοι. στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ἧς καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. διὰ γὰρ τὸ πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν.

Ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ Φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ ἔκραξαν αὐτῷ καὶ εἶπον· δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν τίς ἡ θύρα τοῦ Ἰησοῦ. καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ· τί με ἐρωτᾶτε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως καὶ μέλλει ἔρχεσθαι ἐπὶ **640** τῶν νεφελῶν τοῦ οὐρανοῦ; καὶ πολλῶν πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου καὶ λεγόντων· ὡσαννὰ τῷ υἱῷ Δαβίδ, τὸ ἔμπαλιν οἱ αὐτοὶ γραμματεῖς καὶ Φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον· κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ. ἀλλ᾽ ἀναβάντες καταβάλωμεν αὐτόν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ. καὶ ἔκραξαν λέγοντες· ὢ ὤ, καὶ ὁ δίκαιος ἐπλανήθη· καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμμένην· ἄρωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστι· τοίνυν τὰ γενήματα τῶν ἔργων αὐτῶν φάγονται.

Ἀναβάντες οὖν κατέβαλον τὸν δίκαιον, καὶ ἤρξαντο λιθάζειν αὐτόν. ἐν ᾗ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων· παρακαλῶ κύριε θεὲ πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. οὕτως δὲ καταλιθοβολούντων αὐτὸν εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχάβ, υἱοῦ Ῥαχαείμ, τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου, ἔκραξε λέγων· παύσασθε, τί ποιεῖτε; εὔχεται ὑπὲρ ἡμῶν ὁ δίκαιος. καὶ λαβών τις ἀπ᾽ αὐτῶν εἷς τῶν γναφέων τὸ ξύλον, ἐν ᾧ ἀποπιέζει τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς τοῦ δικαίου. καὶ οὕτως ἐμαρτύρησε· καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ, καὶ ἐπ᾽ αὐτοῦ στήλη μένει παρὰ τῷ ναῷ. μάρτυς οὗτος ἀληθὴς **641** Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένηται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστι. καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς.

17 Is. 3, 10 || 23 Ierem. 42, 19

1 πεῖσον **Bt** πείσων **A** || 3–6 ἵνα . . . ἱεροῦ om. **C** || 3 ᾖ **Bt** ἡ **A** || 7 Ἰησοῦ om. **A** || 9 υἱοῦ τοῦ ἀνθρώπου] ἰησοῦ **C** || 11 καὶ δοξαζόντων om. **z** || 12. 13 τὸ ἔμπαλιν] πάλιν **C** τότε πάλιν Euseb. || 15 καταβάλωμεν **Bt** καταβάλλωμεν **A** || 17 δύσχρηστος **Bt** δύσχριστος **A** || 18 γενήματα **ABOT** Euseb. γεννήματα **A**[c] **C** **Vz** | αὐτῶν **At** Euseb. αὐτοῦ **B** | φάγονται **Bt** φάγωνται **A** || 19 κατέβαλον **Bt** κατέβαλλον **A** || 20 ἔθηκε **ABx** ἔθηκαν **z** | post γόνατα add. αὐτοῦ **C** || 22 ῥηχάβ **A** Euseb. ῥιχάβ **Bt** | ῥαχαείμ **Bt** ῥαχαήμ **A** Ῥαχαβείμ Euseb. || 23 παύσασθε **At** παύσασθαι **B** || 25 ἀποπιέζῃ **T** ἀποπίαζεν **C** || 26–27 παρὰ . . . παρὰ om. **A** || 27 ἐπ᾽ αὐτοῦ **BC**[c]**V** ἐπ᾽ αὐτῷ **COTz** ἔτι αὐτοῦ ἡ Euseb. | τῷ ναῷ **Bt** τοῦ ναοῦ **A**

Ταῦτα μὲν Ἡγήσιππος τῶν τοῦ καθ' ἡμᾶς ὀρθοῦ λόγου ἀξιόπιστος συγγραφεὺς ὀρθῶς ἱστορεῖ, ᾧ καὶ Ἰώσηππος οὐκ ἀπᾴδοντα συμφωνεῖ γράφων ταύτην γενέσθαι τὴν αἰτίαν τῆς κατὰ Οὐεσπασιανὸν ἁλώσεως Ἰουδαίων.

5 Ἰωσήππου περὶ τῶν αὐτῶν

Ταῦτα δὲ συμβέβηκεν Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου, ὅς ἦν ἀδελφὸς Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, ἐπειδήπερ δικαιότατον αὐτὸν ὄντα Ἰουδαῖοι ἀπέκτειναν.

Ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύνην εἴπαμεν παρειληφέναι,
10 *θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως. αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. ἅτε δὴ τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον διὰ τὸ τεθνάναι μὲν Φίστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν καὶ παραγαγὼν εἰς αὐτὸ τὸν*
15 *ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγόμενον, Ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς κατὰ παρανομησάντων κατηγορίαν ποιησάμενος, παραδέδωκε καταλευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι* 642
20 *τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράττειν· μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι· τινὲς δὲ ἐκ τῶν κατὰ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντι, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς αὐτοῦ γνώμης καθίσαι συνέδριον.*

Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ λή-
25 *ψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς Ἀγρίππας διὰ τοῦτο τῆς ἀρχιερωσύνης ἀφελόμενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς Ἰησοῦν τὸν Ἰδαμμαίου κατέστησε.*

5 **ABCO** *Σχολ. καὶ ἐν εἰκοστῷ τῆς ἀρχαιολογίας*

6–8 Iosephus apud Euseb. H. E. 2, 23, 20 (in textu Iosephi non exstat) || 9–27 Iosephus Ant. Iud. 20, 197. 199–203 apud Euseb. H. E. 2, 23, 21–24; cf. Bell. Iud. 2, 166

2 *οὐκ ἀπᾴδοντας* **T** *οὐ καταπάδοντα* **z** || 6 *δὲ* om. **A** || 7 *ἐπειδήπερ* **Bt** *ἐπειδὴ γὰρ* **A** || 9 *εἴπαμεν* **t** *εἴπομεν* **AB** || 10 *μετίη* **C** || 11 *τοὺς* om. **C** || 12 *ὁ* om. **C** || 13 *φίστον* **Bt** *φῆστον* **AC**^{c} || 16 *ἑτέρους* **Bt** *ἑταίρους* **A** || 17 *καταλευσθησομένους* **t** Euseb. *καταλευσθησόμενον* **AB** || 19 *κρύφα* **t** Euseb. *κρυφῇ* **AB** || 21 *ἐκ τῶν κατὰ τὸν* **Bt** *ἐκ τῶν* **A** *αὐτῶν καὶ τὸν* Euseb. | *ἀλβῖνον* **Bt** *σαλβίνων* **A** || 22 *ὁδοιποροῦντι* **ABt** *ὁδοιποροῦντα* Euseb. | *ἄξιον* **T** || 23 *αὐτοῦ* **Bt** *αὐτῆς* **A** || 26 *ἀφελόμενος* **At** *ἀελόμενος* **B** || 27 *ἰδαμμαίου* **BOTV** *ἰδαμαίου* **C** *ἰδαμναίου* **z** *ἰδουμαῖον* **A** *τοῦ Δαμμαίου* Euseb. *τοῦ Δαμναίου* Ioseph. || 28 *καὶ ἐν εἰκοστῷ* **O**^{m} *καὶ κʹ* **A**^{m}**B**^{m} | solum *σχολ.* habet **C**^{m} ceteris omissis

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΞΓ

Τῆς θείας σαρκώσεως ἔτη ξγ'
Τὰ ὑπόλοιπα τοῦ Νέρωνος

Νέρων πρῶτος κατὰ Χριστιανῶν κινήσας διωγμὸν πρὸς τῷ τέλει τῆς αἰσχίστης ζωῆς καὶ βασιλείας αὐτοῦ, καθ' ὃν Πέτρος καὶ Παῦλος ἐμαρ- (5) τύρησαν οἱ θεῖον ἀπόστολοι, πολλοὺς καὶ ἄλλους Χριστιανῶν ἀνεῖλε, πλείονας ἐκδιώξας.

Νέρων τοὺς θείους ἀποστόλους Πέτρον καὶ Παῦλον ἀνελών, πολλούς τε Χριστιανῶν διαφθείρας καὶ πλείονας διώξας, ἐπὶ τούτοις κιθαρῳδίαις καὶ (643) *τραγῳδίαις κατά τε Ῥώμην καὶ τὴν Ἑλλάδα πομπεύων, Ἰσθμίοις καὶ* (10) *Πυθίοις καὶ Ἠλείοις καὶ Ἀκτίοις ἐστεφανοῦτο κήρυξιν ἅρματι πωλικῷ καὶ τῷ τελείῳ καὶ δεκαπώλῳ· μεταθέμενος καὶ τὴν ὀλυμπιάδα κατὰ σκηνῆς αἰσχρῶς ἑαυτὸν ὑπεδείκνυ.*

Τότε καὶ τὸν Ἰσθμὸν ἠβουλήθη διορύξαι πρὸς τὸ γενέσθαι νῆσον τὴν Πελοπόννησον. (15)

Οὗτος εἰς Ῥώμην ἐπανελθὼν ἐκ τῆς Ἑλλάδος ἐκεῖθεν πάλιν εἰς Ἄργος φεύγει πειρασθεὶς ἐπαναστάσεως καὶ ὑπό τινος τῶν οἰκετῶν βιαίως ἀναιρεῖται, ὡς δὲ ἕτεροι, ἑαυτὸν διαχειρισάμενος τέθνηκεν.

Οὐεσπασιανὸς ὑπατικὸς ἀνὴρ δυνατὸς ὑπὸ Νέρωνος κατὰ Ἰουδαίων ἀποστάντων πεμφθεὶς καὶ δυσὶ πολέμοις τούτους τρεψάμενος ἀπέκλεισεν. (20)

Ἰώσηππος δὲ στρατηγῶν Ἰουδαίων μόλις περισωθεὶς θεσπίζει τῷ Οὐεσπασιανῷ τὰ τῆς Νέρωνος τελευτῆς καὶ τῆς αὐτοῦ βασιλείας.

Νέρων υἱοθετήθη μὲν τῷ πρὸ αὐτοῦ Ῥωμαίων βασιλεύσαντι Κλαυδίῳ, πρόγονος ὢν αὐτοῦ. ἐβασίλευσε δὲ Ῥωμαίων μετὰ Κλαύδιον ἔτη ιγ', κατὰ δὲ ἄλλους ιδ'. τούτου δὲ τῆς βασιλείας ἀτυχεστέραν ἢ αἰσχροτέραν ἐν (25) *οὐδενὶ χρόνῳ φαίνονται βασιλευθέντες Ῥωμαῖοι. πάσης γὰρ τυραννίδος καὶ ὠμότητος ἔργα παρ' αὐτοῦ πέπρακται, ἀκρασίαι, μιαιφονίαι τῆς τε* (644) *μητρὸς Ἀγριππίνης καὶ Ὀκταβίας τῆς οἰκείας γαμετῆς, ἀδελφοῦ τε γνη-*

4–7 Euseb. 2, 185[c], H. E. 2, 25, 1–2; cf. Paris. 1336 f. 158[r] || 8 cf. Euseb. 1, 101–102 (olympionicae); 2, 183[e]. 184[d,f], Eutrop. 7, 14, 2, Suet. Ner. 23–24 || 14 cf. Suet. Ner. 18, Cass. Dion. 62, 16 || 16–18 cf. Euseb. 2, 185[h], Eutrop. 7, 15, 1 (*in suburbano*), Anon. Matr. 48, 6 (*εἰς τὸ Ἄργος*, leg. *τὸν ἀγρόν*) || 19 Euseb. 2, 185[d,e,f], cf. Ioseph. Bell. Iud. 3, 392–408 || 23–p. 415, 2 Euseb. H. E. 2, 25, 1–4, Ioseph. Ant. Iud. 20, 148–154

3 *τοῦ* om. **AOTz** || 4 *τῷ τέλει* **AB** *τῷ τέλος* **V** *τὸ τέλος* **COTz** || 9 *χριστιανοὺς* **C** || 9.10 *καὶ τραγῳδίαις* om. **O** || 11 *Ἠλείοις* Go.[m] *ἰλίοις* **AV** *ἰλλύοις* **B** *ἰλύοις* **COTz** | *πολικῷ* **OV** *πολιτικῷ* **C** || 12 *κατὰ σκηνῆς* **ABx** *κατασκηνῆσαι* **z** || 14 *ἰθμὸν* **OPQMR** *ἰσμὸν* **S** | *νῆσον* **C[c]P[c]Q[c]MRS** *ἴσον* **At** *ἶσον* **B** || 18 post *ἕτεροι* add. *φασιν* **C** | *διαχειρισάμενος* **At** *διαχειρησάμενος* **B** || 20 *καταστρεψάμενος* **T** || 21 *στρατηγὸν* **CTz** || 24 *κλαύδιον* **z** *κλαυδίου* **ABx** || 25 *ιδ'*] *ἔτη ιδ'* **C** | *ἢ αἰσχροτέραν* om. **T** || 27 *ἀκρασίαι καὶ* **V**

σίου καὶ θείου πρὸς πατρὸς καὶ ἄλλων πολλῶν συγγενῶν, καὶ τῶν ἐν γερουσίᾳ. ἐπὶ πᾶσι δ' αὐτοῦ τοῖς ἀτυχήμασι καὶ τὸν πρῶτον κατὰ Χριστιανῶν ἐνεδείξατο διωγμόν, ἡνίκα Πέτρος καὶ Παῦλος οἱ θειότατοι ἀπόστολοι τῷ ὑπὲρ Χριστοῦ μαρτυρήσαντες κατεστέφθησαν ἀγῶνι, ὁ μὲν κατὰ
5 *κεφαλῆς ἀνασκολοπισθείς, ὡς αὐτὸς ᾑρετίσατο, ὁ δὲ τὴν ἁγίαν ἐκτμηθεὶς κεφαλὴν Παῦλος· περὶ ὧν ὁ Ῥωμαϊκὸς συγγραφεὺς Τερτυλλιανὸς τάδε γράφει·*

Ἐντύχετε τοῖς ὑπομνήμασιν ὑμῶν· ἐκεῖ εὑρήσετε πρῶτον Νέρωνα τοῦτο δογματίσαντα, ἡνίκα μάλιστα ἐν Ῥώμῃ τὴν ἀνατολὴν πᾶσαν ὑποτάξας
10 *ὠμὸς ἦν εἰς πάντας διώκτης. τοιούτῳ τῆς κολάσεως ἡμῶν ἀρχηγῷ καυχώμεθα. ὁ γὰρ εἰδὼς ἐκεῖνον νοῆσαι δύναται οὐκ ἄν, εἰ μὴ μέγα τι ἀγαθὸν ἦν, ὑπὸ Νέρωνος κατακριθῆναι. ταύτῃ γοῦν οὗτος θεομάχος ἐν τοῖς μάλιστα πρῶτος ἀνακηρυχθεὶς ἐπὶ τὰς κατὰ τῶν ἀποστόλων ἐπήρθη σφαγάς. Παῦλος δὴ οὖν ἐπὶ τῆς Ῥώμης τὴν κεφαλὴν ἀπετμήθη καὶ Πέτρος*
15 *ὡσαύτως ἀνασκολοπισθῆναι κατ' αὐτὸν λέγεται. καὶ πιστοῦταί γε τὴν ἱστορίαν ἡ Παύλου καὶ Πέτρου εἰς δεῦρο κρατήσασα ἐπὶ τῶν αὐτόθι κοιμητηρίων πρόρρησις. τούτοις καὶ Γάιος ἱστορικός, ἀνὴρ ἐκκλησιαστικός, ὅμοια γράφει Πρόκλῳ τινὶ τῆς Φρυγῶν αἱρέσεως διαλεγόμενος ἐν τοῖς χρόνοις Ζεφυρίνου, πεντεκαιδέκατος τῆς Ῥωμαίων ἐκκλησίας ἐπί-*
20 *σκοπος κατὰ Σεβῆρον Ῥωμαίων αὐτοκράτορα· ἐγὼ δὲ τὰ τρόπαια τῶν ἀποστόλων ἔχω. ἐὰν γὰρ θελήσῃς ἀπελθεῖν ἐπὶ τὸν Βασίκανον ἐπὶ τὴν* 645 *ὁδὸν τὴν Ὠστείαν, εὑρήσεις τὰ τρόπαια τῶν ταύτην ἱδρυσαμένων τὴν ἐκκλησίαν.*

Τούτοις ἀκόλουθα καὶ Διονύσιος ὁ Κορίνθου ἐπίσκοπος γράφει, ὡς δη-
25 *λονότι κατὰ τὸν αὐτὸν καιρὸν ἐμαρτύρησαν· ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Παύλου καὶ Πέτρου φυτείαν γενηθεῖσαν Ῥω-*

14 ACOV *ἐπὶ Νέρωνος ἐν Ῥώμῃ ἤκμαζον ποιηταὶ Λουκιανός, Βύδιος, σατουρικοὶ Ἰουβενάλιος καὶ Πέρσιος, Σενεκᾶς τε ὁ στρατηγικός, Μουσώνιός τε καὶ Πλούταρχος φιλόσοφοι*

2–5 Euseb. H. E. 2, 25, 5 ‖ **6–12** Tertull. apol. 5 apud Euseb. H. E. 2, 25, 4 ‖ **12–23** Euseb. H. E. 2, 25, 5–7 ‖ **14–15** cf. ps. Sym. f. 62r (om. Cedr.) ‖ **24**–p. 416, **3** Dionysius apud Euseb. H. E. 2, 25, 8

5 *ἡρετίσατο* **ACTV** *ἡρετήσατο* **BOz** ‖ **6** *κεφαλὴν παῦλος* **AB** *παῦλος κεφαλὴν* **COz** *κεφαλὴν* om. **TV** add. supra *ἐκτμηθεὶς* eadem manu **T** | *τερτυλλιανὸς* **O** *τερτυλιανὸς* cett. ‖ **8** *εὑρήσεται* **BM** ‖ **9** *καὶ τὴν* **C** ‖ **11** *μέγα τι* Euseb. *μεγίστη* **ABt** ‖ **15** *κατὰ ταὐτὸν* **COVz** ‖ **16** *πέτρῳ* **OPMRS** ‖ **17** *γάϊος* **Bt** *γαίας* **A** ‖ **20** *σεβῆρον* **TV** *σεύηρον* **ACz** *σέηρον* **B** *σεβήρου* **O** | *αὐτοκράτωρ* **OTVz** ‖ **21** *ἔχω* **AB** et per rasuram **C** *ἔχων* **t** *ἔχω δεῖξαι* Euseb. | *θελήσεις* **OT** ‖ **22** *εὑρήσῃς* **B** *εὑρήσῃ* **T** ‖ **25** *ἐμαρτύρησαν* **Bt** *ἐμαρτύρησεν* **A** | *ὑμεῖς* **CVz** *ἡμεῖς* **ABOT** ‖ **26** *νουθεσίας* **t** *νομοθεσίας* **AB** | *γεννηθεῖσαν* **AV** ‖ **27** *λουκιανός, βύδιος* **C**m**O**m**V**m *λουκᾶς ἢ βύδιος* **A**m *Lucanus Ouidius* Anastasius 66, 33 ‖ **28** *καὶ Πέρσιος* om. **O**m | *μουσώνιός τε καὶ* **A**m *μουσιῶνός τε καὶ* **O**m**V**m *μουσίων ὅς τε καὶ* **C**m

μαίων τε καὶ Κορινθίων συνεκεράσατε. καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φοιτήσαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν, ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ἐκδιδάξαντες ἐμαρτύρησαν κατὰ τὸν αὐτὸν καιρόν.

Τῆς Ῥωμαίων ἐκκλησίας α' ἐπίσκοπος μετὰ Πέτρον τὸν κορυφαῖον Λίνος ἔτη ιη'. 5

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΞΔ

Τῆς θείας σαρκώσεως ἔτη ξδ'

Νέρωνος τὸν βίον αἰσχρῶς καταλύσαντος Οὐεσπασιανὸς ὑπὸ τῶν στρατευμάτων κατὰ τὴν Ἰουδαίαν βασιλεὺς Ῥωμαίων ἀνηγορεύθη. Γαλβᾶς δὲ στρατηγῶν Ἰβηρίας εἰς Ῥώμην παρελθὼν κρατεῖ μῆνας ζ'. τοῦτον 10 *Ὄθων ἀνελὼν εἷς τῶν ἐν τέλει κρατεῖ μῆνας γ' ἐπὶ τῆς Ῥώμης, ὃν Βιτέλλιος κτείνας κρατεῖ μῆνας η'. οὗτος Σαβῖνον τὸν ἀδελφὸν Οὐεσπασιανοῦ* 646 *διατρίβοντα κατὰ τὴν Ῥώμην καὶ φόβῳ τῆς ἀναρρήσεως τοῦ ἀδελφοῦ ἐν τῷ Καπετωλίῳ προσφυγόντα κατὰ τὸν ναὸν τοῦ Διὸς ἀνεῖλε, πολιορκήσας τὸν ἄνδρα καὶ τὸν ναὸν ἐμπρήσας.* 15

Ὁ δὲ αὐτὸς ὑπὸ Δομετιανοῦ παραχρῆμα ἀνῃρέθη τοῦ νεωτέρου παιδὸς Οὐεσπασιανοῦ πεμφθέντος εἰς τοῦτο παρὰ τοῦ πατρός. τὸν γὰρ πρεσβύτερον υἱὸν Τίτον τὸν πρὸς Ἰουδαίους πόλεμον ἐκτελέσαντα καταλιπὼν αὐτὸς ἐπὶ τὴν Ἑλλάδα παραγίνεται, χαίρων, ὡς Ἕλληνες μυθεύονται, ἐφ' οἷς ἠκηκόει παρὰ τοῦ Τυανέως Ἀπολλωνίου περὶ τοῦ χρόνου τῆς βασιλείας 20 *καὶ τῶν λοιπῶν εὐδοκιμήσεων, κατὰ τὴν Αἴγυπτον συντυχὼν αὐτῷ ἐξ Ἰνδῶν καὶ Βραχμάνων ἐπανελθόντι τῶν ἐκεῖσε Γυμνοσοφιστῶν. ἐλθὼν οὖν εἰς Ἑλλάδα χειροῦται τὰς ἀποστάσας πόλεις, κἀκεῖθεν εἰς Ῥώμην παραγίνεται, βασιλεύσας κοσμίως καὶ ἀντιθέτως τῷ Νέρωνι. βίους γὰρ καὶ τὰ τῆς πόλεως ἀνακαλεῖται δίκαια, τούς τε ἐπαναστάντας βαρβάρους* 25 *Βροξύλους καὶ Βρεττανοὺς καὶ Δάκας καὶ Σαρμάτας διὰ τῶν παίδων παραστησάμενος Δομετιανοῦ καὶ Κυρεναλίου.*

4 Euseb. 2, 185[g] (ann. 11), H. E. 3, 2, 13 (ann. 12) || **8–15** cf. Eutrop. 7, 16–18 || **16–17** aliter Eutrop. 7, 18, 4. Cassius Dio 64, 17; cf. Suet. Domit. 1 || **17–19** cf. Euseb. 2, 186[h] || **19–23** cf. Philostr. uit. Ap. 5, 27 et 41, Suet. Vesp. 8 || **23–24** cf. Eutrop. 7, 19, 2 || **25–27** cf. Tacitum Hist. 4, 73, Agric. 17, Ioseph. Bell. Iud. 7, 82–85

[**AB** (326, 17–416, 19) **x** = **COTV** **z** = **PQMRS** **t** = **xz**] **1** *ἄμφω* Go.[m] et Euseb. *ἀμφοῖν* **ABt** || **5** *ιη'*] *η'* **C** || **11** *Ὄθων* Di. *ὤθων* **Bt** *ὤθον* **A** | *εἷς τῶν* **Bt** *εἰς τὸν* **A** | *ὃν*] *ὧν* **C** || **11–12** *ἐπὶ . . . μῆνας η'* om. **V** || **12** *κτείνας* om. **A** || **14** *καπετωλίῳ* **O** *καπετωλίνῳ* **T** *καπετολίῳ* **V** || **16** *ὑπὸ* **Bt** *ἐπὶ* **A** || **18** *τὸν* om. **COTz** | *καταλείπων* **B** *καταλιπὼν ὁ* **V** *καταλιπὸν* **PMS** || **19** *χαίρων ὡς ἕλληνες μυθεύονται* **t** om. **A** *χαίρων ὡς ἕλληνες μυθεύ-* explicit **B** f. 143[v] post quod codex deficit || **20** *χρόνου* **t** *χριστοῦ* **A** || **21** *εὐδοκημήσεων* **T**

Εὐσεβίου

Τίτος Ἰουδαίους πολιορκήσας καὶ τὰ Ἱεροσόλυμα κατασκάψας ς' μυριάδας ἀνδρῶν ἐφόνευσε. φησὶ δὲ καὶ Ἰώσηππος λιμῷ καὶ μαχαίρᾳ ρι' μυριάδας ἀπολέσθαι, καὶ ἄλλας τρεῖς μυριάδας διαπεπρᾶσθαι αἰχμαλώ- 647
5 των. αἴτιον δὲ τοῦ τοσοῦτον πλῆθος κατὰ τὴν πόλιν εὑρῆσθαί φησι τὴν τοῦ πάσχα ἑορτήν, ἐν ᾗ πάντες οἱ τοῦ ἔθνους συνεληλυθότες ὡς ἐν εἱρκτῇ συνεκλείσθησαν. ἔδει γὰρ τοὺς ἐν ἡμέραις τοῦ πάσχα ἐπιβεβουλευκότας τῷ σωτῆρι ἡμῶν μὴ ἄλλοτε ἢ τότε τὰ ἐπίχειρα ὧν ἐτόλμησαν παθεῖν.
Οὐεσπασιανὸς τὸ Καπετώλιον ἐμπρησθὲν ἀνῳκοδόμησεν.
10 Ἐν Ἀλεξανδρείᾳ στάσις.
Ὁ κολοσσὸς Ῥόδου ἀνεστάθη μῆκος ποδῶν ρκζ' ἐκ χαλκοῦ.
Λοιμὸς κατὰ τὴν Ῥώμην μέγας, ὡς καθ' ἡμέραν ὑπὲρ μυρίους θνήσκειν ἐπὶ πολλὰς ἡμέρας.
Ἐν Κύπρῳ τρεῖς πόλεις σεισμῷ κατεπτώθησαν.
15 Οὐεσπασιανὸς ἀποικίας ἐκπέμψας τελευτᾷ νόσῳ.
Ἀντιοχείας ἐπίσκοπος Ἰγνάτιος ὁ θεοφόρος ἔτη λ'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΞΣ

Τῆς θείας σαρκώσεως ἔτη ξς'
Τὰ ὑπόλοιπα Ἀγρίππα Ἰουδαίων βασιλέως

20 Ἕως τοῦ μικροῦ τούτου Ἀγρίππα ἡ ὑπὸ ἀλλοφύλων βασιλεία τῶν Ἰουδαίων κατηργήθη διαρκέσασα ρ' ἔτη οὕτω·
Ἡρώδης πρῶτος ὁ τὰ νήπια ἀνελὼν ἐν Βηθλεὲμ ἔτη λζ'.
Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἔτη θ'. 648
Ἡρώδης ὁ ἀδελφὸς αὐτοῦ ἔτη κδ'.
25 Ἀγρίππας ὁ υἱὸς Ἡρώδου, ὁ σκωληκόβροτος Ἡρώδης, ἔτη ζ'.

2 CO *ἅλωσις καὶ αἰχμαλωσία ἐσχάτη τῶν Ἰουδαίων β' σὺν τῇ πόλει Ἱεροσολύμων*

2–8 Euseb. 2, 187[a], cf. Chron. Pasch. 461, 21 || **9–15** Euseb. 2, 186[f]. 188[a,b,d,g,h,l]; cf. ps. Sym. f. 63[v]. 78[r] (Cedr. 377, 13; 380, 9), Paris. 1336 f. 159[v] || **16** cf. Euseb. 2, 186[f]. 194[h] (interuall. ann. 40), H. E. 3, 22 || **20** – p. 418, **2** cf. ps. Sym. f. 62[r] = Cedr. 343, 13–17; concordat Euseb. 2 (170, 9; 171, 16; 177, 16) Agrippa secundo excepto (ann. 26: 179, 19; ann. 23 etiam Niceph. H. E. 3, 3)

2 *ς'*] *καὶ* **At** || **3** *καὶ*[1] **A** *ὁ* **C** om. **TOVz** || **4** *ἀπολέσθαι* Di. *ἀπώλεσεν* **At** || **5** *τοσούτου πλήθους* **At** | *εὑρῆσθαι* **ATz** *εὑρᾶσθαι* **COV** || **8** *μὴ . . . ἐτόλμησαν* om. **A** | *μὴ ἄλλοτε* Chron. Pasch. *μεγάλων τε* **t** | *ἢ* **CV** *ἡ* **OTz** || **21** *διαρκέσασα* post rasuram **CV** *διασκεδάσασα* **At** | *ρ' ἔτη οὕτω* **A** *ἔτη ρ' οὕτω* **TVz** *ἔτη ρο'* **CO** || **23** *ὁ* om. **T** || **24** *ὁ ἀδελφὸς* **t** *ἀδελφὸς* **A** || **25** *ὁ*[1] om. **T** | *ὁ σκωληκόβρωτος* **t** *ἔτη ὁ σκοληκόβρωτος* **A** || **26** hoc lemma habet **T** in textu post *Εὐσεβίου* | *β' σὺν* **C**[m]**O**[m] *ἐπὶ* **T** | *Ἱεροσολύμων* om. **C**[m]**T**

Ἀγρίππας ὁ υἱὸς αὐτοῦ, ὁ μικρὸς λεγόμενος, ἔτη κγ'.
Ὁμοῦ ἔτη ρ'.
Συνάγεται ὁ πᾶς χρόνος κατὰ τόδε τὸ χρονογράφιον ἀπὸ Ἀδὰμ ἕως ἔτους δευτέρου Οὐεσπασιανοῦ ἔτη ͵εφξζ'.
Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ͵γτκε'. 5
Ἀπὸ δὲ τοῦ πρώτου ἔτους Ἀβραὰμ ͵βσνε'.
Ἀπὸ δὲ τῆς ἐξόδου ⟨τοῦ λαοῦ διὰ Μωυσέως ἔτη ͵αψνα'.
Ἀπὸ δὲ τῆς πρώτης ἐπισκευῆς⟩ τοῦ ναοῦ διὰ Σολομῶνος ἔτη ⟨͵απη'⟩.
⟨Ἀπὸ δὲ τῆς δευτέρας ἐπισκευῆς⟩ ἤτοι δευτέρου ἔτους Δαρείου ἔτη ⟨φοδ'⟩. 10
{Ἀπὸ δὲ τῆς δευτέρας ἐπισκευῆς ἔτη}
Ἀπὸ δὲ τῆς Ἀντιόχου πολιορκίας ἔτη ⟨σνη'⟩.
Ἀπὸ δὲ τοῦ σωτηρίου σταυροῦ ἔτη λδ'.

ΚΟΣΜΟΥ ΕΤΗ ͞ΕΦΟΕ

Τῆς θείας σαρκώσεως ἔτη οε' 15

Βασιλεὺς Ῥωμαίων η' Τίτος υἱὸς Οὐεσπασιανοῦ ἔτη β'.

Τῆς συγκλήτου πρεσβευσαμένης, ὥς τινες, Τίτος θεὸς ἀνηγορεύθη δευτέρῳ τῆς βασιλείας αὐτοῦ ἔτει, καὶ παραχρῆμα θνήσκει θεηλάτως· ὡς δὲ Ἕλληνες ἱστοροῦσι, φαρμάκῳ Δομετιανὸς αὐτὸν ἀνεῖλεν ὁ ἀδελφὸς ἔρωτι τῆς μοναρχίας. εὐδαίμονα δέ φασιν αὐτὸν ἀποδεῖξαι τοῖς πράγμασι τὴν 20 *649 πόλιν καὶ τὴν ὅλην Ῥωμαίων ἀρχὴν ἐν ὀλίγῳ χρόνῳ, εἴπερ τινὰ τῶν πρὸ αὐτοῦ. ἐπ' αὐτοῦ ὁ μέγας κατὰ τὴν Ῥώμην ἐμπρησμός. ἐπ' αὐτοῦ καὶ τὸ Βέσβιον ὄρος κατὰ κορυφῆς ῥαγὲν πῦρ ἀνέβλυσε τοσοῦτον, ὡς καταφλέξαι τὴν παρακειμένην χώραν σὺν ταῖς πόλεσιν.*

Ἀλλὰ τοῦτον Δομετιανός, ὡς εἴρηται, φθόνῳ τῆς εὐπραγίας καὶ τῷ τῆς 25

3 V *Ση. συναγωγὴ χρόνων ἐν συντόμῳ*

3–13 cf. Euseb. 2, 187^{b} ‖ **16** Euseb. 2, 189, 3 ‖ **17–18** cf. Euseb. 2, 190^{b} (anno secundo Domitiani), Eutrop. 7, 22, 2, ps. Sym. f. 78^{r} = Cedr. 381, 22 ‖ **19–20** cf. [Aur. Vict.] lib. de Caes. 10, 5–11, 1, Cass. Dion. 56, 26 ‖ **20–24** cf. Aur. Vict. epit. de Caes. 10, 12 ‖ **22–24** cf. Euseb. 2, 189^{b}, ps. Sym. f. 78^{r} = Cedr. 424, 13 ‖ **25**–p. 419, **4** cf. [Aur. Vict.] lib. de Caes. 11, 5–8

6 *͵βσνε'* Go.^{m} *͵βφνε'* **At** ‖ **7** *τοῦ . . . ͵αψνα'* addidi, cf. supra 147, 3 ‖ **8** *ἀπὸ . . . ἐπισκευῆς* transtuli ex uersu inferiori | *σολομῶνος* **A** *σολομῶντος* **t** | *⟨͵απη'⟩*] cf. supra 213, 4 *1102* Euseb. ‖ **9** *ἀπὸ . . . ἐπισκευῆς* transtuli ex uersu inferiori ‖ **10** *⟨͵φοδ'⟩*] cf. supra 289, 10 *590* Euseb. ‖ **12** *⟨͵σνη'⟩*] cf. supra 345, 6 *238* Euseb. ‖ **16** *βασιλεὺς ῥωμαίων* **TVz** *ῥωμαίων βασιλεὺς* **O** *βασιλεῖς ῥωμαίων* **A** *βασιλεὺς* **C** ‖ **18** *αὐτοῦ* om. **t** | *ἔτει*] *ἔτι* **T** ‖ **20** *αὐτὸν* om. **A** ‖ **21** *εἴπερ*] *ὑπὲρ* **MR** ‖ **22** *ἐπ' αὐτοῦ ὁ μέγας* **t** *ἐπ' αὐτὸν ὁ μέγας* **A** ‖ **25** *ὡς* om. **MR** | *τῷ* **ACR** *τὸ* **OTVPQMR**

αὐτοκρατορίας ἔρωτι φαρμάκῳ δολοφονήσας βασιλεύει μετ' αὐτὸν ἔτη ιβ', σὺν αὐτῷ δὲ ιδ', κατὰ δὲ ἄλλους ιε', κάκιστα χρησάμενος τῇ ἀρχῇ, ἅπαν ὠμότητος καὶ πλεονεξίας καὶ φονικῆς πράξεως καὶ αἰσχρουργίας εἶδος μετιών, ὡς καὶ αὐτὰ τὰ βασίλεια πληρωθῆναι τῆς ἀκολασίας. οὗτος Νερ-
5 *βᾶν μετέστησεν ὡς ἐπίβουλον τῆς ἀρχῆς καὶ δι' αὐτὸν Ἀπολλώνιον τὸν Τυανέα φιλόσοφον ἐφρούρησεν ὡς φίλον αὐτοῦ, κείρας αὐτὸν καὶ δέσμιον ἀγαγὼν εἰς δικαστήριον. ἀλλ' οὐδ' οὕτως ἔπεισε τὸν φιλόσοφον μὴ τοῖς πραττομένοις ἐπιπλήττειν καὶ ἐγγελᾶν. τότε μυθεύονται καὶ τὸ πολυθρύλητον ἔπος εἰρηκέναι πρὸς αὐτὸν καὶ παραχρῆμα γενέσθαι ἄφαντον, ὡς*
10 *Φιλόστρατος μαρτυρεῖ· οὐ μέν με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.*

Δομετιανὸς εὐπατρίδας πολλοὺς μετέστησε Ῥώμης· τότε καὶ ἄξυλον ναὸν κατεσκεύασεν· εὐνουχίζειν ἄνδρας ἐκέλευσεν· Σεβαστὴν ἀνηγόρευσε τὴν ἰδίαν γαμετήν.

Τοὺς μαθηματικοὺς δεύτερον ἀπήλασε φιλοσόφους τῆς Ῥώμης. **650**

15 *Τῆς Ἑστίας τρεῖς παρθένοι ἱέρειαι κατεδικάσθησαν ἁλοῦσαι φθορᾷ. καὶ αὖθις Κορνηλία ἡ πρώτη τῶν τῆς Ἑστίας παρθένων ἱέρεια ζῶσα κατωρύγη φθορᾷ περιπεσοῦσα.*

Ἐπὶ αὐτοῦ Δάκες καὶ Νασαμῶνες ἐπαναστάντες Ῥωμαίοις διεφθάρησαν.

Δομετιανὸς ἐθριάμβευσε κατὰ Δακῶν καὶ Γερμανῶν.

20 *Ὁ αὐτὸς ἐν ταῖς πόλεσιν ἄμπελον φυτεύεσθαι ἐκώλυσε, πολλούς τε τῶν εὐπατριδῶν ἀνεῖλε.*

Δομετιανὸς τοὺς ἀπὸ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξεν, ἵνα μή τις Ἰουδαίων βασιλικοῦ γένους ἀπολειφθῇ.

Οὗτος μετὰ Νέρωνα δεύτερος Χριστιανοὺς ἐδίωξε, καὶ Ἰωάννην τὸν
25 *θεολόγον ἀπόστολον ἐν Πάτμῳ τῇ νήσῳ περιώρισεν, ἔνθα τὴν ἀποκάλυψιν ἑώρακεν, ὡς ὁ ἅγιος Εἰρηναῖός φησι. πολλοὶ δὲ Χριστιανῶν ἐμαρτύρησαν κατὰ Δομετιανόν, ὡς ὁ Βρέττιος ἱστορεῖ, ἐν οἷς καὶ Φλαυία Δομετίλλα ἐξαδελφὴ Κλήμεντος Φλαυίου ὑπατικοῦ ὡς Χριστιανὴ εἰς νῆσον Ποντίαν φυγαδεύεται· αὐτός τε Κλήμης ὑπὲρ Χριστοῦ ἀναιρεῖται. τούτου*

4–10 cf. Philostr. uit. Ap. 8, 5; ps. Sym. f. 78[v] = Cedr. 430, 16–431, 5 || **11–23** Euseb. 2, 190[a,c,d,l,n]. 191[b,d,e,h]. 192[e] || **22**–p. 420. **3** cf. Paris. 1336 f. 159[v] || **24–26** Irenaeus apud Euseb. 2, 192[a], cf. H. E. 3, 18, 2 || **26–29** Bruttius apud Euseb. 2, 192[c], cf. H. E. 3, 18, 4 || **29** cf. Suet. Domit. 15, Cass. Dion. 67, 14, qui narrant Flauium ab Domitiano interfectum esse, sed non pro Christo

7 *δικαστήριον* **t** *δεσμωτήριον* **A** || **8** *πολυθρύλητον* **COVz** *πολυθρύλλητον* **AT** || **9** *πρὸς* **t** *παρ'* **A** || **10** *κτενέεις* Di. *κτεινέεις* **C** *κτειναίης* **AOTVz** *κτανέεις* Cedr. (om. ps. Sym.) | *οὔτοι* Cedr. *οὔτι* **At** || **11** *ἄξυλον* **t** *ἄζυλον* **A** || **12** *κατεσκεύασεν* **t** Chron. Pasch. 466, 3 *ᾠκοδόμησεν* **A** | *ἐκέλευσε* **At** *iussit* Anast. *prohibuit* Euseb. *ἐκώλυσε* Go.[m] || **18** *δάκες* **A** *κάδες* **t** || **19** *κατὰ δακῶν* **t** *κατὰ τὰ δοκῶν* **A** || **25** *ἀπόστολον* **t** *ἄπολιν* **A** || **27** *ὁ βρέττιος* **AV** *βρέττιος* **COTz** *Brettius* Euseb. Arm. *Bruttius* Hieron. non citatur H. E. | *Φλαυία Δομετίλλα*] *φαυία δομετιανοῦ* **MR**

δὲ Στέφανός τις τῶν ἀπελευθέρων εἰς τῇ περὶ τὸν δεσπότην εὐνοίᾳ Κλήμεντα ἐνεδρεύσας τὸν Δομετιανὸν ἀνεῖλε, τιμῆς τε παρὰ τῆς συγκλήτου ἠξιώθη ὡς αἴσχους μεγίστου Ῥωμαίους ἀπαλλάξας.

651 Τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος γέγονε μετὰ Πέτρον τὸν κορυφαῖον Ἀνέγκλητος ἔτη β'. 5

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΟΣ

Τῆς θείας σαρκώσεως ἔτη οϛ'

Ῥωμαίων βασιλεὺς Δομετιανὸς ἔτη ιβ'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΟΖ

Τῆς θείας σαρκώσεως ἔτη οζ' 10

Τῆς Ῥωμαίων ἐκκλησίας ἡγήσατο δ' Κλήμης ἔτη θ'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΟΗ

Τῆς θείας σαρκώσεως ἔτη οη'

Τούτου καὶ ὁ ἀπόστολος ἐν τῇ πρὸς Φιλιππησίους μέμνηται α' ἐπιστολῇ εἰπών· μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα 15 *ἐν βίβλῳ ζωῆς. τούτου ἐπιστολὴ μία γνησία Κορινθίοις φέρεται ὡς ἀπὸ τῆς Ῥωμαίων ἐκκλησίας γραφεῖσα, στάσεως ἐν Κορίνθῳ συμβάσης τότε, ὡς μαρτυρεῖ Ἡγήσιππος, ἥτις καὶ ἐκκλησιάζεται.*

Ῥωμαίων ε' ἐπίσκοπος Εὐάρεστος ἔτη θ'.

Ἐν Ῥώμῃ θεοσημίαι πολλαὶ καὶ καθ' ὅλης τῆς οἰκουμένης γεγόνασιν. 20

Ἀλεξανδρείας γ' ἐπίσκοπος Αἰμίλιος ἔτη ιβ'.

1–3 cf. Philostr. uit. Ap. 8, 25, Aurel. Vict. epit. de Caes. 11, 11 || 4 cf. Euseb. 2, 189[e] et H. E. 3, 13 (ann. 12) || 8 ann. 15 iuxta Euseb. et al., cf. supra 419, 2 || 11 Euseb. 2, 191[f] (ann. 9) || 14–18 Ep. Philipp. 4, 3; Hegesippus apud Euseb. H. E. 3, 15–16 || 19 Euseb. 2, 193[g] (ann. 9) || 20 Euseb. 2, 192[f] || 21 ann. 13 iuxta Euseb. 2, 190[f], H. E. 3, 21

1 *περὶ* **t** Paris. 1336 *παρὰ* **A** || 3 *μεγίστου* om. **A** || 4 *τῆς ... ἐκκλησίας* **t** *τῇ ... ἐκκλησίᾳ* **A** | *γέγονε* om. **t** | *κορυφαῖον* **A** *ἀπόστολον* **t** || 10 *τῆς ... οζ'* exhibet **O** om. **ACTVz** || 13 *σαρκώσεως* om. **A** | *ἔτη* om. **ATV** || 14 *τούτου καὶ ὁ ἀπόστολος* **t** *τέλος* **A** || 15 *μετὰ καὶ*] *μετὰ* **V** || 16 *ζώντων* **V** | *γνησία* om. **MR** || 18 *μάρτυς* **CMRS** *μάρτης* **PQ** || 19 *ε'* om. **COVz** || 20 *θεοσημίαι* **CV** *θεοσημεῖαι* **AOTz** || 21 *αἰμίλιος* **A** *αἰμέλιος* **t** *Ἀβίλιος* Euseb.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΦΠΖ}}$ 652

Τῆς θείας σαρκώσεως ἔτη πζ´

Ἡγησίππου περὶ τῶν ἐκ γένους Δαβὶδ καὶ τοῦ σωτῆρος ὑπὸ τῶν αἱρετικῶν διαβληθέντων τῷ Δομετιανῷ

5 *Ἔτι δὲ περιῆσαν οἱ ἀπὸ γένους τοῦ κυρίου υἱῶν Ἰούδα τοῦ κατὰ σάρκα λεγομένου αὐτοῦ ἀδελφοῦ, οὓς ἐδηλάτευσαν ἐκ γένους ὄντας Δαβίδ. τούτους ὁ ἰούκατος ἤγαγε πρὸς Δομετιανόν. ἐφοβεῖτο γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ, ὡς καὶ Ἡρώδης, καὶ ἠρώτησεν αὐτοὺς πόσας κτήσεις ἔχουσιν ἢ πόσων χρημάτων κυριεύουσιν. οἱ δὲ εἶπον ἀμφότεροι ἐννακισχίλια δη-*
10 *νάρια ὑπάρχειν αὐτοῖς μόνα, ἑκάστῳ αὐτῶν ἀνήκοντος τοῦ ἡμίσεως, καὶ ταῦτα οὐκ ἐν ἀργυρίοις ἔφασκον ἔχειν, ἀλλ' ἐν διατιμήσει γῆς πλέθρων λθ´ μόνων, ἐξ ὧν καὶ τοὺς φόρους ἀναφέρειν καὶ αὐτοὺς αὐτουργοῦντας διατρέφεσθαι.*

Ἱεροσολύμων γ´ ἐπίσκοπος Ἰοῦστος ἔτη ζ´.

15 ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΦΠΖ}}$

Τῆς θείας σαρκώσεως ἔτη πζ´

Ἀπολλώνιος ὁ Τυανεὺς καὶ Εὐφράτης φιλόσοφοι ἤκμαζον.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΦΠΗ}}$ 653

Τῆς θείας σαρκώσεως ἔτη πη´

20 *Δομετιανοῦ αἱ τιμαὶ καθῃρέθησαν ὑπὸ τῆς συγκλήτου, καὶ οἱ ἀδίκως ἀπελασθέντες ἐπανῆλθον· ἔνιοι δὲ καὶ ἀπέλαβον τὰς οὐσίας.*

5 Hegesippus apud Euseb. H. E. 3, 20, 1–2 || 7–13 cf. ps. Sym. f. 78[v] = Cedr. 430, 4 || 14 cf. Euseb. 2, 194[f]. 196[a] (interuall. ann. 5), H. E. 3, 35 (sine annis) || 17 Euseb. 2, 192[d] || 20 Euseb. 2, 193[b]

3 τῶν[2] om. A || 4 τῷ om. A || 5 υἱῶν At Euseb.[BDM] υἱωνοὶ Euseb. || 6 οὓς Euseb. ὡς At | ἐδηλάτευσαν AOTVz ἐδηλώθησαν C ἐδηλατόρευσαν Euseb. || 7 ἰούκατος At ἠουοκᾶτος Euseb. *Reuocatus* Rufinus | τοῦ om. MRS || 8 κτήσεις AT κτίσεις COVz || 10 ἑκάστῳ Euseb. -ου At || 12 μόνων AC[c] μόνον t || 14 Ἰοῦστος infra 424, 11 et Euseb. ἰούδας At || 16 σαρκώσεως om. A || 19 σαρκώσεως om. A

Τοῦ ἁγίου Εἰρηναίου ἐπισκόπου Λουγδόνου ἐκ τοῦ β' λόγου τοῦ πρὸς τὰς αἱρέσεις περὶ τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου

Καὶ πάντες οἱ πρεσβύτεροι μαρτυροῦσιν οἱ κατὰ τὴν Ἀσίαν Ἰωάννῃ τῷ τοῦ κυρίου μαθητῇ συμβεβληκότες παραδεδωκέναι τὸν Ἰωάννην. παρέμεινε γὰρ αὐτοῖς μέχρι τῶν Τραϊανοῦ χρόνων. 5

Τούτοις ἀκόλουθα καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν τῷ ἐπιγεγραμμένῳ λόγῳ 'Τίς ὁ σωζόμενος πλούσιος' γράφει, μετὰ τὴν Δομετιανοῦ τοῦ τυράννου τελευτὴν ἐπανελθεῖν ἐκ τῆς Πάτμου τὸν Ἰωάννην τὸν θεολόγον, ἐπισκόπους τε παρακληθέντα τοῖς πλησιοχώροις ἔθνεσι καταστῆσαι, τισὶ δὲ καὶ ὅλας ἐκκλησίας ἁρμόσαι. ἐν οἷς καὶ τὴν περὶ τοῦ νεανίσκου προστίθησιν εὔχρηστον ἱστορίαν τοῖς ἐκ πολλῶν ἁμαρτημάτων μεταμελομένοις συμβαλλομένην, ὅπως αὐτὸν ἐπισκόπῳ τινὶ τῶν παρὰ τὴν Ἀσίαν παρέθετο, διαμαρτυράμενος αὐτῷ περὶ τῆς αὐτοῦ σωτηρίας. κἀκεῖνος βαπτίσας αὐτὸν καὶ στοιχειώσας τῷ θείῳ λόγῳ εἴασεν· ὃν ἡλικιῶταί τινες ἀπατήσαντες λήσταρχον διὰ ῥώμην σώματος προεστήσαντο. τοῦτον ὁ θεολόγος ἀπαιτήσας παρὰ τοῦ ἐπισκόπου μετά τινα χρόνον ὡς Χριστοῦ παραθήκην, κἀκείνου διαποροῦντος, εἶτα διδαχθέντος περὶ τοῦ νεανίσκου τὴν ζήτησιν ἀπαιτεῖσθαι καὶ οὐ περὶ χρημάτων, στενάξας ὁ αὐτὸς ἐπίσκοπος ἔφη τεθνάναι θεῷ καὶ ἀρχιληστὴν ἀποφῆναι. ὁ δὲ ἀπόστολος αὐτοῦ καταγνούς, φησί, τῆς περὶ τὸν νεανίσκον ἀμελείας, ἔφιππος δι' ἑαυτοῦ καταλαβὼν τὸ ληστήριον καὶ τὸν νεανίαν φεύγοντα καταδιώξας εὐχαῖς καὶ δάκρυσιν ἐν γήρει βαθυτάτῳ καταλαμβάνει, λόγοις τε χρηστοῖς καὶ πρὸς μετάνοιαν ἄγουσι καὶ ἐλπίδα ζωῆς φωταγωγήσας, οἰμωγαῖς καὶ δάκρυσι μεθ' ἑαυτοῦ ἐπανήγαγε, τὴν διὰ μετανοίας τε σωτηρίαν καὶ ἄφεσιν χαρισάμενος καὶ τῇ ἐκκλησίᾳ ἐπιστήσας, ὡς πάντας μέγα παράδειγμα καὶ τρόπαιον ἀναστάσεως καὶ παλιγγενεσίας γνώρισμα τὴν μετάνοιαν διδαχθῆναι ἐν αὐτῷ. 10 654 15 20 25

Ῥωμαίων βασιλεὺς ι' Νερούας ἐβασίλευσεν ἔτος α'.

10 COT *Ση. περὶ τοῦ νεανίσκου*

3–5 Irenaeus apud Euseb. H. E. 3, 23, 3, cf. Paris. 1336 f. 160r ‖ 6–27 Clemens apud Euseb. H. E. 3, 23, 5–19 ‖ 28 Euseb. 2, 192, 26

1 *λουγδόνου* **A** *λουγδούνων* **t** ¦ *τοῦ β'* **t** *β'* **A** ‖ 8 *Ἰωάννην τὸν* om. **t** ‖ 9 *παρακληθέντα* **t** *παρακληθέντας* **A** ¦ *κατέστησε* **At** ‖ 10 *τὴν περὶ* **t** *περὶ τὴν* **A** ‖ 11 *μεταμελομένοις* Di. *μεταμελουμένοις* **t** *μεταμελλουμένοις* **A** ‖ 14 *εἴασεν* **AV** *εἶπεν* **COTz** ‖ 17 *διαποροῦντος* **t** *διαπορρoῦντος* **A** ‖ 18 *οὐ* **Ax** *ὁ* **z** ‖ 19 *ἀρχιληστὴν* **t** *ἀρχιληστῇ* **A** ‖ 20 *φησί* om. **A** ¦ *ἀμελείας*] *ἀπολείας* **T** ‖ 20–21 *νεανίσκον . . . νεανίαν* **A** *νεανίαν . . . νεανίσκον* **t** ‖ 28 *νερούας ἐβασίλευσεν* **A** tr. **t**

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦΠΘ

Τῆς θείας σαρκώσεως ἔτη πθʹ

Νερούας πράως καὶ σοφῶς βασιλεύσας νόσῳ τελευτᾷ ἐν κήποις Σαλουστιανοῖς.

5 *Ἐπὶ τούτου φησὶν ὁ Φιλόστρατος Ἀπολλώνιον τελευτῆσαι τὸν Τυανέα* **655** *καταγηράσαντα, καὶ τὰ περὶ τῆς τελευτῆς τῷ Νερβᾷ κατασημᾶναι καὶ γράμμασιν οἰκείοις.*

Ῥωμαίων ιαʹ ἐβασίλευσε Τραϊανὸς ἔτη ιθʹ.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦϚ

10 ### Τῆς θείας σαρκώσεως ἔτη ϛʹ

Ἰοῦστος Τιβερεὺς Ἰουδαῖος συγγραφεὺς ἐγνωρίζετο.

Τερτυλλιανὸς ἱστορεῖ Πλίνιον Σεκοῦνδον ἡγούμενον ἐπαρχίας πλήθη Χριστιανῶν κατακρῖναι θανάτῳ. περὶ ὧν ἀπορῶν τί πράξοι κοινοῦται Τραϊανῷ, μηδὲν ἄξιον θανάτου πράττειν αὐτοὺς πλὴν τοῦ μὴ θύειν εἰδώ- 15 *λοις, καὶ ὅτι Χριστὸν ὡς θεὸν ἕωθεν ὑμνοῦσιν ἀνιστάμενοι, ἀπεχόμενοι πάντων κακῶν. πρὸς ὃν ἀντέγραψε Τραϊανός, μὴ ἐκζητεῖσθαι Χριστιανούς.*

Τραϊανὸς δὲ Δάκας καὶ Σκύθας ὑποτάξας κατ' αὐτῶν ἐθριάμβευσεν, ἐπαρχίαν ποιήσας τὴν Δακίαν.

20 *Ἐν Ῥώμῃ ἐνεπρήσθη ἡ χρυσῆ οἰκία.*

Ἀσίας δʹ πόλεις κατεπτώθησαν, Ἐλαία, Μύρινα, Πιτάνη καὶ Κύμη, Ἑλλάδος δὲ Ὀπουντία καὶ Ὥριτος.

Τὸ Πάνθεον ὑπὸ κεραυνοῦ διεφθάρη.

Γαλατίας γʹ πόλεις σεισμῷ κατεπτώθησαν. **656**

25 Ῥώμης ϛʹ ἐπίσκοπος Ἀλέξανδρος ἔτη ιβʹ.

3 Euseb. 2, 193[d], cf. Paris. 1336 f. 160[r] ‖ 5–7 Philostr. uit. Ap. 8, 27–30, cf. Paris. 1336 f. 160[r] ‖ 11 Euseb. 2, 193[c] ‖ 12–17 Tertull. apud Euseb. 2, 195[a], H. E. 3, 33, 3, cf. Paris. 1336 f. 160[r] ‖ 18–20 Euseb. 2, 194[a,c] ‖ 21–22 Euseb. 2, 194[d], cf. Paris. 1336 f. 160[r] ‖ 23 Euseb. 2, 195[c] ‖ 24 Euseb. 2, 195[d], cf. Paris. 1336 f. 160[r] ‖ 25 ann. 10 iuxta Euseb. 2, 195[b], H. E. 4, 1–4

3 *σαλουστιανοῖς* **t** *σαλοστιανοῖς* **A** ‖ 5 *φησὶν* **AC[c]** *φασὶν* **t** ‖ 6 *καὶ*[2] om. **C** ‖ 8 *ιθʹ* **t** *θʹ* **A** ‖ 12 *τερτυλλιανὸς* **A** *τερτυλιανὸς* **t** | *πλίνιον* **P[c]MR** *λίνιον* **xPQS** *λήνιον* **A** | *ἐπαρχίας* **t** *ἐπαρχείας* **A** ‖ 13 *πράξοι* **A** *πράξει* **t** ‖ 15 *ὡς θεὸν ἕωθεν* **AV** *ἕωθεν ὡς θεὸν* **COTz** ‖ 18 *δὲ* om. **t** ‖ 21 *Πιτάνη*] *κτάνη* **Tz** *κατάνη* **ACOV** *Pitane* Euseb. Arm. *Pytane* Hieron. *Πυτάνη* Go.[m] | *κύμη* **AC[c]V** *κοίμη* **COTz** ‖ 22 *ὀπουντία* **ACVz** *ὀποβυτία* **OT** | *ὥριτος* **A** *ὥρητος* **t** ‖ 24 *γαλατίας* **t** *γαλατείας* **AC[c]**

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦϚΕ

Ἰγνάτιος ὁ θεοφόρος β' ἐπίσκοπος Ἀντιοχείας ἐπὶ Τραϊανοῦ τῷ ὑπὲρ Χριστοῦ κατεστέφθη μαρτυρίῳ.

Ἀντιοχείας γ' ἐπίσκοπος Ἥρων ἔτη κ'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦϚΣ 5

Ἀλεξανδρείας δ' ἐπίσκοπος Κέρδων ἔτη ι'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦϚΖ

⟨Ἱεροσολύμων ἐπίσκοπος β' Συμεών, ὁ καὶ Σίμων, υἱὸς τοῦ Κλεόπα ἔτη κγ'.⟩

Οὗτος ἐπὶ Τραϊανοῦ ἐμαρτύρησεν ἐν τῷ κατ' αὐτὸν διωγμῷ. 10

Ἱεροσολύμων ἐπίσκοπος γ' Ἰοῦστος ἔτη ς'.

Ἱεροσολύμων ἐπίσκοπος δ' Ζακχεῖος ἔτη δ'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΦϚΖ

Τῆς θείας σαρκώσεως ἔτη ϛζ'

Ἰωάννην τὸν θεολόγον καὶ ἀπόστολον Εἰρηναῖος καὶ ἄλλοι ἱστοροῦσι 15 *παραμεῖναι τῷ βίῳ ἕως τῶν χρόνων Τραϊανοῦ· μεθ' ὃν Παπίας Ἱεραπολίτης καὶ Πολύκαρπος Σμύρνης ἐπίσκοποι ἀκουσταὶ αὐτοῦ ἐγνωρίζοντο.*

Ἱεροσολύμων ἐπίσκοπος ε' Τωβίας ἔτη δ'.

2–4 Euseb. 2, 194[h]. 199[e] (interuall. ann. 20) ‖ **6** Euseb. 2, 193[a] (ann. 11), cf. H. E. 4, 1 ‖ **10** cf. Euseb. 2, 194[f,g] (de Simone quem inserui ex 409, 18) ‖ **11** cf. Euseb. 2, 194[f]. 196[a] (interuall. ann. 5) ‖ **12** cf. Euseb. 2, 196[a] (sine annis) ‖ **15** Irenaeus apud Euseb. 2, 193[h], H. E. 3, 39, 1 ‖ **18** Euseb. 2, 196[a] (sine annis)

1 *τῆς θείας σαρκώσεως ἔτη ϛε'* add. **OV** ‖ **2–3** *Ἰγνάτιος ... μαρτυρίῳ* hoc loco **t** post *κόσμου ἔτη ,εφϛϛ'* **A** ‖ **2** *ἐπὶ Τραϊανοῦ* om. **O** ‖ **3** *κατεστέφθη* **AT VS** *κατεστέφθησαν* **COPQ** *κατεφθάρησαν* **MR** ‖ **4** *Ἀντιοχείας ... κ'* om. **C** | *γ'* om. **A** ‖ **5** *τῆς θείας σαρκώσεως ἔτη ϛϛ'* add. **O** ‖ **7** *κόσμου ἔτη ,εφϛζ'* om. **O**, del. Di. ‖ **8** addidi ex 409, 18 ‖ **11–12** *Ἰοῦστος ... δ'* om. **T** ‖ **12** *δ'* **ACO** *γ'* **z** om. **V** | *ζακχεῖος* **AT** *ζακχαῖος* **COVz** ‖ **13–14** *,εφϛζ' ... ϛζ'* **t** *,εφϛϛ' ... ϛϛ'* **A** ‖ **16** *ὃν* **A** *ὧν* **t** | *παπίας* **t** *παππίας* **A** ‖ **17** *ἐπίσκοποι* **t** *ἐπίσκοπος* **A**

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{ΕΧ}$ **657**

Τῆς θείας σαρκώσεως ἔτη ρʹ

Τὰ ὑπόλοιπα Ῥωμαίων ιαʹ Τραϊανοῦ ἔτη

Ἰουδαῖοι κατὰ Λιβύην καὶ Κυρήνην καὶ Αἴγυπτον καὶ Ἀλεξάνδρειαν καὶ
5 *Θηβαΐδα πολεμήσαντες πρὸς τοὺς συνοικοῦντας Ἕλληνας διεφθάρησαν.*
Ἀντιόχεια κατεπτώθη παρόντος Τραϊανοῦ.
Τραϊανὸς Λυσίῳ Κύντῳ τῆς Μεσοποταμίας ἐξᾶραι τοὺς στασιάσαντας ἐκέλευσεν. ὁ δὲ πολλὰς μυριάδας Ἰουδαίων ἀνελὼν ἡγεμὼν τῆς Ἰουδαίας διὰ τοῦτο καθίσταται.
10 *Τοὺς ἐν Σαλαμῖνι τῆς Κύπρου Ἕλληνας Ἰουδαῖοι ἀνελόντες τὴν πόλιν κατέσκαψαν.*
Τραϊανὸν ἡ σύγκλητος θεὸν ἐψηφίσατο.
Τραϊανὸς νόσῳ τελευτᾷ κατ' Εὐσέβιον ἐν Σελινοῦντι, κατὰ δὲ ἄλλους ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας δυσεντερίᾳ.
15 Ῥωμαίων ζʹ ἐπίσκοπος Ξύστος ἔτη θʹ.
Ἀλεξανδρείας ⟨εʹ⟩ ἐπίσκοπος Πρῖμος ἔτη ιβʹ.
Ἱεροσολύμων ςʹ ἐπίσκοπος Βενιαμὶν ἔτη βʹ.
Ἱεροσολύμων ζʹ ἐπίσκοπος Ἰωάννης ἔτη βʹ. **658**
Ἱεροσολύμων ηʹ ἐπίσκοπος Ματθίας ἔτη βʹ.

20 ΚΟΣΜΟΥ ΕΤΗ $\overline{ΕΧΘ}$

Τῆς θείας σαρκώσεως ἔτη ρθʹ

Ῥωμαίων ιβʹ ἐβασίλευσεν Ἀδριανὸς Αἴλιος ἔτη καʹ.
Κοδρᾶτος ὁ ἱερὸς τῶν ἀποστόλων ἀκουστὴς Αἰλίῳ Ἀδριανῷ τῷ αὐτοκράτορι λόγους ἀπολογίας ὑπὲρ Χριστιανῶν ἐπέδωκεν, ὧδέ πως ἱστορῶν,

25 **10 A** *τὴν Σαλαμῖνα ἤτοι Κωνσταντίαν λέγει τῆς Κύπρου ἐν ᾧ καιρῷ ὡς οἶμαι καὶ Βαρναβᾶν τὸν ἀπόστολον οἱ Ἰουδαῖοι ἀνεῖλον*

3 Euseb. 2, 193, 18 ‖ **4** Euseb. 2, 196[d] ‖ **6** cf. [Aur. Vict.] lib. de Caes. 13, 11, Euseb. 2, 196[c] (sine Traiano) ‖ **7–14** Euseb. 2, 196[e,f]. 197[a,f] ‖ **14** cf. Eutrop. 8, 5, 2 ‖ **15** ann. 10 iuxta Euseb. 2, 198[b], H. E. 4, 5, 5 ‖ **16** Euseb. 2, 194[e] (ann. 12) ‖ **17–19** Euseb. 2, 196[a], H. E. 4, 5, 3 (sine annis) ‖ **22** Euseb. 2, 197, 10 ‖ **23**–p. 426, 11 Euseb. 2, 199[c], H. E. 4, 3, 1–3; 8, 6–7, cf. Paris. 1336 f. 160[v]

3 *ιαʹ τραιανοῦ ἔτη* **t** *τραιανὸς ιαʹ ἐβασίλευσεν ἔτη* (*ιθʹ* add. Di.) **A** ‖ **4** *κυρήνην* **AC**[c] *κυρίνην* **t** ‖ **7** *λυσίῳ κύντῳ* **t** *λυσίᾳ κύντῳ* **A** *Λουσίῳ Κυήτῳ* Euseb. | *στασιάσαντας* **ATV** *στασιαστὰς* **COz** ‖ **8** *ἰουδαίων ἀνελὼν* **A** tr. **t** ‖ **10** *σαλαμίνι* **AC**[c] *σαλαμήνη* **t** ‖ **13** *σεληνοῦντι* **COz** ‖ **15** *ζʹ* **V** *ζʹ γέγονε* **A** om. **COTz** ‖ **16** *εʹ* add. Go.[m] ‖ **17** *ςʹ* om. **ACTV** ‖ **18** *ζʹ ἐπίσκοπος ἰωάννης* **AV** *ἐπίσκοπος πρῖμος* redundant **COz** om. **T** ‖ **19** *ματθίας* **t** *ματθαῖος* **A** ‖ **22** *ἐβασίλευσεν* om. **t** | *καʹ* **A** *κδʹ* **t** ‖ **24** *ὧδέ πως* **Ax** *ὧ δέπως* **z** ‖ **25** *σαλαμίνην* **A**[m]

ἐν οἷς ἔφη· τοῦ δὲ σωτῆρος ἡμῶν τὰ ἔργα ἀεὶ παρῆν· ἀληθῆ γὰρ ἦν. οἱ θεραπευθέντες καὶ οἱ ἀναστάντες ἐκ νεκρῶν οὐκ ὤφθησαν μόνον θεραπευόμενοι καὶ ἀνιστάμενοι, ἀλλὰ καὶ ἀεὶ παρόντες, οὐδὲ ἐπιδημοῦντος μόνον τοῦ σωτῆρος, ἀλλὰ καὶ ἀπαλλαγέντος ἦσαν ἐπὶ χρόνον ἱκανόν, ὥστε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς αὐτῶν ἀφίκοντο. τούτῳ καὶ Ἀριστείδης Ἀθηναῖος φιλόσοφος ὑπὲρ Χριστιανῶν ἀκόλουθα τῷ αὐτοκράτορι προσεφώνησεν Ἀδριανῷ, ἅπερ δεξάμενος ὁ Καῖσαρ σὺν τοῖς παρὰ Σερενίου λαμπροτάτου ἡγουμένου, ὡς ἄδικον εἴη κτείνειν γράψαντος Χριστιανοὺς ἀκρίτως ἐπὶ μηδενὶ τῶν ἐγκλημάτων, γράφει Μινουκίῳ Φουνάνῳ ἀνθυπάτῳ τῆς Ἀσίας Ἀδριανὸς μηδένα κτείνειν ἄνευ ἐγκλημάτων καὶ κατηγορίας.

659 *Ἀδριανὸς Ἰουδαίους κατὰ Ἀλεξανδρέων στασιάζοντας ἐκόλασεν.*

Ἀδριανὸς χρεῶν ὀφειλὰς τῶν ὑπ' αὐτὸν πόλεων ἀνηκούσας τῷ δημοσίῳ λόγῳ ἀπέκοψε, καύσας τοὺς χάρτας.

Ὁ αὐτὸς Ῥωμαίοις φόρους πολλοὺς ἐχαρίσατο, ὅθεν ἡ σύγκλητος θεὸν αὐτὸν ἐψηφίσατο.

Ὁ αὐτὸς Νικομήδειαν σεισμῷ καταπτωθεῖσαν καὶ Νίκαιαν πόλεις Βιθυνίας χρήμασιν ἀνεστήσατο.

Ὁ αὐτὸς Ἀθηναίοις ἀξιώσασιν ἐκ τῶν Δράκοντος καὶ Σόλωνος νόμους ἐπισυνέταξε, χειμάσας εἰς Ἀθήνας καὶ μυηθεὶς τὰ Ἐλευσίνια καὶ γεφυρώσας Ἐλευσῖνα κατακλυσθεῖσαν ὑπὸ Κηφισοῦ ποταμοῦ.

Πλούταρχος Χαιρωνεὺς φιλόσοφος ἐπιτροπεύειν Ἑλλάδος ὑπὸ τοῦ αὐτοκράτορος κατεστάθη γηραιός.

Σέξτος φιλόσοφος καὶ Ἀγαθόβουλος καὶ Οἰνόμαος ἐγνωρίζετο.

Σαυρομάται κατεπολεμήθησαν.

Ἰουδαῖοι κατὰ Λιβύην καὶ Αἴγυπτον διεφθάρησαν πολέμῳ.

Ἀποικίαν εἰς Λιβύην ἐρημωθεῖσαν Ἀδριανὸς ἔπεμψεν.

Ἀδριανὸς πατὴρ πατρίδος καὶ ἡ γυνὴ αὐτοῦ Σεβαστὴ ἀνηγορεύθη.

Ῥώμης η' ἐπίσκοπος Τελεσφόρος ἔτη ι'.

12 Euseb. 2, 197^{e} || **13** Euseb. 2, 197^{h}, cf. ps. Sym. f. 79^{r} = Cedr. 438, 9 || **15–16** cf. Euseb. 2, p. 219 Arm. (*Der Sinklitos erkannte Adrianos für einen Gott*), recte 197^{f} Hieron. (*Senatus Traianum in deos refert*) || **17–21** Euseb. 2, $198^{c,h,i}$. 199^{a} || **22** cf. Suda s. v. Plutarch., Euseb. 2, 198^{a} solum *floruit* dicit || **24–28** Euseb. 2, $198^{a,d,z}$. 199^{c} || **29** Euseb. 2, 199^{d} (ann. 12)

1 *ἀληθῆ* **Ax** *ἀληθεὶς* **PQ** *ἀληθὴς* **MRS** || **4** *μόνον* **x** *μόνου* **Az** | *χρόνον ἱκανόν* **t** *χρόνῳ ἱκανῷ* **A** || **5** *τούτῳ* **C**[c] *τοῦτο* **At** | *ἀριστείδης* **AC**[c] *ἀριστίδης* **t** || **7** *σερενίου* **t** *σερνίου* **A** || **8** *γράψαντος* **t** *γραψάμενος* **A** || **9** *φουνάνῳ* **At** *Funano* Anast. *Φουνδάνῳ* Euseb. || **13** *αὐτὸν* **t** *αὐτῶν* **A** || **17** *νίκαιαν* **ACTV** *νικαίας* **Oz** || **19** *ἀξιώσασιν* **V** *ἀξιώμασιν* **ACOTz** || **20–21** *καὶ*[2] . . . *Ἐλευσῖνα* om. **C** || **21** *Ἐλευσῖνα* Di. *ἐλευσίνια* **At** | *κηφισοῦ* **AC** *κιφισοῦ* **t** || **22** *χαιρωνεὺς* **A** *χερρωνεὺς* **t** || **24** *σέξτος* **MRS** *σέκστος* **COPQ** *σέκτος* **ATV** | *ἐγνωρίζετο* **ACTz** *ἐγνωρίζοντο* **OV** || **29** *ι'* **AV** *η'* **COTz**

Ἀντιοχείας δʹ ἐπίσκοπος Κορνήλιος ἔτη ιγʹ. 660
Ἀλεξανδρείας ςʹ ἐπίσκοπος Ἰοῦστος ἔτη ιʹ.
Νικόπολις καὶ Καισάρεια σεισμῷ κατεπτώθησαν.
Ἱεροσολύμων θʹ ἐπίσκοπος Φίλιππος ἔτη βʹ.
5 Ἱεροσολύμων ιʹ ἐπίσκοπος Σενέκας ἔτος αʹ.
Ἱεροσολύμων ιαʹ ἐπίσκοπος Ἰοῦστος ἔτη δʹ.
Ἱεροσολύμων ιβʹ ἐπίσκοπος Λευὶς ἔτη δʹ.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΧΚΑ}}$

Τῆς θείας σαρκώσεως ἔτη ρκαʹ

10 Τὰ ὑπόλοιπα Ῥωμαίων βασιλέως ιβʹ Ἀδριανοῦ Αἰλίου ἔτη

Ἀδριανὸς παραχειμάζων ἐν Ἀθήναις μυεῖται τὰ Ἐλευσίνια· ἔνθα καὶ ἦξεν ἀγῶνα, ἐπισκευάσας πολλὰ τῷ τόπῳ καὶ βιβλοθήκας συστησάμενος.

*Ἀδριανὸς κατὰ Ἰουδαίων ἀποστάντων στράτευμα ἐξέπεμψε, καταδραμόντων τὴν Ἰουδαίαν ἀπ' Αἰγύπτου καὶ Λιβύης μετὰ πολλοὺς πολέμους.
15 ἡγεῖτο δὲ τῆς Ἰουδαίας Τίννιος Ῥοῦφος ὁ καὶ πολεμήσας τοὺς Ἰουδαίους· τῆς Ἰουδαίων ἀποστάσεως Χωχεβᾶς τις ὁ μονογενὴς ἡγεῖτο, ὃς ἑρμηνεύετο ἀστήρ. οὗτος Χριστιανοὺς ποικίλως ἐτιμωρήσατο μὴ βουλομένους κατὰ Ῥωμαίων συμμαχεῖν. Ἰουδαῖοι κακῶς ἀπήλλαξαν, καὶ ὁ πρὸς αὐτοὺς* 661 *πόλεμος πέρας ἔσχεν, ἁλόντων τῶν Ἱεροσολύμων τὸ ἔσχατον, ὡς μηδὲ
20 λίθον ἐπὶ λίθον ἀφεθῆναι κατὰ τὴν θείαν φωνήν. ἔνθεν οὖν εἴργονται πάντη τῆς πόλεως ἐπιβαίνειν προστάξει θεοῦ καὶ Ῥωμαίων κράτει διασπαρέντες κατὰ παντός.*

Ἀδριανὸς ὕδρωπι τελευτᾷ ἐν Βαΐαις τῆς Ἰταλίας.
Ῥώμης θʹ ἐπίσκοπος Ὑγινὸς ἔτη δʹ.
25 Ἀντιοχείας εʹ ἐπίσκοπος Ἔρως ἔτη κςʹ.
Ἀλεξανδρείας ζʹ ἐπίσκοπος Εὐμένης ἔτη ιγʹ.
Ἱεροσολύμων ιγʹ ἐπίσκοπος Ἐφραῒμ ἔτη βʹ.

1 Euseb. 2, 199[e]. 202[f] (interuall. ann. 14) || 2 Euseb. 2, 198[c] (ann. 11) || 3 Euseb. 2, 200[a] || 4–7 Euseb. 2, 198[k], H. E. 4. 5, 3 (sine annis) || 11 Euseb. 2, 200[f,g] || 13–22 Euseb. 2, 200[h]. 201[b,c], H. E. 4, 6, 2–3 || 20 Matth. 24, 2 || 23 Euseb. 2, 201[f] || 24 Euseb. 2, 202[a] (ann. 4) || 25 Euseb. 2, 202[f]. 205[i] (interuall. ann. 26) || 26 Euseb. 2, 200[c] (ann. 13) || 27 Euseb. 2, 198[k], H. E. 4, 5, 3 (sine annis)

1 *δʹ* **AV** *αʹ* **COTz** || 3 *καὶ καισάρεια* **Ax** *καὶ σάρεια* **z** || 5 *Σενέκας* Euseb. *ἐνέκας* **At** || 10 *βασιλέως* om. **t** || 12 *ἦξεν* **A**C[c]**T** *εἶξεν* **COVz** | *βιβλοθήκας* **ACTVz** *βιβλιοθήκας* **O** || 15 *τοὺς* om. **t** || 16 *ἀποστασίας* **O** | *χωχεβᾶς τις* **t** *χοχεβάστης* **A** | *ἑρμηνεύεται* **C** || 17 *βουλομένους* **A** *βουλόμενος* **t** || 18 *ὁ* om. **COTz** || 19 *ἁλώντων* **Oz** | *τῶν* om. **AV** | *μηδὲ* **T** *μήτε* cett. || 20 *φωνήν*] *γραφήν* **T** || 21 *ἐπιβαίνειν* **t** *ἐπιμένειν* **A** || 21–22 *διασπαρέντες κατὰ παντὸς* **ATV** *κατασπαρέντες κατὰ παντόθεν* **COz** || 23 *βαίαις* **AV** *βεβαίοις* **COTz** || 24 *ὑγιῖνος* **V** *ὑγίννος* **A** *ὑγῖνος* **COTz**

Φαβουρῖνος καὶ Πολέμων ὁ ῥήτωρ ἐγνωρίζοντο.
Ἡρώδης ῥήτωρ Ἀθηναῖος.
Μάρκος ῥήτωρ Βυζάντιος.
Ἱεροσολύμων ιδʹ ἐπίσκοπος Ἰωσὴφ ἔτη βʹ.
Ἱεροσολύμων ιεʹ ἐπίσκοπος Ἰούδας ἔτη βʹ. 5
Καθ' ὃν ἡ ἐπὶ Ἀδριανοῦ τελεία καὶ ἐσχάτη γέγονε τῆς πόλεως καὶ τοῦ ἔθνους Ἰουδαίων ἅλωσις. λοιπὸν πρῶτος ἐξ ἐθνῶν ἐπίσκοπος Ἱεροσολύμων Μάρκος ἔτη ηʹ.

662 ΚΟΣΜΟΥ ΕΤΗ ͞Ε͞Χ͞Κ͞Θ

Τῆς θείας σαρκώσεως ἔτη ρκθʹ 10

Ἱεροσολύμων ιςʹ ἐπίσκοπος, αʹ δὲ ἐξ ἐθνῶν Μάρκος ἔτη ηʹ.

ΚΟΣΜΟΥ ΕΤΗ ͞Ε͞Χ͞Λ

Τῆς θείας σαρκώσεως ἔτη ρλʹ

Ῥωμαίων ιγʹ ἐβασίλευσε Τίτος Ἀντωνῖνος, ὁ ἐπικληθεὶς εὐσεβής, σὺν τοῖς παισὶν Αὐρηλίῳ καὶ Λουκίῳ ἔτη κγʹ. 15
Ἀντωνῖνος πατὴρ πατρίδος προσηγορεύθη.
Ἰουστῖνος φιλόσοφος προσηγορεύθη, ὃς ὑπὲρ τοῦ καθ' ἡμᾶς ὀρθοῦ λόγου βίβλον ἀπολογίας Ἀντωνίνῳ ἐπέδωκε.
Ῥωμαίων ἐπίσκοπος ιʹ Πῖος ἔτη ιεʹ.
Κατὰ τοὺς χρόνους Ὑγινοῦ καὶ Πίου τῶν ἐπισκόπων Ῥώμης ἕως 20

5 **ACOT** *ἕως τοῦδε τοῦ χρόνου διήρκεσαν οἱ ἐκ περιτομῆς ἐπίσκοποι Ἱεροσολύμων ιεʹ· αʹ ἐξ ἐθνῶν ἐπίσκοπος Ἱεροσολύμων Μάρκος ἔτη ηʹ* || 17 **AV** *Ἰουστῖνος φιλόσοφος ὁ μάρτυς* || 20 **ACV** *Οὐαλεντινιανὸς καὶ Κέρδων ἀρχηγοὶ τῆς Μαρκίωνος αἱρέσεως ἐπὶ βασιλέως Ἀδριανοῦ καὶ Τίτου Ἀντωνίνου καὶ Ῥωμαίων ἐπισκόπων Ὑγινοῦ καὶ Πίου* 25

1 Euseb. 2, 200[i] || 2 cf. Suda s. v. Herod., Philostr. uit. soph. 2, 1, SHA Marc. Ant. 2, 4 || 3 cf. Philostr. uit. soph. 1, 24, SHA Marc. Ant. 2, 4 (Aninius Macer) || 4–5 Euseb. 2, 198[k], H. E. 4, 5, 3 (sine annis) || 6–7 Euseb. 2, 198[k] || 8 et 11 Euseb. 2, 201[d], H. E. 4, 6, 4 (sine annis) || 14 Euseb. 2, 202, 1–3 || 16–18 Euseb. 2, 202[b,d] || 19 Euseb. 2, 202[e] (ann. 15) || 20–p. 429, 2 Euseb. 2, 202[c], H. E. 4, 11, 1 (ex Irenaeo)

2 *ἀθηναῖος* **t** *ἀθηνεύς* **A** || 4 om. **A** || 6 *ἡ* om. **A** || 7 *ἐπίσκοπος Ἱεροσολύμων* **A** *ἐπεσκόπευσεν* **t** || 9–11 om. **MR** || 10 exhibet **O** om. cett. || 15 *αὐρηλίῳ* **C**[c] *αὐριλίῳ* **t** *ἀβρηλίῳ* **A** || 17 *Ἰουστῖνος . . . προσηγορεύθη* om. **z** | *ὃς* om. **MR** || 19 *ιʹ* om. **AO** || 20 *ὑγιηνοῦ* **AT** *ὑγιινοῦ* **COVz** || 21–22 in margine **ACO**, in textu **T** || 21 *τοῦδε τοῦ* **C**[m]**O**[m]**T** *τούτου* **A**[m] || 24 *βασιλέως* **C**[m]**V**[m] *βίου* **A**[m] | *ὑγιηνοῦ* **A**[m] *ὑγιινοῦ* **C**[m]**V**[m]

Ἀνικήτου Οὐαλεντινιανὸς καὶ Κέρδων ἀρχηγοὶ τῆς Μαρκίωνος αἱρέσεως ἐπὶ Ῥώμης ἐγνωρίζοντο.

Μεσομήδης Κρὴς ποιητὴς νόμων κιθαρῳδικῶν ἐγνωρίζετο, καὶ Ταῦρος Πλατωνικὸς καὶ Βηρύτιος.

5 *Ἀρριανὸς φιλόσοφος Νικομηδεὺς στρατηγὸς ἐγνωρίζετο.*

Ἐπίκτητος καὶ Εὐφράτης καὶ Περεγρῖνος ὁ ἑαυτὸν ἐμπρήσας κατὰ μίμησιν **663** *Καλανοῦ Βραχμᾶνος τοῦ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα γυμνοσοφιστοῦ.*

Μάξιμος Τύριος, Ἀπολλώνιος στωικὸς Χαλκηδόνιος, Βασιλείδης Σκυθοπολίτης· οὗτοι καὶ διδάσκαλοι Οὐηρισίμου Καίσαρος γεγόνασι.

10 *Κρίσκος κυνικὸς φιλόσοφος Ἰουστίνῳ τῷ καθ' ἡμᾶς θείῳ φιλοσόφῳ τὸν μαρτυρικὸν συνεσκεύασε θάνατον ἐλεγχόμενος ὑπ' αὐτοῦ λιχνότητα κυνικήν.*

Ἀλεξανδρείας ζ' ἐπίσκοπος Εὐμένης ἔτη ⟨ιγ'⟩.

Ἀλεξανδρείας η' ἐπίσκοπος Μαρκιανὸς ἔτη ι'.

Ἱεροσολύμων ις' ἐπίσκοπος Μάρκος ἔτη η'.

15 Ἱεροσολύμων ιζ' ἐπίσκοπος Κασσιανὸς ἔτη ε'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΧΛΗ

Τῆς θείας σαρκώσεως ἔτη ρλη'

ΚΟΣΜΟΥ ΕΤΗ ΕΧΜ

Τῆς θείας σαρκώσεως ἔτη ρμ'

20 Ῥώμης ι' ἐπίσκοπος Πῖος ἔτη ⟨ιε'⟩.

Ῥώμης ια' ἐπίσκοπος Ἀνίκητος ἔτη ια'.

5 AC *Ἀρριανὸς φιλόσοφος στρατηγός, Ἐπίκτητος καὶ Εὐφράτης καὶ Περεγρῖνος μιμητὴς τοῦ Καλανοῦ ἐμπρήσας ἑαυτὸν Βραχμάνου κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, Ἀπολλώνιος στωικὸς Χαλκηδόνιος, Βασιλείδης Σκυθοπολίτης διδάσκαλοι Καίσαρος* ‖ 25 **10 ACOV** *τοῦ ἁγίου Ἰουστίνου τοῦ φιλοσόφου ἡ μαρτυρία διὰ Κρίσκου κυνικοῦ*

3–5 Euseb. 2, 202[i,k]. 203[a] ‖ **6–7** cf. Euseb. 2, 198[f] (*Eufrates*). 204[g] (*Peregrinus*, cf. Luc. de morte Peregr. 25). de Epicteto cf. SHA Hadr. 16, 10, Suda s. v. Epict. ‖ **8–11** Euseb. 2, 203[a,b,d] ‖ **12** Euseb. 2, 200[c] (ann. 13) ‖ **13** Euseb. 2, 202[g] (ann. 10) ‖ **14–15** Euseb. 2, 203[f], H. E. 5, 12 (sine annis) ‖ **20** Euseb. 2, 202[e] (ann. 15) ‖ **21** Euseb. 2, 203[e] (ann. 11)

3 *μεσομήδης* **C** *μεσομίδης* cett. | *κρὴς ποιητὴς* **A** *κρίσπι τῆς* **OV** *κρίασι τῆς* **T** *κρισπηίτης* **C** *κρισπιίτης* **z** ‖ **4** *πλατωνικὸς* **Vz** *πλάτων* **AOCT** | *Βηρύτιος* Scal. *βηρυτίων* **A** *βιρυτίων* **t** ‖ **5** *ἀρριανὸς* **A** *ἀρειανὸς* **t** ‖ **6** *Περεγρῖνος* Di. *περεγῖνος* **A** *πελεγρῖνος* **t** ‖ **7** *βραχμᾶνος* **A** *βρακμᾶνος* **t** | *γυμνοσοφιστοῦ* Scal. *γυμνοσοφιστής* **At** ‖ **8** *χαλκηδόνιος* **AC** *χαλκηδόνειος* **TOVz** ‖ **9** *οὐηρισίμου* **x** *οὐηρησίμου* **A** *οὐκρισίμου* **z** ‖ **10** *κρίσκος* **At** *Criscus* Anastasius *Kreskes* Euseb. Arm. *Crescens* Hieron. ‖ **12** ⟨*ιγ'*⟩ Go.[m] cf. supra 427, 26 ‖ **15** *Ἱεροσολύμων* om. **t** ‖ **17** *ρλη'*] *ρλ'* **OP** ‖ **20** ⟨*ιε'*⟩ Go.[m] ex Euseb. ‖ **22** *περεγῖνος* **A[m]** *πελεγρῖνος* **C[m]**

664 *Ἐπὶ τούτου Πολύκαρπος ἐν Ῥώμῃ πολλοὺς ἐξ αἱρέσεων μετήγαγεν.*
Ἀλεξανδρείας θ' ἐπίσκοπος Κελαδίων ἔτη ιδ'.
Ἱεροσολύμων ιη' ἐπίσκοπος Πούπλιος ἔτη ε'.
Ἱεροσολύμων ιθ' ἐπίσκοπος Μάξιμος ἔτη δ'.
Ἱεροσολύμων κ' ἐπίσκοπος Ἰουλιανὸς ἔτη β'. 5

ΚΟΣΜΟΥ ΕΤΗ ΕΧΝΓ

Τῆς θείας σαρκώσεως ἔτη ρνγ'

Ῥωμαίων ιδ' ἐβασίλευσε Μάρκος Αὐρήλιος ὁ καὶ Οὐῆρος, Λούκιός τε Αὐρήλιος καὶ Κόμοδος ἔτη ιθ'.
Λούκιος Καῖσαρ ἱερουργῶν ἐν Ἀθήναις εἶδε πῦρ ἀπὸ δυσμῶν εἰς ἀνατο- 10 *λὴν κατ' οὐρανὸν φερόμενον.*
Λούκιος Καῖσαρ Πάρθους ὑποτάξας κατ' αὐτῶν ἐθριάμβευσεν.
Οὐολόγεσσος Πάρθων βασιλεὺς τὴν Ῥωμαίων χώραν κατέδραμε.
Περεγρῖνος ὁ φιλόσοφος ἐν τῇ πανηγύρει πῦρ ἀνάψας ἑαυτὸν ἐνέπρησε μιμούμενος Κάλανον Βραχμᾶνον τὸν κατὰ Ἀλέξανδρον γυμνοσοφιστήν. 15
Πολύκαρπος ὁ ἱερώτατος Σμύρνης ἐπίσκοπος τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ ἐτελειώθη διωγμοῦ κατὰ τὴν Ἀσίαν γεγονότος.
665 *Πολλοὶ δὲ καὶ κατὰ τὰς Γαλλίας νομίμως ὑπὲρ Χριστοῦ ἤθλησαν, ὧν τὰ μαρτύρια ἀναγέγραπται εἰς μνημόσυνον τοῖς μετέπειτα.*
Ῥωμαῖοι Γερμανοὺς καὶ Σαυρομάτας καὶ Δάκας Κουάδους κατεπά- 20 *λαισαν, λοιμώδης τε νόσος ἐπικρατήσασα μέχρι Ῥώμης ἔφθασε.*
Λούκιος αὐτοκράτωρ ἐνάτῳ τῆς βασιλείας αὐτοῦ ἔτει ἐτελεύτησεν.
Ἀπολλινάριος ἐπίσκοπος Ἱεραπόλεως τῆς ἐν Ἀσίᾳ, ἱερὸς ἀνήρ, ἤκμαζε, καὶ Μελίτων Σαρδιανῶν ἐπίσκοπος τῆς Λυδίας, ὃς καὶ βίβλον ἀπολογίας Ἀντωνίνῳ ὑπὲρ Χριστιανῶν ἐπέδωκε. 25

16 **ACOV** *Ση. ὅτι ὁ ἅγιος Πολύκαρπος Σμύρνης ἐμαρτύρησεν ἐν ταῖς ἡμέραις ταύταις* || 22 **AV** *τελευτὴ Λουκίου Καίσαρος* || 23 **AV** *περὶ Ἀπολλιναρίου ἐπισκόπου Ἱεραπόλεως καὶ Μελίτωνος Σάρδους*

1 Euseb. 2, 203[e] || 2 Euseb. 2, 203[c] (ann. 14) || 3–5 Euseb. 2, 203[f], H. E. 5, 12 (sine annis) || 8 Euseb. 2, 204, 7 || 10–13 Euseb. 2, 204[c,d]. 205[a] || 14 cf. Euseb. 2, 204[g], Luc. de morte Peregr. 25 || 16 – p. 431, 1 Euseb. 2, 205[c,e,f,g,k]. 206[a,b,c]

8 *αὐρήλιος* **A** *αὐρίλιος* **t** || 9 *κόμοδος* **A** *κώμωδος* **t** || 11 *οὐρανὸν φερόμενον* **t** *οὐρανοῦ φαινόμενον* **A** *in caelo ferri uisus* Euseb. || 14 *περεγρῖνος* **AV** *πελεγρῖνος* **COTz** | *τῇ* om. **AV** || 15 *γυμνοσοφιστήν* **AO** *φιλοσοφιστήν* **CTV** *σοφιστήν* **z** || 16 *ὁ ἱερώτατος* om. **COTz** || 19 *μνημόσυνον* **t** *μνήμην* **A** || 20 *κατεπολέμησαν* **O** || 21 *ῥωμαίων* **OT** || 22 *ἐνάτῳ* **A** *ε'* **t** || 24 *μελίτων* **t** *μελίταν* **A** | *σαρδιανῶν* **t** *σαδιανῶν* **A** || 25 *ἀντωνίνῳ* **t** *ἀντωνίῳ* **A** || 26 ad 1 **C[m]O[m]** ad 10 **A[m]** ad 16 **V[m]** | *ση.* om. **C[m]O[m]V[m]** | *ὅτι ὁ ἅγιος* om. **A[m]** | *ἐν . . . ταύταις* om. **C[m]O[m]V[m]**

Διονύσιος ἐπίσκοπος Κορίνθου, ἱερὸς ἀνήρ, ἐγνωρίζετο.
Ὀππιανὸς ἁλιευτικῶν ποιητὴς ἤκμαζε Κίλιξ τῷ γένει.
Ταῖς Χριστιανῶν εὐχαῖς ὁ Ῥωμαίων στρατὸς δίψει διαφθείρεσθαι μέλλων ἐν Κουάδοις περισῴζεται θεοῦ ὕσαντος καὶ τοὺς πολεμίους Γερμα-
5 *νοὺς καὶ Σαυρομάτας σκηπτῷ διαφθείραντος, ὡς καὶ αὐτὸς Ἀντωνῖνος ἐπιστέλλων μαρτυρεῖ. Περτίναξ ἡγεῖτο τοῦ στρατοῦ.*
⟨Ῥωμαίων ἐπίσκοπος ια' Ἀνίκητος ἔτη ια',⟩ *ἐφ' οὗ Πολύκαρπος ἐν Ῥώμῃ.*
Ῥωμαίων ιβ' ἐπίσκοπος Σωτήριχος ἔτη θ'.
10 Ἀντιοχείας ς' ἐπίσκοπος Θεόφιλος ἔτη ιγ'.
Θεοφίλου τούτου συγγράμματα διάφορά εἰσι καὶ φέρονται.
Ἀλεξανδρείας ι' ἐπίσκοπος Ἀγριππῖνος ἔτη ιβ'. **666**
Ἱεροσολύμων κα' ἐπίσκοπος Γάιος ἔτη γ'.
Ἱεροσολύμων κβ' ἐπίσκοπος Σύμμαχος ἔτη β'.
15 Ἱεροσολύμων κγ' ἐπίσκοπος Γάιος ἄλλος ἔτη γ'.
Ἱεροσολύμων κδ' ἐπίσκοπος Ἰουλιανὸς ἔτη δ'.
Ἡ κατὰ Φρύγας συνέστη ψευδοπροφητία.
Ἡρωδιανὸς γραμματικὸς ἄριστος ἤκμαζε.

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΧΚΕ

20 Τῆς θείας σαρκώσεως ἔτη ρξε'

Τὰ ὑπόλοιπα Ῥωμαίων ιδ' Μάρκου Αὐρηλίου Ἀντωνίνου τοῦ καὶ Οὐήρου ἔτη

Γαληνὸς ἰατρὸς ἄριστος ἤκμαζε τῷ γένει Περγαμηνός.
Ἰουλιανὸς νομοθέτης ἐν Ῥώμῃ καὶ Φρόντων ὁ ῥήτωρ.

25 **1 AV** *περὶ Διονυσίου ἐπισκόπου Κορίνθου* || **18 ACOTV** *περὶ Ἡρωδιανοῦ γραμματικοῦ* || **23 ACOTV** *περὶ Γαληνοῦ ἰατροῦ*

2 Euseb. 2, 206[a], cf. ps. Sym. f. 79[v] = Cedr. 440, 20 || **3** Euseb. 2, 206[i] || **7** Euseb. 2, 203[c] || **9** Euseb. 2, 205[h] (ann. 8) || **10–11** Euseb. 2, 205[i], cf. 207[b] (interuall. ann. 8) || **12** Euseb. 2, 205[b] (ann. 12) || **13–16** Euseb. 2, 203[f], H. E. 5, 12 (sine annis) || **17** Euseb. 2, 206[d] || **18** non ex Euseb., cf. Suda s. v. Herodianus || **23** non ex Euseb., cf. Suda s. v. Galenus || **24** cf. Eutrop. 8, 12, 1

2 *κίλιξ* **AOV** *κήλιξ* **CTz** || **4** *ὕσαντος*] *οἰκονομήσαντος* **C** *κελεύσαντος* **T** *φύσαντος* **S** || **5** *σαυρομάτος* **O** || **7** ⟨*Ῥωμαίων* . . . *ια'*⟩] cf. supra 429, 21, Euseb. 2, 203[c] || **11** *διάφορα* om. **A** || **15** *ἄλλος* om. **A** || **17** *ἡ* om. **AQS** || **18** *γραμματικὸς* **t** *γραμματεὺς* **A** || **21** *ιδ'* supra *δ'* **At** | *αὐρηλίου* **A** *αὐριλίου* **t** || **22** *ἔτη* **t** *ἔτη ε'* **A** || **24** *Φρόντων* Scal. *φόρτων* **At** || **25–26** lemmata in margine **ACOV**, in textu **T**

Ἀριστείδης Σμυρναῖος σοφιστής.
Νικόστρατος λογοποιός.
Ὀππιανὸς Κίλιξ ποιητὴς ἁλιευτικῶν.
Σέξτος ἀδελφιδοῦς Πλουτάρχου τοῦ Χαιρωνέως φιλοσόφου.
Ἀττικὸς Πλατωνικὸς φιλόσοφος. 5
667 *Ἀντωνῖνος κοινωνὸν τῆς βασιλείας Κόμοδον ἴδιον παῖδα ἀνέδειξεν.*
Ὁ αὐτὸς κατὰ τῶν πολεμίων σὺν αὐτῷ ἐθριάμβευσεν.
Ἀντωνῖνος καὶ Κόμοδος οἱ αὐτοκράτορες διανομὰς καὶ θέας παντοίας παρέσχον, τά τε δημόσια τέλη ἀνῆκαν καὶ τοὺς τῶν χρεῶν χάρτας ἐπὶ τῆς Ῥωμανισίας ἀγορᾶς κατέφλεξαν. νόμους καὶ διατάξεις εὖ συνειδότες 10 *ἀνενεώσαντο.*
Ἀντωνῖνος ἐν Παννονίαις, ὥς δέ τινες ἄλλοι, ἐν Σπανίαις νόσῳ τελευτᾷ.
Ῥωμαίων ιγʹ ἐπίσκοπος Ἐλευθέριος ἔτη ιεʹ.
Ἀντιοχείας ζʹ ἐπίσκοπος Μάξιμος ἔτη ιγʹ.
Ἱεροσολύμων κεʹ ἐπίσκοπος Ἠλίας ἔτη βʹ. 15
Ἱεροσολύμων κςʹ ἐπίσκοπος Ἀπίων, οἱ δὲ Καπίτων, ἔτη δʹ.
Σμύρνα πόλις τῆς Ἀσίας σεισμῷ κατεπτώθη καὶ πρὸς ἀνοικοδομὴν ἀνείθη τῶν φόρων ἔτη ιʹ.

ΚΟΣΜΟΥ ΕΤΗ ͞Ε͞Χ͞Ο͞Β

Τῆς θείας σαρκώσεως ἔτη ροβʹ 20

Ῥωμαίων ιεʹ ἐβασίλευσε Κόμοδος ἔτη ιγʹ.
Κόμοδος ὑπὸ τῆς συγκλήτου Σεβαστὸς ἀνηγορεύθη.

6 **ΛΟ** *Ἀντωνῖνος Κόμοδον τὸν παῖδα αὐτοῦ βασίλέα ἀνέδειξεν*

1 cf. Suda s. v. Aristid., Philostr. uit. soph. 2, 9 ‖ 2 cf. Suda s. v. Nicostr. Mac. (*σύγχρονος Ἀριστείδου*) ‖ 3 Euseb. 2, 206[g] ‖ 4 cf. Eutrop. 8, 12, 1 ‖ 5 Euseb. 2, 207[a] ‖ 6–11 Euseb. 2, 207[d,e,f] ‖ 12 Euseb. 2, 208[d] (Pannonia); in Hispania narrat nemo, sed cf. Herodian. 1, 3, 1 (*ἐν Παίοσι*, ex qua lectione fortasse haec mendosa) ‖ 13 Euseb. 2, 207[b] (ann. 15), H. E. 5, 22 (ann. 13) ‖ 14 cf. Euseb. 2, 207[c]. 209[d] (interuall. ann. 13) ‖ 15 non apud Euseb., cf. Niceph. 124, 22 ‖ 16 Euseb. 2. 203[f], H. E. 5, 12 (sine annis) ‖ 17 Euseb. 2, 208[c] ‖ 21 Euseb. 2, 208, 16 ‖ 22 Euseb. 2, 208[b]

1 *ἀριστείδης* **ACTV** *ἀριστίδης* **Oz** | *σμυρναῖος* **t** *σμυρναίων* **A** ‖ 2 *λογοποιός* **t** *νικοποιός* **A** ‖ 3 *Ὀππιανὸς . . . ἁλιευτικῶν* om. **O** | *κίλιξ* **ACT** *κήλιξ* **Vz** ‖ 4 *σέξτος* **MRS** *σέκστος* **COVPQ** *σέκτος* **AT** | *Χαιρωνέως* Di. *χερωνέως* **A** *χερρωνέως* **t** ‖ 6 *κόμοδον* **A** *κώμωδον* uel *κώμοδον* uel *κόμωδον* cett. (non constanter) hic et infra ‖ 9 *τέλη ἀνῆκαν* **A** *τέλει ἀνῖκαν* **x** *τέλεια νικᾶν* **z** ‖ 10 *ῥωμανισίας* **A** *ῥωμανησίας* **t** ‖ 12 *ἀντωνῖνος* **t** *ἀντώνιος* **Λ** | *ἐν σπανίαις* **AC** *ἐνὶ σπανίαις* **V** *ἐνισπανίαις* **O** *ἐν ἱσπανίαις* **Tz** ‖ 13 *ιγʹ* **A** *ιβʹ* **t** | *ιεʹ* **t** *εʹ* **Λ** ‖ 16 *ἀπίων* **AOV** *ἀππίων* **CTz** ‖ 17, 18 *ἀνοικοδομὴν ἀνείθη* **A** *οἰκοδομὴν ἀνήθη* (*ἀνήφθη* **S**) **t** ‖ 22 *ὑπὸ* **A** et post corr. **C** *ὕπατος* **t** | *ἀνηγορεύθη* **O** et post corr. **CV** *ἀνηρεύθη* **CV** *ἀνηρέθη* **Tz** *ἀνερρήθη* **Λ**

Ὁ αὐτὸς κατὰ Γερμανῶν ἐθριάμβευσεν.

Εἰρηναῖος ἐπίσκοπος Λουγδόνων πόλεως Γαλλίας θείοις λόγοις καὶ πρά- **668**
ξεσι διέλαμπε.

Τὸ Σεραπεῖον ἐν Ἀλεξανδρείᾳ κατεφλέχθη.

5 *Τὰς ἐν τῷ Καπετωλίῳ βιβλοθήκας καὶ ἄλλα τούτου μέρη σκηπτὸς κατέφλεξε.*

Τοῦ ἐν Ῥόδῳ ἡλιακοῦ κολοσσοῦ τὴν κεφαλὴν ἀφελὼν Κόμοδος τὴν ἑαυτοῦ ἔστησεν.

Ἐμπρησμὸς μέγας τὸ παλάτιον Ῥώμης καὶ τὴν οἰκίαν τῶν παρθένων
10 *καὶ ἄλλα πλεῖστα ἐνέπρησε.*

Κόμοδος τοὺς ἐν γερουσίᾳ τιμίους ἀνελών, ἐν οἷς καὶ Ἰουλιανὸν νομοθέτην καὶ Ἀντωνῖνον ἴδιον ἀδελφιδοῦν, ὑπὸ Ναρκίσσου τινὸς ἱπποδαμαστοῦ βασιλέως διαφθείρεται ἐν τοῖς βασιλείοις.

Ῥωμαίων ιδʹ ἐπίσκοπος Βίκτωρ ἔτη ιβʹ.
15 Ἀντιοχείας ζʹ ἐπίσκοπος Μάξιμος ἔτη ιγʹ.
Ἀντιοχείας ηʹ ἐπίσκοπος Σεραπίων ἔτη κεʹ.
Ἀλεξανδρείας ιʹ ἐπίσκοπος Ἀγριππῖνος ἔτη ιβʹ.
Ἀλεξανδρείας ιαʹ ἐπίσκοπος Ἰούλιος ἔτη ιʹ.
Ἀλεξανδρείας ιβʹ ἐπίσκοπος Δημήτριος ἔτη μγʹ.
20 Ἱεροσολύμων κζʹ ἐπίσκοπος Μάξιμος ἔτη δʹ.
Ἱεροσολύμων κηʹ ἐπίσκοπος Ἀντωνῖνος ἔτη εʹ.
Ἱεροσολύμων κθʹ ἐπίσκοπος Οὐάλης ἔτη γʹ. **669**
Ἱεροσολύμων λʹ ἐπίσκοπος Νάρκισσος ἔτη δʹ.

2 **COV** *περὶ Εἰρηναίου Λουγδούνων*

1 Euseb. 2, 208[f] || 2 Euseb. H. E. 5, 5, 8, breuius Chron. 2, 208[h] || 4–6 Euseb. 2, 208[g]. 209[a] || 7–8 Euseb. 2, 209[c], cf. ps. Sym. f. 80[r] = Cedr. 441, 12, Herodian. 1, 15, 9 || 9 Euseb. 2, 209[f] || 11 Euseb. 2, 209[e] || 11–12 nomina non ex Eusebio; cf. SHA Commod. 4, 8 (Iulianus, sed non ille iuris consultus); 7, 5 (Antoninus), Herodian. 1, 17, 11 (Narcissus) || 14 Euseb. 2, 210[c] (ann. 10) || 15–16 cf. Euseb. 2, 207[c]. 209[d]. 213[b] (interuall. ann. 13 et 21) || 17 Euseb. 2, 205[b] (ann. 12) || 18 Euseb. 2, 208[e] (ann. 10) || 19 Euseb. 2, 209[b] (ann. 43) || 20–23 cf. Euseb. 2, 208[i], H. E. 5, 12 (sine annis)

2 *λουγδόνων* **AC** *λουγδούνων* **OTVz** || 4 *τὸ σεραπεῖον* **A** *τὸ σεραπίων* **t** *ὁ σεραπίων* **C[c]** || 7 *τοῦ . . . κολοσσοῦ* ps. Sym. *τὸ . . . κολοσσοῦ* **t** *τὸ . . . κολοσσὸν* **A** | *ἐν ῥόδῳ* **At** ps. Sym. om. Euseb. recte *ἐν Ῥώμῃ* | *ἡλιακὸν* **At** om. Ps. Sym. || 12 *ἀντωνῖνον* **t** *ἀντώνιον* **A** || 13 *βασιλέως* **A** *βασιλικοῦ* **t** | *διαφθείρονται* **O** || 15 *ιγʹ* om. **AT** || 17 *ιβʹ* om. **t** || 20 *ἱεροσολύμων* **t** *ἀλεξανδρείας* **A**

ΚΟΣΜΟΥ ΕΤΗ ΕΧΠΕ

Τῆς θείας σαρκώσεως ἔτη ρπε'

Ῥωμαίων ις' ἐβασίλευσεν Ἑλύιος Περτίναξ μῆνας ς'.
Ῥωμαίων ιζ' ἐβασίλευσε Σευῆρος ἔτη ιη'.
Περτίναξ ὑπὸ τῆς συγκλήτου καὶ τοῦ δήμου βασιλεὺς Ῥωμαίων ἀνηγο- ρεύθη ἄριστος ἀνήρ, σφόδρα τῶν στρατιωτικῶν προνοῶν· ὑπὸ στρατιωτῶν ἀναιρεῖται διὰ τοῦτο, βασιλεύσας κατὰ μὲν Εὐσέβιον μῆνας ς', κατὰ δὲ ἄλλους οὐδὲ τρεῖς ὅλους· μεθ' ὃν βασιλεύσας Ἰουλιανὸς ὁ κληθεὶς Δίδιος διὰ τὸ χρήμασι τὴν βασιλείαν ὠνήσασθαι καθαιρεῖται τῆς ἀρχῆς μετὰ δύο μῆνας ὑπὸ τῶν φίλων Σευήρου. 5 10
Σευῆρος δὲ βασιλεύσας εὐθὺς τοὺς Περτίνακος φονευτὰς ἀνεῖλε.
Κλήμης ὁ Στρωματεὺς πρεσβύτερος Ἀλεξανδρείας ἄριστος διδάσκαλος ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ συντάττων διέλαμπε.
Πάνταινος φιλόσοφος ἀπὸ στωικῶν ἐν τῷ θείῳ λόγῳ διέπρεπεν.
Ἀφρικανὸς ἱστορικὸς Χριστιανὸς ἤκμαζε. 15
Λεωνίδης Ὠριγένους πατὴρ ἐμαρτύρησε διωγμοῦ γεγονότος ἐν Ἀλεξαν- δρείᾳ.
670 *Μουσιανὸς ἐκκλησιαστικὸς συγγραφεὺς ἐγνωρίζετο.*
Ὠριγένης ὁ ματαιόφρων ἐν Ἀλεξανδρείᾳ κενοδοξῶν Ἑλληνικοῖς δόγμα- σιν ἐνεωτέριζε. τοῦτον Εὐσέβιος ὁ Παμφίλου ὡς ὁμόφρων ἐκθειάζων σὺν αὐτῷ λογισθείη. 20
Νίγερα στρατηγὸν ἐπαναστάντα τοῖς πράγμασι καὶ τὸ Βυζάντιον χει- ρωσάμενον κατά τε Νικαίας μητροπόλεως Βιθυνίας Περσικὴν δύναμιν ἀθροίσαντα, καὶ Οὐλίγισσον τὸν Περσῶν βασιλέα καὶ ἄλλους βαρβάρους ὁ Σευῆρος ἀναιρεῖ διὰ τῶν ἑαυτοῦ στρατηγῶν, τό τε Βυζάντιον ἀναλαμβάνει 25

12 ACOV *ὅτι Κλήμης ὁ στρωματεὺς ἐπὶ Σευήρου βασιλέως ἦν* || **15 CV** *Ἀφρικανὸς Χριστιανός* || **19 ACO** *περὶ Ὠριγένους καὶ τῶν ληρημάτων αὐτοῦ*

3–4 Euseb. 2, 210, 10–20 || **5–8** cf. Eutrop. 8, 16 || **8–10** cf. Eutrop. 8, 17 (menses 7), SHA Did. Iul. 9, 3 (menses 2, dies 5) || **11** cf. [Aur. Vict.] lib. de Caes. 20, 1 || **12–14** Euseb. 2, 211[a,b] || **15–17** cf. ps. Sym. f. 80[r] = Cedr. 441, 20 || **15** non ex Eusebio cuius notitia apparet infra 439, 15, uide Gelzer 1, 5 || **16** Euseb. 2, 212[c] || **18–21** Euseb. 2, 212[e,i] || **22**–p. 435, **3** cf. SHA Sev. 8–9; 16–17. Cass. Dion. 76, 9

1 *,εχπε'* **ATV** *,εχπθ'* **COz** || **2** *ρπε'* **AxMRS** *ρπθ'* **PQ** || **4** *ἐβασίλευσε* om. **Cz** | *σευῆρος* **Ax** *σεβῆρος* **z** || **5** *τοῦ . . . ἀνηγορεύθη* om. **A** || **8** *ὃν* **AC[c]** *ὧν* **t** || **10** *σευήρου* **Ax** *σεβήρου* **z** || **11** *σευῆρος* **AxPMRS** *σεβῆρος* **Q** et post corr. **S** || **14** *πάνταινος* post corr. **P** *πένταινος* **A** *πάντενός* **t** | *διέπρεπεν* **t** *διέπραττεν* **A** || **20** *ὁμόφρων* **At** *ὁμόφρονα* **C[c]** || **22.23** *χειρωσάμενον κατά τε* **t** *χειρωσάμενος* **A** || **24** *οὐλίγισσον* **Ax** *οὐλιγίσσων* **z** | *τὸν* **AC[c]** *τῶν* **t** || **25** *σευῆρος* **Ax** *σεβῆρος* **z** | *τῶν . . . στρατηγῶν* **CO** *τὸν . . . στρατηγὸν* **ATVz** || **26** *ὅτι* et *ἦν* om. **C[m]O[m]V[m]** || **27** *καὶ . . . αὐτοῦ* om. **C[m]O[m]**

πολιορκίᾳ, διαφθείρας τοὺς Νίγερος συνδρόμους. Σευῆρος πρὸς Οὐλίγισσον καὶ Πέρσας πολεμήσας φυγάδα τοῦτον τρεψάμενος κατέστησε, τήν τε Νίσιβιν ἀνέλαβε, πάλαι προδοθεῖσαν Πέρσαις.

Ῥώμης ιδʹ ἐπίσκοπος Βίκτωρ ἔτη ⟨ιβʹ⟩.

5 Ῥώμης ιεʹ ἐπίσκοπος Ζεφυρῖνος ἔτη ιθʹ, κατὰ δὲ Εὐσέβιον ἔτη ιβʹ.

Ἀντιοχείας ηʹ ἐπίσκοπος Σεραπίων ἔτη ⟨κεʹ⟩.

Ἀλεξανδρείας ιβʹ ἐπίσκοπος Δημήτριος ἔτη ⟨μγʹ⟩.

Ἱεροσολύμων λʹ ἐπίσκοπος Νάρκισσος ἔτη ⟨δʹ⟩.

Ἱεροσολύμων λαʹ ἐπίσκοπος Δολιχιανὸς ἔτη ιβʹ.

10 ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\text{ΕΧϚΣ}}$ 671

Τῆς θείας σαρκώσεως ἔτη ρϞϚʹ

Τὰ ὑπόλοιπα Ῥωμαίων ιζʹ βασιλέως Σευήρου ἔτη

Σευῆρος Οὐλιγίσσου Περσῶν βασιλέως φυγόντος πρὸς τὴν Νίσιβιν καὶ ἄλλας πόλεις Πέρσαις προδοθείσας, Ῥωμαίοις δὲ πρότερον ἀνηκούσας, 15 *παρεστήσατο.*

Σευῆρος Ἀδιαβηνοὺς καὶ Ἄραβας συμμαχήσαντας τῷ Νίγερι καθυπέταξεν.

Ὁ αὐτὸς Κολχικὴν ἤτοι Λαζικὴν παρεστήσατο.

Σευῆρος εἰς Ῥώμην ἐλθὼν Ἀλβῖνον τυραννήσαντα κατὰ Λουγδόνων πό- 20 *λιν ἀνεῖλε.*

Σευῆρος εἰς Βρεττανίαν ἐλθὼν νόσῳ πολεμίᾳ τελευτᾷ ἤγουν ἐπιληψίᾳ.

Ῥωμαίων ιεʹ ἐπίσκοπος Ζεφυρῖνος ἔτη ιθʹ ἢ ιβʹ.

Ἀντιοχείας ηʹ ἐπίσκοπος Σεραπίων ἔτη ⟨κεʹ⟩.

4 Euseb. 2, 210[c] (ann. 10) || **5** Euseb. 2, 212[b] (ann. 12 Arm., om. Hieron.), cf. H. E. 6, 21, 1 (ann. 18) || **6** cf. Euseb. 2, 209[d]. 213[b] (interuall. ann. 21) || **7** Euseb. 2, 209[b] (ann. 43) || **8–9** Euseb. 2, 208[l], H. E. 5, 12 (sine annis) || **13** cf. Cass. Dion. 76, 9 || **16** cf. Euseb. 2, 211[c], Eutrop. 8, 18, 4, SHA Sev. 9, 9 || **18** cf. Steph. Byz. s. v. *Λαζική* || **19** cf. Euseb. 2, 212[f], Eutrop. 8, 18, 4 || **21** cf. Euseb. 2, 213[a], Eutrop. 8, 19, 2, SHA Sev. 19, 1 (*morbo grauissimo*) || **23**–p. 436, **2** eadem supra **5–9**

1 *σευῆρος* **t** *σευήρου* **A** || **4, 6, 7** et **8** annos add. Go. ex eisdem supra || **7** *Δημήτριος ἔτη* om. **A** || **8** *Ἱεροσ. . . . Νάρκισσος ἔτη* om. **V** || **9** *δολιχιανὸς* **t** *δολιχεανὸς* **A** || **11** *ἔτη* om. **A** || **12** *βασιλέως* **AxS** *βασιλεὺς* **QMR** *βασιλ.* **P** | *σευήρου* **AOTV** *σευῆρος* **C** *σεβῆρος* **z** || **13** *νισίβην* **CTQ** || **14** *πέρσαις* **ATV** *πέρσας* **Oz** *περάσας* **C** || **16** *σευῆρος* **AxS** *σευήρους* **PQM** *σεβήρους* **R** | *καθυπέταξεν* **AxS** *καθυπέταξαν* **PQMR** || **19** *ἀλβήνων* **A** *ἀλβῆνον* **T** | *λουγδόνων* **A** *λουγδούνων* **t** || **23** *ζεφυρῖνος* **t** *ζεφουρῖνος* **A** | *ιθʹ* **CTVPMS** *θʹ* **AQR** *κʹ* **O** || **24**–p. 436, **1** annos addidi ex eisdem supra

Ἀλεξανδρείας ιβʹ ἐπίσκοπος Δημήτριος ἔτη ⟨μγʹ⟩.
Ἱεροσολύμων λαʹ ἐπίσκοπος Δολιχιανὸς ἔτη ιβʹ.
Ἱεροσολύμων λβʹ ἐπίσκοπος Δῖος ἔτη ηʹ.

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨ

672 ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨΑ 5

Τῆς θείας σαρκώσεως ἔτη σαʹ

Ῥωμαίων ιηʹ ἐβασίλευσεν Ἀντωνῖνος ὁ ἐπικληθεὶς Καράκαλλος, υἱὸς ὢν Σευήρου, ἔτη ζʹ σὺν ἀδελφῷ Γέτᾳ, ὃν καὶ ἀνεῖλε, φονικώτερος γεγονὼς Κομόδου καὶ πολλοὺς ἀνελὼν ἀδίκως.

Οὗτος ἐλθὼν εἰς Ἀλεξάνδρειαν τὸ ταύτης ἐπίσημον σὺν πολλῷ πλήθει 10 *διέφθειρε διὰ στάσιν δημοτικήν, ἀκόρεστος ὢν αἱμάτων καὶ μηδέν ποτε πράξας ἀξιόλογον.*

Ὁ δ' αὐτὸς Ἀρταβάνῃ τῷ Περσῶν βασιλεῖ πολεμεῖν δοκιμάσας ἀναιρεῖται δόλῳ πρὸς Καρίαις καὶ Ἐδέσσῃ. πόλεις δ' αὗται τῆς Ὀσροϊνῆς.

Μακρῖνος δὲ τούτου παῖς συνὼν αὐτῷ διεδέξατο τὴν ἀρχήν, ἔτος αʹ 15 *ἄρξας καὶ μῆνας ςʹ, ὥς τινες, χρηστὸς καὶ περὶ πάντα σπουδαῖος φανείς, μάλιστα δὲ τὰ στρατιωτικά, τό τε ὑπήκοον φυλάξας ἀνεπηρέαστον. οὗ χάριν τινὲς τῶν τῆς ἑῴας στρατιωτῶν ἐπιβουλεύσαντες αὐτῷ Ἀντωνῖνον Αὐρήλιον ἀνηγόρευσαν βασιλέα Ἐδεσσηνόν. τούτῳ πολεμῆσαι πειραθεὶς ὁ Μακρῖνος ἐλαττοῦται, καὶ φεύγων περὶ τὸ Βυζάντιον ὡς αἰχμάλωτος* 20 *περιενεχθεὶς διεφθάρη.*

Ῥωμαίων ιηʹ ἐβασίλευσε Μακρῖνος ἔτος αʹ, ὡς δὲ ἄλλοι λέγουσι, καὶ μῆνας ςʹ. ἐσφάγη δὲ ἐν Ἀρχελαΐδι.

3 cf. Euseb. 2, 208[l], H. E. 6, 10 (sine annis) || 7–8 Euseb. 2, 213, 4 || 8–9 cf. SHA Sev. 21, 7 || 10 cf. SHA Carac. 6, 2–3 || 13 cf. Euseb. 2, 213[g], Eutrop. 8, 20, 2 || 15–16, 22–23 cf. Euseb. 2, 213, 24 (ann. 1), Eutrop. 8, 21 (ann. 1, menses 2) || 16–21 cf. SHA Macr. 10, 3, Herodian. 5, 4, 11 || 23 Euseb. 2, 214[d]

1 notitia hoc loco **AV**, post Zephyrinum **COTz** || 2 *λαʹ* **ATV** *λβʹ* **COz** | *ιβʹ* om. **A** || 4 *κόσμου ἔτη ͵εψʹ* om. **OTS** || 7 *ἐβασίλευσεν* **A** *βασιλεὺς* **t** || 9 *κομόδου* **A** *κομώδου* **V** *κωμώδου* **COTz** || 10 *οὗτος ἐλθὼν* **Ax** *ἀνελθὼν οὗτος* **z** || 11–12 *δημοτικὴν . . . πράξας* om. **z** || 11 *μηδέν ποτε* **A** *μηδέποτε* **x** || 14 *καρίαις* **A** *καροίαις* **t** | *ἐδέσσῃ* **AC[c]V** *αἰδέσσῃ* **OT** *αἰδέσῃ* **Cz** | *Ὀσροϊνῆς*] *ἀρριμῆς* **T** || 17 *ἀνεπηρέαστον* **AC[c]** *ἀνεπερέαστον* **t** || 19 *ἐδεσινὸν* **A** *ἐδεσσηνῶν* **C[c]** *ἐδεσινῶν* **T** *αἰδεσινῶν* **COVz** | *τούτῳ* **AV** *τοῦτο* **COTz** || 20 *περὶ*] *ἐπὶ* **T** || 22 *ἐβασίλευσε* **A** *βασιλεὺς* **t** | *καὶ* om. **COTz** || 23 *ἀρχελαίδι* **A** *ἀχερλαίδι* **t**

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨΙ

Κιρκισίοις Ἡφαιστίοις ἐκάη τὸ ἀμφιθέατρον ἐν Ῥώμῃ.
Ῥωμαίων ιε' ἐπίσκοπος Ζεφυρῖνος ἔτη ιθ'.
Ἀντιοχείας η' ἐπίσκοπος Σεραπίων ἔτη ⟨κε'⟩.
5 Ἀντιοχείας θ' ἐπίσκοπος Ἀσκληπιάδης ἔτη θ'.
Ἀλεξανδρείας ιβ' ἐπίσκοπος Δημήτριος ἔτη ⟨μγ'⟩.
Ἱεροσολύμων λβ' ἐπίσκοπος Δῖος ἔτη ⟨η'⟩.
Ἱεροσολύμων λγ' ἐπίσκοπος Γερμανίων ἔτη δ'.

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨΙ

10 Τῆς θείας σαρκώσεως ἔτη σι'

Ῥωμαίων ιθ' ἐβασίλευσεν Ἀντωνῖνος Αὐρήλιος ἔτη δ'.

Ἀντωνῖνος Αὐρήλιος Ἐδεσσηνὸς μετὰ Μακρῖνον ἐβασίλευσεν ἔτη δ', ἀνὴρ θηλυδρίας ὅλος, ἐπὶ τὸ γυναικεῖον ἦθος τετραμμένος, κοσμούμενος καὶ ἐργαζόμενος τὰ γυναικῶν, φονικώτατος σφόδρα· διὸ καὶ ὑπὸ στρατιω- 15 *τῶν ἀκοντισθεὶς ἀνῃρέθη κακῶς σὺν τῇ μητρί. μεθ' ὃν βασιλεύει Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς ἀδελφιδοῦς αὐτοῦ, ἐν Ἀρκαῖς γῆς παράλου τεχθεὶς Φοινίκης, ὑπαγόμενος Οὐλπιανοῦ τοῦ νομοθέτου τῇ γνώμῃ, σφόδρα τῆς στρατιωτικῆς εὐταξίας ἀντεχομένου. διὸ καὶ ἀνῃρέθη τοῦ βασιλέως ὁρῶν-* 674 *τος ὑπὸ στρατιωτῶν. Οὐράνιος δέ τις ἐν Ἐδέσσῃ τῆς Ὀσροϊνῆς αὐτοκράτωρ* 20 *ἀναγορευθεὶς καὶ κατὰ Ἀλεξάνδρου τυραννήσας διαφθείρεται ὑπ' αὐτοῦ, ἡνίκα καὶ Πέρσας καταδραμόντας Καππαδοκίαν καὶ Νίσιβιν πολιορκοῦντας Ἀλέξανδρος ἐξώθησεν. ἀλλ' εἰς Ῥώμην ἐπανελθὼν ἀναιρεῖται σὺν τῇ μητρὶ Μαμμαίᾳ ὑπὸ στρατιωτικοῦ θορύβου. Μάξιμος δέ τις Μυσὸς τὸ γένος στρατηγὸς Κελτικῆς ὑπὸ τῶν στρατευμάτων βασιλεὺς Ῥωμαίων* 25 *ἀνηγορεύθη, κρατήσας τῆς βασιλείας Ῥωμαίων ἔτη γ'.*

2 Euseb. 2, 214[b] || **4, 6 et 7** eadem supra 435, 6; 436, 1. 3 || **5** cf. Euseb. 2, 213[b]. 214[a] (interuall. ann. 8) || **8** cf. Euseb. 2, 208[l], H. E. 6, 10 (sine annis) || **11** Euseb. 2, 214, 9 || **12–14** cf. Aur. Vict. epit. de Caes. 23, 3 || **14–15** cf. Eutrop. 8, 22 || **15–18** cf. [Aur. Vict.] lib. de Caes. 24, 1–6 || **18–19** cf. Cass. Dion. 80, 2, 2 || **19–20** cf. Aur. Vict. epit. de Caes. 24, 2 (Taurinus) || **21–22** cf. Zonar. 12, 15, Eutrop. 8, 23 || **22** cf. Euseb. 2, 216[c], Eutrop. 8, 23 (*in Gallia*) || **23–25** cf. Eutrop. 9, 1

1 *τῆς θείας σαρκώσεως ἔτη σι'* add. **O** || **4, 6 et 7** annos addidi ex eisdem supra || **7–8** *λβ' . . . λγ'* Go.[m] *ιβ' . . . ιγ'* **At** || **11** *ἐβασίλευσεν* **A** *βασιλεὺς* **t** | *αὐρήλιος* **AC[c]** *αὐρίλιος* **t** hic et infra || **12** *ἐδεσσηνὸς* post corr. **C** *ἐδεσινὸς* **A** *αἰδεσινὸς* **t**, similiter infra || **16** *Μαμμαίας* Di. *μαμμέας* **A** *μαμαίας* **t** | *ἀδελφιδοῦς* **t** *ἀδελφιδὸς* **A** | *παράλου* post rasuram **C** *παρ' ἄλλου* **At** || **19** *ἐδέσσῃ* post corr. **C** *ἐδέσῃ* **ACV** *αἰδέσῃ* **OTz** || **21** *νισίβην* **CT** || **22** *ἀναιρεῖται* **t** *ἀνελεῖται* **A** || **23** *μαμμαία* **A** *μαμαία* **t** | *στρατιωτῶν* **O** || **25** *ῥωμαίων* **A** *ῥώμης* **t**

Ῥωμαίων ις´ ἐπίσκοπος Κάλλιστος ἔτη η´.
Ἀντιοχείας θ´ ἐπίσκοπος Ἀσκληπιάδης ἔτη θ´.
Ἱεροσολύμων λδ´ ἐπίσκοπος Γορδιανὸς ἔτη ε´.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΙΕ

Τῆς θείας σαρκώσεως ἔτη σιε´ 5

Ῥωμαίων κ´ ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς ἔτη ιγ´.

Ἱππόλυτος ἱερὸς φιλόσοφος ἐπίσκοπος Πόρτου κατὰ τὴν Ῥώμην σφόδρα διαπρεπῶς ἤνθει ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ, πλεῖστα ψυχωφελῆ συντάττων ὑπομνήματα. εἴς τε γὰρ τὴν ἑξαήμερον καὶ εἰς τὰ μετὰ τὴν ἑξαήμερον, εἰς πολλά τε τῶν προφητῶν, μάλιστα Ἰεζεκιὴλ καὶ Δανιὴλ τῶν με- 10 *γάλων, ἔτι μὴν εἰς τὰ ᾄσματα καὶ εἰς ἄλλας παντοίας παλαιὰς καὶ νέας γραφάς, ἐν οἷς καὶ εἰς τὴν ἐν Πάτμῳ τοῦ θεολόγου ἀποκάλυψιν πρὸς* 675 *Μαρκίωνα καὶ τὰς λοιπὰς αἱρέσεις, καὶ τὸν ἑξκαιδεκαετηρικὸν τοῦ πάσχα κανόνα ἐξέθετο περιγράψας εἰς τὸ α´ ἔτος Ἀλεξάνδρου τοῦ Μαμμαίας τούτου, καὶ συντόμως φάναι θεοφράδης ποταμὸς τῇ ἐκκλησίᾳ ζώντων* 15 *ναμάτων γέγονε, τὸν μαρτυρικὸν περιθέμενος στέφανον πρὸς τῷ τέλει.*

Ἐκ τούτου λαβὼν ἀφορμὰς Ὠριγένης ὁ τάλας ὑπεμνημάτισε πολλὰς τῶν γραφῶν, Ἀμβροσίου παρορμῶντος αὐτὸν εἰς τοῦτο καὶ χορηγοῦντος ἀναγκαίας τε χρείας ἀφθόνως καὶ ταχυγράφους ζ´ παριστῶντος, ἀμείβοντας ἀλλήλους ὑπαγορεύοντος, καὶ καλλιγράφους πλείους ἅμα κόραις ἠσκη- 20 *μέναις γράφειν, ἄφατόν τε προθυμίαν αὐτῷ παρέχοντος εἰς τὸ συντάττειν. ἀλλ᾽ εἰς βάραθρον Ἑλληνικῆς τερατολογίας παρολισθήσας ἀποκατάστασιν*

7 **CO** *περὶ Ἱππολύτου μάρτυρος ὅτι ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμαίας υἱοῦ ἦν* || 17 **COT** *ὁμοίως καὶ περὶ Ὠριγένους τοῦ αἱρετικοῦ*

1 cf. Euseb. 2, 214[f] (ann. 5) || 2 cf. supra 437, 5 || 3 Euseb. 2, 208[l], H. E. 6, 10 (sine annis) || 6 Euseb. 2, 215, 1 || 7–16 cf. Euseb. H. E. 6, 22 || 7 ex ignota sede iuxta Euseb.; Portus primum apud Prudent. perist. 11, 48 || 12 hoc opus om. Euseb.; cf. Hieron. de uir. ill. 67 et CIG 8613 || 16 cf. Prudent. perist. 11, 48, Chron. ann. 354 p. 72 Mommsen || 17–21 cf. Euseb. H. E. 6, 23 || 22 – p. 439, 2 cf. Suda s. v. Origenes

3 *γορδιανὸς* (*γοδιανὸς* **T**) **t** *σαρδιανὸς* **A** || 5 *ἔτη* om. **A** || 6 *ἐβασίλευσεν* **A** *βασιλεὺς* **t** | *ἔτη ιγ´* altera manu **T** *ἔτη γ´* **At** || 7 *ἱερὸς φιλόσοφος* **A** *φιλόσοφος καὶ ἱερὸς* **t** | *πόρτου* **t** *πόρτου τοῦ* **A** || 9 *καὶ . . . ἑξαήμερον* om. **T** || 10 *ἰεζεκιὴλ* **AT** *ἐζεκιὴλ* **COVz** || 11 *ἔτι* **t** *ἔτη* **A** | *παντοίας* om. **C** | *παλαιὰς* om. **OTVz** || 13 *ἑξκαιδεκαετηρικὸν* Di. *ἑξκαιδεκατὸν ἐτηρικὸν* **A** *ις´ ἐταιρικὸν* **t** || 13–14 *τοῦ πάσχα κανόνα* **A** *κανόνα τοῦ πάσχα* **t** || 14 et infra *Μαμμαίας* Di. *μαμαίας* **At** || 16 *τῷ τέλει* **A** *τῷ τέλος* **V** *τὸ τέλεον* **T** *τὸ τέλος* **COz** || 17 *ὑπεμνημάτισε πολλὰς* **t** *ὑπερεμνημάτισε πολλῶν* **A** || 20 *ὑπαγορεύοντος* scripsi *ὑπαγορεύοντι* **A** *ὑπαγορεύοντες* **t** | *πλείους* **t** *τελείους* **A** | *ἠσκημέναις* **AC**[c] *ἠσκημένας* **CO** *ἠσκημένους* **TVz** || 24 *ὠριγένους* **T**[m] *ὠρειγένους* **C**[m]**O**[m]

καὶ προΰπαρξιν ἐδογμάτισεν ἕτερά τε ἀνόσια δόγματα· καὶ διὰ τοῦτο τοῦ χοροῦ τῶν ἁγίων ἐξώσθη.

Μαμμαία τοῦ αὐτοκράτορος Ἀλεξάνδρου μήτηρ θεοσεβὴς ἦν σφόδρα. αὕτη λέγεται ὁμιλῆσαι τῷ Ὠριγένει ἐν Ἀντιοχείᾳ διατρίβουσα, μεταπεμ- 5 *ψαμένη αὐτὸν ἐκ τοῦ Φάρου. ἡ δ' αὐτὴ καὶ πᾶσι τοῖς ὀνομαστοῖς τηνικαῦτα Χριστιανῶν διδασκάλοις προσέκειτο διὰ τὴν εἰς Χριστὸν πίστιν.*

Καὶ Ἀλέξανδρος ὁ Μαμμαίας υἱὸς μετὰ τὴν ἀναίρεσιν Οὐρανίου τοῦ τυράννου καὶ τὴν κατὰ Περσῶν εὐδοκίμησιν ἐπανελθὼν ἐν Ῥώμῃ ἀναιρεῖται σὺν μητρὶ Μαμμαίᾳ ἐν Μογοντιακῷ στρατιωτικῇ ἐπαναστάσει.

10 *Περσῶν α' Ἀρταξέρξης ἔτη ιε'.* 676

Ῥώμης ιζ' ἐπίσκοπος Οὐρβανὸς ἔτη ζ'.

Ἀντιοχείας ι' ἐπίσκοπος Φίλητος ἢ Φίλιππος ἔτη η'.

Ἀντιοχείας ια' ἐπίσκοπος Ζέβεννος ἔτη ς'.

Ἱεροσολύμων λε' ἐπίσκοπος πάλιν Νάρκισσος ἔτη ι'.

15 *Ἐμμαοὺς ἡ ἐν Παλαιστίνῃ κώμη, περὶ ἧς φέρεται ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, Νικόπολις ἐτιμήθη καλεῖσθαι ὑπὸ Ἀλεξάνδρου τοῦ αὐτοκράτορος, Ἀφρικανοῦ πρεσβευσαμένου τὰς ἱστορίας ἐν πενταβίβλῳ συγγραψαμένου.*

Ἀφρικανὸς τὴν ἐννεάβιβλον τῶν Κεστῶν ἐπιγεγραμμένην πραγματείαν ἰατρικῶν καὶ φυσικῶν καὶ γεωργικῶν καὶ χυμευτικῶν περιέχουσαν δυνά- 20 *μεις Ἀλεξάνδρῳ τούτῳ προσφωνεῖ.*

Ἀφρικανὸς Αὔγαρόν φησιν ἱερὸν ἄνδρα τοῦ πρώην Αὐγάρου ὁμώνυμον βασιλεύειν Ἐδέσσης κατὰ τούτους τοὺς χρόνους.

Ἐβασίλευσαν οὖν Ἀσσύριοι ἀπὸ Νίνου καὶ Σεμιράμεως μέχρι Βελεοῦν τοῦ Δελκετάδου. εἰς τοῦτον γὰρ τοῦ Σεμιράμεως γένους λήξαντος, Βελι- 25 *ταρᾶν κηπουργὸς ἐβασίλευσε καὶ τὸ ἐκείνου γένος ἑξῆς μέχρι Σαρδαναπάλου, καθὰ Βίωνι καὶ Ἀλεξάνδρῳ δοκεῖ τῷ Πολυΐστορι. Σαρδανάπαλον*

23 CO *περὶ τῆς βασιλείας Ἀσσυρίων καὶ Περσῶν καὶ Μήδων*

3 cf. Euseb. H. E. 6, 21, Oros. 7, 18 || **7** cf. Aur. Vict. epit. de Caes. 24, 2 (Taurinus) || **9** cf. Euseb. 2, 216[c], Oros. 7, 18, 8 || **10** cf. Eutrop. 8, 23. Agath. 4, 24. 1 || **11** Euseb. 2, 215[b] (ann. 9), H. E. 6, 23. 3 (ann. 8) || **12** cf. Euseb. 2. 214[a] (*Filetus* Hieron., *Philipos* Arm.), 215[f] (interuall. ann. 10) || **13** cf. Euseb. 2, 215[f]. 218[g] (interuall. ann. 23) || **14** cf. Euseb. 2, 208[l], H. E. 6, 10 (sine annis) || **15–17** Euseb. 2, 214[h], cf. Luc. 24, 13 || **18** cf. Euseb. H. E. 6, 31, 1, Suda s. v. Afric. || **21** African. fr. 53 Routh, cf. Euseb. 2, 214[c] || **23** – p. 440, **25** cf. Agath. 2, 25–27 || **26** Alex. Polyhist. FGrHist 273 F 81, Bion FGrHist 89

4 *ὠριγένει* **AT** *ὠριγένη* **COz** *ὠρειγένη* **V** || **7** *υἱὸς* om. **t** || **9** *στρατιωτικῷ* **A** *στρατιωτικοῦ* **t** || **11** *ιζ'* **C** *ζ'* **A** om. cett. || **12** *φίλιτος* **AS** *φιλήτικος* **C** || **15** *τοῖς* om. **t** || **18** *ἐννεάβιβλον* Go. *ἐννάβιβλον* **At** | *κεστῶν* **A** *καιστῶν* **t** || **22** *ἐδέσσης* post corr. **C** *ἐδέσης* **ATV** *αἰδέσης* **COz** | *χρόνους ἐποίησεν* **t** || **23** *οὖν* om. **Ax** || **23** *βελεοῦν* et p. 440, **1** *βελεοῦς* **At** *Βέλεσυς* supra 243, 10 et Agath. || **24** *δελκετάδου* **A** *δεκελτάτου* **t** *Δερκετάδου* Agath. || **25** *ἑξῆς* **t** *ἐξ ἧς* **A**

δὲ ἀνεῖλεν Ἀρβάκης ὁ Μῆδος καὶ Βελεοῦς ὁ Βαβυλώνιος, καὶ μετήγαγεν
677 *εἰς Μήδους τὴν βασιλείαν. ἐβασίλευσαν οὖν οἱ Ἀσσύριοι ἔτη ͵ατς'. οὕτω γὰρ λέγοντι Κτησίᾳ καὶ Διόδωρος ὁ Σικελιώτης συμφθέγγεται. τῶν δὲ Μήδων λ' ἔτη βασιλευσάντων, τὸν ὕστατον βασιλέα Μήδων Ἀστυάγην Κῦρος καθεῖλεν ὁ Πέρσης καὶ εἰς Πέρσας τὴν ἡγεμονίαν μετήγαγεν.* 5

Ἐβασίλευσαν δὲ οἱ Πέρσαι ἔτη σκη' μέχρις Δαρείου τοῦ Ἀρσάμου, ὃν νικήσας ὁ Φιλίππου Ἀλέξανδρος Μακεδόσι τὴν Περσῶν βασιλείαν παρέδωκεν. ἐκράτησαν δὲ τῆς Περσικῆς ἀρχῆς Μακεδόνες ἔτη σςγ', οὓς ἐκβαλὼν Ἀρσάκης ὁ Παρθυαῖος Πάρθοις τὴν βασιλείαν Περσῶν παρέδωκεν· ἔνθεν καὶ Ἀρσακίδαι οἱ βασιλεῖς Περσῶν ὀνομάζονται. 10

Ἐβασίλευσαν δὲ Πάρθοι ἀπὸ Ἀρσάκου ἀρξάμενοι μέχρις Ἀρταβάνου ἔτη σο'. ἐβασίλευσε δὲ Ῥωμαίων ὁ Μαμμαίας Ἀλέξανδρος, ἡνίκα Ἀρτάβανος ὁ Πάρθος Περσῶν ἐβασίλευσε. μετὰ δὲ τὸν Ἀρτάβανον τὸ γένος Χοσρόου βασιλεύειν ἤρξατο. ἤρξατο δὲ οὕτως· Ἀρταξέρξης Πέρσης ἀφανής τε καὶ ἄδοξος ἀθροίσας ἄνδρας ἀτάκτους ἀνεῖλεν Ἀρτάβανον καὶ περιέθετο κίδαριν, καὶ αὖθις Πέρσαις ἐπανήγαγε τὴν βασιλείαν. ἦν δὲ μάγος 15 *καὶ ἐξ ἐκείνου οἱ μάγοι γεγόνασι παρὰ Πέρσαις ἐπίδοξοι. λέγουσι δὲ τὴν τοῦ Ἀρταξέρξου μητέρα ἀνδρὶ συνοικεῖν Παβεκῷ τοὔνομα σκυτοτόμῳ μὲν τὴν τέχνην, ἀστρολόγῳ δὲ καὶ περὶ ταῦτα ἐνησκημένῳ. στρατιώτην δὲ*
678 *ὀνόματι Σάνανον διὰ τῆς Καδουσαίων πορευόμενον χώρας ὑποδεχθῆναι* 20 *εἰς τὸν οἶκον Παβεκῷ, καὶ προγνῶναι δῆθεν διὰ τῆς ἀστρολογίας τὸν Παβεκὸν ὅτι δὴ ἡ τοῦ Σανάνου γονὴ ἐπὶ μέγα εὐδαιμονίας ἀρθήσεται. μὴ ἔχων δὲ θυγατέρα ἢ ἀδελφὴν ἢ ἄλλο πρὸς γένος συναπτόμενον γύναιον, συγκατέκλινε τὴν ἰδίαν γαμετὴν τῷ Σανάνῳ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἀρταξάρην.* 25

8 **CO** *Μακέδονες σςγ' ἔτη ἐκράτησαν τὴν Περσικὴν ἀρχήν* || 11 **CO** *Πάρθοι σο' ἔτη ἐβασίλευσαν* || 17 **ACO** *πόθεν γεγονὼς ὁ Ἀρταξέρξου ἐσκοτισμένος ἢ σχωλισμένος*

3 Ctesias FGrHist 688 F 1 = Diodorus 2, 28, 8

1 *ὁ*[1] om. **AC** || 4 *λ'* **At** *τριακόσια* Agath. | *τὸν* om. **COTz** || 6 *Ἀρσάμου* Agath. *ἀρσάνου* **t** *ἀρσάκου* **A** || 7 *παρέδωκεν* **t** *ἀπέδωκεν* **A** || 10 *ἀρσακίδαι οἱ* **Ax** *ἀρσακιδαῖοι* **z** || 11 *πάρθοι* **A**^{c}**t** *πάρνοι* ante corr. **A** *Παρθυαῖοι* Agath. || 12 *ῥωμαίων* **A** *ῥώμης* **t** | *Μαμμαίας* Di. *μαμαίας* **At** || 13 *τὸν* om. **A** || 14 *ἤρξατο* **AO TV** *ἤρξαντο* **CO**^{c}**z** || 14 et 18 *Ἀρταξάρης, Ἀρταξάρου* Agath. || 18 *παβεκῷ* **t** *παμβεκῷ* **A** *Παβέκῳ* Agath. || 20 *καδουσαίων* **t** *βαδουσαίων* **A** || 21 *παβεκῷ* **t** *παμβεκῷ* **A** similiter infra || 23 *ἀδελφὴν* **AV** *ἀδελφὸν* **COTz** | *ἄλλο* **t** *ἄλλῳ* **A** || 24 *συγκατέκλινε* **t** *συγκατέκλεισε* **A** | *ἰδίαν* **A** *οἰκείαν* **t** || 25 — p. 441, 1 *ἀρταξάρην . . . ἀρταξάρου . . . ἀρταξέρξου* **t** *ἀρταξέρξην . . . ἀρταξέρξου . . . ἀρταξέρξου* **A** || 27 *ἐσκοτισμένος ἢ σχωλισμένος* **O**^{m} *ἐσκοτισμένος ἠσχολησμένος* **C**^{m} *ἐσκοστισμοὺς ἢ χλεασμοὺς* **A**^{m} *σκοτισμοὺς ἢ χλευασμοὺς* in textu coniecit Di.

Ἐξ ἐκείνου τοίνυν τοῦ Ἀρταξάρου τοῦ καὶ Ἀρταξέρξου τὸ Χοσρόου κατάγεται γένος. ἐβασίλευσαν δὲ οὕτως·

Ἀρταξάρης, ὁ καὶ Ἀρταξέρξης, ἔτη ιε΄. τῷ τετάρτῳ ἔτει τῆς βασιλείας Ἀλεξάνδρου τοῦ Μαμμαίας.

5 *Σαπώρης ἔτη λα΄.*
Ὁρμίσδας ἔτος α΄.
Οὐραράνης ἔτη γ΄.
Οὐραράκης ἔτη ιζ΄.
Οὐραράνης ἔτος α΄, ἄλλος δ΄.
10 *Ναρσῆς ἔτη η΄.*
Ὁρμίσδας ἔτη η΄.
Σαβώρης ἔτη ο΄. τούτῳ δέδωκεν Ἰοβιανὸς τὴν Νίσιβιν.
Ἀρταξὴρ ἔτη δ΄.
Σαβὼρ υἱὸς Ἀρταξὴρ ἔτη ε΄.
15 *Οὐραράνης ἔτη ια΄.* 679
Οὐραράνης ἄλλος ἔτη κ΄.
Ἰσδιγέρδης ἔτη κα΄.
Περόζης ἔτη κδ΄.
Ἰσδιγέρδης ἔτη ιζ΄.
20 *Καβάδης ἔτη ια΄, καὶ ἐξεβλήθη.*
Οὐάλας ἔτη δ΄.
Καβάδης πάλιν ἔτη λ΄.
Ζαμάσπης ἔτη δ΄.
Ὁρμίσδας ἔτη ιε΄.
25 *Χοσρόης υἱὸς Καβάδου ἔτη μη΄.*
Χοσρόης ὁ μέγας, ὁ ἐπὶ Ἡρακλείου ἀναιρεθεὶς ὑπὸ Σιρόου υἱοῦ αὐτοῦ, ἔτη λθ΄.

1 **CO** *Ση. ὅτι ἐκ τοῦ Ἀρταξάρου τοῦ καὶ Ἀρταξέρξου τὸ Χοσρόου γένος κατάγεται*

1–25 cf. Agath. 4, 24–29, Eliam Nisib. 26 || **26**–p. 442, **5** cf. Eliam Nisib. 26, Theoph. 327–329

4 *τοῦ* om. **z** | *Μαμμαίας* Di. *μαμαίας* **At** || **8** *οὐραράκης* **t** *οὐράκης* **A** *υἱὸς ὁμώνυμος* Agath. || **9** *οὐραράνης ἔτος α΄ ἄλλος δ΄* **ACTV** *οὐραράκης ἔτος α΄ ἄλλος ἔτη δ΄* **O** *οὐραράκης ἔτος ἓν ἄλλος δ΄* **z** *Οὐαραράνης τρίτος μῆνας δ΄* Agath. || **11** *η΄* **t** *ς΄* **A** ann. 7, menses 5 Agath. || **12** *σαβώρης* **ACOV** Agath. *σαπώρης* **Tz** | *τούτῳ* **AC**[c] *τοῦτο* **t** | *ἰοβιανὸς* **C**[c] *ἰουβιανὸς* **At** | *τὴν Νίσιβιν* Di. ex Agath. *τὸν τζίβιος* **A** *τὸν νιτζίβιος* **x** *τὸν ἰτζίβιος* **z** || **15–25** ordinem legendi perturbauit scriptor, binis reuersis apud Agathiam ita: Ouraranes, Isdigerdes, Ouraranes, Isdigerdes, Perozes, Oualas, Kabades, Zamaspes, Kabades, Chosroes || **18** *κδ΄* **ACTV** *κα΄* **Oz** lineam om. **MR** || **20** *ἔτη* om. **A** | *καὶ ἐξεβλήθη* om. **O** || **21** *οὐάλας* **t** Agath. *οὐαλλᾶς* **A** || **25** *καβάδου* **t** *καββάδου* **A** || **26** *ἐπὶ*] *ὑπὸ* **V** et ante corr. **A**

Σιρόης ὁ υἱὸς Χοσρόου μῆνας η'.
Ἀδεσὴρ μῆνας ζ'.
Σαρβαράξας μῆνας β'.
Βοράνη ἡ θυγάτηρ Χοσρόου μῆνας ζ'.
Ὁρμίσδας ὁ διωχθεὶς ὑπὸ τῶν Σαρακηνῶν ἔτη ⟨ια'⟩. 5

680 ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΚΗ

Τῆς θείας σαρκώσεως ἔτη σκη'

Ῥωμαίων κα' ἐβασίλευσε Μαξιμῖνος ἔτη γ'.
Μαξιμῖνος κατὰ Χριστιανῶν διωγμὸν ἐκίνησεν.
Οὗτος τύραννός τις καὶ ἀγριώτατος ἦν, ὡς καὶ τὴν ἰδίαν γαμετὴν ἀνελεῖν. 10
Οὗτος ἀνῃρέθη κακῶς ὑπὸ τῶν στρατευμάτων ἐν Ἀκυληίᾳ.
Θεμιστοκλῆς φιλόσοφος ἤκμαζεν, ᾧ τὸν Πύθιον Ἕλληνες μαρτυρῆσαι μυθεύονται τόδε ἔπος ἀνειπόντα· ἐσθλὸς ἀνὴρ μακάρεσσι τετιμένος ὀλβιοδαίμων.
Πλωτῖνος φιλόσοφος ὁ τὰς ἐννεάδας γράψας ἤκμαζε. 15
Περσῶν β' ἐβασίλευσε Σαπώρης ἔτη λα'.
Ῥώμης ιη' ἐπίσκοπος Ἀντέρως μῆνα α'.
Ῥώμης ιθ' ἐπίσκοπος Ποντιανὸς ἔτη γ'.
τινὲς Ποντιανὸν πρὸ τοῦ Ἀντέρωτός φασιν ἐπισκοπῆσαι Ῥώμης.
Ἀντιοχείας ια' ἐπίσκοπος Ζέβεννος ἔτη ς'. 20
Ἀλεξανδρείας ιγ' ἐπίσκοπος Ἡρακλᾶς ἔτη ις'.
Ἱεροσολύμων λε' ἐπίσκοπος Νάρκισσος ἔτη ι'.
Ἱεροσολύμων λς' ἐπίσκοπος Ἀλέξανδρος ὁ μάρτυς ἔτη ιε'.
681 *Ὠριγένης ὁ ματαιόφρων ἀπὸ Ἀλεξανδρείας εἰς Καισάρειαν Παλαιστίνης μετέστη.* 25

24 **CV** *ὅτι Ὠριγένης ἀπὸ Ἀλεξανδρείας εἰς Καισάρειαν μετέστησε*

8 Euseb. 2, 216, 9 || 9 Euseb. 2, 216[e] || 10 cf. Zonar. 12, 6, SHA Maximin. 13, 5 || 11 Euseb. 2, 216[g] || 12 cf. Eunap. uit. soph. 438f (anno 355), Liban. ep. 10, 408. 429 (anno 356) || 13 uide Parke et Wormell, Delphic Oracle, Oxon. 1956, 2, 190 n. 496 || 15 cf. Suda s. v. || 16 cf. supra 441, 5 || 17 Euseb. 2, 216[h] (mensem 1) || 18 cf. Euseb. 2, 216[b] (ann. 5 et ante Anterota) || 20 cf. Euseb. 2, 215[f], H. E. 6, 23, 3 (sine annis) || 21 Euseb. 2, 215[h] (ann. 16) || 22—23 cf Euseb. 2, 213[c] (sine annis) || 24 cf. Euseb. 2, 216[a]

1—4 *η' . . . μῆνας* om. **MR** || 2—4 *ζ' . . . μῆνας* om. **A** || 3 *σαρβαράξας* **x** *σαρβαράζης* **z** || 4 *ἡ* om. **T** || 5 *ἔτη* om. **AOTV** *ἔτη ια'* Theoph. || 10 *ἀνελεῖν* **AV** *ἀνεῖλεν* **COTz** || 12 *τὸν* Scal. *τὸ* **At** || 13 *ἔπος* Scal. *ἔθος* **At** | *τετιμένος* Scal. *τετιμημένος* **At** || 15 *πλωτῖνος* **A** *πλουτῖνος* **t** || 16 *λα'* **Ax** *λδ'* **z** || 22 *λε'*] *λα'* **Oz** || 24 *ἀλεξανδρείας* **t** *ἀλεξάνδρου* **A** | *Παλαιστίνης* om. **COTz** || 26 *ὠριγένης* **C**[m] *ὠρειγένης* **V**[m]

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΛΑ

Τῆς θείας σαρκώσεως ἔτη σλα'

Ῥωμαίων κβ' ἐβασίλευσε Γορδιανὸς ἔτη ς'.
Οὗτος ἐξ Ἰταλίας εἰς Πάρθους ἐλθὼν καὶ Σαπώρην τὸν Ἀρταξέρξου
5 *υἱὸν Περσῶν βασιλέα πολεμήσας ἐτρέψατο καὶ Νίσιβιν καὶ Κάρρας ἀρθείσας ὑπὸ Περσῶν ἐπὶ Μαξιμίνου τοῦ Μυσοῦ Ῥωμαίοις ὑπέταξεν. ἀλλὰ πρὸς Κτησιφῶντα γενόμενος ἀναιρεῖται ὑπὸ τῶν οἰκείων στρατιωτῶν ὑπάρχου Φιλίππου γνώμῃ τοῦ μετ' αὐτὸν βασιλεύσαντος ἔτη ε', κατὰ δὲ τοὺς πολλοὺς ἔτη ζ'.*
10 Ῥώμης κ' ἐπίσκοπος Φαβιανὸς μάρτυς ἔτη ιγ'.
Ἀντιοχείας ιβ' ἐπίσκοπος Βαβυλᾶς μάρτυς ἔτη ιγ'.
Ἀλεξανδρείας ιγ' ἐπίσκοπος Ἡρακλᾶς ἔτη ις'.
Ἱεροσολύμων λς' ἐπίσκοπος Ἀλέξανδρος ὁ μάρτυς ἔτη ιε'.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΛΖ

15 ### Τῆς θείας σαρκώσεως ἔτη σλζ'

Ῥωμαίων κγ' ἐβασίλευσε Φίλιππος ἔτη ζ'.
Πλωτῖνος φιλόσοφος τῆς Πλατωνικῆς διατριβῆς καθηγούμενος.
Τούτου Πορφύριος ἠκροάσατο. 682
Θεόπομπος φιλόσοφος ἐν Χαιρωνείᾳ ἤκμαζε.
20 *Νικάτωρ ὁ σοφιστὴς Ἀθήνησιν ἤκμαζε.*
Φίλιππος τοσοῦτον προσετέθη τῇ πίστει Χριστοῦ, ὡς καὶ τὰ ἡμαρτημένα προθύμως ἐξαγορεῦσαι καὶ τῶν ἐπὶ τῆς ἐκκλησίας εὐχῶν κοινω-

17 CV *Πλουτῖνος φιλόσοφος καὶ Θεόπομπος καὶ Νικάτωρ, ἐκ δὲ τοῦ Πλουτίνου Πορφύριος*

3 Euseb. 2, 216, 19 || **4** cf. Euseb. 2, 217[a], Zonar. 12, 18, Eutrop. 9, 2, SHA Gordiani 26; 30–31, Aur. Vict. epit. de Caes. 27, 2 || **8** cf. Aur. Vict. epit. 28, 1 et Eutrop. 9, 3 (ann. 5, ann. 7 Euseb. et astr. can.) || **10** Euseb. 2, 216[h] (ann. 13) || **11** cf. Euseb. 2, 218[z] (sine annis) || **12** Euseb. 2, 215[h] (ann. 16) || **13** cf. Euseb. 2, 218[z] (sine annis) || **16** Euseb. 2, 217, 10 || **17–18** cf. Suda s. v. Eunap. uit. phil. 455–457 || **19** cf. Liban. ep. 11, 525 (anno 365) || **20** cf. Suda s. v. *Νικαγόρου (γέγονε κατὰ Φίλιππον τὸν Καίσαρα)* || **21** cf. Euseb. 2. 217[c], H. E. 6, 34

4 *ἀρταξέρξου* **Ax** *ἀρταξέργου* **z** || **5** *βασιλέως* **C** | *κάρρας* **t** *κάρας* **A** || **6** *ἐπὶ* **t** *ὑπὸ* **A** || **9** *τοὺς πολλοὺς* **AOTV** *πολλοὺς* **C** *ἄλλους* **z** || **10** *φαβιανὸς* **O** et post corr. **T** *φλαβιανὸς* **ACTVz** | *ιγ'* **A** *γ'* **t** || **13** *ιε'* **A** *ις'* **t** || **16** *ζ'*] *η'* **MR** || **17** *Πλωτῖνος* Di. *πλουτῖνος* **At** || **19** *χαιρωνείᾳ* **A** *χαιρωνίᾳ* **C**[c] *χερρωνίᾳ* **T** *χερωνίᾳ* **COVz** || **20** *Νικάτωρ . . . ἤκμαζε*] hoc loco **AV** inter *Χριστοῦ* et *ὡς* **COTz** | *νικάτωρ* **At** *Νικάγωρ* ut uidetur Suda | *σοφιστὴς* **A** *σοφιστὴς τῆς* **OVz** *σοφιστὴς τοῖς* **CT**

*νῆσαι τῷ πλήθει τῇ νυκτὶ τῆς ἑορτῆς τοῦ πάσχα. ἔνθεν τε πλέον παρρη-
σιασθῆναι τὸν θεῖον λόγον.*

*Τότε καὶ Ὠριγένης ὁ ἄθλιος ἑξηκοστὸν ἄγων ἔτος διαλέξεις ἐποιεῖτο τῷ
πλήθει ταχυγράφοις ἐκλαμβανομένας. ἐπέστελλε δὲ καὶ Φιλίππῳ τῷ βα-
σιλεῖ καὶ Σευήρᾳ τῇ τούτου γυναικὶ βασιλίδι.* 5

*Τότε κατὰ τὴν Ἀραβίαν τινὲς ἐδογμάτιζον ἀσεβῶς συνδιαφθείρεσθαι
τῇ ψυχῇ τὸ σῶμα κατὰ τὴν τελευτὴν καὶ ἐν τῇ ἀναστάσει πάλιν συναναβιώσασθαι· σύνοδός τε κατ᾽ αὐτῶν συνεκροτήθη μεγάλη.*

*Ἔτι τε ἡ λεγομένη αἵρεσις τῶν Ἑλκεσαϊτῶν συνέστη, ἥτις πολλά τινα
τῶν ἐν ταῖς θείαις γραφαῖς ἀθετεῖ τέλεον, {δὲ} τῶν θείων ἀποστόλων ῥη-* 10
*τοῖς τισι χρωμένη παρῳδικῶς ἐκ παλαιᾶς καὶ νέας. τὸ δὲ ἀρνεῖσθαι ἀδιά-
φορόν φησιν, ὅτι ὁ μὲν νοήσας τῷ στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ
καρδίᾳ οὐχί. φέρουσιν αὐτοὶ καὶ βίβλον ἐξ οὐρανοῦ μυθεύοντες πεπτωκέ-
ναι, ἧς ὁ ἀκηκοὼς ἄφεσιν λήψεται πταισμάτων ἄλλην παρ᾽ ἣν ὁ κύριος
ἡμῶν ἐχαρίσατο ἡμῖν, τερατευόμενοι.* 15

683 *Φίλιππος οὖν κρατήσας Ῥωμαίων ἔτη ζ΄ μετὰ τὴν εἰς Σαπώρην τὸν Περ-
σῶν βασιλέα σπονδὴν ἀναζεύγνυσιν ἐν Ῥώμῃ, καὶ πολεμεῖ πρὸς Δέκιον
αὐτοκράτορα παρὰ τῶν στρατευμάτων ἀναρρηθέντα, ἡνίκα καὶ ἀναιρεῖται.*

*Δέκιος δὲ τὴν ἀρχὴν διαδεξάμενος δύο ἔτη διὰ τὸ πρὸς Φίλιππον ἔχθος
πικρὸν ἤγειρε κατὰ Χριστιανῶν διωγμόν, ἐν ᾧ Φαβιανὸς ἐπὶ τῆς Ῥώ-* 20
*μης ὁ ταύτης ἐπίσκοπος τὸν μαρτυρικὸν ἀνεδήσατο στέφανον, Βαβυλᾶς
τε κατὰ τὴν Ἀντιόχειαν ἐπισκοπῶν, καὶ Ἱεροσολύμων Ἀλέξανδρος ὁ
ἱερὸς τὸ δεύτερον παραστὰς ἡγεμονικοῖς βήμασιν ἐπὶ τῆς εἱρκτῆς τελευτᾷ.*

*Τότε καὶ Κυπριανὸς διαπρέπων ἔργοις καὶ λόγοις θεοσεβείας, ὁ μέγας
Καρθαγένης ἐπίσκοπος, τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ τελειοῦται.* 25

Ἀντιοχείας ιβ΄ ἐπίσκοπος Βαβυλᾶς μάρτυς ἔτη ιγ΄.

Ἀλεξανδρείας ιγ΄ ἐπίσκοπος Ἡρακλᾶς ἔτη ις΄.

Ἱεροσολύμων λς΄ ἐπίσκοπος Ἀλέξανδρος, ὁ καὶ μάρτυς, ἔτη ιε΄.

6 **COV** *κατὰ τῶν δογματιζόντων ἀσεβῶς συνδιαφθείρεσθαι τὴν ψυχὴν καὶ τὸ σῶμα τελευτῶντι ἀνθρώπῳ καὶ πάλιν ἐν τῇ ἀναστάσει ἀναβιώσασθαι γέγονε σύνοδος με-* 30 *γάλη* || 19 **COV** *Φλαβιανὸς ἐπίσκοπος Ῥώμης μάρτυς, Βαβυλᾶς Ἀντιοχείας μάρτυς καὶ Ἀλέξανδρος μάρτυς, Κυπριανὸς Καρθαγένης μάρτυς*

3 cf. Euseb. H. E. 6, 36 || 6–15 cf. Euseb. H. E. 6, 37–38 || 16 cf. [Aur. Vict.] lib. de Caes. 28, 1 et 10 || 19–23 Euseb. 2, $218^{d,g}$, H. E. 6, 39 || 24 Euseb. 2, 220^{c} (sub Valeriano) || 26–28 cf. supra 443, 11–13

1 *τε πλέον* **AV** *τε πλεῖον* **COTMRS** *τὸ πλεῖον* **PQ** || 5 *Σευήρᾳ* Scal. *σευήρῃ* **V** *σευήρι* **AT** *σευήρει* **C** *σευείρῃ* **Oz** || 9 *συνέστη* om. **MR** || 9.10 *τινα τῶν* **AC^cT** *τινα τὸν* **COVz** || 14 *ὁ*[1] **AC^cVS** om. **COTPQMR** || 16 *εἰς σαπώρην* **z** *εἰσσαπώρην* **COV** *εἰσαπώρην* **A** *εἰς ἀπώριν* **T** | *τὸν* **A** *τῶν* **t** || 20 *φαβιανὸς* **TV** *φλαβιανὸς* **ACOz** || 22 *ὁ* om. **A** || 23 *ῥήμασιν* **MR** || 29–30 *σῶμα . . . μεγάλη* om. **O^m** || 30 *ἐν* om. **C^m** | *μεγάλη* om. **C^m** || 31 *ἐπίσκοπος* om. **C^mV^m** || 32 *καὶ . . . μάρτυς* om. **O^m**

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΜΔ

Τῆς θείας σαρκώσεως ἔτη σμδ'

Ῥωμαίων κδ' ἐβασίλευσε Δέκιος ἔτη β'.
Ῥώμης ⟨κα'⟩ ἐπίσκοπος Κορνήλιος ἔτη γ'.
5 Ἀντιοχείας ιγ' ἐπίσκοπος Φαβιανὸς ἔτη θ'.
Ἀλεξανδρείας ιδ' ἐπίσκοπος Διονύσιος ἔτη ιζ'. 684
Ἱεροσολύμων λζ' ἐπίσκοπος Μαζαβάνης ἔτη κα'.

Δεκίου Φίλιππον ἀνελόντος ἅμα τοῖς παισὶ καὶ τὸν κατὰ Χριστιανῶν διωγμὸν ἐξάψαντος οἱ τῶν ἐπισήμων ἐκκλησιῶν τῆς οἰκουμένης, ὡς προ- 10 *εσήμανται, ἱεράρχαι τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ κατεστέφθησαν, Φαβιανὸς μὲν τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας, Βαβυλᾶς δὲ τῆς Ἀντιοχέων, καὶ ὁ Ἱεροσολύμων ἱερώτατος Ἀλέξανδρος δὶς παραστὰς τυραννικοῖς βήμασι καὶ τελευτήσας ἐν τῇ φρουρᾷ μετὰ πεπαρρησιασμένην καὶ ἀξιόθεον ὁμολογίαν.*

15 *Ἐπὶ τούτοις καὶ Κυπριανὸς ὁ μέγας Καρθαγένης ἐπίσκοπος πλείστοις ἱεροῖς λόγοις καὶ ἐπιστάλμασιν ὑπαλείψας πολλοὺς ἐν τῷ αὐτῷ κατὰ Δέκιον διωγμῷ καὶ μάρτυρας προθύμως πείσας γενέσθαι τῷ ὑπὲρ τοῦ κυρίου μαρτυρίῳ τελειοῦται, πολλὰ τῷ ἀρχεκάκῳ δράκοντι ἀντιπαλαίσας, ὡς ἡ κατ' αὐτὸν συγγραφὴ δηλοῖ, τῆς κατὰ Ἰουστίναν τὴν ἁγίαν καλλιπάρθε-* 20 *νον δαιμονιώδους προσβολῆς δηλοῦσα τὸ ἀδρανὲς καὶ τῆς αὐτοῦ πρὸς θεὸν προφανοῦς ἐξαγορεύσεως τὸ ἀνυπόκριτον.*

Πολλῶν δὲ καὶ ἄλλων τελειωθέντων ὑπὲρ Χριστοῦ ἐν τῷ αὐτῷ διωγμῷ, ὧν τὰ ὀνόματα μόνος ὁ μαρτυρηθεὶς ὑπ' αὐτῶν κύριος οἶδεν, Ὠριγένης αὐχῶν ἐπὶ λόγοις σεσοφισμένοις καὶ μύθοις Ἑλληνικοῖς ἀπελείφθη τοῦ 25 *τηλικούτου στεφάνου, οὐδὲν διὰ θείας χρηστότητος, ἀλλὰ δι' ὑπερήφανον* 685 *καὶ αὐτοπεποίθητον γνώμην. ἀλλὰ ταῦτα Εὐσεβίῳ τῷ Καισαρεῖ οὐ δοκεῖ, ὃς μείζω πάντων ἁγίων καὶ διδασκάλων αὐτὸν ἀποδεῖξαι σπουδάζων ἐν*

15 C *περὶ Κυπριανοῦ* || **23 CV** *περὶ τῆς ἀνοίας Ὠριγένους καὶ τοῦ τύφου*

3 cf. Euseb. 2, 218, 6 (ann. 1, menses 3), Eutrop. 9, 4 (*biennio*) || **4** Euseb. 2, 218[1] (ann. 2), H. E. 7, 2 (ann. 3) || **5** cf. Euseb. 2, 218[3] (sine annis) || **6** Euseb. 2, 218[2] (ann. 17) || **7** Euseb. 2, 218[5] (sine annis) || **8–14** Euseb. H. E. 6, 39, 1–4 || **15–18** cf. Hieron. de uir. ill. 67 || **18–21** cf. libr. de martyrio Cypriani (sc. Antiocheni) et Iustae || **23** cf. Suda s. v.

3 *ῥωμαίων . . . β'* hoc loco **ACTVz** post *Μαζαβάνης ἔτη κα'* infra **O** || **4** *κα'* add. Go.[m] || **5** *φαβιανὸς* **OTVz** *φλαβιανὸς* **AC** *Phabianos* Euseb. Arm. *Fabius* Hieron. et H. E. || **8** *τὸν* **AC[c]TV** *τῶν* **COz** || **10** *φαβιανὸς* **t** *φλαβιανὸς* **A** || **11** *δὲ* om. **MR** || **12** *ὁ* om. **COTz** || **16** *ὑπαλείψας* **A** *ἐπαλείψας* **t** || **17** *τοῦ* om. **z** || **22** *καὶ* om. **COTz** || **24–25** *ἀπελείφθη τοῦ τηλικούτου στεφάνου οὐδὲν διὰ θείας* **Ax** *οὐ* tantum **z** || **28** *τύφου* **V[m]** *τύφους* **C[m]**

ἕκτῳ τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἱστορίας λόγῳ ὁμοφρονῶν αὐτῷ πολλοῖς ἐγκωμίοις αὐτὸν ἐνυβρίζει, μὴ εἰδὼς ἃ λέγει ἢ περὶ ὧν διαβεβαιοῦται. πάνυ γὰρ ὀλίγον περὶ τῶν κατὰ τούσδε τοὺς χρόνους ἱερῶν καὶ μακαρίων πατέρων ἐπιμνησθείς, Κλήμεντος λέγω τοῦ Στρωματέως, Ἱππολύτου τοῦ ἱερομάρτυρος, Ἀφρικανοῦ τοῦ ἱστορικοῦ, Διονυσίου τοῦ μεγάλου 5 Ἀλεξανδρείας καὶ ἄλλων, μόνου τοῦ ματαιόφρονος Ὠριγένους τὴν ἐκ παιδὸς ἀναγωγὴν ἐκθειάζει μέχρι τῆς ἐν τῷ μαρτυρίῳ λειποτακτήσεως. Φαβιανοῦ τε γὰρ τοῦ λεχθέντος ἱερομάρτυρος καὶ ἐπισκόπου Ῥώμης πέρι καὶ Βαβυλᾶ τοῦ Ἀντιοχείας καὶ Ἀλεξάνδρου Ἱεροσολύμων ἐν ὀλίγοις διεξῆλθε τοῖς ῥήμασιν, ἐπὶ δὲ τὸν ὁμόφρονα ἐλθὼν Ὠριγένην πλεῖστα 10 προεγκωμιάσας τὸν θεοκατάρατον ὧδέ που προστίθησι φήσας·

Τὰ μὲν οὖν Ὠριγένει κατὰ τὸν διωγμὸν ξυμβάντα οἷα καὶ ὅσα καὶ ὁποίας ἔτυχε τελευτῆς, τοῦ πονηροῦ δαίμονος ἐφαμίλλως τῷ ἀνδρὶ πανστρατιᾷ παραταξαμένου πάσῃ τε μηχανῇ καὶ δυνάμει κατ' αὐτοῦ στρατηγήσαντος, παρὰ πάντας τε τοὺς τηνικάδε πολεμηθέντας διαφερόντως ἐπισκήψαντος 15 686 αὐτῷ, οἷά τε καὶ ὅσα διὰ τὸν τοῦ Χριστοῦ λόγον ὁ ἀνὴρ ὑπέμεινε, δεσμὰ καὶ βασάνους τὰς κατὰ τοῦ σώματος τάς τε ὑπὸ σιδήρῳ καὶ μυχοῖς εἱρκτῆς τιμωρίας καὶ ὡς ἐπὶ πλείσταις ἡμέραις τοὺς πόδας ὑπὸ τέσσαρα τοῦ κολαστηρίου ξύλα παραταθεὶς στίγματά τε καὶ πυρὸς ἀπειλὰς καὶ ὅσα ἄλλα πρὸς τῶν ἐχθρῶν ἐπενεχθέντα καρτερῶς ἤνεγκεν, οἵου τε τὰ κατ' αὐτὸν 20 ἔτυχε τέλους, μηδαμῶς αὐτὸν ἀνελεῖν παντὶ σθένει τοῦ δικαστοῦ φιλονείκως ἐνστάντος, ὁποίας τε μετὰ ταῦτα καταλιπὼν φωνάς, καὶ αὐτὰς πλήρεις τοῖς ἀναλήψεως δεομένοις ὠφελείας, πλεῖσται ὅσαι τοῦ ἀνδρὸς ἐπιστολαὶ τἀληθὲς ὁμοῦ καὶ ἀκριβὲς περιέχουσιν.

Τούτοις Εὐσέβιος καὶ πλείστοις πρὸ τούτων ἄλλοις Ὠριγένους τοῦ 25 δυσσεβοῦς ἐγκωμίοις χρησάμενος ἀμάρτυρον αὐτῷ καταλέλοιπε τὸ μαρτύριον καὶ τὸν δρόμον ἀτέλεστον· ὁ γὰρ ὑπομείνας εἰς τέλος, φησὶν ὁ κύριος, σωθήσεται, οὐχ ὁ πολλὰ παθὼν καὶ λειποτακτήσας. ἐπάγει δὲ καὶ περὶ τοῦ μακαρίου Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Γερμανὸν

28 **COV** *Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Γερμανὸν ἀπολογητικῆς* 30 *ἐπιστολῆς περὶ τῆς ἑαυτοῦ φυγῆς*

12–24 Euseb. H. E. 6, 39, 5 || 27 Matth. 10, 22

3 *ὀλίγον* **A** *ὀλίγων* **t** || 4 *λέγω τοῦ* **t** *λεγομένου* **A** || 7 *φαβιανοῦ* **t** *φλαβιανοῦ* **A** || 8 *πέρι* **AOz** *περὶ* **TV** om. **C** || 9 *ἀντιοχείας* **t** *ἀντιοχέως* **A** || 12 *ὠριγένει* **t** *ὠριγένη* **A** | *ξυμβάντα* **t** *ξυμβᾶν* **A** || 13 *ἐφαμίλλως* Euseb. *ἐφάμιλλος* **At** || 14 *πάσῃ τε* **AV** *τε πάσῃ τε* **COTz** || 16 *ὁ* om. **CT** || 17 *σιδήρῳ* **t** Euseb. *σιδήρων* **A** || 18 *τέσσαρα* **AT** Euseb. *δ'* **V** *τεσσάρων* **COz** || 23 *πλεῖσται* **t** Euseb. *πλήρεις* **A** || 24 *ἀκριβὲς περιέχουσιν* **t** Euseb. *ἀκριβῶς περιέχουσαι* **A** || 26 *αὐτῷ* **t** *ἑαυτῷ* **A** || 27 *ἀτέλεστον* **t** *ἀτέλευτον* **A** || 30–31 *διονυσίου ἐπισκόπου . . . ἐπιστολῆς περὶ* **C**m**O**m *διονυσίου ἐπιστολὴ ἐπισκόπου πάπα . . . περὶ* **V**m || 31 *ἑαυτοῦ* **O**m**V**m *αὐτοῦ* **C**m

*αὐτοῦ ἐπιστολῆς τὴν χρῆσιν προθεὶς ὁ αὐτὸς Καισαρεὺς Εὐσέβιος, Ὠρι-
γένει καὶ τούτῳ καὶ τοῖς ὁμόφροσιν αὐτοῦ χαριζόμενος, ὡς ἂν μὴ μόνος
φανῇ λειποτακτήσας, ἀλλὰ καὶ ἄλλους ἔχων ἐν τούτῳ συμμετόχους. ἔχει
δὲ ἡ χρῆσις Διονυσίου πως ὧδε·*

5 *Ἐγὼ δὲ καὶ ἐνώπιον τοῦ θεοῦ λαλῶ, καὶ αὐτὸς οἶδεν ὅτι οὐ ψεύδομαι,
οὐδεμίαν ἐπ' ἐμαυτοῦ βαλλόμενος, οὐδὲ ἀθεεὶ πεποίημαι τὴν φυγήν· ἀλλὰ
καὶ πρότερον τοῦ κατὰ Δέκιον προτεθέντος διωγμοῦ Σαβῖνος αὐτῆς ὥρας* 687
*φρουμεντάριον ἔπεμψεν εἰς ἀναζήτησίν μου. κἀγὼ μὲν τεσσάρων ἡμερῶν
ἐπὶ τῆς οἰκίας ἔμεινα, τὴν ἄφιξιν μὲν τοῦ φρουμενταρίου προσδοκῶν, ὁ*
10 *δ' ἅπαντα μὲν περιῆλθεν ἀνερευνῶν, τὰς ὁδούς, τοὺς ποταμούς, τοὺς
ἀγρούς, ἔνθα κρύπτεσθαί με ἢ βαδίζειν ὑπενόησεν, ἀορασίᾳ δὲ εἴχετο, μὴ
εὑρίσκων τὴν οἰκίαν. οὐ γὰρ ἐπίστευον οἴκοι με διωκόμενον μένειν, καὶ
μόλις μετὰ τὴν τετάρτην ἡμέραν κελεύσαντός μοι μεταστῆναι τοῦ θεοῦ
καὶ παραδόξως ὁδοποιήσαντος ἐγώ τε καὶ οἱ παῖδες καὶ πολλοὶ τῶν ἀδελ-*
15 *φῶν ἅμα συνεξήλθομεν. καὶ ὅτι τῆς τοῦ θεοῦ προνοίας ἔργον ἐκεῖνο γέγονε
τὰ ἑξῆς ἐδήλωσεν, ἐν οἷς τάχα τισὶ γεγόναμεν χρήσιμοι. εἶτά τινα μεταξὺ
εἰπὼν τὰ μετὰ τὴν φυγὴν αὐτῷ συμβεβηκότα δηλοῖ ταῦτα ἐπάγων· ἐγὼ
μὲν γὰρ περὶ ἡλίου δυσμὰς ἅμα τοῖς σὺν ἐμοὶ γενομένοις ὑπὸ τοῖς στρατιώ-
ταις εἰς Ταπόσιριν ἤχθην. ὁ δὲ Τιμόθεος κατὰ τὴν τοῦ θεοῦ πρόνοιαν*
20 *ἔτυχε μὴ παρὼν μηδὲ καταληφθείς· ἐλθὼν δὲ ὕστερον εὗρε τὸν οἶκον
ἔρημον καὶ φρουροῦντας αὐτὸν ὑπηρέτας, ἡμᾶς δὲ ἐξηνδραποδισμένους.*

Καὶ μεθ' ἕτερά φησι· *καὶ τίς ὁ τῆς θαυμαστῆς αὐτοῦ οἰκονομίας τρόπος;
τὰ γὰρ ἀληθῆ λεχθήσεται. ἀπηντᾶτό τις τῶν χωριτῶν ὑποφεύγοντι τῷ
Τιμοθέῳ καὶ τεταραγμένῳ καὶ τὴν αἰτίαν τῆς ἐπείξεως ἐπύθετο. ὁ δὲ*
25 *τἀληθὲς ἐξεῖπεν, κἀκεῖνος ἀκούσας (ἀπῄει δ' εὐωχησόμενος γάμῳ, δια-
παννυχίζειν γὰρ αὐτοῖς ἐν ταῖς τοιαύταις συνόδοις ἔθος) εἰσελθὼν ἀπήγ-* 688
*γειλε τοῖς κατακειμένοις ἐν τῷ γάμῳ. οἱ δὲ ὁρμῇ μιᾷ πάντες ἐξανέστησαν,
καὶ δρόμῳ φερόμενοι τάχιστα ἧκον ἐπισπεύδοντες ἡμῖν, καὶ ἠλάλαξαν καὶ
φυγῆς εὐθέως τῶν φρουρούντων ἡμᾶς στρατιωτῶν γενομένης ἐπέστησαν*
30 *ἡμῖν, ὡς εἴχομεν ἐπὶ τῶν ἀστρώτων σκιμπόδων κατακείμενοι. κἀγὼ μέν,
οἶδεν ὁ θεός, ὡς λῃστὰς εἶναι πρότερον ἡγούμενος ἐπὶ σύλησιν καὶ ἁρπα-*

5 — p. 448, 13 Euseb. H. E. 6, 40

1 *ὠριγένει* t *ὠριγένῃ* A ‖ 2 *τούτῳ* A *τοῦτο* t ‖ 6 *ἐμαυτοῦ* t Euseb. *ἐμαυτῷ* A ‖ 9 *ἄφιξιν* AV *ἄφηξιν* COTz ‖ 11 *ἢ βαδίζειν* t *ἠδαφίζειν* A ‖ 13—14 *τὴν . . . παρα-δόξως* om. C ‖ 13 *μοι* A *με* t ‖ 17 *συμβεβηκότα* Ax *συμβεβηκέναι* z | *ἐπάγων* A^c t *ἐπάγει* A ‖ 18 *δυσμὰς* om. MR, quod uerbum habet extra textum in infima pagina P ‖ 19 *ταπόσιριν* A Euseb. *ταπόσιρην* t | *ὁ* Euseb. *ὅτι* At ‖ 20 *κατα-ληφθείς* t *καταλειφθείς* A ‖ 21 *ἐξηνδραποδισμένους* A *ἐξανδραποδισμένους* t ‖ 22 *φησι* om. T ‖ 24 *ἐπείξεως* t Euseb. *ἐπιδείξεως* A ‖ 25 *ἐξεῖπεν* (*εἶπεν* MR) t Euseb. *ἐξειπὼν* A | *ἀπῄει* t *ἀπείη* A ‖ 26 *αὐτοῖς* Euseb. *αὐτῷ* At

γὴν ἀφικομένους, μένων ἐπὶ τῆς εὐνῆς ἤμην ἐν τῷ λινῷ ἐσθήματι, τὴν δὲ λοιπὴν ἐσθῆτα παρακειμένην αὐτοῖς ὤρεγον. οἱ δὲ ἐξανίστασθαί τε ἐκέλευον καὶ τὴν ταχίστην ἐξιέναι. καὶ τότε συνεὶς ἐφ' ᾧ παρῆσαν ἀνέκραγον δεόμενος αὐτῶν καὶ ἱκέτευον ἀπιέναι καὶ ἡμᾶς ἐᾶν· εἰ δὲ βούλονταί τι χρηστὸν ἐργάσασθαι, τοὺς ἀπάγοντάς με φθάσαι καὶ τὴν κεφαλὴν αὐ- 5
τοὺς τὴν ἐμὴν ἀποτεμεῖν ἠξίουν. καὶ τοιαῦτα βοῶντος, ὡς ἴσασιν οἱ κοινωνοί μου καὶ μέτοχοι πάντων γενόμενοι, ἀνίστασαν πρὸς βίαν. κἀγὼ μὲν παρῆκα ἑαυτὸν ὕπτιον πρὸς τοὔδαφος, οἱ δὲ διαλαβόντες χειρῶν καὶ ποδῶν σύροντες ἐξήγαγον. ἐπηκολούθουν δέ μοι οὗτοι τῶν πάντων μάρτυρες, Γάιος, Φαῦστος, Πέτρος, Παῦλος. οἱ καὶ ὑπολαβόντες με φοράδην ἐξ- 10
ήγαγον τοῦ πολιχνίου καὶ ὄνῳ γυμνῷ ἐπιβιβάσαντες ἀπήγαγον. οὕτω μὲν οὖν ἡ τοῦ μεγάλου τούτου πατρὸς περιέχουσα χρῆσις πάντῃ τῆς Ὠριγένους λειποταξίας διενήνοχεν.

Ὁ δ' αὐτός, φησί, καὶ περὶ τῶν ἐν Ἀλεξανδρείᾳ μαρτυρησάντων ἐπὶ
689 *Δεκίου σοφώτατος Διονύσιος γράφει πρὸς τὸν Ἀντιοχείας ἐπίσκοπον Φά-* 15
βιον· οὐκ ἀπὸ τοῦ βασιλικοῦ προστάγματος παρ' ἡμῖν ὁ διωγμὸς ἤρξατο, ἀλλὰ γὰρ ὅλον ἐνιαυτὸν προὔλαβε, καὶ φθάσας ὁ κακῶν τῇ πόλει ταύτῃ μάντις καὶ ποιητής, ὅστις ἐκεῖνος ἦν, ἐκίνησε καὶ παρώρμησε καθ' ἡμῶν τὰ πλήθη τῶν ἐθνῶν εἰς τὴν ἐπιχώριον αὐτοῦ δεισιδαιμονίαν ἀναρριπίσας. οἱ δὲ ἐρεθισθέντες ὑπ' αὐτοῦ καὶ πάσης ἐξουσίας εἰς ἀνοσιουργίαν λαβό- 20
μενοι, μόνην εὐσέβειαν τὴν θρησκείαν τῶν δαιμόνων ταύτην ὑπέλαβον τὸ καθ' ἡμῶν φονᾶν. πρῶτον μὲν οὖν πρεσβύτην Μητρανὸν ὀνόματι συναρπάσαντες καὶ κελεύσαντες ἄθεα λέγειν ῥήματα, μὴ πειθόμενον ξύλοις τε παίοντες τὸ σῶμα καὶ καλάμοις ὀξέσιν τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμούς, ἀπαγαγόντες εἰς τὸ προάστειον κατελιθοβόλησαν· εἶτα πιστὴν γυναῖκα 25
Κώιντανκαλουμένην ἐπὶ τὸ εἰδωλεῖον ἀγαγόντες ἠνάγκαζον προσκυνεῖν, ἀποστρεφομένην τε καὶ βδελυττομένην ἐκδήσαντες τῶν ποδῶν διὰ πάσης τῆς πόλεως κατὰ τοῦ τραχέος λιθοστρώτου σύροντες, προσαρασσομένην τοῖς μυλιαίοις λίθοις ἅμα καὶ μαστιγοῦντες, ἐπὶ τὸν αὐτὸν ἀγαγόντες κατέλευσαν τόπον. εἶθ' ὁμοθυμαδὸν ἅπαντες ὥρμησαν ἐπὶ τὰς τῶν θεο- 30

14 – p. 451, 5 Euseb. H. E. 6, 41, 1 – 18

4 *βούλονται* **t** *βούλωνται* **A** || 5 *αὐτοὺς* **t** *αὐτοῖς* **A** || 7 *μὲν* om. **A** || 8 *διαλαβόντες* **A** Euseb. *διαβαλόντες* **t** | *καὶ* **t** Euseb. *τε καὶ* **A** || 9 *σύροντες* **t** *σύρροντες* **A** | *πάντων* **AV** *παρόντων* **COTz** || 10 *καὶ* **t** Euseb. *δὲ* **A** | *ὑπολαβόντες* Euseb. *ὑποβαλόντες* **t** *ὑποβάλλοντες* **A** || 12 *πατρὸς* Di. *π̅ρ̅ι̅ς* **T** *πατρὶς* **ACOVz** | *πάντῃ* **AV** *πάντῃ τε* **COTz** || 14 *καὶ* om. **t** || 15 *φάβιον* **A** *φαβῖνον* **t** || 16 *βασιλικοῦ* **t** Euseb. *βασιλέως* **A** || 17 *κακῶν* **t** *καμὼν* **A** || 21 *ὑπέλαβον τὸ* **CO** Euseb. *ὑπελάβοντο* **Vz** *ὑπέλαβον* **T** *ἐσέβοντο* **A** || 22 *φονᾶν* Di. ex Euseb. *φρονᾶν* **A** *φρονεῖν* **t** || 24 – 25 *τὸ πρόσωπον . . . ἀπαγαγόντες* om. **A** || 26 *κώινταν* **t** *κόηντα* **A** *Κόινταν* Euseb. | *ἀγαγόντες* **t** Euseb. *ἀπαγαγόντες* **A** || 27 *βδελυττομένην* **t** *βδελυττομίας* **A** || 28 *σύροντες* **TVz** Euseb. *σύραντες* **ACO** || 30 *ἅπαντες* om. **A**

σόφων οἰκίας, καὶ οὓς ἐγνώριζον ἕκαστοι γειτνιῶντας ἐπισπεύδοντες ἦγον ἐσύλων τε καὶ διήρπαζον, τὰ μὲν τιμιώτερα τῶν κειμηλίων νοσφιζόμενοι, τὰ δ' εὐτελέστερα καὶ ὅσα ξύλων ἐπεποίητο διαρρήσσοντες καὶ κατακαίοντες ἐν ταῖς ὁδοῖς, ἑαλωκυίας ὑπὸ πολεμίων πόλεως παρεῖχον θέαμα. ἐξέ-
5 *κλιναν δὲ καὶ ὑπανεχώρουν οἱ ἀδελφοί, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων* 690
ὁμοίως ἐκείνοις, οἷς καὶ Παῦλος ἐμαρτύρησε, μετὰ χαρᾶς προσεδέξαντο. καὶ οὐκ ᾔδει τις πλὴν εἰ μή πού τις εἷς ἐκπεσὼν μέχρι γε τούτου τὸν κύριον ἠρνήσατο. ἀλλὰ καὶ τὴν θαυμασιωτάτην ποτὲ παρθένον πρεσβῦτιν Ἀπολλωνίαν διαλαβόντες, τοὺς μὲν ὀδόντας ἅπαντας κόπτοντες τὰς σιαγόνας
10 *ἐξήλασαν, πυρὰν δὲ νήσαντες πρὸ τῆς πόλεως ζῶσαν ἠπείλουν κατακαύσειν, εἰ μὴ συνεκφωνήσειεν αὐτοῖς τὰ τῆς ἀσεβείας κηρύγματα· ἡ δ' ὑποπαραιτησαμένη βραχὺ καὶ ἀνεθεῖσα συντόνως ἐπεπήδησεν εἰς τὸ πῦρ καὶ καταπέφλεκται. Σαραπίωνά τε καταλαβόντες ἐφέστιον, σκληραῖς βασάνοις αἰκισάμενοι καὶ πάντα τὰ ἄρθρα διακλάσαντες ἀπὸ τοῦ ὑπερῴου πρη-*
15 *νῆ κατέρραξαν. οὐδεμία δὲ ὁδός, οὐ λεωφόρος, οὐ στενωπὸς ἡμῖν βάσιμος ἦν, οὐ νυκτός, οὐ μεθ' ἡμέραν, ἀεὶ καὶ πανταχοῦ πάντων κεκραγότων, εἰ μὴ τὰ δύσφημά τις ἀνυμνεῖ ῥήματα, τοῦτον εὐθέως δεῖν σύρεσθαί τε καὶ πίμπρασθαι. καὶ ταῦτα ἐπὶ πολὺ μὲν ἤκμασε τὸ πρῶτον, διαδεξαμένους δὲ τοὺς ἀθλίους ἡ στάσις καὶ πόλεμος ἐμφύλιος τὴν καθ' ἡμῶν ὠμότητα*
20 *πρὸς ἀλλήλους αὐτῶν ἔτρεψε. καὶ σμικρὸν μὲν προσανεπνεύσαμεν, ἀσχολίαν τοῦ πρὸς ἡμᾶς θυμοῦ λαβόντων, εὐθέως δὲ ἡ τῆς βασιλείας ἐκείνης τῆς ἐπιφανεστέρας ἡμῖν μεταβολὴ διήγγελται, καὶ πολὺς ὁ τῆς ἐφ' ἡμᾶς ἀπειλῆς φόβος ἐπανέτεινε τὸ κήρυγμα. καὶ παρῆν τὸ πρόσταγμα αὐτοσχέδιον εἰπεῖν, οἷον τὸ προρρηθὲν ὑπὸ τοῦ κυρίου, ἢ παρὰ βραχὺ τὸ φοβερώ-* 691
25 *τατον, ὡς εἰ δυνατὸν σκανδαλισθῆναι καὶ τοὺς ἐκλεκτούς. πλὴν πάντες γε κατεπτήχεσαν. καὶ πολλοὶ μὲν εὐθέως τὴν περιφανεστέραν οἱ μὲν ἀπήντων δεδιότες, οἱ δὲ δημοσιεύοντες ὑπὸ τῶν πράξεων ἤγοντο, οἱ δὲ ὑπὸ τῶν ἀμφ' αὐτοῖς ἀφείλκοντο, ὀνομαστί τε καλούμενοι ταῖς ἀνάγνοις καὶ ἀνιέροις θυσίαις προσήεσαν, οἱ μὲν ὠχριῶντες καὶ τρέμοντες, ὥσπερ οὐ*

6 Ep. Hebr. 10, 34 || 25 Matth. 24, 24

1 *ἦγον* **t** Euseb. *ἤγαγον* **A** || 2—3 *μὲν . . . τὰ* om. **z** || 3 *ἐπεποίητο* **A** Euseb. *ἐπεποίηντο* **OVz** *ἐπεποίειντο* **T** *πεποίηντο* **C** || 7 *ᾔδει* **AOz** *εἴδει* **TV** *εἴδη* **C** *οἶδ' εἰ* Euseb. | *τούτου τὸν* Di. ex Euseb. *τοῦ τὸν* **T** *τοῦτον* **ACOVz** || 8 *πρεσβῦτιν* **A**C**[c]OTV** *πρεσβύτην* **Cz** || 9 *ἅπαντας* Euseb. *ἅπαντες* **At** || 10 *νήσαντες* **A** Euseb. *ἅψαντες* **t** || 11 *τὰ τῆς* om. **z** || 13 *καταπέφλεκται* **AV** *κατέφλεκται* **CO Tz** || 17 *ἀνυμνεῖ* **ACT** *ἀνυμνῇ* **OVz** *ἀνυμνοίη* Euseb. || 18 post *μὲν* add. *δεῖν σὺ* **z** | *τὸ πρῶτον* **AV** *τὸ δ' (τῷ τετάρτῳ* **T)** **t** *τὸν τρόπον* Euseb. || 20 *σμικρὸν* **A** Euseb. *μικρὸν* **t** || 20—21 *μὲν προσαπεπνεύσαμεν . . . λαβόντων* **Ax** *μὲν προσλαβόντων* **z** || 23 *ἀπειλῆς* om. **A** || 28 *αὐτοῖς* **A** *αὐτῆς* **t** | *ἀφείλκοντο* **Ax** *ἀφείλκονται* **z** || 29 *προσήεσαν* Di. Euseb. *προσίεσαν* **At**

θύσοντες, ἀλλ' αὐτοὶ θύματα καὶ σφάγια τοῖς εἰδώλοις ἐσόμενοι, ὡς ὑπὸ
πολλῶν τοῦ περιεστῶτος δήμου χλεύην αὐτοῖς ἐπιφέρεσθαι καὶ ἄλλους
μὲν εἶναι πρὸς πάντας δειλούς, ὑποτρέμοντας καὶ πρὸς τὸ τεθνάναι καὶ
πρὸς τὸ θῦσαι· οἱ δέ τινες ἑτοιμότεροι τοῖς βωμοῖς προσέτρεχον, ἰσχυρι-
ζόμενοι τῇ θρασύτητι τὸ μηδὲ πρότερον γεγονέναι Χριστιανούς· περὶ ὧν 5
ἡ τοῦ κυρίου πρόρρησις ἀληθεστάτη ὅτι δυσκόλως σωθήσονται. τῶν δὲ
λοιπῶν οἱ μὲν εἵποντο τούτοις ἑκατέροις, οἱ δὲ ἔφευγον, οἱ δὲ ἡλίσκοντο,
καὶ τούτων οἱ μὲν ἄχρι δεσμῶν καὶ φυλακῆς χωρήσαντες, καί τινες καὶ
πλείονας ἡμέρας καθειρχθέντες, εἶτα καὶ πρὶν ἐπὶ δικαστήριον ἐλθεῖν
ἐξωμόσαντο· οἱ δὲ καὶ βασάνοις ἐπὶ ποσὸν ἐγκαρτερήσαντες, πρὸς τὸ 10
ἑξῆς ἀπεῖπον. οἱ δὲ στερροὶ καὶ μακάριοι στῦλοι τοῦ κυρίου κραταιωθέν-
τες ὑπ' αὐτοῦ καὶ τῆς ἰσχυρᾶς ἐν αὐτοῖς πίστεως ἀνάλογον καὶ ἀξίαν
δύναμιν καὶ καρτερίαν λαβόντες θαυμαστοὶ γεγόνασιν αὐτοῦ τῆς βασι-
692 λείας μάρτυρες. ὧν πρῶτος Ἰουλιανὸς ἄνθρωπος ποδαλγός, μὴ στῆναι
μηδὲ βαδίσαι δυνάμενος, σὺν ἑτέροις δύο τοῖς φέρουσιν αὐτὸν προσήχθη, 15
ὧν ὁ μὲν ἕτερος εὐθὺς ἠρνήσατο, ὁ δὲ ἕτερος Κρονίων ὀνόματι, ἐπίκλην
δὲ ὁ Νοῦς, καὶ αὐτὸς ὁ πρεσβύτερος Ἰουλιανὸς ὁμολογήσαντες τὸν κύριον,
διὰ πάσης τῆς πόλεως μεγίστης οὔσης, ὡς ἴστε, καμήλοις ἐποχούμενοι
καὶ μετέωροι μαστιγούμενοι, τέλος ἀσβέστῳ πυρὶ κεχυμένου τοῦ δήμου
παντὸς κατεκάησαν. στρατιώτης τε αὐτοῖς ἀπαγομένοις παραστὰς καὶ 20
τοῖς ἐφυβρίζουσιν ἐναντιωθεὶς ἐκβοησάντων ἐκείνων προαχθεὶς ὁ ἀν-
δρειότατος ὁ πρόμαχος τοῦ θεοῦ Βησᾶς κἀν τῷ μεγάλῳ πολέμῳ τῷ περὶ
τῆς εὐσεβείας ἀριστεύσας ἀπετμήθη τὴν κεφαλήν. καί τις ἕτερος τὸ μὲν
γένος Λίβυς, τὴν δὲ προσηγορίαν ἅμα καὶ τὴν εὐλογίαν ἀληθὴς Μάκαρ,
προτροπῆς αὐτῷ πολλῆς ὑπὸ τοῦ δικαστοῦ γενομένης πρὸς ἄρνησιν, οὐχ 25
ὑπαχθείς, ζῶν καταπέφλεκται. Ἐπίμαχός τε καὶ Ἀλέξανδρος μετὰ πολὺν
ὃν ἔμειναν δεσμῶται χρόνον μυρίας διενεγκόντες ἀλγηδόνας, ξυστῆρας,
μάστιγας, πυρὶ ἀσβέστῳ καὶ οὗτοι διεχύθησαν, καὶ σὺν αὐτοῖς γυναῖκες
δ', Ἀμμωναρία τε ἁγία παρθένος, πάνυ φιλονείκως αὐτὴν ἐπὶ πλεῖστον
τοῦ δικαστοῦ βασανίσαντος, ἅτε προαποφηναμένην ὅτι μηδὲν ὧν ἐκεῖνος 30
κελεύει φθέγξαιτο, ἀληθεύσασα τὴν ἐπαγγελίαν ἀπήχθη. αἱ δὲ λοιπαί,

16 **COV** *Κρονίων μάρτυς, Ἰουλιανὸς μάρτυς, Βησᾶς μάρτυς* || 24 **CV** *Μάκαρ μάρτυς, Ἐπίμαχος καὶ Ἀλέξανδρος μάρτυρες*

2 *τοῦ περιεστῶτος δήμου* **A** Euseb. *τῶν περιεστώτων δήμων* **t** || 3 *τὸ* om. **z** || 8 *καί τινες καὶ* **t** Euseb. *καί τινες* **A** || 10 *ποσὸν* Euseb. *πόσας* **A** *πάσας* **t** *πάσαις* **C**[c] || 11 *ἀπεῖπον* **t** Euseb. *ἀπείποντο* **A** || 14 *ποδαλγός* **At** *ποδαγρός* Euseb. || 15 *μηδὲ* **Ax** *μήτε* **z** || 16 *ἕτερος*[1]] *εἷς* **T** || 17 *ὁ νοῦς* **ACOV** *ὁ ναῦς* **Tz** *Εὔνους* Euseb. || 19 *κεχυμένου* **AV** *κεχυμένῳ* **COTz** || 20 *στρατιώτης* Euseb. *στρατιώταις* **At** || 22 *βησᾶς* **A** *βισᾶς* **t** || 24 *λίβυς* **t** *λιβύης* **A** || 27 *ὃν* **t** *ὧν* **A** || 29 *ἀμμωναρία* **t** *ἀμμοναρία* **A** *Ἀμμωνάριον* Euseb. | *ἐπὶ πλεῖστον* om. **A** || 30 *προαποφηναμένην* **t** Euseb. *προσαποφηναμένην* **A** || 32 *Βησᾶς μάρτυς* om. **C**[m]**O**[m] *βισᾶς μάρτυς* **V**[m]

σεμνοτάτη πρεσβῦτις Μερκουρία καὶ αἱ ὑπόλοιπαι μὲν οὐχ ὑπὲρ τὸν 693
κύριον δὲ ἀγαπήσασαι τὰ τέκνα Διονυσία, καταιδεσθέντος εἰς ἀνήνυτον
ἔτι βασανίζειν καὶ ὑπὸ γυναικῶν ἡττᾶσθαι τοῦ ἡγεμόνος σιδήρῳ τεθνᾶσι
μηκέτι πεῖραν λαβοῦσαι. τὰς γὰρ ὑπὲρ πασῶν ἡ πρόμαχος Ἀμμωναρία
5 *ἀναδέδεκται.*

Ἔτι περὶ τῶν ἐν Χριστῷ τελειωθέντων κατὰ τὸν ἐπὶ Δεκίου διωγμὸν ἐκ τῆς αὐτῆς τοῦ μακαρίου Διονυσίου ἐπιστολῆς

Ἥρων δὲ καὶ Ἀστὴρ καὶ Ἰσίδωρος Αἰγύπτιοι καὶ σὺν αὐτοῖς παιδάριον
ὡς πεντεκαιδεκαετὴς Διόσκορος παρεδόθησαν. καὶ πρῶτον τὸ μειράκιον
10 *λόγοις τε ἀπατᾶν ὡς εὐπαράγωγον καὶ βασάνοις καταναγκάζειν ὡς εὐέν-*
δοτον πειρωμένου, οὔτε ἐπείσθη οὔτε εἶξεν ὁ Διόσκορος. τοὺς δὲ λοιποὺς
ἀγριώτατα ξήνας, ἐγκαρτερήσαντας πυρὶ καὶ τούτους ἔδωκε. τὸν δὲ Διόσ-
κορον ἐλλαμπρυνόμενόν τε δημοσίᾳ καὶ σοφώτατα πρὸς τὰς ἰδίας πεύσεις
ἀποκρινόμενον θαυμάσας παρῆκεν, ὑπὲρ ὧν ἣν φήσας εἰς μετάνοιαν αὐτὸν
15 *διὰ τὴν ἡλικίαν ἐπιμετρεῖν. καὶ νῦν ὁ θεοπρεπέστατος σὺν ἡμῖν ἐστι Διόσ-*
κορος εἰς μακρότερον τὸν ἀγῶνα καὶ διαρκέστερον εἶναι τὸν ἆθλον.
Νεμεσίων τις κἀκεῖνος Αἰγύπτιος ἐσυκοφαντήθη μὲν ὡς δὴ σύνοικος λη-
στῶν, ἀποδυσάμενος δὲ ταύτην παρὰ τῷ ἑκατοντάρχῃ τὴν ἀλλοτριωτάτην
διαβολήν, καταμηνυθεὶς ὡς Χριστιανὸς ἧκε δεσμώτης ἐπὶ τὸν ἡγεμόνα.
20 *ὁ δὲ ἀδικώτατος διπλαῖς αὐτὸν ἢ τοὺς λῃστὰς βασάνοις τε καὶ μάστιξι* 694
λυμηνάμενος, μεταξὺ τῶν λῃστῶν κατέφλεξε τιμηθέντα τὸν μακάριον τῷ
τοῦ Χριστοῦ παραδείγματι. ἀθρόον δέ τι σύνταγμα στῖφος στρατιωτικόν,
Ἄμμων καὶ Ζήνων καὶ Πτολεμαῖος καὶ Ἰγγένης καὶ σὺν αὐτοῖς πρεσβύ-
της Θεόφιλος, εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου. κρινομένου δέ τινος ὡς
25 *Χριστιανοῦ καὶ πρὸς ἄρνησιν ῥέποντος ἐπρίοντο οὗτοι παρεστηκότες καὶ*
τοῖς προσώποις ἐνένευον καὶ τὰς χεῖρας ἀνέτεινον καὶ συνεσχηματίζοντο
τοῖς σώμασιν. ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν τινας
αὐτῶν ὅλως λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον ἀνέδραμον εἶναι Χρι-
στιανοὶ λέγοντες, ὥστε τὸν ἡγεμόνα καὶ τοὺς συνέδρους ἐν φόβῳ γενέσθαι
30 *καὶ τοὺς μὲν κρινομένους εὐθαρσεστάτους ἐφ' οἷς πείσονται φαίνεσθαι,*

8 – p. 452, 3 Euseb. H. E. 6, 41, 19 – 23

2 *δὲ*] *μὲν* **O** | *καταιδεσθέντος* Euseb. *-τες* **At** || 3 *γυναικῶν* **COT** Euseb. *γυναικὸς* **AVz** | *τοῦ ἡγεμόνος* **AV** *τὸν ἡγεμόνα* **COTz** | *τεθνᾶσι* **t** Euseb. *τεθνέασι* **A** || 4 *ἀμμωναρία* **C** *ἀμμοναρία* **A** *ἀμμωναρίων* **OTVz** *Ἀμμωνάριον* Euseb. || 5 *ἀναδέδεικται* **At** || 9 *πεντεκαιδεκαετὴς* **A** *πεντεκαιδεκαετὲς* **t** | *παρεδόθησαν* **A** *παρεδόθη* **t** || 11 *πειρωμένου* **Ax** *πειρόμενον* **z** || 12 *ξήνας* **Ax** *ξάνας* **z** | *τὸν δὲ* **S** Euseb. *τόν τε* **xPQMR** *τότε* **A** || 15 *ὁ* om. **A** | *ἐστι* om. **COTz** || 16 *τὸν ἆθλον* **A** *τῶν ἄθλων* **t** || 17 *σύνοικος* **t** *σύνοικον* **A** || 22 *δέ τι* **Az** *δ' ἔτι* **x** || 25 *ἐπρίοντο* **t** *ἐπρίωντο* **A** | *οὗτοι παρεστηκότες* **A** Euseb. *οἱ παρεστηκότες οὗτοι* **CVz** *οἱ παρεστῶτες οὗτοι* **OT** || 30 *οἷς* **AC**[c] *ἧς* **t**

τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. καὶ οὗτοι μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ θεοῦ.

Ἄλλοι δὲ πλεῖστοι κατὰ χώρας καὶ κώμας ὑπὸ τῶν ἐθνῶν διεσπάσθησαν, ὧν ἑνὸς παραδείγματος ἕνεκεν ἐπιμνησθήσομαι. Ἰσχυρίων ἐπετρό- 5 *πευέ τινι τῶν ἀρχόντων. τοῦτον ὁ μισθοδότης ἐκέλευσε θῦσαι, μὴ πειθόμενον δὲ ὕβριζε, ἐμμένοντα προὐπηλάκιζε, βακτηρίαν μεγάλην λαβὼν διὰ τῶν ἐντέρων καὶ τῶν σπλάγχνων διώσας ἀπέκτεινε. τί δεῖ λέγειν τὸ* 695 *πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσι πλανηθέντων ὑπὸ λιμοῦ καὶ δίψης καὶ κρύους καὶ λῃστῶν καὶ νόσων καὶ θηρίων διεφθαρμένων, ὧν οἱ περιγενό-* 10 *μενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες; ἓν δὲ καὶ τούτων εἰς δήλωσιν ἔργον παραθήσομαι. Χαιρήμων ἦν ὑπέργηρως τῆς Νείλου καλουμένης πόλεως ἐπίσκοπος. οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἅμα τῇ συμβίῳ αὐτοῦ φυγὼν οὐκ ἐπανελήλυθεν, οὐδὲ ἠδυνήθησαν ἰδεῖν οὐκέτι, καίπερ πολλὰ διερευνησάμενοι, οἱ ἀδελφοὶ οὔτε αὐτοὺς οὔτε τὰ σώματα αὐτῶν.* 15 *πολλοὶ δὲ οἱ κατ' αὐτὸ τὸ Ἀραβικὸν ὄρος ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν οἱ μὲν μόλις ἐπὶ πλείστοις χρήμασιν ἐλυτρώθησαν, οἱ δὲ μέχρι καὶ νῦν οὐδέπω. ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφέ, ἀλλ' ἵνα εἰδῇς ὅσα καὶ ἡλίκα δεινὰ παρ' ἡμῖν συνέβη, ὧν οἱ μᾶλλον πεπειραμένοι πλεῖον ἂν εἰδεῖεν.* 20

Καὶ μετὰ βραχύ· *αὐτοὶ τοίνυν οἱ θεῖοι μάρτυρες παρ' ἡμῖν, οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ καὶ συνδικάζοντες αὐτῷ, τῶν παραπεπτωκότων ἀδελφῶν τινας ὑπευθύνους τοῖς τῶν θυσιῶν ἐγκλήμασι γενομένους προσελάβοντο, καὶ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες δεκτήν τε γενέσθαι δυ-* 25 *ναμένην τῷ μὴ βουλομένῳ καθόλου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν δοκιμάσαντες προσεδέξαντο καὶ συνήγαγον καὶ προσευχῶν αὐτοῖς ἐκοινώνησαν καὶ ἑστιάσεως. τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν πρακτέον; σύμψυχοι καὶ ὁμογνώμονες αὐτοῖς* 696 *καταστῶμεν καὶ τὴν κρίσιν αὐτῶν τῇ χάριτι φυλάξωμεν καὶ τοῖς ἐλεηθεῖ-* 30

12 **COV** *Χαιρήμων ὅσιος μάρτυς*

4–20 Euseb. H. E. 6, 42, 1–4 || 21–p. 453, 4 Euseb. H. E. 6, 42, 5–6

2 *θριαμβεύοντος* **Ax** *θριαμβεύοντας* **z** || 6 *πειθόμενον* **ACVz** *πειθομένου* **OT** || 7 *ὕβριζεν* **t** *ὕβριζας* **A** || 8 *δεῖ* **AxR** *δαὶ* **PQ** *δὲ* **MS** || 12 *ἔργον* **A** *ἔργων* **t** | *ὑπέργηρως* **A** *ὑπέργηρος* **t** || 13–14 *ἅμα . . . οὐκ* om. **A** || 14 *αὐτοῦ* **t** *ἑαυτοῦ* Euseb. || 19 *εἰδῇς* **t** *ἴδῃς* **A** || 20 *εἰδεῖεν* **t** *εἴδοιεν* **A** || 26 *καθόλου* hoc loco **t** et Euseb. post *ἁμαρτωλοῦ* **A** || 31 *ὅσιος* om. **V**[m]

σιν ὑπ' αὐτῶν χρηστευσώμεθα ἢ τὴν κρίσιν αὐτῶν ἄδικον ποιησώμεθα καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων γνώμης ἐπιστήσωμεν καὶ τὴν χρηστότητα λυπήσωμεν καὶ τὴν τάξιν ἀνασκευάσωμεν; σαφῶς διὰ τούτων ἐλέγχει τὴν Ναυάτου μισανθρωπίαν ὁ ἱερὸς Διονύσιος.

5 *Ὃς Ναυᾶτος πρεσβύτερος τῆς Ῥωμαίων ἐκκλησίας ὤν, κατὰ τούτους δὲ τοὺς χρόνους τῆς ἐπισκοπῆς ἀναξίως ὀρεγόμενος καὶ ἀποτυχὼν ἐν ἄλλοις τε ἀτοπήμασι κατεγνωσμένος, μάλιστα φιλαργυρίᾳ καὶ οἰήσει καὶ φιλαυτίᾳ, προφάσει δῆθεν τῶν ἐπιθυσάντων ἐν τῷ κατὰ Δέκιον διωγμῷ καὶ διὰ μετανοίας παραδεχθέντων εἰς κοινωνίαν τῇ ἐκκλησίᾳ, ταύτης* 10 *ἀπέσχισεν, ἀρχηγὸς καὶ αἱρεσιάρχης τῶν ἑαυτοὺς Καθαροὺς ὀνομαζόντων δι' ὑπερήφανον γνώμην ὀφθεὶς καὶ σὺν αὐτοῖς ἐξωσθεὶς τοῦ παραδείσου τῆς ἐκκλησίας ψήφῳ πατέρων ἁγίων ξ' συνελθόντων ἐν Ῥώμῃ*

Περὶ τῆς κατὰ Ναυάτου συνόδου γενομένης ὑπὸ Κορνηλίου ἐν Ῥώμῃ

συνοδικῶς ὅτι μετὰ πλείστων πρεσβυτέρων τε καὶ διακόνων καὶ τοῦτον 15 *ἐκκηρυξάντων σὺν τοῖς ὁμόφροσιν ἀπανθρώποις, τοὺς δὲ παραπεπτωκότας* 697 *ἀδελφοὺς διὰ μετανοίας δεξαμένων. τῆς δὲ τοιαύτης συνόδου Κορνήλιος ἐπίσκοπος Ῥώμης ἐξῆρχεν, ὃς καὶ γράφει πρὸς Φάβιον ἐπίσκοπον Ἀντιοχείας τὰ παραστάντα τῇ συνόδῳ καὶ πάλιν ἰδίως περὶ τῆς Ναυάτου κακοπραγίας λέγων·*

20 *Ἵνα δὲ γνῷς ὅτι πρόπαλαι ὀρεγόμενος τῆς ἐπισκοπῆς ὁ θαυμάσιος καὶ κρύπτων ἐν ἑαυτῷ τὴν προπετῆ ταύτην ἐπιθυμίαν ἐλάνθανεν, ἐπικαλύμματι τῆς αὐτοῦ ἀπονοίας τῷ κατ' ἀρχὰς σὺν αὐτῷ τοὺς ὁμολογοῦντας ἐσχηκέναι χρώμενος, εἰπεῖν βούλομαι. Μάξιμος πρεσβύτερος τῶν παρ' ἡμῖν καὶ Οὐρβανὸς δὶς τὴν ἐξ ὁμολογίας δόξαν ἀρίστην καρπωσάμενοι, Σιδώνιός* 25 *τε καὶ Κελερῖνος, ἀνὴρ ὃς πάσας βασάνους διὰ τὸν τοῦ θεοῦ ἔλεον καρτερικώτατα διενεγκὼν καὶ τῇ ῥώμῃ τῆς αὐτοῦ πίστεως τὸ ἀσθενὲς τῆς*

14 **COV** *Ση. ὅτι ξ' πατέρες συνῆλθον ἐν Ῥώμῃ κατὰ Ναυάτου*

5–12 similiter Euseb. H. E. 6, 43, 1 || 14–19 similiter Euseb. H. E. 6, 43, 2–4 || 20 – p. 454, 9 Euseb. H. E. 6, 43, 5–6

1 *ἢ . . . ποιησώμεθα* om. **A** | *ποιησώμεθα* **OT** *ποιησόμεθα* **CVz** || 3 *τάξιν* **A** Euseb. *πρᾶξιν* **t** || 5 *Ναυᾶτος . . . ὢν* om. **C** | *ὢν* **ATV** *ὃν* **Oz** || 5. 6 *τούτους δὲ* **AT** *τούσδε* **COVz** || 7 *κατεγνωσμένος* **t** *κατεγνωσμένοις* **A** || 8 *ἐν* **t** *ἐπὶ* **A** || 9 *ταύτης* **ATV** *ταύτῃ* **COz** || 11 *παραδείσου* **t** *παραδείσσου* **A** || 14 *ὅτι μετὰ πλείστων* **A** *μετὰ πλείστων ὅτι* **t** *πλειόνων δ' ἔτι* Euseb. | *τοῦτον* **AC**[c]**TVz** *τούτων* **CO** || 15 *ἐκκηρυξάντων* **t** *ἐκήρυξαν τῶν* **A** || 17 *φλάβιον* ante corr. **C** *φλαβιανὸν* **V** *φάβειον* **z** || 19 *κακοπραγίας* **A** *κακοτραπίας* **T** *κακοτροπίας* **COVz** || 21–22 *ἐπικαλύμματι . . . ἀπονοίας* **t** Euseb. *ἐπικαλύμμασι . . . ἐπινοίας* **A** || 22 *τῷ* Euseb. *τὸ* **At** || 24 *σιδώνιος* **A** Euseb. Anastas. *διονύσιος* **t** || 27 *συνῆλθον* **C**[m]**O**[m] *ἦλθον* **V**[m]

σαρκὸς ἐπιρρώσας, κατὰ κράτος νενίκηκε τὸν ἀντικείμενον· οὗτοι δὴ οὖν οἱ ἄνδρες κατανοήσαντες αὐτὸν καὶ καταφωράσαντες τὴν ἐν αὐτῷ πανουργίαν τε καὶ παλιμβουλίαν τάς τε ἐπιορκίας καὶ τὰς ψευδολογίας καὶ τὴν ἀκοινωνησίαν αὐτοῦ καὶ λυκοφιλίαν ἐπανῆλθον εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἅπαντα αὐτοῦ τὰ τεχνάσματα καὶ πονηρεύματα, ἃ ἐκ πολλοῦ ἔχων 5 *ὑπεστέλλετο, παρόντων τοῦτο μὲν ἐπισκόπων, τοῦτο δὲ πρεσβυτέρων καὶ λαϊκῶν παμπόλλων, ἐξήγγειλαν, ἀποδυρόμενοι καὶ μεταγινώσκοντες ἐφ' οἷς πεισθέντες τῷ δολερῷ καὶ κακοήθει θηρίῳ πρὸς ὀλίγον χρόνον τῆς ἐκκλησίας ἀπελείφθησαν.*

Καὶ μετ' ὀλίγα· *ἀμήχανον ὅσην, ἀγαπητὲ ἀδελφέ, τροπὴν καὶ μεταβολὴν* 10 698 *ἐν βραχεῖ καιρῷ ἐθεασάμεθα ἐπ' αὐτοὺς γενομένην. ὁ γάρ τοι λαμπρότατος καὶ δι' ὅρκων φοβερῶν τινων πιστούμενος μηδ' ὅλως ἐπισκοπῆς ὀρέγεσθαι, αἰφνίδιον ἐπίσκοπος ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς τὸ μέσον ῥιφεὶς ἀναφαίνεται. οὗτος γάρ τοι ὁ δογματιστής, ὁ τῆς ἐκκλησιαστικῆς ἐπιστήμης ὑπερασπιστής, ὁπηνίκα παρασπάσασθαί τε καὶ ὑφαρπάζειν τὴν* 15 *μὴ δοθεῖσαν αὐτῷ ἄνωθεν ἐπισκοπὴν ἐπεχείρει, δύο ἑαυτῷ κοινωνοὺς ἀπεγνωκότας τὴν ἑαυτῶν σωτηρίαν ἐπελέξατο, ὡς ἂν εἰς βραχύ τι μέρος καὶ ἐλάχιστον τῆς Ἰταλίας ἀποστείλῃ κἀκεῖθεν ἐπισκόπους τρεῖς ἀγροίκους καὶ ἁπλουστάτους πλαστῇ τινι ἐξαπατῆσαι ἐπιχειρήσει, διαβεβαιούμενος καὶ δισχυριζόμενος δεῖν αὐτοὺς ἐν τάχει παραγενέσθαι εἰς Ῥώμην,* 20 *ὡς δή τις πᾶσα διχοστασία γεγονυῖα σὺν καὶ ἑτέροις ἐπισκόποις μεσιτευόντων διαλυθῇ· οὓς παραγενομένους, ἅτε δή, ὡς ἔφθημεν λέγοντες, ἀνθρώπους ἁπλουστέρους περὶ τὰς τῶν πονηρῶν μηχανίας καὶ ῥᾳδιουργίας, συγκλεισθέντας ὑπό τινων ὁμοίων αὐτῷ τεταραγμένων ἀνθρώπων, ὥρᾳ ι' μεθύοντας καὶ κραιπαλῶντας μετὰ βίας ἠνάγκασεν εἰκονικῇ τινι καὶ* 25 *ματαιότητι καὶ ματαίᾳ χειρεπιθεσίᾳ ἐπισκοπὴν αὐτῷ δοῦναι, ἣν ἐνέδρᾳ καὶ πανουργίᾳ ⟨μὴ⟩ ἐπιβάλλουσαν αὐτῷ ἐκδικεῖ. ἐξ ὧν εἷς μετ' οὐ πολὺ ἐπανῆλθεν εἰς τὴν ἐκκλησίαν ἀποδυρόμενος καὶ ἐξομολογούμενος τὸ ἑαυ-* 699 *τοῦ ἁμάρτημα, ᾧ καὶ ἐκοινωνήσαμεν λαϊκῷ, ὑπὲρ αὐτοῦ δεηθέντος παντὸς*

10 – p. 455, 11 Euseb. H. E. 6, 43, 7–12

1 *ἐπιρρώσας* A Euseb. *ἐπιρωννύσας* t | *κράτος* Ax *κράτως* z ‖ 6 *τοῦτο μὲν* Ax *τοῦτον μὲν* z | *τοῦτο μὲν ἐπισκόπων* post *λαικῶν* T ‖ 11 *αὐτοὺς* A *αὐτοῖς* t *αὐτοῦ* Euseb. | *τοι*] *τι* AS ‖ 12 *ἐπισκοπῆς* CTV *ἐπισκοπὴν* AOz ‖ 13 *ὀρεγόμενος* C ‖ 14 *ὁ*[2]] *καὶ* V ‖ 16 *ἑαυτῷ* ATV *ἑαυτοῦ* COz ‖ 21 *τις* Ax *τι* z ‖ 22 *οὓς* A *οὗ* t ‖ 24 *συγκλεισθέντας* ACᶜTV *συγκλισθέντας* COz | *ὥρᾳ*] *ὁρᾷ* AS ‖ 25 *ι'* A *δέκα* t *δεκάτῃ* Euseb. | *κραιπαλῶντας* Euseb. *κραιπαλοῦντας* AT *κρεπαλοῦντας* COVz | *ἠνάγκασεν* t Euseb. *ἠνάγκασαν* A ‖ 26 *χειρεπιθεσίᾳ* Euseb. *χεὶρ ἐπιθεσίᾳ* t *χειρὸν ἐπιθεσίᾳ* A *χειρὸς ἐπιθεσίᾳ* post. corr. C | *ἐπισκοπὴν* ACᶜ Euseb. *ἐπισκοπῆς* t ‖ 27 *μὴ* addidi ex Euseb. | *αὐτῷ* ACᶜTV *αὐτὸ* COz ‖ 28 ἀποδυρόμενος ACᶜ Euseb. *ἀποδυρώμενος* t ‖ 29 *δεηθέντος* A *δεηθέντες* t

τοῦ παρόντος λαοῦ. καὶ τῶν δὲ λοιπῶν ἐπισκόπων διαδόχους εἰς τοὺς τόπους ἐν οἷς ἦσαν χειροτονήσαντες ἀπεστάλκαμεν. ὁ ἐκδικητὴς οὖν τοῦ εὐαγγελίου οὐκ ἠπίστατο ἕνα ἐπίσκοπον δεῖν εἶναι ἐν καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ οὐκ ἠγνόει (πῶς γάρ;) πρεσβυτέρους εἶναι μϛ΄, διακόνους ζ΄, ὑπο-
5 *διακόνους ζ΄, ἀκολούθους δύο καὶ μ΄, ἐξορκιστὰς δὲ καὶ ἀναγνώστας ἅμα πυλωροῖς δυσὶ καὶ ν΄, χήρας σὺν θλιβομένοις ὑπὲρ ͵αφ΄, οὓς πάντας ἡ τοῦ δεσπότου χάρις καὶ φιλανθρωπία διατρέφει· ὧν οὐδὲ τοσοῦτον πλῆθος καὶ οὕτως ἀναγκαῖον ἐν τῇ ἐκκλησίᾳ διὰ τῆς τοῦ θεοῦ προνοίας πλούσιός τε καὶ πληθύων ἀριθμὸς μετὰ μεγίστου καὶ ἀναριθμήτου λαοῦ ἀπὸ τῆς*
10 *τοιαύτης ἀπογνώσεώς τε καὶ ἀπαγορεύσεως ἐπέστρεψέ τε καὶ ἀνεκαλέσατο εἰς τὴν ἐκκλησίαν.*

Τούτοις ἐπάγων μεθ' ἕτερά φησι· *φέρε δὴ ἑξῆς εἴπωμεν τίσιν ἔργοις ἢ τίσι πολιτείαις τεθαρρηκὼς ἀντεποιήθη τῆς ἐπισκοπῆς. ἆρά γε διὰ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἐκκλησίᾳ ἀνεστράφθαι καὶ πολλοὺς ἀγῶνας ὑπὲρ αὐτῆς*
15 *ἠγωνίσθαι καὶ ἐν κινδύνοις πολλοῖς τε καὶ μεγάλοις ἕνεκα τῆς θεοσεβείας γεγονέναι; ἀλλ' οὐκ ἔστιν ᾧ γε ἀφορμὴ τοῦ πιστεῦσαι γέγονεν ὁ σατανᾶς φοιτήσας εἰς αὐτὸν καὶ οἰκήσας ἐν αὐτῷ χρόνον ἱκανόν· ὃς βοηθούμενος ὑπὸ τῶν ἐπορκιστῶν νόσῳ περιπεσὼν χαλεπῇ καὶ ἀποθανεῖσθαι ὅσον οὐδέπω νομιζόμενος ἐν αὐτῇ τῇ κλίνῃ οὗ ἔκειτο περιχυθεὶς ἔλαβεν, εἴ γε*
20 *χρὴ λέγειν τὸν τοιοῦτον εἰληφέναι. οὐ μὴν οὐδὲ τῶν λοιπῶν ἔτυχε διαφυ-* 700 *γὼν τὴν νόσον ὧν χρὴ μεταλαμβάνειν κατὰ τὸν τῆς ἐκκλησίας κανόνα, τοῦ τε σφραγισθῆναι ὑπὸ τοῦ ἐπισκόπου. τούτων δὲ μὴ τυχὼν πῶς ἂν τοῦ ἁγίου πνεύματος ἔτυχε;*

Καὶ αὖθις ἐπιφέρει· *οὐ διὰ δειλίαν καὶ φιλοζωίαν ἐν τῷ καιρῷ τῆς διώ-*
25 *ξεως πρεσβύτερον εἶναι ἑαυτὸν ἀρνησάμενος; ἀξιούμενος γὰρ καὶ παρακαλούμενος ὑπὸ τῶν διακόνων ἐξελθεῖν τοῦ οἰκίσκου, ἐν ᾧ καθεῖρξεν ἑαυτόν, καὶ βοηθῆσαι τοῖς ἀδελφοῖς ὅσα θέμις καὶ ὅσα δυνατὸν πρεσβυτέρῳ κινδυνεύουσιν ἀδελφοῖς καὶ ἐπικουρίας δεομένοις βοηθεῖν, τοσοῦτον ἀπέσχε τοῦ πειθαρχῆσαι καὶ παρακαλοῦσι τοῖς διακόνοις, ὡς καὶ χαλεπαίνοντα*
30 *ἀπιέναι καὶ ἀπαλλάττεσθαι. μὴ γὰρ ἔτι βούλεσθαι πρεσβύτερος ἔφη· ἑτέρας γὰρ εἶναι φιλοσοφίας ἐραστής.*

12 – p. 456, 7 Euseb. H. E. 6, 43, 13 – 17

1 *καὶ* om. **A** || **2** *οἷς*] *ἧς* **T** || **4** *μϛ΄* **t** Euseb. *μζ΄* **A** || **9** *ἀριθμὸς* **AC^c OTV** *ἀριθμοὺς* **Cz** || **15** *ἠγωνίσθαι* **At** *ἠγωνίσασθαι* **C^c** || **16** *ᾧ* Euseb. *ὅ* **At** || **17** *εἰς αὐτὸν* **AV** *ἑαυτὸν* **COTz** | *χρόνον ἱκανόν* **A** Euseb. *χρόνον δι' ἱκανόν* **OTV** *χρόνον δὴ ἱκανόν* **C** *χρόνον δὲ ἱκανὸν* **z** cum puncto ante | *ὃς* Euseb. *ὡς* **At** || **18** *ἐπορκιστῶν* **x** Euseb. *ἐξορκιστῶν* **Az** | *περιπεσὼν* **t** Euseb. *παραπεσὼν* **A** || **22** *τοῦ*[1] **t** *τοὺς* **A** || **24** *οὐ* **At** *ὁ* Euseb. || **29** *διακόνοις*] *δάκρυσιν* **C** || **31** *εἶναι φιλοσοφίας* **t** tr. **A**

Εἶτ' ἐπιφέρει μετ' ὀλίγον· *καταλιπὼν γὰρ ὁ λαμπρὸς οὗτος τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐν ᾗ πιστεύσας κατηξιώθη τοῦ πρεσβυτερίου κατὰ χάριν τοῦ ἐπισκόπου τοῦ ἐπιθέντος αὐτῷ χεῖρα εἰς πρεσβυτερίου κλῆρον, ὃς διακωλυόμενος ὑπὸ παντὸς τοῦ κλήρου, ἀλλὰ καὶ λαϊκῶν πολλῶν, ἐπεὶ μὴ ἐξὸν ἦν τὸν ἐπὶ κλίνῃ διὰ νόσον περιχυθέντα, ὥσπερ καὶ οὗτος, εἰς* 5 *κλῆρόν τινα γενέσθαι, ἠξίωσε συγχωρηθῆναι αὐτὸν τοῦτον μόνον χειροτονῆσαι.*

Τούτοις προστίθησιν ὁ Κορνήλιος τὸ ἀτοπώτατον τῆς Ναυάτου ἀνευλαβείας φάσκων· *ποιήσας γὰρ τὰς προσφορὰς καὶ διανέμων ἑκάστῳ τὸ* 701 *μέρος καὶ ἐπιδιδοὺς τούτῳ ὀμνύειν ἀντὶ τοῦ εὐλογεῖν τοὺς ταλαιπώρους* 10 *ἀνθρώπους ἀναγκάζει, κατέχων ἀμφοτέραις ταῖς χερσὶ τὰς τοῦ λαβόντος καὶ μὴ ἀφεὶς ἕως ἂν ὀμνύοντες εἴπωσι ταῦτα* (*τοῖς γὰρ ἐκείνου χρήσομαι λόγοις*)· *ὄμοσόν μοι κατὰ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μηδέποτέ με καταλιπεῖν καὶ ἐπιστρέψαι πρὸς Κορνήλιον. καὶ ὁ ἄθλιος ἄνθρωπος οὐ πρότερον γεύεται, εἰ μὴ πρότερον ἑαυτῷ κατ-* 15 *αράσαιτο. καὶ ἀντὶ τοῦ εἰπεῖν λαμβάνοντα τὸν ἄρτον ἐκεῖνον τὸ ἀμήν, ʽοὐκέτι ἐπανήξω πρὸς Κορνήλιον' λέγει. Φαβίῳ μὲν γὰρ Ἀντιοχείας ἐπισκόπῳ χωλαίνοντι περὶ Ναυάτου Κορνήλιος τὰ προτεταγμένα, καὶ ὅπως αὐτὸν οἱ πολλοὶ καταλιμπάνοντες τῇ ἐκκλησίᾳ προσέτρεχον, ἔγραφεν ἀναγκαίως, ἐν οἷς καὶ τὰ περὶ Μωυσέως τοῦ μακαρίου μάρτυρος, ὅπως αὐτὸν ἀκοι-* 20 *νώνητον ἐποίησε τὸν Ναυᾶτον πρὸ τοῦ μαρτυρίου, καταγνοὺς αὐτοῦ τῆς θρασύτητος, ἅμα τοῖς συναποσχισταῖς αὐτοῦ πέντε πρεσβυτέροις, προσθείς, ἐν τῷ τέλει τῆς ἐπιστολῆς τῶν συνελθόντων ἐν Ῥώμῃ ἐπισκόπων κατ' αὐτοῦ τὸν κατάλογον πεποίηται κατ' ὄνομα καὶ παροικίαν, τῶν τε μὴ συνελθόντων διά τινας ἀναγκαίας περιστάσεις, εὐδοκησάντων δὲ γράμ-* 25 *μασιν οἰκείοις τῇ θείᾳ κατ' αὐτοῦ κρίσει. ἀκόλουθα δὲ τούτοις καὶ Διονύσιος ὁ μέγας Ἀλεξανδρείας τούτῳ ταὐτῷ Φαβίῳ περὶ μετανοίας ἐπιστέλλων, μνήμης ὁμοῦ καὶ θαύματος ἄξιόν τι προστίθησι, μετὰ τὴν τῶν ἔναγχος ἐπ' Ἀλεξανδρείας μαρτυρησάντων καὶ τὴν λοιπὴν ἱστορίαν αὐτῷ διεξιών.* 30

8–17 Euseb. H. E. 6, 43, 18–19 || 17–30 similiter Euseb. H. E. 6, 43, 20–44, 1

3 *χεῖρα* t Euseb. *χεῖρας* A || 4 *ὃς* Euseb. *ὡς* At || 5 *ἐξὸν*] *ἐξ ὧν* T | *τὸν* x Euseb. *τὸ* Az || 12 *ἐκείνου* t *ἐκείνοις* A || 13 *ὄμοσον* A *ὤμοσον* T *ὄμωσον* COVz | *τοῦ*[2] om. A || 15 *καταράσαιτο* A *καταρέσετο* t (corr. QR) || 18 *Ναυάτου*] *αὐτοῦ* C | *προστεταγμένα* At || 19 *ἔγραφεν* xMS *ἔγραφον* R *ἔγγραφον* APQ || 24 *πεποίηται* t *ποιεῖται* A || 25 *περιστάσεις* Ax *περιστασίας* z || 27 *ταὐτῷ* Ax *αὐτῷ* z || 28 *τῶν* om. AV

Ἐκ τῆς Διονυσίου πρὸς Φάβιον ἐπιστολῆς κατὰ Ναυάτου 702

Ἓν δέ σοι τοῦτο παράδειγμα παρ' ἡμῖν συμβεβηκὸς ἐκθήσομαι· Σαραπίων τις ἦν παρ' ἡμῖν πιστὸς γέρων, ἄμεμπτος μὲν τὸν πολὺν διαβιώσας χρόνον, ἐν δὲ τῷ πειρασμῷ πεσών. οὗτος πολλάκις ἐδεῖτο καὶ οὐδεὶς προσ-
5 *εῖχεν αὐτῷ· καὶ γὰρ ἐτεθύκει. ἐν νόσῳ δὲ γενόμενος τριῶν ἑξῆς ἡμερῶν ἄφωνος καὶ ἀναίσθητος διετέλεσε. βραχὺ δὲ ἀνασφήλας τῇ τετάρτῃ προσεκαλέσατο τὸν θυγατριδοῦν καὶ 'μέχρι τίνος, φησίν, ὦ τέκνον, μὲ κατέχετε; δέομαι σπεύσατε καί με θᾶττον ἀπολύσατε, τῶν πρεσβυτέρων μοί τινα κάλεσον.' καὶ ταῦτα εἰπὼν πάλιν ἦν ἄφωνος. ἔδραμεν ὁ παῖς ἐπὶ τὸν πρε-*
10 *σβύτερον· νὺξ δὲ ἦν κἀκεῖνος ἠσθένει. ἀφικνεῖσθαι μὲν οὖν οὐκ ἠδυνήθη, ἐντολῆς δὲ ὑπ' ἐμοῦ δεδομένης τοὺς ἀπαλλαττομένους τοῦ βίου, εἰ δέοιντο, καὶ μάλιστα εἰ καὶ πρότερον ἱκετεύσαντες τύχοιεν, ἀφίεσθαι, ἵν' εὐέλπιδες ἀπαλλάττωνται, βραχὺ τῆς εὐχαριστίας ἔδωκε τῷ παιδαρίῳ, ἀποβρέξαι κελεύσας καὶ τῷ πρεσβύτῃ κατὰ τοῦ στόματος ἐπιστάξαι. ἐπανῆκεν ὁ*
15 *παῖς φέρων, ἐγγύς τε γενομένῳ τῷ παιδὶ πρὶν τοῦ εἰσελθεῖν ἀνενέγκας πάλιν ὁ Σαραπίων 'ἧκες, ἔφη, τέκνον; καὶ ὁ μὲν πρεσβύτερος ἐλθεῖν οὐκ ἠδυνήθη, σὺ δὲ ποίησον ταχέως τὸ προσταχθέν, καὶ ἀπαλλάττομαι.' ἀπέβρεξεν ὁ παῖς καὶ ἅμα ἐνέχεε τῷ στόματι, καὶ μικρὸν ἐκεῖνος καταβροχθίσας εὐθέως ἀπέδωκε τὸ πνεῦμα. ἆρ' οὐκ ἐναργῶς διετηρήθη καὶ παρέ-* 703
20 *μεινεν, ἕως λυθῇ καὶ τῆς ἁμαρτίας ἐξαλειφθείσης ἐπὶ πολλοῖς οἷς ἔπραξε καλοῖς ὁμολογηθῆναι δυνηθῇ;*

Ἐπέστειλε δὲ αὐτῷ Ναυατιανῷ πρὸς λέξιν ὧδέ πως· Διονύσιος Ναυατιανῷ ἀδελφῷ χαίρειν. εἰ ἄκων, ὡς φῄς, ἤχθης, δείξεις, ἐὰν ἀναχωρήσῃς ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκ-
25 *κλησίαν τοῦ θεοῦ· καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν τοῦ μὴ εἰδωλολατρῆσαι γενομένης ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία· κατ' ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς ἐκκλησίας μαρτυρεῖ. καὶ νῦν δὲ εἰ πείσαις ἢ βιάσαιο τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι τοῦ σφάλματος τὸ κατόρθωμα, καὶ τὸ*
30 *μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται. εἰ δὲ ἀπειθούντων ἀδυνατοίης,*

2–21 Euseb. H. E. 6, 44, 2–6 ‖ **22**–p. 458, **2** Euseb. H. E. 6, 45

1 *φάβινον* **S** ‖ **2** *παραδείγματος* **C** | *συμβεβηκὸς* **AC**[c] *συμβεβηκὼς* **t** ‖ **6** *ἀναίσθητος* **AC**[c]**OTV** *ἀνέσθητος* ante corr. **C** *ἀνέστητος* **z** ‖ **8** *σπεύσατε*] *πιστεύσατε* **T** ‖ **9** *τὸν πρεσβύτερον* **AC**[c] *τῶν πρεσβυτέρων* **t** ‖ **10** *οὖν* **OTV** et Euseb.[ATERD] *ὅτι* **C** om. **Az** et Euseb.[BM] ‖ **13** *ἀπαλλάττωνται* **AC**[c]**V** *ἀπαλλάττονται* **COTz** ‖ **15** *γενομένῳ τῷ παιδὶ* **At** *γενομένου* Euseb. ‖ **16** *καὶ* **AC**[c] *κἂν* **t** ‖ **18** *τῷ* **AC**[c] *τὸ* **COTz** | *ἐκεῖνος* Euseb. *-νο* **At** | *καταβροχθίσας* Euseb. *καταβροχθήσας* **z** *καταβροχήσας* **Ax** ‖ **22** *δὲ* **A** *καὶ* **t** ‖ **23** *ὡς φῄς*] *ὀσθύς* **T** ‖ **26** *μαρτυρία* **t** *μαρτυρίαν* **A** | *μείζων* **A** *μεῖζον* **t** ‖ **28** *πείσαις ἢ* Euseb. *πεῖσαί σε εἰ* **At** | *βιάσαι ὁ* **TPS** ‖ **30** *ἀδυνατείης* **T**

σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν. ἐρρῶσθαί σε ἐχόμενον τῆς εἰρήνης ἐν κυρίῳ εὔχομαι. θαυμασίως διὰ βραχέων μὲν λόγων, συνεκτικωτάτων δὲ ἐννοιῶν ὁ θεῖος Διονύσιος πᾶσαν πανουργίαν ἀπέκλεισε τῷ Ναυάτῳ, πρόφασιν αἰτιωμένῳ τὴν τῶν ἀδελφῶν ἔνστασιν καὶ οὐ τὴν ἰδίαν θρασύτητα τῆς κατὰ Ῥώμην ἐκκλησίας ἀπόσχισιν. ἀλλὰ καὶ τοῖς κατ' Αἴγυπτον 5 *ὁ αὐτὸς ἱερώτατος γράφει Διονύσιος περὶ μετανοίας καὶ τῆς τῶν ἐν τῷ διωγμῷ παραπεσόντων ἀποδοχῆς μετὰ τὴν ἐπιστροφήν, τὰς τῶν παραπτω-* 704 *μάτων τάξεις ἄριστα διεξελθών, καὶ πρὸς Κόλωνα τῆς Ἐρημουπολιτῶν πόλεως ἐπίσκοπον ἐξαίρετον περὶ μετανοίας γραφὴν πεποίηται, καὶ ἄλλην ἐπιστρεπτικὴν πρὸς Ἀλεξανδρέας καὶ ἑτέραν περὶ μαρτυρίου πρὸς Ὠρι-* 10 *γένην, ὥς φησιν, οὐ μὴν ἀλλὰ καὶ Λαοδικεῦσι Θηλυμίδρους ἐπισκοποῦντος αὐτῶν, Ἀρμενίοις τε Μερουζάνους προεστῶτος αὐτῶν ἐπισκόπου. ἐπειδὴ δὲ Ἕλενος Ταρσοῦ Κιλικίας ἐπίσκοπος καὶ οἱ σὺν αὐτῷ Φιρμιλιανός τε Καππαδοκίας καὶ Θεόκτιστος Παλαιστίνης ἐπίσκοποι γράμμασι Διονύσιον τοῦτον ἐδυσώπουν συνελθεῖν αὐτοῖς ἐν Ἀντιοχείᾳ διασκεψόμενον σὺν* 15 *αὐτοῖς τὰ περὶ Ναυάτου, Φαβίου ἐπισκόπου Ἀντιοχείας καὶ ἄλλων τινῶν ὑποκατακλινομένων τῷ σχίσματι, δεξάμενος παρὰ Κορνηλίου ἐπισκόπου Ῥώμης τὴν κατὰ Ναυάτου ἐπιστολήν, ἀντιγράφει αὐτῷ δηλῶν καὶ τὰς παρακλήσεις τῶν εἰρημένων ἀνδρῶν. ἀλλ' ἐν τούτοις Φαβίου κοιμηθέντος Δημητριανὸς ἐπίσκοπος Ἀντιοχείας καθίσταται. Διονύσιος δὲ καὶ ἄλλαις* 20 *διαφόροις ἐπιστολαῖς καὶ λόγοις ἱεροῖς σπουδαίως τὴν Ῥωμαίων μάλιστα ἐκκλησίαν συνιστᾶν ὑπὸ Ναυάτου ταραττομένην ἠγωνίζετο, τὸν περὶ μετανοίας πρεσβεύων ἁπανταχοῦ καὶ ὁμονοίας λόγον, ἐν οἷς καὶ διακονικὴν ἐπιστολὴν περὶ εἰρήνης δι' Ἱππολύτου γράφει Ῥωμαίοις, καὶ ἄλλην περὶ μετανοίας, τοῖς τε συμπεριφερομένοις ὁμολογηταῖς τῇ τοῦ Ναυάτου πλάνῃ* 25 *ἰδίαν, καὶ δύο τοῖς ἐξ αὐτῶν ὁμολογητῶν ἀποστᾶσιν αὐτοῦ καὶ τῇ ἐκκλησίᾳ ἑνωθεῖσι.*

705 ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΜΣ

Τῆς θείας σαρκώσεως ἔτη σμς'

Ῥωμαίων κε' ἐβασίλευσε Γάλλος καὶ Βουλουσιανός. 30
Ῥωμαίων κβ' ἐπίσκοπος Κορνήλιος ἔτη γ'.
Ῥωμαίων κγ' ἐπίσκοπος Λούκιος ἔτη β'.

2—27 similiter Euseb. H. E. 6, 46 || **30** Euseb. 2, 218, 23 || **31** Euseb. 2, 218[l] (ann. 2), H. E. 7, 2 (ann. 3) || **32** Euseb. 2, 219[d], H. E. 7, 2 (menses 8)

1 *σῶζον* **O** || **5** *καὶ* om. **C** || **8** *Κόλωνα* Euseb. *κόλλωνα* **A** *κώλονα* **t** | *ἐρημουπολιτῶν* **At** *Ἑρμουπολιτῶν* Euseb. || **12—13** *ἐπισκόπου . . . Κιλικίας* om. **C** || **12** *ἐπισκόπου* **t** *ἐπισκοπῆς* **A** | *ἐπειδὴ* **t** *ἐπειδὰν* **A** || **15—16** *ἐν . . . αὐτοῖς* om. **t** || **17** *σχίσματι* Di. *σχήματι* **At** || **24** *ἱππολύτου* **t** *ἱππόλυτον* **A** | *ῥωμαίοις* **t** *ῥωμαίων* **A** | *ἄλλην* **t** *ἄλλοις* **A** || **26** *τοῖς* **t** *ταῖς* **A** || **30** *ἐβασίλευσε* **A** *βασιλεὺς* **CTVz** *ἔτη βασιλεῖς* **O**

Ναυᾶτος αἱρεσιάρχης πρεσβύτερος Ῥώμης ἐγνωρίζετο.
Ἀντιοχείας ιγʹ ἐπίσκοπος Φαβιανὸς ἔτη θʹ.
Ἀλεξανδρείας ιδʹ ἐπίσκοπος Διονύσιος ἔτη ιζʹ.
Ἱεροσολύμων λζʹ ἐπίσκοπος Μαζαβάνης ἔτη καʹ.
5 *Σκύθαι περαιωθέντες οἱ λεγόμενοι Γότθοι τὸν Ἴστρον ποταμὸν ἐπὶ Δεκίου πλεῖστοι τὴν Ῥωμαίων ἐπικράτειαν κατενέμοντο. οὗτοι τοὺς Μυσοὺς φεύγοντας εἰς Νικόπολιν περιέσχον· Δέκιος δὲ ἐπελθὼν αὐτοῖς, ὡς Δέξιππος ἱστορεῖ, καὶ τρισμυρίους κτείνας ἐλαττοῦται κατὰ τὴν μάχην, ὡς καὶ τὴν Φιλιππόπολιν ἀπολέσαι ληφθεῖσαν ὑπ᾽ αὐτῶν καὶ Θρᾷκας πολ-*
10 *λοὺς ἀναιρεθῆναι. ἐπανιοῦσι δὲ Σκύθαις ἐπὶ τὰ σφέτερα ὁ αὐτὸς Δέκιος ἐπιθέμενος ἀναιρεῖται ἐν Ἀβρύτῳ, τῷ λεγομένῳ φόρῳ Θεμβρωνίῳ, σὺν τῷ παιδὶ λίαν οἰκτρῶς ὁ θεομάχος, οἵ τε Σκύθαι μετὰ πλείστων αἰχμαλώτων καὶ λαφύρων ἐπανέρχονται. καὶ τὰ στρατόπεδα βασιλέα πάλαι τινὰ γενόμενον ὕπατον Γάλλον ἀναγορεύουσιν ἅμα Βουλουσιανῷ τῷ Δεκίου*
15 *παιδί· οἳ καὶ βασιλεύουσι κατὰ Δέξιππον μῆνας ιηʹ, πράξαντες οὐδὲν* **706** *ἀξιόλογον, κατὰ δὲ ἄλλους τινὰς ἔτη γʹ, καὶ καθ᾽ ἑτέρους ἔτη βʹ. ἐσφάγησάν τε προδοθέντες ὑπὸ τῆς ἰδίας δυνάμεως ἐν ἀγορᾷ Φλαμενίου τῆς αὐτῆς κακοτροπίας ἐχόμενοι τῷ Δεκίῳ, ὥς πού φησιν ὁ μακάριος Ἀλεξανδρείας ἐπίσκοπος Διονύσιος Ἑρμάμμωνι γράφων περὶ τοῦ Γάλλου· ἀλλ᾽ οὐδὲ ἐκεῖ-*
20 *νος ἔγνω τὸ Δεκίου κακὸν οὐδὲ προεσκόπησε τί ποτε ἐκεῖνος ἔσφηλεν, ἀλλὰ πρὸς τὸν αὐτὸν πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ γενόμενον ἔπταισε λίθον· ὃς εὐφραινομένης αὐτῷ τῆς βασιλείας καὶ κατὰ νοῦν χωρούντων τῶν πραγμάτων καὶ τοὺς ἱεροὺς ἄνδρας τοὺς περὶ τῆς εἰρήνης αὐτῷ καὶ τῆς ὑγιείας πρεσβεύοντας πρὸς τὸν θεὸν ἡμῶν ἤλασεν. οὐκοῦν σὺν ἐκείνοις ἐδίωξε καὶ*
25 *τὰς ὑπὲρ αὐτοῦ προσευχάς.*

Τούτοις τοῖς χρόνοις ὁ μέγας καὶ θαυματουργὸς Γρηγόριος ἐν τελειότητι τῆς κατὰ Χριστὸν φιλοσοφίας διέλαμπεν, οὗ μνήμην ἁρμόζουσαν ὁ Καισαρείος Εὐσέβιος οὐκ οἶδα τίνος ἕνεκα, καίπερ Ὠριγένους τοῦ δυσσεβοῦς

5 COT *περὶ τῶν Γότθων* || **26 COTV** *περὶ τοῦ ἁγίου Γρηγορίου θαυματουργοῦ*

1 Euseb. 2, 219[b] || 2 cf. Euseb. 2, 218[g]. 220[h] (interuall. ann. 9) || 3 Euseb. 2, 218[a] (ann. 17) || 4 cf. Euseb. 2, 218[g]. 221[c] (interuall. ann. 15) || 5–15 Dexippus FGrHist 100 F 22 || 5–6 cf. ps. Sym. f. 81[r] = Cedr. 452, 23 || 16 ann. 3 astr. can., ann. 2 Euseb. 2, 218, 23 || 16–17 Euseb. 2, 219[f], cf. chron. ann. 354 p. 148, 2 || 18–25 Euseb. H. E. 7, 1 || 26 – p. 460, 8 cf. Greg. Nyss. Vit. Greg. Thaum., Migne PG 46, 893

2 *φαβίνος* **S** *Phabianos* Euseb. Arm. *Fabius* Hieron. et H. E. || 6 *πλεῖστοι* **t** *πλείστοις* **A** | *μυσοὺς* **AC**[c] *μησοὺς* **COVz** *μισοὺς* **T** || 10 *σκύθαι* **T** || 11 *ἐπιθέμενος* om. **O** | *θεμβρωνίῳ* **ACO** *θεμβρωνίως* **TV** *θεμβρονίῳ* **z** || 12 *λίαν οἰκτρῶς* **t** *διὰ νυκτὸς* **A** || 18 *ἐχόμενοι* **A** *ἐχομένου* **t** *ἐχομένους* **C**[c] || 19 *ἑρμάμμωνι* **t** Euseb. *ἑρμαμμώνη* **A** || 23 *ὑγιείας* **AO** *ὑγίας* **CVPQMS** *ὑγείας* **TR** || 24 *ἡμῶν* om. **t** || 27 *καισαρείας* **t** *καισάριος* **A** || 29 *περὶ . . . θαυματουργοῦ* in margine **COV** in textu **T**

ἀλόγοις ἐνδιατρίψας ἐγκωμίοις, οὐ πεποίηται, τοῦ καθ' ὅλης τῆς οἰκουμένης ἐξηχουμένου θείοις τε λόγοις καὶ τέρασιν ἐξαστράπτοντος, ὡς καὶ αὐτοῖς δαίμοσι προστάττειν οἷά τισιν ἀνδραπόδοις διὰ πολλὴν πρὸς θεὸν παρρησίαν καὶ βίου καὶ λόγου καθαρότητα. νομίζω δὲ τὸν Εὐσέβιον τὸ τῆς θείας ἀρετῆς τοῦ θαυματουργοῦ καὶ θεοφόρου Γρηγορίου μέγεθος σιωπῆσαι διὰ τὸ πανταχοῦ τῶν δογμάτων ἀκέραιον καὶ ἀλλότριον τῶν Ὠριγένους ληρημάτων καὶ τῶν Ἀρείου βλασφημιῶν, οἷς Εὐσέβιος ἐλελώβητο. 5

707 *Ὁ αὐτὸς Εὐσέβιος καὶ τὸ Κυπριανοῦ τοῦ μεγάλου Καρθαγένης τῆς κατὰ Λιβύην ἐπισκόπου καὶ μάρτυρος σεσίγηκε μαρτύριον, κατὰ Γάλλον καὶ Βουλουσιανὸν εἰσάγων αὐτὸν περιεῖναι τῷ βίῳ καὶ τὴν ἐν Καρθαγένῃ σύνοδον συστησάμενον κατὰ τῶν μὴ δεχομένων τινὰς τῶν ἐξ αἱρέσεων ἀναβαπτίζεσθαι, παλαιοῦ, φησίν, ἔθους κεκρατηκότος ἐν τῇ ἐκκλησίᾳ μόνῃ τῇ διὰ τῶν χειρῶν ἐπιθέσει τούτους καθαίρειν καὶ εὐχῇ. ὁ δέ γε θεολογικώτατος Γρηγόριος ὁ Ναζιανζοῦ ἐν τῷ εἰς Κυπριανὸν λόγῳ κατὰ Δέκιόν φησιν αὐτὸν τελειωθῆναι.* 10 15

Κατὰ τὸν Γάλλου χρόνον ἑβδομηκοστὸν ἄγοντα ἔτος λέγει τεθνάναι τὸν Ὠριγένην Εὐσέβιος, προστεθεικότα δηλονότι τὸν ψυχικὸν θάνατον τοῖς τῆς ἀσεβείας δόγμασι.

Πρῶτον Κυπριανῷ δογματίσαντι διὰ λουτροῦ τινας τῶν ἐξ αἱρέσεων ἐπιστρέφοντας ἀποκαθαίρεσθαι Στέφανος μετὰ Λούκιον τὸν Ῥωμαίων διέπων θρόνον ἀντέπεσεν ὡς νεώτερόν τι παρὰ τὴν κρατήσασαν καινοτομοῦντι συνήθειαν. Στεφάνῳ τούτῳ Ῥώμης ἐπισκόπῳ τὴν πρώτην περὶ βαπτίσματος ὁ μέγας ἐπιστέλλει Διονύσιος, καὶ αὖθις περὶ τοῦ κατὰ Κυπριανὸν δόγματος παραινεῖ πλεῖστα γράφων, τῶν ἁπανταχοῦ ἐκκλησιῶν εἰρηνευουσῶν ἐκ τῆς Ναυάτου δυσχερείας καὶ αὐτὸν εἰρηνεύειν, οὕτως γράφων ἑξῆς· 20 25

9 OV *πότε ἐτελειώθη Κυπριανὸς ὁ μάρτυς* ‖ **21 COTV** *Στέφανος Ῥώμης ἀντέπεσεν τῷ βαπτίσματι τῶν αἱρετικῶν*

9–14 Euseb. H. E. 7, 3 ‖ **14–16** Greg. Naz. orat. 24, PG 35, 1169–1194 ‖ **17–27** similiter Euseb. H. E. 7, 1–4

1 *ἀλόγοις* **AV** *ἀλόγως* **COTz** | *οὐ* **AxS** *οὗ* **PQMR** ‖ **8** *ἐλελώβητο* **AT** *ἐλελόβητο* **COVz** ‖ **9** *τὸ* **t** *τῷ* **A** | *τῆς*] *τοῦ* **C** ‖ **10** *καὶ*[1] om. **z** | *μαρτύριον* **t** *μυστήριον* **A** ‖ **14** *θεολογικώτατος* **Ax** *θεολογίας* **z** ‖ **15** *ὁ* om. **z** ‖ **17** *τὸν* **AV** *τε τὸν* **COTz** ‖ **19** *τῆς* om. **A** | *εὐσεβείας* **V** ‖ **20** *πρῶτον* **A** *πρώτῳ* **t** ‖ **21** *τῶν* **At** ‖ **22** *διέπων* **AT** *διέπον* **COVPS** *δι' ἔπον* **QM** *διέποντα* **R** ‖ **23–24** *τὴν ... μέγας* om. **t** ‖ **24** *ἐπιστέλλει* **A** *ἀποστέλλει* **t** ‖ **28–29** *Στέφανος ... αἱρετικῶν* in margine **COV** in textu **T**

Ἐκ τῆς Διονυσίου ἐπιστολῆς περὶ βαπτίσματος πρὸς Στέφανον ἐπίσκοπον Ῥώμης παραινετική 708

Ἴσθι νῦν ἀδελφὲ ὅτι ἥνωνται πᾶσαι αἱ πρότερον διεσχισμέναι κατά τε τὴν ἀνατολὴν ἐκκλησίαι καὶ ἔτι προσωτέρω, καὶ πάντες εἰσὶν ὁμόφρονες 5 οἱ πανταχοῦ προεστῶτες, χαίροντες καθ' ὑπερβολὴν ἐπὶ τῇ παρὰ προσδοκίαν εἰρήνῃ γενομένῃ, Δημητριανὸς ἐν Ἀντιοχείᾳ, Θεόκτιστος ἐν Καισαρείᾳ, Μαζαβάνης ἐν Αἰλίᾳ, Μαρῖνος ἐν Τύρῳ κοιμηθέντος Ἀλεξάνδρου, Ἡλιόδωρος ἐν Λαοδικείᾳ ἀναπαυσαμένου Θηλυμίδρους, Ἕλενος ἐν Ταρσῷ καὶ πᾶσαι αἱ τῆς Κιλικίας ἐκκλησίαι, Φιρμιλιανὸς καὶ πᾶσα Καπ- 10 παδοκία· τοὺς γὰρ περιφανεστέρους μόνους τῶν ἐπισκόπων ὠνόμασα, ἵνα μήτε μῆκος τῇ ἐπιστολῇ μήτε βάρος ἄψω τῷ λόγῳ. αἱ μέντοι Συρίαι ὅλαι καὶ ἡ Ἀραβία οἷς ἐπαρκεῖτε ἑκάστοτε καὶ οἷς ἐπεστείλατε ἥ τε Μεσοποταμία Πόντος τε καὶ Βιθυνία καὶ συνελόντι εἰπεῖν ἀγαλλιῶνται πᾶσαι πανταχοῦ τῇ ὁμονοίᾳ καὶ φιλαδελφίᾳ δοξάζοντες τὸν θεόν. ταῦτα μὲν ὁ 15 Διονύσιος δυσὶν ἔτεσι προστάντι Στεφάνῳ τῆς ἐκκλησίας Ῥώμης καὶ τελευτήσαντι γράφει καὶ ἄλλα τούτοις ὅμοια κατευνάζων πρὸς εἰρήνην.

Ξύστῳ δὲ μετὰ Στέφανον τὸν θρόνον διαδεξαμένῳ δευτέραν ἐπιστολὴν ὁ αὐτὸς Διονύσιος γράφει, ἐν ᾗ τὴν γνώμην Στεφάνου καὶ τὴν τῶν λοιπῶν 709 *ἐπισκόπων περὶ τῆς αὐτοῦ Στεφάνου γνώμης ἐπίκρισιν δηλοῖ λέγων·*

20 Τοῦ αὐτοῦ Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ξύστον δευτέρας ἐπιστολῆς περὶ βαπτίσματος

Ἐπεστάλκει μὲν οὖν πρότερον καὶ περὶ Ἑλένου καὶ περὶ Φιρμιλιανοῦ καὶ πάντων τῶν τε ἀπὸ Κιλικίας καὶ Καππαδοκίας καὶ δηλονότι Γαλατίας καὶ πάντων τῶν ἑξῆς ὁμορούντων, ὡς οὐδὲ ἐκείνοις κοινωνήσων διὰ τὴν αὐτὴν 25 ταύτην αἰτίαν, ἐπειδὴ τοὺς αἱρετικούς, φησίν, ἀναβαπτίζουσι. καὶ σκόπει τὸ μέγεθος τοῦ πράγματος. ὄντως γὰρ δόγματα περὶ τούτου γέγονεν ἐν

3–19 Euseb. H. E. 7, 5, 1–3 ‖ 22 – p. 462, 19 Euseb. H. E. 7, 5, 4–6

3 *ἴσθι νῦν* **COTz** *ἴσθη νῦν* **V** *ἤισθην οὖν* **A** ‖ 4 *προσωτέρω* **TV** *περισωτέρω* **ACOz** ‖ 8 *θηλυμίδρους* **t** *θηλυμήδρους* **A** ‖ 11 *τῇ ἐπιστολῇ* **AV** *τῆς ἐπιστολῆς* **COTz** | *συρίαι* **x** Euseb. *συρίας* **Az** ‖ 12 *ἐπαρκεῖτε* Euseb. *ἐπαρκεῖσθαι* **A** *ἐπαρκεῖσθε* **V** *περκεῖσθε* **OT** *περκεῖσθαι* **CS** *παρκεῖσθε* **PQ** *παρκεῖσθαι* **MR** ‖ 12 *ἥ τε* Euseb. *τε* **AOTV** *τῇ* **Cz** ‖ 13 *Πόντος τε καὶ Βιθυνία* om. **A** ‖ 17 *μετὰ στέφανον τὸν θρόνον* **A** *τὸν θρόνον μετὰ στέφανον* **t** ‖ 18–19 *καὶ τὴν* (*τὴν* om. **A**) . . . *στεφάνου* **AOTV** *καὶ περὶ τῆς αὐτοῦ στεφάνου γνώμης καὶ τὴν τῶν λοιπῶν ἐπισκόπων* **z** om. **C** ‖ 22 *ἐπεστάλκει* **x** *ἐπεστάλκη* **A** *ἀποστάλκη* **z** ‖ 24 *ὁμορούντων* **CTVPMR** *ὁμορρούντων* **AO** *ὁμολογούντων* **Q** *ὁμοφρονούντων* **S** | *ἐκείνοις* **AC**[c]**V** *ἐκεῖνος* **COTz** ‖ 26 *ὄντως* **t** *οὕτω* **A**

ταῖς μεγίσταις τῶν ἐπισκόπων συνόδοις, ὡς πυνθάνομαι, ὥστε τοὺς προσ-
ιόντας ἐξ αἱρέσεων προκατηχηθέντας εἶτα ἀπολούεσθαι καὶ ἀνακαθαίρε-
σθαι τὸν τῆς παλαιᾶς καὶ ἀκαθάρτου ζύμης ῥύπον. καὶ περὶ τοῦ Ναυάτου
πάντων δεόμενος ἐπέστειλα. καὶ μεθ' ἕτερα· καὶ τοῖς ἀγαπητοῖς δὲ ἡμῶν
καὶ συμπρεσβυτέροις Διονυσίῳ καὶ Φιλήμονι, συμψήφοις πρότερον Στε- 5
φάνῳ γενομένοις καὶ περὶ τῶν αὐτῶν μοι γράφουσι, πρότερον μὲν ὀλίγα,
καὶ νῦν δὲ διὰ πλειόνων ἐπέστειλα. τούτοις ἐπάγει καὶ περὶ τῶν κατὰ Σα-
βέλλιον τὸν κατὰ Λιβύην αἱρετικὸν ταῦτα· περὶ γὰρ τοῦ νῦν κινηθέντος
710 *ἐν τῇ Πτολεμαΐδι τῆς Πενταπόλεως δόγματος ὄντος ἀσεβοῦς καὶ βλασφη-*
μίαν πολλὴν ἔχοντος περί τε τοῦ παντοκράτορος θεοῦ πατρὸς καὶ τοῦ 10
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπιστίαν τε πολλὴν περὶ τοῦ μονογενοῦς
παιδὸς αὐτοῦ καὶ πρωτοτόκου πάσης κτίσεως τοῦ ἐνανθρωπήσαντος λό-
γου, εἰς ἀναισθησίαν δὲ τοῦ ἁγίου πνεύματος, ἐλθόντων ἑκατέρωθεν πρὸς
ἐμοῦ καὶ τῶν γραμμάτων καὶ τῶν διαλεξομένων ἐπέστειλά τινα, ὡς
ἠδυνήθην παρασχόντος τοῦ θεοῦ διδασκαλικώτερον ὑφηγούμενος, ὧν τὰ 15
ἀντίγραφα ἔπεμψά σοι. ταῦτα ἐν τῷ δευτέρῳ διεξελθὼν περὶ βαπτίσματος
λόγῳ πρὸς Ξύστον ὁ θεῖος Διονύσιος θαυμαστήν τινα θεοπτίαν ἐν τῷ
τρίτῳ περὶ βαπτίσματος διέξεισι, πρὸς Φιλήμονα πρεσβύτερον Ῥώμης
γράφων·

Ἐκ τοῦ πρὸς Φιλήμονα πρεσβύτερον Ῥώμης γʹ λόγου περὶ βαπτίσματος 20
Διονυσίου Ἀλεξανδρείας καὶ τῆς κατ' αὐτὸν ὁράσεως

Ἐγὼ δὲ καὶ τοῖς συντάγμασι καὶ ταῖς παραδόσεσι τῶν αἱρετικῶν ἐνέτυ-
χον, χραίνων μέν μου πρὸς ὀλίγον τὴν ψυχὴν ταῖς παμμιάροις αὐτῶν ἐν-
θυμήσεσιν, ὄνησιν δὲ ταύτην ἀπ' αὐτῶν λαμβάνων, τοῦ ἐξελέγχειν αὐτοὺς
παρ' ἐμαυτῷ καὶ πολλῷ πλέον βδελύττεσθαι. καὶ δή τινος ἀδελ- 25
φοῦ πρεσβυτέρων ἀπείργοντος καὶ δεδιττομένου συμφύρεσθαι τῷ τῆς
πονηρίας αὐτῶν βορβόρῳ (λυμανεῖται γὰρ τὴν ψυχὴν τὴν ἐμαυτοῦ) καὶ
ἀληθῆ λέγοντος ὡς ᾐσθόμην, ὅραμα θεόπεμπτον προσελθὸν ἐπέρρωσέ με,
711 *καὶ λόγος πρός με γενόμενος προσέταξε διαρρήδην λέγων· πᾶσιν ἐν-*

22 – p. 463, 23 Euseb. H. E. 7, 7, 1 – 6

1 *ἰόντας* **O** ‖ **2** *ἐξ* **A** *ἀπὸ* Euseb. om. **t** | *εἶτα* **A** Euseb. *εἰς τ'* **t** ‖ **3** *ζύμης . . . Ναυάτου* om. **C** ‖ **7** *τῶν*] *τὸν* **OTz** ‖ **8** *γὰρ* om. **A** ‖ **9** *ὄντος* **C^c VMR** *ὄντως* **COT PQS** *οὕτως* **A** ‖ **10** *πατρὸς* **Ax** *καὶ πατρὸς* **z** | *τοῦ*² om. **O** ‖ **13. 14** *πρὸς ἐμοῦ* **ACOVz** *πρὸ ἐμοῦ* **T** *πρὸς ἐμὲ* Euseb. ‖ **20** *τοῦ* Go.^m *τῆς* **At** ‖ **21** *ἀλεξανδρείας* **t** *ἀλεξανδρέως* **A** ‖ **23** *μου* **A** Euseb. *ψόγου* **COTz** om. **V** ‖ **23 – 24** *ἐνθυμήσεσιν . . . αὐτῶν* om. **t** add. altera manu **V** ‖ **24** *τοῦ* **At** *τὸ* Euseb. ‖ **26** *πρεσβυτέρων* **A** *πρεσβύτερον* **OTVz** *πρεσβυτέρου* **C** post quod add. *με* altera manu **V** ‖ **27** *αὐτῶν* **Ax** *αὐτῷ* **z** ‖ **28** *προσελθὸν* **AC^c** *προσελθὼν* **t** ‖ **29** *λόγος* per rasuram **C** *λόγοις* **At** | *ἐντύγχανε* **t** *ἐτύγχανε* **A**

*τύγχανε οἷς ἂν εἰς χεῖρας λάβοις· διευθύνειν γὰρ ἕκαστα καὶ δοκιμάζειν
ἱκανὸς εἶ καὶ σοὶ γέγονε τοῦτο ἐξ ἀρχῆς καὶ τῆς πίστεως αἴτιον. ἀπεδεξά-
μην τὸ ὅραμα, ὡς ἀποστολικῇ φωνῇ συντρέχον τῇ λεγούσῃ πρὸς τοὺς
δυνατωτέρους· γίνεσθε δόκιμοι τραπεζῖται.* πρὸς τούτοις εἰπὼν περὶ πα-
5 σῶν αἱρέσεων ἐπάγει· *τοῦτον ἐγὼ τὸν κανόνα καὶ τὸν τύπον παρὰ τοῦ
μακαρίου πάπα ἡμῶν Ἡρακλᾶ παρέλαβον. τοὺς γὰρ προσιόντας ἀπὸ τῶν
αἱρέσεων καὶ τῆς ἐκκλησίας ἀποστάντας, μᾶλλον δὲ οὐδ᾽ ἀποστάντας,
ἀλλὰ συνάγεσθαι μὲν δοκοῦντας, καταμηνυθέντας δὲ ὡς προσφοιτῶντάς
τινι τῶν ἑτεροδιδασκαλούντων, ἀπελάσας τῆς ἐκκλησίας, δεομένους οὐ
10 προσήκατο, ἕως δημοσίᾳ πάντα ὅσα ἀκηκόασι παρὰ τοῖς ἀντιθεμένοις
ἐξέφρασαν, καὶ τότε συνήγαγεν αὐτούς, οὐ δεηθεὶς ἑτέρου βαπτίσματος
ἐπ᾽ αὐτῶν· τοῦ γὰρ ἁγίου πρότερον παρ᾽ αὐτοῦ τετυχήκεσαν.* εἶτα λεπτῶς
περὶ τοῦδε τοῦ δόγματος διεξελθὼν ἐπιφέρει βεβαιῶν αὐτό· *μεμάθηκα
καὶ τοῦτο ὅτι μὴ νῦν οἱ ἐν Ἀφρικῇ τοῦτο μόνον παρεισήγαγον, ἀλλὰ καὶ
15 πρὸ πολλοῦ κατὰ τοὺς πρὸ ἡμῶν ἐπισκόπους ἐν ταῖς πολυανθρωποτάταις
ἐκκλησίαις καὶ ταῖς συνόδοις τῶν ἀδελφῶν, ἐν Ἰκονίῳ καὶ Συνάδοις καὶ
παρὰ πολλοῖς τοῦτο ἔδοξεν, ὧν τὰς βουλὰς ἀνατρέπων εἰς ἔριν αὐτοὺς καὶ
φιλονεικίαν ἐμβάλλειν οὐχ ὑπομένω· οὐ γὰρ μετακινήσεις, φησίν, ὅρια
τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες σου. ταῦτα καὶ ἐν τῇ τρίτῃ ἐπιστολῇ* 712
20 *περὶ βαπτίσματος ὁ μέγας Διονύσιος γράφει, ἐν δὲ τῇ τετάρτῃ αὐτοῦ περὶ
βαπτίσματος ἐπιστολῇ, ἣν Διονυσίῳ πρεσβυτέρῳ Ῥώμης ἐπιστέλλει τῷ
καὶ τὸν θρόνον μετὰ βραχὺ διαδεξαμένῳ ἀνδρὶ λογίῳ καὶ θαυμαστῷ, ταῦτά
φησιν·*

Ἐκ τῆς Διονυσίου Ἀλεξανδρείας ἐπισκόπου δ᾽ ἐπιστολῆς περὶ βαπτίσμα-
25 τος γραφείσης Διονυσίῳ πρεσβυτέρῳ Ῥώμης

*Ναυατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα διακόψαντι τὴν ἐκκλησίαν
καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑκλύσαντι καὶ ταῖς
περὶ τοῦ θεοῦ διδασκαλίαις ἀνοσιωτάτην ἐπικλύσαντι καὶ τῷ τὸν κύριον*

26 – p. 465, 3 Euseb. H. E. 7, 8 – 9, 6

1 *λάβοις* **A** *λάβης* **t** | *διευθήνειν* **OT** et ante corr. **C** || **2** *ἱκανῶς* **Oz** | *εἰ* **C^cT** *ἢ* **ACOVz** | *αἴτιον τί* **C** || **3** *συντρέχοντι* **T** *συντρέχων* **V** | *τῇ* om. **T** || **4** *γίνεσθε* **A** *γίνεσθαι* **t** | *τούτοις* **t** *τούτους* **A** || **5** *ἐγὼ* **A** Euseb. *ἡμῶν* **t** || **6** *πάπα* **t** *πάπ-πα* **A** | *Ἡρακλᾶ* om. **MR** || **8** *καταμηνυθέντας*] *καὶ τιμηθέντας* **C** | *προσφοιτῶντας* **AC^cTVR** *προσφυτῶντας* **COPM** *προσφωτῶντας* **Q** *προσφυγόντας* **A** || **12** *γὰρ ἁγίου* **t** tr. **A** || **13** *αὐτό* **t** *αὐτῷ* **A** || **18** *φιλονικείαν* **VS** | *ἐκβάλλειν* **C** | *ὑπομένω* Euseb. *-ων* **At** || **19 – 20** *ἐπιστολῇ . . . αὐτοῦ* om. **A** || **19** *ἐπιστολῇ* om. **V** || **20. 21** *περὶ βαπτίσματος* om. **CV** || **24** *δ᾽ ἐπιστολῆς* om. **MR** || **26** *ἀπεχθανόμεθα* **A** *ἀπεχ-θανώμεθα* **t** || **27** *ἐκλύσαντι* **At** *ἑλκύσαντι* Euseb. || **27 – 28** *ταῖς περὶ . . . διδασκα-λίαις* **At** *περὶ . ... διδασκαλίαν* Euseb. || **28** *τοῦ* om. **A** | *ἐπικλύσαντι* **At** *ἐπεισ-κυκλήσαντι* Euseb.

ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἀνηλεῆ συκοφαντοῦντι, ἐπὶ πᾶσι δὲ τούτοις καὶ τὸ λουτρὸν ἀθετοῦντι τὸ ἅγιον καὶ τήν τε πρὸ αὐτοῦ πίστιν καὶ ὁμολογίαν ἀνατρέποντι, τό τε πνεῦμα τὸ ἅγιον ἐξ αὐτῶν, εἰ καί τις ἦν ἐλπὶς τοῦ παραμεῖναι ἢ καὶ ἐπανελθεῖν πρὸς αὐτούς, παντελῶς φυγαδεύοντι.

Καὶ ἡ πέμπτη δὲ αὐτῷ πρὸς τὸν Ῥωμαίων ἐπίσκοπον Ξύστον ἐγέγραπτο, 5 *ἐν ᾗ πολλὰ κατὰ τῶν αἱρετικῶν εἰπὼν τοιοῦτόν τι κατ᾿ αὐτὸν γεγονὸς ἐκτίθεται λέγων· καὶ γὰρ ὄντως, ἀδελφέ, καὶ συμβουλῆς δέομαι καὶ γνῶσιν αἰτῶ παρὰ σοῦ, τοιούτου τινός μοι προσελθόντος πράγματος, δεδιὼς μὴ παρασφάλλομαι. τῶν γὰρ συναγομένων ἀδελφῶν πιστὸς νομιζόμενος* 713 *ἀρχαῖος καὶ πρὸ τῆς ἐμῆς χειροτονίας, οἶμαι δὲ καὶ τῆς τοῦ μακαρίου* 10 *Ἡρακλᾶ καταστάσεως τῆς συναγωγῆς ὑπόγυον βαπτιζόμενος περιτυχὼν καὶ τῶν ἐπερωτήσεων καὶ τῶν ἀποκρίσεων ἐπακούσας, προσῆλθέ μοι κλαίων καὶ καταθρηνῶν ἑαυτὸν καὶ πίπτων πρὸ ποδῶν μου, ἐξομολογούμενος μὲν καὶ ἐξομνύμενος τὸ βάπτισμα, ὃ παρὰ τοῖς αἱρετικοῖς βεβάπτισται, μὴ τοιοῦτον εἶναι, μηδὲ ὅλως ἔχειν τι ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς τὸν* 15 *θεὸν ἀπὸ τῶν ἀνόμων ἐκείνων ῥημάτων καὶ πραγμάτων ὁρμώμενος, καὶ διὰ τοῦτο δεόμενος τῆς εἰλικρινεστάτης ταύτης καθάρσεως καὶ παραδοχῆς καὶ χάριτος τυχεῖν· ὅπερ ἐγὼ μὲν οὐκ ἐτόλμησα ποιῆσαι, φήσας αὐταρκῆ τὴν πολυχρόνιον αὐτῷ κοινωνίαν εἰς τοῦτο γεγονέναι. εὐχαριστίας γὰρ ὑπακούσαντα καὶ συνεπιφθεγξάμενον τὸ ἀμὴν καὶ τραπέζῃ παραστάντα* 20 *καὶ χεῖρας εἰς ὑποδοχὴν τῆς ἁγίας τροφῆς ἐκτείναντα καὶ ταύτην καταδεξάμενον καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετασχόντα ἱκανὸν χρόνον οὐκ ἂν ἐξ ὑπαρχῆς ἀνασκευάζειν ἐπιτολμήσαιμι· θαρσεῖν δὲ ἐκέλευον καὶ μετὰ βεβαίας πίστεως καὶ ἀγαθῆς ἐλπίδος τῇ μετοχῇ τῶν ἁγίων προσιέναι. ὁ δὲ οὔτε πενθῶν παύεται* 25 *πέφρικέ τε τῇ τραπέζῃ προσιέναι καὶ μόλις παρακαλούμενος συνεστάναι ταῖς προσευχαῖς ἀνέχεται. ἐπὶ ταῖς προειρημέναις φέρεταί τις καὶ ἄλλη τοῦ αὐτοῦ περὶ βαπτίσματος ἐπιστολή, ἐξ αὐτοῦ καὶ ἧς ἡγεῖτο παροικίας* 714 *Ξύστῳ καὶ τῇ κατὰ Ῥώμην ἐκκλησίᾳ προσπεφωνημένη, ἐν ᾗ διὰ μακρᾶς*

1 *ἀνηλεῆ* **M^c Q** *ἀνελεῆ* **xPS** *ἀνηλεεῖ* **MR** *ἀνελεεῖ* **A** ‖ 2 *πρὸς* **Oz** ‖ 3 *τὸ ἅγιον* **t** *ἅγιον* **A** | *εἰ* Euseb. *ἢ* **At** | *τις ἦν ἐλπὶς* **V^c** Euseb. *τίσιν ἐλπίσι* **At** ‖ 6 *αὐτὸν* **Ax** *αὐτῶν* **z** | *γεγονὸς* **A** *γεγονὼς* **t** ‖ 7 *καί*² **A** Euseb. *ὅτι καὶ* **t** ‖ 8 *μοι*] *μου* **C** ‖ 9 *παρασφάλλομαι* **TV** *παρασφάλλωμεν* **A** *παρασφάλλονται* **COz** *ἄρα σφάλλομαι* Euseb. ‖ 11 *συναγωγῆς ὑπόγυον* (*ὑπόγειον* **T**) *βαπτιζόμενος* **At** *συναγωγῆς μετασχών, τοῖς ὑπόγυον βαπτιζομένοις* Euseb. ‖ 14 *βεβάπτισται* **t** *βεβαπτίσθαι* **A** *βεβάπτιστο* Euseb. ‖ 15 post *ἔχειν τι* (*τινὰ* Euseb.) habet *πρὸς τοῦτο κοινωνίαν, ἀσεβείας γὰρ ἐκεῖνο καὶ βλασφημιῶν πεπληρῶσθαι, λέγων δὲ πάνυ τι τὴν ψυχὴν νῦν κατανενύχθαι καὶ μηδὲ παρρησίαν ἔχειν* Euseb. | *τοὺς ὀφθαλμοὺς* **t** Euseb. *τοῖς ὀφθαλμοῖς* **A** ‖ 18 *καὶ χάριτος* Di. ex Euseb. *ἐν χάριτος* **ACOV** *εὐχάριστος* **T** *ἐν χάριτι* **z** ‖ 21 *εἰς* om. **z** ‖ 27 *ἀνέχεται* om. **z** | *καὶ* om. **A** ‖ 29 *Ξύστῳ* Di. ex Euseb. *ξύστος* **At**

ἀποδείξεως τὸν περὶ τοῦ ὑποκειμένου ζητήματος παρατείνει λόγον. καὶ ἄλλη δέ τις αὐτοῦ μετὰ ταῦτα φέρεται πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον ἡ περὶ Λουκιανοῦ. καὶ περὶ μὲν τούτων τοσαῦτα.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΜΗ

5 Τῆς θείας σαρκώσεως ἔτη σμη'

Ῥωμαίων κς' ἐβασίλευσεν Οὐαλεριανὸς καὶ Γαλιηνὸς ἔτη ιε'.
Περσῶν γ' ἐβασίλευσεν Ὁρμίσδας ἔτος ἕν.
Περσῶν δ' ἐβασίλευσεν Οὐαραράνης ἔτη γ'.
Ῥώμης κδ' ἐπίσκοπος Στέφανος ἔτη β'.
10 Ῥώμης κε' ἐπίσκοπος Ξύστος ἔτη θ'.
Ῥώμης κς' ἐπισκοπος Διονύσιος ἔτη η'.
Ἀντιοχείας ιδ' ἐπίσκοπος Δημητριανὸς ἔτη δ'.
Ἀντιοχείας ιε' ἐπίσκοπος Παῦλος ὁ Σαμοσατεὺς ἔτη η'.
Οὗτος ἐξώσθη θείᾳ ψήφῳ καὶ κρίσει πατέρων ἁγίων τὴν Ἀρτέμωνος
15 *ἀνανεωσάμενος αἵρεσιν.*
Ἀντιοχείας ις' ἐπίσκοπος Δομνῖνος ἔτη γ'.
Ἀλεξανδρείας ιδ' ἐπίσκοπος Διονύσιος ἔτη ιζ'.
Ἀλεξανδρείας ιε' ἐπίσκοπος Μάξιμος ἔτη η'.
Ἱεροσολύμων λζ' ἐπίσκοπος Μαζαβάνης ἔτη κα'.
20 *Μετὰ Γάλλον καὶ Βουλουσιανὸν τὸν Δεκίου παῖδα διαδέχεται τὴν Ῥω-* 715
μαίων ἀρχὴν κατὰ μὲν τοὺς πλείστους Οὐαλεριανὸς καὶ Γαλιηνὸς παῖς αὐτοῦ. τούτων ἀναιρεθέντων προδοσίᾳ καὶ τῆς οἰκείας δυνάμεως, ὡς προείρηται, κρατοῦσι τῆς αὐτῆς ἀρχῆς ἔτη ιε', κατὰ δέ τινας Αἰμιλιανὸς τριετῆ προΐσταται χρόνον, καὶ τούτου κατὰ γνώμην ἀναιρεθέντος Οὐαλε-
25 *ριανοῦ ὁ αὐτὸς Οὐαλεριανὸς Ῥωμαίων βασιλεὺς ἀνεδείχθη.*

6 Euseb. 2, 220, 2 || **7–8** cf. supra 441, 6 || **9** Euseb. 2, 219[d] (ann. 3), H. E. 7, 5, 3 (ann. 2) || **10** Euseb. 2, 220[b] (ann. 8), H. E. 7, 27, 1 (ann. 11) || **11** Euseb. 2, 221[c], H. E. 7, 30, 23 (ann. 9) || **12** cf. Euseb. 2, 219[c]. 220[h] (interuall. ann. 7) || **13** cf. Euseb. 2, 220[h]. 221[f] (interuall. ann. 8) || **14** Euseb. 2, 221[f], H. E. 7, 30, 18 || **16** Euseb. 2, 221[f] (*Domnus*, om. Arm.). 222[c] (interuall. ann. 4) || **17** et **19** cf. supra 459, 3 || **18** Euseb. 2, 221[b] (ann. 18, ita infra 472, 4) || **20** cf. Dexipp. FGrHist 100 F 22 (supra 459, 14, Decii filius), Euseb. 2, 218, 22 (Galli filius, ita Eutrop. 9, 5 et plerique) || **21–23** cf. Euseb. 2, 220, 1, Eutrop. 9, 7 || **23** cf. Euseb. 2, 219[g], Eutrop. 9, 6 (menses 3) || **24** iuxta SHA Tyrann. 22, 8 Aemilianus interfectus est ab Theodoto, Gallieno iubente

[**A** x = **COTV** (361, 20–465, 24) z = **PQMRS** t = xz] **1** *παρατείνει* **AC**[c] *παρά τινι* **t** || **6** *Γαλιηνὸς* Di. *γαλινός* **A** *γαληνὸς* **t** et similiter infra || **7** et **8** *ἐβασίλευσεν* **A** *βασιλεὺς* **t** || **22** *καὶ* om. **t** || **22–23** *καὶ . . . κρατοῦσι* om. **MR** || **24** *προίσται* **O** | *γνώμην*] explicit **V** f. 57[v] post quod exciderat folium unum || **25** *ἀνεδείχθη* **AC** *ἀνηγορεύθη* **OTz**

Ἐπὶ Οὐαλεριανοῦ δὲ καὶ Γαλιηνοῦ πάλιν οἱ Σκύθαι διαβάντες τὸν Ἴστρον ποταμὸν τήν τε Θρᾴκην ἐδῄωσαν καὶ Θεσσαλονίκην ἐπολιόρκησαν τὴν Ἰλλυρίδα πόλιν, οὐδὲν ἄριστον ἐπ' αὐτῇ δράσαντες τῇ τῶν φυλάκων ἀνδρείᾳ. διὰ τοῦτο ταραχθέντες Ἕλληνες τὰς Θερμοπύλας ἐφρούρησαν τό τε τεῖχος Ἀθηναῖοι ἀνῳκοδόμησαν καθαιρεθὲν ἀπὸ τῶν Σύλλου χρόνων, 5 *Πελοποννήσιοι δὲ ἀπὸ θαλάσσης εἰς θάλασσαν τὸν Ἰσθμὸν διετείχισαν, οἱ δὲ Σκύθαι μετὰ πολλῶν λαφύρων εἰς τὰ ἴδια ἦλθον.*

Ἐπὶ τούτοις καὶ Σαπώρης ὁ τῶν Περσῶν βασιλεὺς καταδραμὼν Συρίαν ἦλθεν εἰς Ἀντιόχειαν καὶ πᾶσαν Καππαδοκίαν ἐδῄωσε. τοῦ δὲ Ῥωμαϊκοῦ στρατοῦ λιμώξαντος ἐν Ἐδέσσῃ καὶ διὰ τοῦτο ταραχθέντος Οὐαλεριανὸς 10 *πτοηθεὶς καὶ σχηματισάμενος ἐπὶ δευτέραν ἰέναι μάχην ἑαυτὸν προὔδωκε τῷ Περσῶν βασιλεῖ Σαπώρῃ, συνθέμενος καὶ τὴν τοῦ πλήθους προδοσίαν· ἣν αἰσθόμενοι Ῥωμαῖοι μόλις διέφυγον ὀλίγων ἀναιρεθέντων. οὓς κα-* 716 *ταδιώκων ὁ Περσῶν βασιλεὺς Σαπώρης τήν τε μεγάλην Ἀντιόχειαν αἱρεῖ καὶ τὴν Κιλίκων Ταρσὸν καὶ τὴν Καππαδόκων Καισάρειαν. τότε Πέρσαι* 15 *διασπαρέντες ὑπὸ πλεονεξίας ἄλλοι ἀλλαχοῦ καὶ τὴν πρὸς θάλασσαν Πομπηιούπολιν αἱρεῖν μέλλοντες, Λυκαονίαν τε πορθοῦντες, ἀναιροῦνται πλεῖστοι, Βαλλίστου τούτοις ἐπελθόντος ἀδοκήτως ναυσὶ μετὰ δυνάμεως τοῦ Ῥωμαίων στρατηγοῦ, ὃν φυγόντες προεστήσαντο ἑαυτοῖς. οὗτος καὶ τὰς Σαπώρου παλλακίδας σὺν πολλῷ πλούτῳ λαβὼν εἰς Σεβαστὴν καὶ* 20 *Κώρυκον μετέστη σὺν τῷ στόλῳ, ἔνθα τρισχιλίους Περσῶν ἀνεῖλε. τούτοις Σαπώρης περιαλγήσας μετὰ σπουδῆς ἀναστρέφει καὶ φόβου· καὶ Οὐαλεριανὸς μένει παρὰ Πέρσαις ἕως τέλους ζωῆς. Ὠδέναθος δὲ Παλμυρηνὸς ἀνὴρ στρατηγικὸς συμμαχῶν Ῥωμαίοις πολλοὺς διέφθειρε Περσῶν ἀναστρέφοντας κατὰ τὴν Εὐφρατησίαν ἐπιθέμενος χώραν· ὃς καὶ στρα-* 25 *τηγὸς τῆς ἑῴας ὑπὸ Γαλιηνοῦ διὰ τοῦτο τετίμηται, διαφθείρας καί τινας*

1–7 cf. Eutrop. 9, 8; SHA Gall. 5, 6 || **1**–p. 467, **26** de inuasionibus Gothicis et affinitatibus in eis narrandis inter Syncellum, Orosium, Zonaram, Zosimum, Aurelium Victorem et scriptores historiae Augustae uide A. Alföldi, Berytus 4, 1937, 41–68; 5, 1938, 47–92; CAH 12, 721–724 || **8–9** cf. Euseb. 2, 220[f] || **9–15** cf. Zonar. 12, 23, Oros. 7, 22. 4, Eutrop. 9, 7, Aur. Vict. epit. de Caes. 32, 5–6, SHA Valer. 1–5 || **14–15** cf. Euseb. 2, 220[f], Zonar. 12, 23, Oros. 7, 22, 7, SHA Tyrann. 2, 2 || **15–21** breuius Zonar. 12, 23, SHA Val. 4, 2–4, Tyrann. 18 (*Ballista*) || **22**–p. 467, **1** cf. Euseb. 2, 220[d]. 221[d], Zonar. 12, 23, Eutrop. 9, 7–10, Fest. brev. 23, 2, SHA Tyrann. 15, Gall. 10, Malal. 297, 10 = Philostrat. FGrHist 99 F 2

2 *ἐδῄωσαν* **TR** *ἐδίωσαν* **COPQMS** *ἐλήισαν* **A** || **3** *ἀνδρείᾳ* **AT** *ἀνανδρείᾳ* **COz** || **9** *ἐδῄωσε* **T** *ἐδίωσε* **ACOz** || **10** *ἐδέσσῃ* **z** *ἐδέσῃ* **ACOT** | *ταραχθέντος* **t** *ταραχθέντες* **A** || **12** *τῷ*] *τῶν* **A** *τῷ τῶν* **S** | *τοῦ πλήθους προδοσίαν* **t** *αὐτοῦ στρατείαν προδόσει* **A** || **16** *ὑπὸ* **t** *ἀπὸ* **A** || **17** *πομπηιούπολιν* **AT** *πομπιούπολιν* **COz** || **18** *βαλλίστου* **C** *καλλίστου* **A** *μάλιστα* **OTz** || **21** *κώρυκον* **AC**[c] *κόρυκον* **t** || **23** *τέλους ζωῆς* **A** *τελευτῆς* **t** | *παλμυρηνὸς* **A** *παλμυρινὸς* **t** || **26** *γαλιηνοῦ* **ACOz** *γαληνοῦ* **T**

τῶν ἐπαναστάντων αὐτῷ Ῥωμαίων κατὰ Φοινίκην. τότε πάλιν οἱ Σκύθαι καὶ Γότθοι λεγόμενοι ἐπιχωρίως διὰ τῆς Ποντικῆς θαλάσσης ἐλθόντες εἰς Βιθυνίαν καὶ πᾶσαν Ἀσίαν καὶ Λυδίαν χωρήσαντες τήν τε Νικομήδειαν Βιθυνίας πόλιν μεγάλην ἔλαβον καὶ τὰς Ἰωνίδας πόλεις διέφθει-
5 ραν, τὰς μὲν ἀτειχίστους, τὰς δὲ μερικῶς ὀχυρωθείσας καταλαβόντες· οὐ μὴν ἀλλὰ καὶ Φρυγίας ἥψαντο, Τροίαν πορθήσαντες, Καππαδοκίαν καὶ Γαλατίαν. ἀλλὰ πάλιν Ὠδέναθος κατὰ Περσῶν ἀριστεύσας καὶ Κτησιφῶντα πολιορκίᾳ παραστησάμενος, ἀκούσας τὰς συμφορὰς τῆς Ἀσίας 717 σπουδαίως ἐπὶ τὴν Ποντικὴν Ἡράκλειαν ἔρχεται διὰ Καππαδοκίας σὺν
10 ταῖς δυνάμεσι τοὺς Σκύθας καταληψόμενος. καὶ ὁ μὲν αὐτόθι δολοφονεῖται πρός τινος Ὠδενάθου τοὔνομα καὶ αὐτοῦ, οἱ δὲ Σκύθαι πρὶν αὐτὸν ἐλθεῖν ἐπανῆλθον εἰς τὰ ἴδια διὰ τοῦ αὐτοῦ Πόντου. καὶ διαφθείρουσιν Ὠδέναθον τὸν Ὠδενάθου φονευτὴν οἱ τούτου δορυφόροι, Ζηνοβίᾳ δὲ τῇ γαμετῇ αὐτοῦ τὴν ἀρχὴν τῆς ἑῴας ἐγχειρίζουσι.

15 Τότε καὶ Αἴλουροι πεντακοσίαις ναυσὶ διὰ τῆς Μαιώτιδος λίμνης ἐπὶ τὸν Πόντον διαπλεύσαντες τὸ Βυζάντιον καὶ Χρυσόπολιν κατέλαβον. ἔνθα συμβαλόντες μάχην καὶ μικρὸν ὑποστρέψαντες πρὸς τὸ στόμιον τοῦ Εὐξείνου Πόντου τὸ λεγόμενον ἱερόν, τῇ ἑξῆς αἰσίῳ καταπλεύσαντες πνεύματι τὸν πορθμὸν Κυζίκου μὲν πρῶτον μεγίστης πόλεως Βιθυνίας προσ-
20 άγουσιν, εἶτα καὶ τὰς νήσους Λῆμνον καὶ Σκῦρον δηοῦσι, καὶ εἰς τὴν Ἀττικὴν φθάσαντες ἐμπιπρῶσι τὰς Ἀθήνας Κόρινθόν τε καὶ Σπάρτην καὶ τὸ Ἄργος καὶ τὴν ὅλην Ἀχαΐαν κατέδραμον, ἕως Ἀθηναῖοι κατά τινας στενὰς δυσχωρίας ἐνεδρεύσαντες αὐτοὺς πλείστους ἀνεῖλον, συνδραμόντος καὶ Γαλιηνοῦ τοῦ βασιλέως καὶ τρισχιλίους ἀνελόντος παρὰ τὸν Νέσσον. τότε
25 Ναυλοβάτος ὁ τῶν Αἰλούρων ἡγούμενος Γαλιηνῷ τῷ βασιλεῖ δοὺς ἑαυτὸν ἔκδοτον ὑπατικῆς ἠξιώθη τιμῆς παρ' αὐτοῦ. Αὐρίολος δέ τις Ῥωμαίων στρατηγὸς Κελτικὸς τὸν Γαλιηνὸν δολοφονεῖ. καὶ ταῦτα μὲν περὶ Οὐαλεριανοῦ καὶ Γαλιηνοῦ τῶν βασιλέων.

Ἄξιον δὲ καὶ Διονυσίου τοῦ μεγάλου ἐπισκόπου Ἀλεξανδρείας παραθέ- 718
30 σθαι τὰς χρήσεις περὶ τῶν αὐτῶν βασιλέων καὶ τοῦ κατ' αὐτοὺς διωγμοῦ καὶ τῆς οἰκείας ἐν Χριστῷ σπουδῆς καὶ ὁμολογίας.

1–7 cf. SHA Gall. 4, 7–8; 11, 1–2 || **7–14** cf. SHA Gall. 12, 6, Tyrann. 15, 5; 17 (*Maeonius consobrinus Odaenathi*) || **13–14** cf. Eutrop. 9, 13, 2 || **15–26** cf. SHA Gall. 13, 6–9, Dexipp. FGrHist 100 T 3, F 5 (*Ἔλουροι*) || **26–27** cf. SHA Gall. 14, 6–8

[**A** (1, 1–467, 3) **x** = **COTV** (467, 13–474, 14) **z** = **PQMRS** **t** = **xz**] **1** *αὐτῷ* **t** *αὐτὸν* **A** || **3** *Νικο-*] explicit **A** p. 226, post quam exciderat folium unum || **6** *τροίαν* **C**[c] *τρύαν* **t** || **10** *καὶ ὁ μὲν* om. **Tz** || **11** *αὐτὸν* **C** *αὐτῶν* **T** *αὐτῷ* **Oz** || **13** *ὠδενάθου* **COTS** *αἰδενάθου* **PQMR** | *δορυφόροι*] incipit **V** f. 58r | *τῇ* om. **C** || **15** *αἴλουροι* **COV** *αἴλουρι* **Tz** *Ἔλουροι* Dexipp. F 5 *Heluri* Anast. *Eruli* SHA Claud. 6, 2 || **18** *πνεύματι* **x** *νεύματι* **z** || **20** *λῆμνον* **C**[c] *λίμνον* **t** | *σκίρον* **T** | *δηοῦσι* **C**[c]**T** *δίουσι* **COVz** || **23** *δυσχωρίας* **C**[c]**T** *δυσχωρείας* **COVz** || **24** *Γαλιηνοῦ* Di. *γαληνοῦ* **t**, sed infra *γαλιηνῷ, γαληνόν, γαλιηνοῦ* || **30** *αὐτοὺς*] *αὐτοῦ* **t**

Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἑρμάμμωνα ἐπιστολῆς

Καὶ τῷ Ἰωάννῃ δὲ ἀποκαλύπτεται περὶ τούτων· ἐδόθη γὰρ αὐτῷ, φησί, στόμα λαλοῦν μεγάλα καὶ βλάσφημα, καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαράκοντα δύο. ἀμφότερα δέ ἐστιν ἐπὶ Οὐαλεριανοῦ θαυμάσαι, καὶ τούτων μάλιστα τὰ πρὸ αὐτοῦ ὡς οὕτως ἔσχε, συννοεῖν ὡς μὲν ἤπιος καὶ φιλόφρων ἦν πρὸς τοὺς ἀνθρώπους τοῦ θεοῦ. οὐδὲ γὰρ ἄλλος τις οὕτω τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς πρὸς αὐτοὺς διετέθη, οὐδ' οἱ λεχθέντες ἀναφανδὸν Χριστιανοὶ γεγονέναι ὡς ἐκεῖνοι. οἰκειότατα ἐξ ἀρχῆς καὶ προσφιλέστατα φανερῶς ἦν αὐτοὺς ὑποδεχόμενος καὶ πᾶς τε ὁ οἶκος αὐτοῦ θεοσεβῶν πεπλήρωτο καὶ ἦν ἐκκλησία θεοῦ. ἀποσκευάσασθαι δὲ παρέπεισεν αὐτὸν ὁ διδάσκαλος καὶ τῶν ἀπ' Αἰγύπτου μάγων ὁ ἀρχισυνάγωγος, τοὺς μὲν καθαροὺς καὶ ὁσίους ἄνδρας κτείννυσθαι κελεύων ὡς ἀντιπάλους καὶ κωλυτὰς τῶν παμμιάρων καὶ βδελυκτῶν ἐπαοιδῶν ὑπάρχοντας (καὶ γάρ εἰσι καὶ ἦσαν ἱκανοὶ παρόντες καὶ ὁρώμενοι καὶ μόνον 719 *ἐμπνέοντες καὶ φθεγγόμενοι διασκεδάσαι τὰς τῶν ἀλιτηρίων δαιμόνων ἐπιβουλάς), τελετάς τε ἀνάγνους καὶ μαγγανείας ἐξαγίστους καὶ ἱερουργίας ἀκαλλιερήτους ἐπιτελεῖν ὑποθέμενος, παῖδας ἀθλίους ἀποσφάττειν καὶ τέκνα δυστήνων πατέρων καταθύειν, καὶ σπλάγχνα νεογενῆ διαιρεῖν, καὶ τὰ τοῦ θεοῦ κατακόπτειν καὶ καταχορδεύειν πλάσματα, ὡς ἐκ τούτων εὐδαιμονήσοντα.*

Τούτοις ἐπιφέρει λέγων· *καλὰ γοῦν αὐτοῖς Μακρῖνος τῆς ἐλπιζομένης βασιλείας προσήνεγκε χαριστήρια. πρῶτον μὲν ἐπὶ τὸν καθ' ὅλου λόγον λεγόμενος εἶναι βασιλέως, οὐδὲν εὔλογον οὐδὲ καθολικὸν ἐφρόνησεν, ἀλλ' ὑποπέπτωκεν ἀρᾷ προφητικῇ τῇ λεγούσῃ· οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν καὶ τὸ καθόλου μὴ βλέπουσιν. οὐ γὰρ συνῆκε τὴν καθόλου πρόνοιαν, οὐδὲ τὴν κρίσιν ὑπείδετο τοῦ πρὸ πάντων καὶ ἐν πᾶσι. διὸ καὶ τῆς μὲν καθολικῆς ἐκκλησίας αὐτοῦ γέγονε πολέμιος, ἠλλοτρίωσε δὲ καὶ ἀπεξένωσεν ἑαυτὸν τοῦ ἐλέους τοῦ θεοῦ καὶ ὡς πορρωτάτω τῆς ἑαυτοῦ σωτηρίας ἐφυγάδευσεν, ἐν τούτῳ τὸ ἴδιον ἐπαληθεύων ὄνομα.*

2 – p. 469, 13 Euseb. H. E. 7, 10, 2 – 9

5 *τὰ* om. **COTz** | *οὗτος* **C** || 6 *φιλόφρων* Euseb. *φιλοσώφρων* **T** *φιλόσωφρος* **C** *φιλοσόφρων* **OVz** | *τις* om. **z** || 12 *κτείννυσθαι* Euseb. *τιννῦναι* **t** || 13 *βδελυκτῶν* **xRS** *δελυκτῶν* **PQM** | *ὑπάρχοντας* **xR** *ἐπάρχοντας* **PQM** *ἄρχοντας* **S** || 15 *ἀλιτηρίων* **CR** *ἀλυτηρίων* **TS** *ἀλητηρίων* **OVM** *ἀλητιρίων* **PQ** || 17 *ἀκαλλιερήτους* Euseb. *ἀκαλληερίτους* **V** *καλλιερήτους* **COTz** || 17 – 18 *ἀποσφάττειν . . . καταθύειν* **V** Euseb. *ἀποσφάττει . . . καταθύει* **COTz** || 18 *διαιρεῖ* **t** || 24 *ἀρᾷ* **xR** *ἄρα* **PQMS** | *τῇ* om. **C** || 25 – 26 *μὴ . . . καθόλου* om. **MR** || 26 *ὑπείδετο* **xP**^{c}**Q** *ἐπείδετο* **MR** *ἐπεὶ δὲ τὸ* **PS** || 27 *ἠλλοτρίωσε* **C**^{c}**V** *ἠλλωτρίωσε* **COTz** || 28 *ἐλέους* **V**^{c} *δὲ λέγει* **t** || 28 – 29 *τῆς . . . τούτῳ* om. **C**

Καὶ πάλιν μεθ' ἕτερά φησιν· ὁ μὲν γὰρ Οὐαλεριανὸς εἰς ταῦτα ὑπὸ θεοῦ προαχθείς, εἰς ὕβρεις καὶ ὀνειδισμοὺς ἐκθοθείς, κατὰ τὸ ῥηθὲν πρὸς Ἡσαΐαν· καὶ οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε, κἀγὼ ἐκλέξομαι τὰ ἐμπλέγματα αὐτῶν καὶ τὰς 720
5 *ἁμαρτίας ἀνταποδώσω αὐτοῖς. οὗτος δὲ τῇ βασιλείᾳ παρὰ τὴν ἀξίαν παραμανεὶς καὶ τὸν βασίλειον ὑποδῦναι κόσμον ἀδυνατῶν ἀναπήρῳ τῷ σώματι, τοὺς δύο παῖδας τὰς πατρῴας ἀναδεξαμένους ἁμαρτίας προεστήσατο. ἐναργὴς γὰρ ἐπὶ τούτων ἡ πρόρρησις, ἣν εἶπεν ὁ θεός· ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με. τὰς*
10 *γὰρ ἰδίας πονηρὰς ἐπιθυμίας ὧν εἰ τύχοι ταῖς τῶν υἱῶν κεφαλαῖς ἐπιβαλὼν εἰς ἐκείνους τὴν ἑαυτοῦ κακίαν καὶ τὸ πρὸς θεὸν μῖσος ἐξεμόρξατο. καὶ περὶ μὲν τοῦ Οὐαλεριανοῦ, οὐ μὴν δὲ καὶ Μακρίνου ταῦτα ὁ μέγας λέγει Διονύσιος.*

ΚΟΣΜΟΥ ΕΤΗ ͞Ε͞Ψ͞Ξ͞Γ

15 Τῆς θείας σαρκώσεως ἔτη σξγ'

Ῥώμης κζ' ἐβασίλευσε Κλαύδιος ἔτος ἕν.

Κλαύδιος κρατήσας ἔτος ἕν.

Πράττουσι δὲ καὶ ἐπὶ τούτου δυστυχῶς Αἴλουροι πάλιν εἰσβαλόντες ναυτικῷ πλείστῳ κατὰ διαφόρους τόπους τῆς Ῥωμαίων χώρας καὶ ποτὲ
20 *μὲν ναυμαχίαις, ποτὲ δὲ καὶ χειμῶσι, ποτὲ δὲ καὶ λοιμῷ πιεσθέντες, ὑφ' οὗ κατασχεθεὶς ὁ αὐτὸς Κλαύδιος τελευτᾷ τὸν βίον. μεθ' ὃν Κεντίλλιος κατέσχεν ὅλας ἡμέρας ιζ' καὶ ἀπέθανε.*

ΚΟΣΜΟΥ ΕΤΗ ͞Ε͞Ψ͞Ξ͞Δ 721

Τῆς θείας σαρκώσεως ἔτη σξδ'

25 *Ῥώμης κη' ἐβασίλευσεν Αὐρηλιανὸς ἔτη ς'.*

Αὐρηλιανὸς τοὺς Παλμυρηνοὺς ἐχειρώσατο καὶ Γαλλίαν ὑπέταξεν, ἐφ' οὗ φασι Φιλόστρατον τὸν Ἀθηναῖον ἱστοριογράφον καὶ Λογγῖνον ἀκμάσαι.

16 Euseb. 2, 221, 23 || **18–21** cf. SHA Claud. 6, 1–2; 9, 3–9; 11, 3; 12, 2 (*Eruli*) || **21–22** cf. Eutrop. 9, 12 (*Quintilius*), SHA Claud. 13, 3 (*Quintillus*) || **25** cf. Euseb. 2, 222, 8 (ann. 5, menses 6), H. E. 7, 30, 22 (ann. 6, ita etiam astr. can.) || **26** cf. Euseb. 2, 222[d,e], Philostr. FGrHist 99 T 1, SHA Aur. 30, 3, Suda s. v. Longin. Cass.

1 *πάλιν* om. **V** || **4** *ἐμπλέξομαι* **T** | *ἐμπλέγματα* **t** *ἐμπαίγματα* Euseb. || **6** *ὑποδῦναι* Euseb. *ἀποδῦναι* **t** | *ἀναπήρῳ* **x** *ἀναπήρων* **PQ** *ἀπήρων* **MRS** || **8** *πόρρησις* **V** | *ἦν* **COz** *ἣν* **TV** || **10** *εἰ τύχοι* **t** Euseb.[M] *ἠτύχει* Euseb.[BD] *ηὐτύχει* Euseb.[ATER] || **11** *ἐξεμόρξατο* **C**[c] *ἐξεμώρξατο* **t** *ἐξωμόρξατο* Euseb. || **19** *καὶ ποτὲ* **C**[c] *καὶ τότε* **t** || **20** *λοιμῷ* scripsi *λιμῷ* **CTz** *λυμῷ* **OV** || **21** *ὃν* **CVS** *ὧν* **OTPQMR** || **25** *Αὐρηλιανὸς* Di. *αὐριλιανὸς* **t** || **26** *αὐρηλιανὸς* **C**[c] *αὐριλιανὸς* **t** | *παλμυρηνοὺς* **C**[c] *παλμυρινοὺς* **t** || **27** *τὸν* om. **T**

Τότε Ζηνοβία κατὰ Ῥωμαίων ἐπαίρεται, δύναμιν ἀθροίσασα πλείστην, καὶ Αἰγύπτου κρατεῖ, Πρόβον ἀνελοῦσα τὸν ἐκεῖ τότε στρατηγοῦντα Ῥωμαίων. ταύτην τὴν ἀκοὴν Αὐρηλιανὸς οὐκ ἐνεγκὼν ἔρχεται μετὰ στρατιᾶς καὶ πλησίον Ἀντιοχείας τῆς κατὰ Συρίαν ἐν Ἴμμαις καλουμένῳ χωρίῳ τοὺς μὲν Παλμυρηνοὺς διαφθείρει, Ζηνοβίαν δὲ χειρωσάμενος εἰς 5 *Ῥώμην ἤγαγε, καὶ φιλανθρωπίᾳ χρησάμενος πολλῇ συνάπτει ταύτην ἐνδόξως ἀνδρὶ τῶν ἐν γερουσίᾳ.*

Κρατεῖ δὲ καὶ Γάλλων κινηθέντων τότε.

Ὁρμήσας δὲ καὶ ἐπὶ Σκύθας ὑπὸ τῆς ἰδίας στρατιᾶς ἀναιρεῖται στάσει περιπεσὼν μεταξὺ Βυζαντίου καὶ Ἡρακλείας ἐν τῷ καινῷ λεγομένῳ φρου- 10 *ρίῳ τῶν Θρᾳκῶν, μέλλων τινὰ κατὰ Χριστιανῶν κινεῖν διωγμόν.*

Ὁ δ' αὐτὸς καὶ Ἡλίου ναὸν ἐν Ῥώμῃ κατεσκεύασε χρυσῷ καὶ λίθοις ἀξιάγαστον.

722 *Τὴν Τραϊανοῦ δὲ Δακίαν βαρβάροις ἀφεὶς ἄνδρας καὶ γυναῖκας εἰς τὸ μεσαίτατον τῆς Μυσίας στήσας ἑκατέρωθεν, Δακίαν δὲ μέσην ὀνομάζεσθαι.* 15

Περσῶν ε' Οὐραράκης ἐβασίλευσεν ἔτη ιζ'.

Ῥώμης κς' ἐπίσκοπος Διονύσιος ἔτη η'.

Ἀντιοχείας ις' ἐπίσκοπος Δόμνος ἔτη γ'.

Ἀντιοχείας ιζ' ἐπίσκοπος Κύριλλος ἔτη ιε'.

Ἀλεξανδρείας ιε' ἐπίσκοπος Μάξιμος ἔτη η'. 20

Ἱεροσολύμων λζ' ἐπίσκοπος Μαζαβάνης ἔτη κα'.

ΚΟΣΜΟΥ ΕΤΗ $\overline{\overline{\text{ΕΨΞΕ}}}$

Τῆς θείας σαρκώσεως ἔτη σξε'

Ῥωμαίων κθ' βασιλεὺς Αὐρηλιανὸς ὁ προγεγραμμένος ἔτη ς'.

Τῷ ς' αὐτοῦ ἔτει Αὐρηλιανὸς μέλλων διωγμὸν κινεῖν κατὰ Χριστιανῶν 25 *θείῳ κεραυνῷ διακωλύεται. συσκευῆς δὲ γενομένης περὶ αὐτοῦ ἐκ τῶν κατ' αὐτὸν ἐδολοφονήθη ἐν καινῷ φρουρίῳ.*

25 V *γέγονε ἐπὶ Αὐρηλιανοῦ κατὰ Παύλου τοῦ Σαμοσάτων σύνοδος*

1–7 cf. SHA Tyrann. 30, 27, Aurel. 22. 25. 28, Eutrop. 9, 13, 2 || **8** Euseb. 2, 222[d] || **9–11** cf. Euseb. 2, 223[c], Eutrop. 9, 15, 2, ps. Sym. f. 81[v] = Cedr. 455, 1 || **12** Euseb. 2, 223[a], Eutrop. 9, 15, 1 || **14** cf. Eutrop. 9, 15, 1 || **16** cf. supra 441, 8 || **17–18** cf. supra 465, 11. 16 || **19** cf. Euseb. 2, 222[c]. 224[b], Niceph. 130, 12 (17 Timaeus ann. 10, 18 Cyrillus ann. 15) || **20–21** cf. supra 465 18 || **24** Euseb. 2, 222, 9 || **25** Euseb. 2, 223[c], H. E. 7, 30, 20–21 || **28** cf. ps. Sym. f. 81[v] = Cedr. 455, 9

1 *ἀθροίσασα* **CV** *ἀθροίσας* **OTz** || **3** *Αὐρηλιανὸς* Di. *αὐριλιανὸς* **t** || **5** *παλμυρηνοὺς* **C[c]** *παλμυρινοὺς* **t** || **9** *ὁρμήσας* **C[c]V** *ὁρμίσας* **COTz** || **10** *φρουρίῳ* **CT** *φρουρείῳ* **OVz** || **11** *μέλλων τινὰ* Go. *μέλλοντι* **t** || **13** *ἀξιαγάστοις* **T** || **14** *κακίαν* **T** || **15** *νομίζεσθαι* **t** || **18** *Δομνῖνος* supra *Domnus* Euseb. || **20** *μάξιμος* **OTV** *μαξιμῖνος* **C** *μάρκος* **z** || **24** et **25** *αὐρηλιανὸς* **R** *αὐριλιανὸς* **xPQMS** || **25–26** *διωγμὸν . . . διακωλύεται* om. **C** || **27** *αὐτὸν* **C[c]TV** *αὐτῶν* **COz** | *φρουρίῳ* **C[c]T** *φρουρείῳ* **COVz**

Μεθ' ὃν βασιλεύει Τάκητος μῆνας ϛ'.
Οὗ σφαγέντος ἐν Πόντῳ βασιλεύει Φιλωριανὸς ἡμέρας πη'.
Οὗ σφαγέντος ἐν Ταρσῷ βασιλεύει Πρόβος ἔτη ϛ', μῆνας δ'.
Ὁμοῦ γίνονται ἔτη ζ'.

5 ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨΟ — 723

Τῆς θείας σαρκώσεως ἔτη σο'

Τῷ γ' ἔτει Πρόβου Ἀνατόλιος ὁ Λαοδικείας ἐπίσκοπος φιλοσόφοις μαθήμασι διαπρέπων ἐγνωρίζετο.
Τῷ δ' ἔτει Πρόβου ἡ τῶν μανέντων Μανιχαίων πανώλεθρος ἀπώλεια
10 *τῷ τῶν ἀνθρώπων παρεισήχθη βίῳ.*
Τῷ ϛ' ἔτει Πρόβου Σατορνῖνος στρατοπεδάρχης τὴν καινὴν Ἀντιόχειαν ἤρξατο κτίζειν, ὃς ὕστερον ἐπαναστὰς τῇ Ῥωμαίων ἀρχῇ ἐσφάγη ἐν Ἀπαμείᾳ ὑπὸ τῶν ἰδίων. Πρόβος ἐσφάγη ἐν Σερμείῳ.
Ῥωμαίων βασιλεὺς λβ' Κᾶρος σὺν τοῖς παισὶ Καρίνῳ καὶ Νουμεριανῷ
15 *ἔτη β'.*

ΚΟΣΜΟΥ ΕΤΗ ͵ΕΨΟΕ

Τῆς θείας σαρκώσεως ἔτη σοε'

Τῷ πρώτῳ ἔτει Καρίνου ἐλθόντος Νουμεριανοῦ ἐν Ἀντιοχείᾳ καὶ θελήσαντος εἰσελθεῖν ἐν τῇ ἐκκλησίᾳ καὶ κατασκοπῆσαι τὰ τῶν Χριστιανῶν
20 *μυστήρια, ὁ ἅγιος Βαβυλᾶς ἐκώλυσεν αὐτὸν λέγων· οὐκ ἔξεστί σοι ἰδεῖν τὰ τῶν Χριστιανῶν μυστήρια μεμολυσμένῳ ὄντι ἐκ τῶν εἰδωλικῶν θυσιῶν. καὶ ἀγανακτήσας Νουμεριανὸς ἐφόνευσεν αὐτόν.*
Ῥωμαίων κζ' ἐπίσκοπος Φίλιξ ἔτη ε'. — 724

9 **COV** *Ση. ὅτι τῷ δ' ἔτει Πρόβου ἀνεφύη ἡ τῶν μανέντων Μανιχαίων αἵρεσις*

1–3 Euseb. 2, 223, 12–15 || 7 Euseb. 2, 223ˡ (secundo anno Hieron., om. Arm.) || 9 Euseb. 2, 223ˡ (tertio anno Hieron., quarto Arm.), H. E. 7, 31 (sine anno) || 11–13 Euseb. 2, 224ᶜ (quarto anno Hieron., om. Arm.) || 13 Euseb. 2, 224ᵉ, cf. Eutrop. 9, 17, 3 || 14 Euseb. 2, 224, 19 || 18–22 non alibi redit. iuxta Eusebium 2, 218ᵍ (cf. supra 444, 21) et H. E. 6, 39, 4 Babylas in Decii persecutione mortuus est || 23 Euseb. 2, 223ᶠ (ann. 5)

[**A** (471, 7–478, 8) **x** = **CO** (360, 1–471, 18) **TV** **z** = **PQMRS** **t** = **xz**] 1 *ὃν* **Cᶜ V** *ὧν* **COTz** || 2–3 *ἐν . . . σφαγέντος* om. **C** || 2 *φιλωριανὸς* **OV** *φιλοριανὸς* **TPQMR** *φλοριανὸς* **S** *Philorianus* Anast. *Φλωριανὸς* Euseb. || 4 *γίνονται* **S** *γινόμενα* **xMPQR** || 7 *τῷ γ'*] incipit **A** p. 227 || 11 *σατορνῖνος* **A** *σατορνῖλος* **CTVz** *σατορνεῖλος* **O** || 13 *ὑπὸ . . . ἐσφάγη* om. **A** | *σερμείῳ* **t** *σαρμίῳ* **A** || 14 *βασιλεὺς* **t** *βασιλεῖς* **A** || 18 *θελή-*] explicit **O** f. 59ᵛ post quod exciderunt folia duo || 23 – p. 472, 1 *φίλιξ, φίλικα* **ATVz** *φίληξ, φίληκα* **C** *Φῆλιξ, Φήλικα* Go.ᵐ || 24 *μανέντων* om. **Cᵐ**

Τῆς Ῥωμαίων ἐκκλησίας μετὰ Φίλικα ἐπίσκοπος γέγονεν Εὐτυχιανὸς μῆνας η΄· μεθ᾽ ὃν Γάιος κη΄ ἐπίσκοπος ἔτη ιε΄.
Ἀντιοχείας ιη΄ ἐπίσκοπος Κύριλλος ἔτη ιε΄.
Ἀλεξανδρείας ιε΄ ἐπίσκοπος Μάξιμος ἔτη ιη΄.
Ἀλεξανδρείας ις΄ ἐπίσκοπος Θεωνᾶς ἔτη ιθ΄. 5
Ἱεροσολύμων λη΄ ἐπίσκοπος Ὑμέναιος ἔτη ιβ΄.

ΚΟΣΜΟΥ ΕΤΗ ΕΨΟΣ

Τῆς θείας σαρκώσεως ἔτη σος΄

Τὰ ὑπόλοιπα τοῦ Ῥωμαίων βασιλέως Κάρου

Τῷ β΄ αὐτοῦ ἔτει Κᾶρος ἀνὴρ Γαλάτης ἀνδρεῖος ὑπάρχων ἐχειρώσατο 10 *Σαρμάτας ἐπαναστάντας. πολεμήσας δὲ καὶ Πέρσαις παρέλαβε Κτησιφῶντα· ὃς παρὰ τῷ ποταμῷ Τίγριδι διαστρατοπεδευόμενος κεραυνοῦ κατασκήψαντος ἀθρόως ἅμα τῇ σκηνῇ διαφθείρεται.*

Μεθ᾽ ὃν ὁ Νουμεριανὸς υἱὸς αὐτοῦ βασιλεύει λ΄ μόνας ἡμέρας. ἐπανιὼν γὰρ ἐκ Περσῶν καὶ ὀφθαλμιάσας ὑπὸ τοῦ ἰδίου πενθεροῦ φονεύεται, τὴν 15 725 *μὲν προσηγορίαν Ἄπερος, ἐξάρχου δὲ κατὰ τὸ στρατόπεδον ὄντος καὶ βασιλεῦσαι σπουδάσαντος, πλὴν ἀλλὰ τῆς ἐλπίδος ἀποτυχόντος· ἡ στρατεία γὰρ πᾶσα Διοκλητιανὸν ἀνηγόρευσε βασιλέα συστρατευσάμενον τῷ Κάρῳ τότε καὶ πολλὴν ἀνδρείαν ἐπιδειξάμενον, Δαλμάτην τὸ γένος καὶ τῆς συγκλήτου βουλῆς μετέχοντα, ἐν ὑπατείαις ἠξιωμένον. ἦν δὲ τότε κατὰ τὴν* 20 *Ῥώμην Καρῖνος ὁ Κάρου παῖς ὑπὸ τοῦ πατρὸς ἐκεῖ καταλειφθείς, ἡνίκα ἐπὶ Πέρσας ἐστράτευσε, χαλεπὸς τοῖς Ῥωμαίοις φανείς. Διοκλητιανὸς δὲ παραλαβὼν τὴν ἀρχὴν τὸν μὲν ὕπαρχον Ἄπερα τὸν τοῦ Νουμεριανοῦ σφαγέα παραχρῆμα φονεύει, τὸν δὲ Καρῖνον ἀδίκως τῇ ἀρχῇ χρώμενον ἀναζεύξας εἰς Ῥώμην ἀναιρεῖ, καὶ ἄριστος κατὰ πᾶσαν τὴν ἡγεμονίαν φανεὶς* 25 *τοῖς Ῥωμαίοις ἐβασίλευσεν κ΄ χρόνους.*

1–2 Euseb. 2, 224[d] (ann. 8 et 15) ‖ **3** cf. Euseb. 2, 224[b]. 227[i] (interuall. ann. 13) ‖ **4** Euseb. 2, 221[b] (ann. 18) ‖ **5** Euseb. 2, 224[f] (ann. 19) ‖ **6** Euseb. 2, 221[e] (sine annis) ‖ **10** cf. Euseb. 2, 224[g], Eutrop. 9, 18, 1 ‖ **14–17** cf. Eutrop. 9, 18, 2, Aur. Vict. Epit. de Caes. 38, 4, SHA Car. 12, 1–2 ‖ **17–24** cf. Eutrop. 9, 19–20, SHA Car. 13; 18, 1–2 ‖ **26** cf. Euseb. 2, 225, 8

1 *ἐπίσκοπος* om. **Az** | *εὐτυχιανὸς* **ACTV** *εὐτύχια* **z** ‖ **2–3** *μεθ᾽ . . . Κύριλλος ἔτη ιε΄* om. **MR** ‖ **2** *ὃν* **ACVQS** *ὧν* **TP** ‖ **2–4** *ἔτη ιε΄ . . . ιε΄ ἐπίσκοπος* om. **C** ‖ **4** *ἐπίσκοπος* om. **A** ‖ **6** *ὑμέναιος* **R** *ὕμενος* **A** *ὑμένεος* **t** ‖ **9** *Κάρου*] *κύρου* **V** ‖ **10** *ἀνδρείως* **PQMS** ‖ **11** *πέρσαις* **A** *πέρσας* **t** ‖ **14** *ὁ* om. **t** ‖ **15** *ὀφθαλμίσας* **V** ‖ **16** *ὄντως* **TS** ‖ **18** *κάρῳ* **R**[m] *καιρῷ* **At** ‖ **20** *ἐν* **ACTV** *καὶ* **z**

῾Ρώμης κη΄ ἐπίσκοπος Γάιος ἔτη ιε΄.
᾿Αντιοχείας ιη΄ ἐπίσκοπος Κύριλλος ἔτη ιε΄.
᾿Αλεξανδρείας ις΄ ἐπίσκοπος Θεωνᾶς ἔτη ιθ΄.
῾Ιεροσολύμων λη΄ ἐπίσκοπος ῾Υμέναιος ἔτη ιβ΄.

5 ᾿Εκ τῆς ἐκκλησιαστικῆς συγγραφῆς Εὐσεβίου τοῦ Παμφίλου
περὶ Παύλου τοῦ Σαμοσάτων καὶ τῆς κακίας αὐτοῦ

Ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατὰ Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος τὴν ἐπισκοπὴν Παῦλος ὁ Σαμοσάτων παραλαμβάνει. τούτου δὲ ταπεινὰ 726 *καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν* 10 *φρονήσαντος, ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, ὁ μὲν κατὰ Ἀλεξάνδρειαν Διονύσιος παρακληθείς, ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος ἀνατίθεται τὴν παρουσίαν, δι᾿ ἐπιστολῆς τὴν αὐτοῦ γνώμην ἣν ἔχει περὶ τοῦ ζητουμένου παραστήσας. οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες ἄλλος ἄλλοθεν ὡς ἐπὶ* 15 *λυμεῶνα τῆς Χριστοῦ ποίμνης συνήεσαν οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες. τούτων οἱ μάλιστα διέπρεπον, Φιρμιλιανὸς μὲν τῆς Καππαδοκῶν Καισαρείας ἐπίσκοπος ἦν, Γρηγόριος δὲ καὶ Ἀθηνόδωρος ἀδελφοὶ τῶν κατὰ Πόντον παροικιῶν ποιμένες, καὶ ἐπὶ τούτοις Ἕλενος τῆς ἐν Ταρσῷ παροικίας καὶ Νικομᾶς τῆς ἐν ᾿Ικονίῳ, οὐ μὴν ἀλλὰ τῆς ἐν ῾Ιερο-* 20 *σολύμοις ἐκκλησίας Ὑμέναιος, τῆς ὁμόρου ταύτης Καισαρείας Μάξιμος ἔτι πρὸς τούτοις, τῶν κατὰ Βόστραν δὲ καὶ οὗτος ἀδελφῶν διαπρεπῶς ἡγεῖτο· μυρίους τε ἄλλους οὐκ ἂν ἀπορήσαι τις ἅμα πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐν τῇ προειρημένῃ πόλει συγκροτηθέντας ἀπαριθμούμενος· ἀλλὰ τούτων γε οἱ μάλιστα ἐπιφανεῖς οἵδε ἦσαν. πάν-* 25 *των οὖν κατὰ καιροὺς διαφόρως καὶ πολλάκις ἐπὶ ταὐτὸ συνιόντων λόγοι καὶ ζητήσεις καθ᾿ ἑκάστην ἀνεκινοῦντο σύνοδον, τῶν μὲν ἀμφὶ τὸν Σαμοσατέα ⟨τὰ⟩ τῆς κακοδοξίας ἐπικρύπτειν ἔτι καὶ παρακαλύπτεσθαι πειρωμένων, τῶν δὲ ἀπογυμνοῦν καὶ εἰς φανερὸν ἄγειν τὴν αἵρεσιν καὶ τὴν εἰς Χρι-* 727 *στὸν βλασφημίαν αὐτοῦ διὰ σπουδῆς ποιουμένων. ἐν τούτῳ δὲ Διονύσιος τε-*

30 **16 CV** *Φιρμιλιανὸς καὶ Γρηγόριος ὁ θαυματουργὸς καὶ Ἀθηνόδωρος ἀδελφοὶ αὐτοῦ, Ἕλενος Ταρσοῦ, Νικομᾶς Ἰκονίου, Ἱεροσολύμων Ὑμέναιος, Καισαρείας Παμφίλου Θεότεκνος, Μάξιμος Βόστρων* || **29 CV** *ἐπὶ τοῦ ιβ΄ ἔτους Γαλιήνου βασιλείας Διονύσιος Ἀλεξανδρείας τελευτᾷ*

1–4 cf. supra 472, 2–6 || **7**–p. 478, **8** Euseb. H. E. 7, 27, 1–30, 19

2 *ιη΄*] *ιθ΄* **At** || **3** *ις΄* **A** *ιε΄* **t** | *Θεωνᾶς* om. **MR** || **4** *ὑμέναιος* **R** *ὑμένεος* **At** || **10** *κοινοῦ τὴν φύσιν* **t** *κοινῆς τῆς φύσεως* **A** || **11** *ἀφίκοιτο* **t** *ἀφίκοιντο* **A** || **15** *λυμεῶνα* **AC** *λοιμαιῶνα* **TVz** | *συνήεσαν* **A** *συνίεσαν* **t** || **17** *ἦν* om. **C** || **18** *πόντον* **ACTVR** *πόντων* **PQMS** || **20** *ὑμέναιος* **R** *ὑμένεος* **At** || **21** *βόστραν* **t** Euseb. *βῶστραν* **A** || **22** *ἀπορήσαι* **t** *ἀπορρῆσαι* **A** || **28** *ἀπογυμνοῦν* **t** Euseb. *ἀπογυμνούντων* **A** || **29** *αὐτῶν* **C** || **31** *ὑμένεος* $\mathbf{C}^{m}\mathbf{V}^{m}$

*λευτᾷ κατὰ τὸ ιβʹ ἔτος τῆς Γαλιηνοῦ βασιλείας προστὰς τῆς κατὰ Ἀλεξάν-
δρειαν ἐπισκοπῆς ἔτεσι ιζʹ, διαδέχεται δ' αὐτὸν Μάξιμος. Γαλιηνοῦ δὲ
ἐφ' ὅλοις ἐνιαυτοῖς πεντεκαίδεκα τὴν ἀρχὴν κεκρατηκότος Κλαύδιος κατ-
έστη διάδοχος. δεύτερον οὗτος διελθὼν ἔτος Αὐρηλιανῷ μεταδίδωσι τὴν
ἡγεμονίαν.* 5

*Καθ' ὃν τελευταίας συγκροτηθείσης πλείστων ὅσων ἐπισκόπων συνό-
δου, φωραθεὶς καὶ πρὸς ἁπάντων ἤδη σαφῶς καταγνωσθεὶς ἑτεροδοξίαν
ὁ τῆς κατὰ Ἀντιόχειας αἱρέσεως ἀρχηγός, ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν καθολι-
κῆς ἐκκλησίας ἀποκηρύττεται. μάλιστα δ' αὐτὸν εὐθύνας ἐπικρυπτόμενον
διήλεγξε Μαλχίων, ἀνὴρ τά τε ἄλλα λόγιος καὶ σοφίας ἀνάπλεως, τοῦ τῶν* 10
*ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίων προεστώς, οὐ μὴν ἀλλὰ καὶ
δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα πρεσβυτερίου τῆς
αὐτόθι παροικίας ἠξιωμένος. οὗτός γέ τοι ἐπισημειουμένων ταχυγράφων
ζήτησιν πρὸς αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μό-
νος ἴσχυσε τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωρᾶσαι τὸν ἄνθρω-* 15
πον. μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ τὸ αὐτὸ συγκεκροτημένοι ποιμέ-
728 *νες διαχαράξαντες ἐπιστολὴν εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου
Διονυσίου καὶ Μαξίμου τοῦ κατὰ Ἀλεξάνδρειαν ἐπὶ πάσας τε διαπέμπονται
τὰς ἐπαρχίας, τὴν αὐτῶν μὲν σπουδὴν τοῖς πᾶσι φανερὰν καθιστάντες,
καὶ τοῦ Παύλου δὲ τὴν διάστροφον ἑτεροδοξίαν, ἐλέγχους τε καὶ ἐρωτήσεις* 20
*ἃς πρὸς αὐτὸν ἀνακεκινήκασι, καὶ ἔτι τὸν πάντα βίον τε καὶ τρόπον τοῦ
ἀνδρὸς διηγούμενοι. ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ
τοῦ παρόντος διελθεῖν τὰς φωνάς.*

*Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσι συλλειτουρ-
γοῖς ἡμῶν ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ πάσῃ τῇ ὑπὸ* 25
*τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ Ἕλενος καὶ Ὑμέναιος καὶ Θεόφιλος καὶ
Θεότεκνος καὶ Μάξιμος καὶ Πρόκλος, Νικομᾶς καὶ Αἰλιανὸς καὶ Παῦλος
καὶ Βωλανὸς καὶ Πρωτογένης καὶ Ἱέραξ καὶ Εὐτυχὴς καὶ Θεόδωρος καὶ
Μαλχίων καὶ Λούκιος καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς*

[**A CTV** (467. 13 – 474, 14) **z = PQMRS t = CTVz**] **1** *τὸ ιβʹ ἔτος* **t** *τῷ ιβʹ* **A** | *γαλιηνοῦ* **ACVz** *γαληνοῦ* **T**, sed infra *γαλιηνοῦ* | *προστὰς τῆς*] *προστάτης* **S** || **3** *ὅλοις* **t** Euseb. *ὅλοις τοῦ* **A** || **4** *αὐρηλιανῷ* **A** *αὐριλιανῷ* **t** || **6** *ὅσων.ἐπισκόπων* **ACTV** tr. **z** || **8** *τὸν οὐρανὸν* **t** Euseb. *τῶν οὐρανῶν* **A** || **9** *ἐπικρυπτόμενον* **t** *ἐπι-κρυπτούμενον* **A** || **10** *ἀνάπλεως* **ACz** *ἀνάπλεος* **TV** | *τοῦ τῶν* **AT** *τούτων* **Vz** *τούτου* **C** || **11** *παιδευτηρίων* **Tz** *παιδευτηρίου* **ACV** || **12** *τὴν*[1]] *τὴν* **z** | *πρεσβυτερίου* **T** Euseb. *πρεσβυτέρου* **ACVz** || **13** *γέ τοι* om. **z** | *ἐπισημειουμένων* **CV** Euseb. *ἐπι-σημειωμένων* **ATz** || **14** *αὐτὸν*] explicit **V** f. 61ᵛ post quod excidit folium unum || **16** *δὴ* **ACT** *δὲ* **z** | *οὖν* om. **MR** | *τὸ αὐτὸ* **AT** *ταυτὸ* **Cz** *ταὐτὸν* Euseb. || **19** *αὐτῶν μὲν* **A** *αὐτὴν μὲν* **t** *αὐτῶν τε* Euseb. | *καθιστάντες* **Tz** Euseb. *καθιστῶντες* **AC** || **20** *ἐλέγχους* **t** *ἐλέγχου* **A** || **21** *ἃς* **ACT** *ἃ* **z** || **22** *διηγούμενοι . . . ταύ-* om. **C** || **26** *ἕλενος* **ACT** *ἕλεος* **z** | *ὑμέναιος* **R** *ὑμένεος* **At** | *Θεόφιλος καὶ* om. **C** || **27** *αἰλια-νὸς* **ATz** *ἐλιανὸς* **C** || **28** *βωλανὸς καὶ* **t** *βωλανὸς* **A** || **29** *μαλχίων* **ACT** *μαχίων* **z**

ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ αἱ
ἐκκλησίαι τοῦ θεοῦ ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

Τούτοις μετὰ βραχέα ἐπιλέγουσι ταῦτα· *ἐπιστέλλομεν δὲ ἅμα καὶ παρα-*
καλοῦμεν καὶ πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων ἐπὶ τὴν θεραπείαν τῆς
5 *θανατηφόρου διδασκαλίας, ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας*
καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκῶν τοὺς μακαρίτας, ὧν ὁ μὲν καὶ
ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν, τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως
ἀξιώσας οὐδὲ πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ, ἧς 729
καὶ τὸ ἀντίγραφον ὑπετάξαμεν. ὁ δὲ Φιρμιλιανὸς καὶ δὶς ἀφικόμενος
10 *κατέγνω μὲν τῶν ὑπ᾽ ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυροῦ-*
μεν οἱ παραγενόμενοι καὶ ἄλλοι πολλοὶ συνίσασιν, ἐπαγγειλαμένου δὲ με-
ταθήσεσθαι, πιστεύσας καὶ ἐλπίσας ἄνευ τινὸς περὶ τὸν λόγον λοιδορίας
τὸ πρᾶγμα εἰς δέον καταστήσασθαι ἀνεβάλλετο, παρακρουσθεὶς ὑπὸ τοῦ
καὶ τὸν θεὸν τὸν ἑαυτοῦ καὶ κύριον ἀρνουμένου καὶ τὴν πίστιν ἣν καὶ αὐτὸς
15 *πρότερον εἶχε μὴ φυλάξαντος. ἔμελλε δὲ νῦν ὁ Φιρμιλιανὸς εἰς τὴν Ἀντιό-*
χειαν διαβήσεσθαι, καὶ μέχρι γε Ταρσοῦ ἧκεν, ἅτε τῆς ἀρνησιθέου κακίας
αὐτοῦ πεῖραν εἰληφώς. ἀλλὰ γὰρ μεταξὺ συνεληλυθότων ἡμῶν καὶ κα-
λούντων καὶ ἀναμενόντων, ἄχρι ἂν ἔλθῃ, τέλος ἔσχε τοῦ βίου.

Μεθ᾽ ἕτερα δ᾽ αὖθις τὸν βίον αὐτοῦ οἵας ἐτύγχανεν ἀγωγῆς διαγράφου-
20 σιν ἐν τούτοις. *ὅπου δὲ ἀποστὰς τοῦ κανόνος ἐπὶ κίβδηλα καὶ νόθα δι-*
δάγματα μετελήλυθεν, οὐδὲν δεῖ τοῦ ἔξω ὄντος τὰς πράξεις κρίνειν, οὐδ᾽ ὅτι
πρότερον πένης ὢν καὶ πτωχὸς καὶ μήτε παρὰ πατέρων παραλαβὼν μη-
δεμίαν εὐπορίαν μήτε ἐκ τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν
εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακεν ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν καὶ ὧν αἰτεῖ
25 *καὶ σείει τοὺς ἀδελφούς, καταβραβεύων τοὺς ἀδικουμένους καὶ ὑπισχνού-*
μενος βοηθήσειν μισθοῦ, ψευδόμενος δὲ καὶ τούτους καὶ μάτην καρπού- 730
μενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ
ἀπαλλαγῆς τῶν ἐνοχλούντων, πορισμὸν ἡγούμενος τὴν θεοσέβειαν, οὔτε
ὡς ὑψηλὰ φρονεῖ καὶ ὑπερῆρται κοσμικὰ ἀξιώματα ὑποδυόμενος καὶ δου-

30 **24 C** *Ση. ὅτι οὐ δεῖ ἐν καιρῷ καὶ τὸν κακότροπον βίον τὸν ἐξ ἀρχῆς τῶν αἱρετικῶν στηλιτεύειν ὥσπερ καὶ οἱ ἅγιοι πατέρες ἡμῶν Θεοδώρου τοῦ Μοψουεστίας*

30–31 cf. Cedr. 458, 9

[**A** **x = CO** (475,28–478,8) **TV** (475,24–478,8) **z = PQMRS** **t = CTVz**] **3** *ἐπιλέγουσι ταῦτα* om. **S** || **5** *ἐπὶ*] *ἐπίσκοπον* **S** || **6** *καὶ*[2] om. **MR** || **8** *ἧς* **ACz** *οἷς* **T** || **9** *καὶ*[1] om. **A** || **16** *ταρσοῦ* **t** *ταρσὸν* **A** *Ταρσῶν* Euseb. || **17** *αὐτοῦ* om. **A** | *ἡμῶν* om. **A** || **19** *μεθ᾽* **ATz** *καὶ μεθ᾽* **C** || **20** *ὅπου* Di. ex Euseb. *οὔπω* **At** || **21** *δεῖ* **AC**[c] *δὴ* **t** || **22** *παραλαβὼν* **ACz** *λαβὼν* **T** | *μηδεμίαν* **ACz** *μήτε μίαν* **T** || **23** *μήτε* **T** Euseb. *μηδὲ* **ACz** || **24** *-μιῶν*] incipit **V** f. 62[r] || **27, 28** *ὑπὲρ ἀπαλλαγῆς* **t** *ὑπεραπαλλαγεὶς* **A** || **28** *πορισμὸν* **t** *πορισμῶν* **A** | *-βειαν*] incipit **O** f. 60[r]

κηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι καὶ σοβῶν κατὰ τὰς
ἀγορὰς καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων ἅμα βαδίζων δημο-
σίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δ' ἐφεπομένων
πολλῶν τὸν ἀριθμόν, ὡς καὶ τὴν πίστιν φθονεῖσθαι μισεῖσθαί τε διὰ τὸν
ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας, οὔτε τὴν ἐν ταῖς ἐκκλη- 5
σιαστικαῖς συνόδοις τερθρείαν ἣν μηχανᾶται δοξοκοπῶν καὶ φαντασιοκο-
πῶν καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων, βῆμα
μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος οὐχ ὡς Χριστοῦ μαθη-
τής, ἀλλ' ὡς Ἀντιχρίστου πρόδρομος καὶ μιμητής, σήκρητον δὲ ὥσπερ οἱ
τοῦ κόσμου ἄρχοντες ἔχων τε καὶ ὀνομάζων, παίων τε τῇ χειρὶ τὸν μηρὸν 10
καὶ τὸ βῆμα ἀράττων τοῖς ποσὶ καὶ τοῖς μὴ ἐπαινοῦσι μηδὲ ὥσπερ ἐν τοῖς
θεάτροις κατασείουσι ταῖς ὀθόναις μηδὲ ἐκβοῶσί τε καὶ ἀναπηδῶσι κατὰ
τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις, ἀνδράσι τε καὶ γυναίοις, ἀκόσμως
731 *οὕτως ἀκροωμένοις, τοῖς δ' οὖν ὡς ἐν οἴκῳ θεοῦ σεμνοπρεπῶς καὶ εὐτά-*
κτως ἀκούουσιν ἐπιτιμῶν καὶ ἐνυβρίζων καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ 15
βίου τούτου παροινῶν ἐξηγητὰς τοῦ λόγου φορτικῶς ἐν τῷ κοινῷ καὶ
μεγαλορημονῶν περὶ ἑαυτοῦ καθάπερ οὐκ ἐπίσκοπος, ἀλλὰ σοφιστὴς καὶ
γόης· ψαλμοὺς μὲν τοὺς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας,
ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα, εἰς ἑαυτὸν δὲ ἐν
μέσῃ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρα- 20
σκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν, οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν
ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους ἐν ταῖς
πρὸς τὸν λαὸν ὁμιλίαις καθίησι διαλέγεσθαι. τὸν μὲν γὰρ υἱὸν οὐ βούλεται
συνομολογεῖν ἐξ οὐρανοῦ κατεληλυθέναι (ἵνα τι προλαβόντες τῶν μελ-
λόντων γραφήσεσθαι θῶμεν, καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' ἐξ 25
ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν, οὐχ ἥκιστα δὲ ὅπου
λέγει Ἰησοῦν Χριστὸν κάτωθεν), οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιά-
ζοντες ἐν τῷ λαῷ ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατ-
εληλυθέναι λέγουσι, καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν
ὁ ὑπερήφανος. τὰς δὲ συνεισάκτους αὐτῷ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνο- 30
μάζουσι, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ

3 *ἐφεπομένων* **COV** Euseb. *ἑπομένων* **ATz** || 5 *περιφανείαν* **C** || 6 *τερθρείαν* **AC**^{c} *τερθρίαν* **t** *τερατείαν* Euseb. | *δοξοκοπῶν* **ATV** *δοξοποιῶν* **COz** | *καὶ φαντασιοκοπῶν* **AV** Euseb. om. **COTz** || 9 *ἀλλ' . . . μιμητής* om. **t** Euseb. | *σήκρητον* **COVz** *σύκρητον* **T** *σέκρετον* **A** || 10 *ἔχων τε* **Ax** *ἔχοντες* **z** | *παίων τε*] *παίονται* **V** || 12 *ἐκβοῶσι* **t** *ἐκ τῶν βοῶσι* **A** || 16 *τούτου παροινῶν* **t** Euseb. *τοῦτο παραινῶν* **A** || 17 *ἑαυτοῦ* **t** *αὐτοῦ* **A** || 18 *γόης* **Ax** *γόγης* **z** | *ψαλμοὺς μὲν τοὺς* **A** *ψαλμοὺς δὲ τοὺς* **t** *ψαλμοὺς δὲ τοὺς μὲν* Euseb. || 19 *νεωτέρους καὶ* om. **T** || 21 *αὐτὸν* **ACV** *αὐτῶν* **OTz** || 22 *ὁμόρων* **Ax** *ὁμώρων* **z** || 27 *λέγειν* **OVS** || 28 *ἄγγελον* **t** *ἄγγελοι* **A** | *ἑαυτῶν* **AV** *ἑαυτὸν* **COTz** || 30 *συνάκτους* **O** | *ὡς* om. **C**

τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει συνειδὼς καὶ ἐλέγξας, ὅπως 732
αὐτοὺς ὑπόχρεως ἔχῃ, περὶ ὧν λόγοις καὶ ἔργοις ἀδικεῖ, μὴ τολμῶντας
κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ, ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ' ᾧ
πρὸς τῶν ταῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται, τί ἂν ταῦτα γράφοι-
5 *μεν; ἐπιστάμεθα δέ, ἀγαπητοί, ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν*
παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων καλῶν ἔργων, καὶ οὐδὲ ἐκεῖνο
ἀγνοοῦμεν ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δὲ
ὑπωπτεύθησαν, ὥστε εἰ καὶ δοίῃ τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ
τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβη-
10 *θῆναι μή τινας σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψῃ. πῶς γὰρ*
ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπὶ πλέον εἰς
ταὐτὸν γυναικί, μὴ ὀλίσθῃ φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν
ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ' ἑαυ-
τοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει, καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιπλάμε-
15 *νος; ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται καθ' αὑτούς, οὕτω δὲ τὴν*
τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται ὥστε κατηγορεῖν μὴ τολμᾶν.
ἀλλὰ ταῦτα μέν, ὡς προειρήκαμεν, εὔθυνεν ἄν τις ἄνδρα τὸ γοῦν φρόνημα 733
καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν, τὸν δὲ ἐξορχησάμενον τὸ
μυστήριον καὶ ἐμπομπεύσαντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ
20 *χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲ δεῖν ἡγούμεθα τούτων τοὺς*
λογισμοὺς ἀπαιτεῖν.

Εἶτ' ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ' ἐπιλέγουσιν· *ἠναγκάσθημεν οὖν*
ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον
ἀντ' αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον θεοῦ προνοίᾳ,
25 *ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος*
πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον, πᾶσι τοῖς πρέπουσιν ἐπισκό-
πῳ καλοῖς κεκοσμημένον. ἐδηλώσαμεν οὖν ὅπως τούτῳ γράφητε καὶ παρὰ
τούτου τὰ κοινωνικὰ δέχησθε γράμματα, τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελ-
λέτω καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνείτωσαν.

1 *ἀνίατα* **A** Euseb. *τὰ ἀνίατα* **OTVz** *καὶ τὰ ἀνίατα* **C** || 1–2 *καὶ . . . λόγοις* om. **S** || 2 *ὑπόχρεως* **ACV** *ὑποχρέους* **OTz** | *ἔχῃ* **V** Euseb. *ἔχει* **ACOTz** || 3 *ᾧ* **t** Euseb. *ὃ* **A** || 4 *τῶν ταῦτα* **R** *τὸν ταῦτα* **xPQMS** *ταῦτα* **A** *τῶν τὰ τοιαῦτα* Euseb. || 6 *πάντων* **t** Euseb. *πάντων τῶν* **A** || 7 *ὅσοι τὸ* **C** | *τοῦ συνεισάγειν* **Ax** *τοὺς βιεισάγειν* **z** || 8 *ὑπωπτεύθησαν* **A** *ὑποπτεύθησαν* **t** || 9 *τήν γε* **Ax** *γε τὴν* **z** || 12 *ὠλίσθη* **A** *ὀλισθῆσαι* **T** | *φυλαττόμενον* **t** *φυλαττόμενος* **A** | *ὡς* om. **A** || 13 *ἤδη δύο*] *ἢ δύο δύο* **V** || 14 *ἀπίῃ* **C**ᶜ**T** *ἀπείῃ* **COVz** *ἀπὴν* **A** || 15 *ὀδύρονται* **C**ᶜ**T** *ὀδύρωνται* **ACOVz** *ὀδύρονται πάντες* Euseb. || 17 *εὔθυνεν* Euseb.[V] *εὐθύνειν* **ACOVz** *εὐθήνειν* **T** *εὐθύνειεν* Euseb.[M] | *τις*] *τι* **C** || 18 *τὸν* **S** *τὸ* **At** | *ἐξορχισάμενον* **T** || 22 *οὖν* om. **A** || 23 *ἤκοντα* **O** et ante corr. **C** || 25 *μακαρίου* **AOV** Euseb.[V] *μακαρίτου* **CT** Euseb.[BD] *μακαρίου τοῦ* **z** || 26 *αὐτῆς* om. **z** || 28 *δέχησθε* **t** Euseb. *δέχοισθε* **A** | *οὗτος* **ATz** *οὕτως* **COV** || 29 *κοινωνείτωσαν* **C**ᶜ**V** *κοινωνήτωσαν* **COTz** *κανονίτωσαν* **A**

Τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἀποπεπτωκότος Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο. ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θελήσαντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφε, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς οἱ 5
734 *κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ δόγματος ἐπιστέλλοιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας.*

1 *τῇ* om. **z** || 4 *αὐρηλιανὸς* **A** *αὐριλιανὸς* **t** || 5 *τοῦ* **AV** Euseb. *τούτου* **C** *τούτου τοῦ* **OTz** | *πρακτέου* **A**C^c**R** *πρακταίου* **t** | *προστάττον* **O** *προστάτων* **S** | *οἱ* om. **MR** || 6 *ἐπιστέλλοιεν* **AxPR** *ἐπιστέλοιεν* **QMS** || 8 *κοσμικῆς . . . ἐκκλησίας*] haec uerba scripta sunt ab textu infra separata **A**

INDEX NOMINVM ET RERVM

Nomina in regum laterculis commemorata in indice non inclusa sunt, nisi aliquid in textu narratum est. uideat lector sub laterculo ad nomen exquisitum pertinenti.

INDEX AVCTORVM

quorum Georgius in textu meminit
quo loco uel nomen apparet uel excerpta incipiunt

AVCTORES ANTIQVI

INDEX AVCTORVM

BIBLIA SACRA, APOCRYPHA, PSEVDEPIGRAPHA

INDEX FONTIVM ET TESTIVM

Ne index longior fiat, non inclusa sunt quae Georgius recepit per fontes principes, Biblia Sacra, Eusebii Pamphili Chronica Historiamque Ecclesiasticam et Flauium Iosephum, quorum librorum ad locum exquisitum uideat lector praeter indicem auctorum etiam sub nominibus rebusue pertinentibus.

Vol. III. Liber X cum appendice

2., verbesserte Aufl. XXXII, 236 Seiten mit 146 Abbildungen. In Leinen 33,– M
Bestell-Nr. 665 616 0 – Stamatis, Euclides III gr.

Vol. IV. Libri XI–XIII cum appendicibus

2., verbesserte Aufl. XXXI, 238 Seiten mit 109 Abbildungen. In Leinen 39,50 M
Bestell-Nr. 665 653 1 – Stamatis, Euclides IV gr.

Vol. V. Pars 1. Prolegomena critica, Elementorum libri XIV–XV, Scholia in libros I–V

2., verbesserte Aufl. LXXXIX, 243 Seiten mit 41 Abbildungen. In Leinen 54,– M
Bestell-Nr. 665 817 4 – Stamatis, Euclides V, 1 gr.

Vol. V. Pars 2. Scholia in libros VI–XII cum appendicibus

2., verbesserte Aufl. V, 362 Seiten mit 86 Abbildungen, In Leinen 60,– M
Bestell-Nr. 665 843 0 – Stamatis, Euclides V, 2 gr.

Euripides. Alcestis

Herausgegeben von A. Garzya, Neapel

2. Aufl. (verbesserte Ausgabe der 1. Aufl. von 1980).
XIX, 46 Seiten. In Leinen 20,– M
Bestell-Nr. 665 974 0 – Garzya, Eur. Alcestis gr.

Euripides. Cyclops

Herausgegeben von W. Biehl, Göttingen

XX, 60 Seiten. In Leinen 24,50 M
Bestell-Nr. 666 127 7 – Biehl, Euripid. Cyclops gr.

Euripides. Heraclidae

Herausgegeben von A. Garzya, Neapel

XXII, 42 Seiten. In Leinen 10,– M
Bestell-Nr. 665 617 9 – Garzya, Eur. Heraclid. gr.

Euripides. Troades

Herausgegeben von W. Biehl, Göttingen

XXVII, 92 Seiten. In Leinen 12,– M
Bestell-Nr. 665 534 4 – Biehl, Eurip. Troades gr.

Theognis. Ps.-Pythagoras, Ps.-Phocylides, Chares, Anonymi Aulodia, Fragmentum Teliambicum

Herausgegeben von D. Young †

2. Aufl. (verbesserte Aufl. der 1. Ausgabe. von 1961).
XXXI, 172 Seiten. In Leinen 18,– M
Bestell-Nr. 665 578 2 – Young, Theognis gr.



BSB B. G. TEUBNER VERLAGSGESELLSCHAFT
LEIPZIG